Homer
"
Concordia Library
BRonxville, N.Y.

SCHOLIA GRAECA

483
H766
vol.1

IN

HOMERI ILIADEM

EX CODICIBUS AUCTA ET EMENDATA

EDIDIT

GULIELMUS DINDORFIUS.

Rev. JUSTUS F. HOLSTEIN,
77 Midwood St.
BROOKLYN, N. Y. CITY.

TOMUS I.

PA
4035
.A2
1875
Vol.1

OXONII:

E TYPOGRAPHEO CLARENDONIANO.

M.DCCC.LXXV.

[*All rights reserved*]

PRAEFATIO.

Scholiorum in Iliadem codices supersunt multi, inter quos eminet Venetus (A) Bibliothecae Marcianae 454, scriptus in membranis formae maximae seculo, ut videtur, undecimo, foliis 327, quorum specimina praebent tabulae photolithographicae huic editioni adiectae. Folia 2, 3, 5, 7, 10 et 11 vacua sunt, folii octavi pagina aversa et folium nonum rudes quasdam continent vel rerum vel personarum in Iliade memoratarum picturas[a], quas descripsit Iacobus La Roche in commentatione de hoc codice a. 1862 edita p. 2. Folia 1, 4, 6 et folium octavum rectum Excerpta continent ex Procli Chrestomathia et alia nonnulla, quae huic Praefationi subiecimus, inter quae adhuc latuit Aristonici libri περὶ σημείων Ἀριστάρχου Praefationis fragmentum, quod in limine scholiorum posuimus. Folio 12 incipit Ilias, quaternionibus scripta, exceptis duobus ultimis foliis, quae binionem efficiunt. Folia exciderunt undeviginti, a manu recentiore suppleta, sed sine signis criticis et scholiis, quibus haud dubie caruit codex recentior ex quo haec supplementa descripta sunt: quorum foliorum[b] index hic est—

[a] De picturis foliorum quarti et sexti infra dicetur p. xli. Alterum, sed multo perfectius huiusmodi picturarum exemplum praebent fragmenta codicis antiquissimi Ambrosiani ab A. Maio edita Mediolani a. 1819, seculo quinto sextove non inferiora: de quibus quae dixit Maius in Praefatione partim repetita sunt a Buttmanno in Appendice ad Scholia in Odysseam p. 589, sq.

[b] Horum foliorum defectum Villoisonus sub textu editionis suae notavit, Bekkerus vero non solum tacuit, sed etiam, quod peius est, aliorum codicum scholiis pluribus in has lacunas incidentibus siglum A adscripsit, quasi in codice Veneto A legantur.

CONCORDIA COLLEGE LIBRARY
BRONXVILLE, N.Y. 10708

Folia 69—74 (Il. 5, 336—635)
229—234 (17, 277—577)
238 (17, 729—761)
254—257 (19, 126—326)
319—320 (24, 405—504)

Versus cuiusque paginae sunt viginti quinque. In summo et, ubi scholia copiosiora sunt, in infimo margine et in latere dextro foliorum rectorum, sinistro versorum, scholia leguntur litteris quam textus minoribus et ab eadem omnia manu scripta, paucis exceptis recentioris manus scholiis, quorum plura deinceps leguntur ad 2, 194—220 in editione nostra notata vol. 1 p. 89, 7—93, 20, qualia manus recentior in margine interiore scripsit, peculiaribus signis praefixis, velut scholio ad v. 210 ∾ *συμφωῆς* cet., distinguenda ab alio scholiorum multo breviorum genere, quae intermarginalia appellamus, de quibus infra dicetur.

Fontes scholiorum in fine singularum rhapsodiarum subscriptio indicat his verbis, *παράκειται τὰ Ἀριστονίκου σημεῖα* (*μετὰ ὑπομνηματίου* additum in fine rhapsodiae 18, quod recte delevit Lehrsius), *καὶ τὰ Διδύμου περὶ τῆς Ἀριστάρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ ἐκ τοῦ Νικάνορος περὶ στιγμῆς*, quod plenius scriptum est *περὶ τῆς Ὁμηρικῆς στιγμῆς* in fine rhapsodiae tertiae et quartae. Subscriptione duae carent rhapsodiae, septima decima (P) et vigesima quarta (Ω), quarum prior in lacunam incidit, amisso folio vetere 238 (versus 729—761 complexo), cui recentius sine subscriptione folium est substitutum, alteram omisit librarius (folio 326) non repertam in codice ex quo postremorum huius rhapsodiae foliorum scholia descripsit multo quam in praecedentibus rhapsodiis ieiuniora et Aristonici notationibus plerisque carentia, quas uno alteroque loco in aliorum codicum, inprimis Townleiani et Veneti B (453), excerptis agnoscere licet.

Medium inter scholia marginalia et textum locum tenent scholia brevissima, quae intermarginalia dicimus, id est scholia quae in angusto, quod inter scholia marginalia et textum relictum est spatio marginis interioris sunt adscripta. Sunt autem pleraque omnia ex Aristonico et Didymo excerpta, quum auctori hoc potissimum propositum esset ut Zenodoti et Aristarchi lectiones exponeret: quarum notationum pars maxima quum vel iisdem vel paullo pluribus verbis etiam in scholiis marginalibus legatur, intermarginalia ex marginalibus excerpta et in formam breviorem redacta videri possent, nisi plurima continerent quae non leguntur in marginalibus, quemadmodum vicissim multa, quae in marginalibus de Zenodoti, Aristarchi aliorumque grammaticorum scripturis traduntur, non reperiuntur in intermarginalibus: ex quo sequitur intermarginalia non ex marginalibus huius codicis, sed ex simili aliqua scholiorum collectione ab alio grammatico esse excerpta, nulla habita ratione scholiorum quae iam scripta in margine essent, nisi quod paucis quibusdam in locis annotationes intermarginales ad scholia spectant marginalia, velut 5, 264 (vol. 1 p. 211, 3), ubi verba marginis interioris *διὰ τὴν αὐτὴν αἰτίαν* significant de infinitivo *ἐλάσαι* idem esse dicendum quod de infinitivis *ἐρυκακέειν* et *ἐπαΐξαι*, qui pro imperativis positi sint, in scholiis marginalibus versuum 262 et 263 dixerit scholiasta et in textu *διπλῇ* praefixa significatum sit. Eodem modo in scholio intermarginali ad 10, 117 (vol. 1 p. 346, 10.) verbis *διὰ τὴν αὐτὴν αἰτίαν* significatur de verbo *πονέεσθαι* v. 117 idem esse dicendum, quod de eodem verbo ad v. 116 annotatum sit in scholio marginali versus 116.

Eadem omnia de scholiis intermarginalibus grammaticis et exegeticis dicenda sunt, quae ipsa quoque brevissima sunt et magna ex parte iisdem vel similibus verbis concepta inter scholia ampliora marginalia

reperiuntur [c]. Apparet ex his utraque scholia generis et originis esse eiusdem et intermarginalia ab marginalibus eo tantum differre quod in scholiis intermarginalibus

[c] Singulare est quod scholion longius marginis exterioris ad 6, 87, 88 (vol. 1 p. 229, 30—230, 6) nonnihil compendifactum inter scholia marginis interioris repetitum est in formam crucis ab librario Christiano redactum in folio 82 a

Δ οὗ Δ
τω
Δ συναπτέον Δ
Δ τὸ ἡ δὲ ξυνά Δ
γου
σα
γε
ραι
ὰσ
τω
νη
Δ ον α Δ
Δ θηναίησ λιπούσης γὰρ Δ
Δ τῆς εἰς προθέσεως καὶ τ̄ καὶ Δ
Δ συν Δ
δεσ
μου
γί
νε
ται
ὁ λό
γοσ
ἡ δὲ
ξυνά
γου
σα
ταῖς
γεραι
αῖσ
εἰς
τὸν
Δ τῆσ ἀθηνᾶσ Δ
ναὸν καὶ
ἀνοίξασα
τὰς θύρασ ἐ
ὰν δὲ συνάπτωνται
Δ οἱ δύο στίχοι ἡ φ̣ρ̣ σόλοι̣ : Δ

Eiusdem generis est quod scholio ad 2, 107 librarius litteris minutissimis adscripsit $\overline{\kappa\epsilon}$ $\overset{\theta}{\beta}$οή μοι (κύριε βοήθει μοι), qualia etiam in aliorum scriptorum profanorum codicibus passim reperiuntur.

modo plura modo pauciora ex alio exemplari simillimo excerpta sint quam in marginalibus. Quod lectores facile ipsi animadvertere poterunt, quum ego scholia intermarginalia nusquam cum marginalibus permiscuerim, quod saepissime fecerat Bekkerus, sed asterisco praefixo ubique segregaverim ab illis. Ceterum scholiis intermarginalibus non raro lemmata sua commodioris usus causa praescripsi, quae vix ulla sunt in codice: de quo sufficiet hic in universum monuisse, quum de lemmatis dixerim vol. 2 p. 345.

Praeter haec duplicis generis scholia textui superscripta sunt glossemata quae interlinearia appellari solent, copiosa in duabus primis rhapsodiis, rariora in ceteris et saepe per longum versuum numerum prorsus nulla. Haec glossemata in Appendice ad scholia proposui vol. 2 p. 299—344, ut cum grammaticorum glossariis comparari possint. Interdum glossemata non supra, sed iuxta textus verba in margine scripta sunt, ut ex genere scholiorum intermarginalium esse videri possint: de quo videnda quae dixi vol. 2 p. 297.

Aliud annotationum intermarginalium genus scripturae continet diversitatem ex pluribus collectam codicibus, cui plerumque praescriptum ἐν ἄλλῳ (i. e. ἀντιγράφῳ vel βιβλίῳ), vel γρ. vel γρ. καί, de quo dixerunt Hoffmannus in Prolegomenis ad Iliadis rhapsodias Φ et X p. 164—177 et Schmidtius Didym. p. 212. Adscriptum autem ἐν ἄλλῳ (nusquam ἐν ἄλλοις[d], quod passim posuit Bekkerus codicis compendio ἐν ἄλλ̃ male intellecto) versibus est 169, si recte computavit La Roche (*Homerische Textkritik*) p. 134, γρ. (i. e. γράφεται) versibus 171 (ibid. p. 149) et γρ. καί versibus 48 (ibid p. 149). Haec omnia inter scholia intermarginalia recepi, exclusi vero plurima quae sine istiusmodi praescriptionibus, quas

[d] Diversum ab hoc est ἐν ἄλλοις, quod '*alio loco*' significans, ut ἐν ἑτέροις, frequens est in scholiastarum quorumvis scriptis, de quo dixit Hoffmannus p. 162.

interdum de suo addiderant Villoisonus et Bekkerus, in margine modo interiore modo exteriore versuum annotata sunt. His enim aptior locus erit in nova textus collatione, etsi pleraque omnia inutilia sunt. Nam plurima nihil aliud sunt quam errorum ab librario in textu codicis commissorum correctiones[e] vel vitiosae aliorum librorum scripturae: qualia multa etiam inter lectiones signis ἐν ἄλλῳ vel γράφεται notatas reperiuntur. Nec raro versus in textu per errorem omissi vel ab librario ipso vel ab alia manu supplentur, quorum exempla collegit Wachsmuthius p. 184. Gravioris momenti et multo antiquioris aetatis est scripturae diversitas adverbio διχῶς notata, qua plerumque diversa duplicis recensionis Aristarcheae scriptura significatur: de quo plura dixit Hoffmannus Proleg. p. 177.

Orthographia codicis in scholiis eadem est quae in textu, de quo post Villoisonum (Proleg. p. 1 sqq.) dixerunt La Roche p. 4—14 et Hoffmannus in Prolegomenis p. 12—21, nisi quod itacismus aliaque vitia orthographica in scholiis multo quam in textu frequentiora sunt, ut exempla in annotationibus ab me memorata docent, etsi non fuit operae pretium omnia singula notare.

Expositis quae de externa codicis conditione dicenda erant, sequitur ut de origine et aetate scholiorum summatim dicatur post longas inde ab Villoisono (a. 1788) et F. A. Wolfio in Prolegomenis (a. 1795) usque ad novissima tempora virorum doctorum disputationes, inprimis Caroli Lehrsii in libro de Aristarchi studiis Homericis et Iacobi La Roche in libro quem inscripsit '*Die Homerische Textkritik im Alterthum*' (Lipsiae a.

[e] Sic ad 13, 238 diversam editores finxerunt scripturam γράφεται καὶ ἐπισταίμεσθα non intellecta codicis scriptura $\overset{\omega}{\Gamma}$ et ἐπισταίμεσθα, qua significatur γνώμη (v. 237) et librarii error ἐπιστάμεσθα pro ἐπισταίμεσθα corrigitur: quod notavit Wachsmuthius in Museo Rhenano vol. 18 p. 182. Similiter $\Gamma\overset{\omega}{\omega}$ praescriptum vol. 1 p. 94, 3.

1866). Omnes autem hae disputationes ab singularum rhapsodiarum in codice Veneto subscriptione supra memorata proficiscuntur, in qua quattuor antiquorum libri nominantur grammaticorum, Aristonici, Didymi, Herodiani et Nicanoris[f], quorum ex commentariis haec scholiorum collectio sit composita: qui libri quum pridem perditi essent quo tempore codex Venetus scriptus est, manifestum est subscriptionem illam ex codicibus multo antiquioribus servatam esse, quemadmodum similes scholiorum Euripidis et Aristophanis subscriptiones, de quibus dixi in Praefatione ad scholia Euripidea vol. I p. xxvii, ex antiquioribus propagatae sunt codicibus, nulla habita ratione mutationum quas primigenia scholiorum Homericorum compages insecutis usque ad medii aevi tempora seculis plurimas et maximas subierat, quarum indicia quaevis fere collectionis qua nunc utimur pagina praebet. Neque enim verisimile est grammaticum, qui haec scholiorum veterum excerpta primus composuit tam negligentem certique consilii expertem fuisse, ut quae Aristonicus et Didymus de Zenodoti, Aristophanis, Aristarchi aliorumque exemplarium scripturis annotaverant modo apponeret modo praetermitteret, quod saepissime factum esse ipsius huius codicis scholia intermarginalia et aliorum quorundam codicum, inprimis Veneti B (453), de quo dixit Duentzer. de Zenod. p. 9, et Townleiani, scholia partim ex iisdem fontibus petita docent, inter quae non pauca

[f] De quattuor horum grammaticorum aetate, scriptis et fontibus et de ratione qua scholiasta illorum commentarios excerpserit docte et diligenter disputavit Th. Beccardus in dissertatione de scholiis in Homeri Iliadem Venetis (A) Berolini edita anno 1850. Hic satis erit monuisse scholia ab epitomatore ita esse composita ut quattuor grammaticorum notationes ubique fere distingui possint et Didymo, amplissimis doctrinae copiis uso, maiorem melioremque scholiorum veterum partem deberi: de quo recte iudicarunt Lehrsius in libri de Aristarcho capite secundo, Bernhardyus in Hist. Lit. Gr. vol. I p. 198. ed. tert. et La Roche (*Textkritik*) p. 99—104.

reperiuntur quibus caret Venetus A, quemadmodum vicissim in alteris illis multo plura desiderantur, quae in scholiis Veneti A sunt servata, ut manifestum sit scholiis veteribus Homericis idem accidisse quod aliis omnibus scholiorum collectionibus, ut posteriorum temporum grammatici et librarii scholia vetera alii aliter nulla certa lege excerperent et compendifacerent vel novis amplificarent additamentis: de quo rectissime iudicavit Lehrsius in libro de Aristarcho p. 30 his verbis usus:

'Quattuor libris Aristonici, Didymi, Herodiani, Nicanoris ab initio scholia codicis A contexta, nec diu post Herodiani aetatem hanc operam susceptam esse arbitror. Eum, qui haec comportavit, alia multa praeter haec addidisse vix putaverim; sed addidit fortasse quaedam quae ex aliis Herodiani scriptis afferuntur, maxime si quando in his ab ea doctrina, quam in libro de prosodia Homerica exposuerat, dissensisse inveniebatur. Haec, quod observaverim, plurima diligenter et apte allata, ut ab homine, qualem fingere opus est eum qui tam doctum consilium susceperit, proficisci potuisse non negem. Et addidit idem fortasse praeterea unum vel alterum simili consilio Didymi notis et Aristonici. (Cogito hoc loco maxime de K, 398, ubi et Didymi et Aristonici observationes traditae, sed levis correctio addita sic, *ταῦτα δ' Ἀριστόνικος περὶ τῆς γραφῆς ταύτης φησὶ, διπλῆν βάλλων τῷ στίχῳ, ἐν μέντοι τῇ τετραλογίᾳ* (i. e. ni fallor, commentariorum libris quattuor) *Νεμεσίωνος οὕτως εὗρον περὶ τῶν στίχων τούτων* cet. Refutabit me fortasse si cui de huius Nemesionis aetate constat, quae mihi aliunde ignota est.) Sed tempore gliscente plurima alia ex recentioribus commentariis Homericis (ut Porphyrii) aliisque vulgatis libris huic quoque codici appicta sunt. Invenitur qui sibi placuit in annotationibus ex Apollonii Dyscoli libris appingendis, sed negligentissime saepe, ut Δ, 22 coll. Apollonio de Adverb. p. 553. Vid. praeterea

A, 99, 508 (ubi punctum ponendum post Ὦρος) Δ, 343, Λ 101 (*ὡς δείκνυται ἐν τῷ περὶ συντάξεως*, ne addito quidem nomine Apollonii), E, 219 (*ἐν τῷ περὶ ἀντωνυμιῶν δηλοῦται*, item sine nomine). Conf. v. d. ad O, 138. Σ, 505. (Fortasse huc pertinet unus alterve locus ex his, Δ, 410. E, 142. Z, 411. K, 67, 252. M, 204.) Sic appicta sunt quaedam e Lexico Apollonii (ut B, 271. Γ, 448), quaedam Orionis, Choerobosci (K, 134), nec semper nomina auctorum addita. Sic Δ, 66 doctum scholion est de flexione substantivorum in $\overline{\alpha\varsigma}$, quod in Etymologico quoque legitur (s. *ὑπερκύδαντας*) et apud Eustathium p. 445, unde patet Eustathium iam h. l. in scholiis invenisse. Est id Choerobosci in Theodosium apud Gaisfordum p. 35. Sunt alia ex Porphyrianis sumpta, partim integra, partim brevem eorum summam habentia (ut T, 79), alia ex reliquis scholiis. Contra haud pauca ex codice A paullatim in reliquos codices translata, imo quaedam in hoc codice deficientia hodie in aliis exstant, ut omnino ex omni fere scholiorum Homericorum genere particulae invicem translatae et commixtae apparent.'

Scholia Porphyriana[g] ex *Ζητήμασιν Ὁμηρικοῖς* composita, quae numerosissima et longissima sunt in aliis codicibus pluribus, rara et tacito ubique fere Porphyrii nomine codici Veneto A sunt illata ab grammatico aliquo, quem manifestum est codice usum esse qui

[g] De scholiis ex Porphyrii *Ζητήμασιν*, quae diserte nominantur in scholiis ad 2, 308 et 3, 173, in alia huius editionis parte plura dicenda erunt: summatim de iis dixit Bernhardyus in Hist. Lit. Graec. vol. 1 p. 200, 201 ed. tert., explicatius post Valckenarium in Dissertatione de scholiis codicis Leidensis aliosque Hermannus Schraderus in scholiorum Porphyrii ad Iliadis rhapsodiam tertiam editione (Hamburgi 1872). Diversus ab *Ζητήμασιν* liber fuit *περὶ τῶν παραλελειμμένων τῷ ποιητῇ ὀνομάτων*, qui memoratur in scholio ad 3, 250, et brevius ad 3, 314 *Πορφύριος ἐν τοῖς παραλελειμμένοις* (simpliciter *Πορφύριος* ad 3, 325) de quo dixit Schraderus p. 1.

breviores [h] tantum quaestiones et ab ipsius Porphyrii sermone saepe diversas contineret, quod collatis inter se brevioribus codicis Veneti A excerptis et longioribus aliorum codicum intelligitur, velut in iis quae de Pandaro dicuntur ad 4, 88 in Veneto A et in aliis ib. ad v. 84. De quo dixit Rosius in *Aristotele pseudepigrapho* p. 161, 169. Quae ex Aristotele de hoc genere in scholiis codicum Homericorum afferuntur non sunt ex ipsis Aristotelis *ἀπορήμασιν Ὁμηρικοῖς* sumta, sed ex Porphyrio, qui quae Aristoteles conciso, quem ex *προβλήμασιν* eius novimus, sermone dixerat copiosis suis ipsius involvit disputationibus: v. Rosium p. 153, 154.

Eiusdem adventitii generis sunt ampla quae inter codicis Veneti A aliorumque nonnullorum codicum scholia pariterque inter scholia Odysseae reperiuntur ex veteribus historicis fabularumque scriptoribus excerpta, quae ab uno omnia grammatico facta esse ipsa eorum similitudo docet prope constanter verbis '*ἡ ἱστορία παρὰ* —' (addito scriptoris nomine) finitorum (de quibus dixi in Praefatione scholiorum in Odysseam p. xvii) praescripto plerumque lemmate *ἱστορία*. Sic *ἡ ἱστορία παρὰ Ἀνδρωνι* ad Il. 1, 52. *παρὰ Ἀπολλοδώρῳ* ad 1, 126, 195. 21, 447. *παρὰ Ἀσκληπιάδῃ* ad 6, 155. *παρὰ Δημητρίῳ τῷ Σκηψίῳ* ad 18, 3. *παρὰ Θεοπόμπῳ* ad 1, 38. *παρὰ Ἑλλανίκῳ* ad 18, 486. *παρὰ Ἐρατοσθένει* ad 22, 29. *παρὰ Λυκόφρονι* ad 24, 251. *παρὰ Πινδάρῳ* ad 3, 243. *παρὰ Ῥιανῷ* ad 19, 119. *παρὰ Φερεκύδει* ad 6, 153. 11, 674, 709. 14, 265. *παρὰ Φιλοστεφάνῳ* ad 10, 14, vel cum verbo *ἱστορεῖ* et nominibus scriptorum, velut ad 1, 42, 399. 2, 105, 494. 3, 151. 4, 319. 12, 1. 20, 146. 21, 447. Didymo huiusmodi narratio adscribitur in scholio codicis

[h] Longum Porphyrii non nominati scholion ad 12, 10 (p. 413, 29—415, 8) non a prima, sed ab alia manu in margine exteriore scriptum est. Idem in Veneto B multa cum diversitate scripturae legi tacuerunt Villoisonus et Bekkerus. Eadem ratio scholii longi Porphyriani ad 1, 50, quod in exteriore margine scriptum est duabus columnis.

Veneti A aliorumque codicum ad 1, 399 iterumque 22, 126 ἡ ἱστορία παρὰ Διδύμῳ, quae ad Didymi ὑπομνήματα Ἰλιάδος καὶ Ὀδυσσείας rettulit M. Schmidtius in libro de Didymo p. 179, 182. Hae igitur narrationes uno omnes opere ἱστοριῶν nomine inscripto comprehensae fuisse videntur, quemadmodum in codicibus recentioribus (velut Parisino 2556 apud Cramerum Anecd. Paris. vol. 3 p. 146 et Ioannis Tzetzae Romano apud Matrangam vol. 2 p. 361) breviora huiusmodi excerpta historica ἱστορίαι καὶ ἀπορίαι inscripta sunt et Parthenii Nicaeni narrationum singulis fere capitibus praescriptum est "ἱστορεῖ" vel "ἡ ἱστορία παρά," additis scriptorum, ex quibus excerptae sunt, nominibus[i].

Talia igitur omnia ab scholiis antiquioribus segreganda esse patet, ut scholia genuina quattuor grammaticorum veterum, Aristonici, Didymi, Herodiani et Nicanoris, etsi locis non paucis defecta, emergant, quod laudabili diligentia effecerunt Aristonici et Nicanoris scholiis separatim editis L. Friedlaenderus, Didymi M. Schmidtius, Herodiani Ἰλιακῆς προσῳδίας excerptis[k] C. Lehrsius. Principem inter haec scholia locum tenent Aristonici et Didymi notationes, quibus prope solis debemus quae de Zenodoti, Aristophanis et Aristarchi recensionibus codicumque antiquorum scripturis comperta habemus, quae quantumvis copiosa, tamen nulla ex parte plena et perfecta sunt non solum epitomatoris, qui Aristonici et Didymi libros excerpsit, et librariorum, qui plurima omiserunt, sed etiam Aristonici ipsius et Didymi culpa, quos manifestum est quae de Zenodoto,

[i] Recentioris originis esse videntur quae ex Apollodori Bibliotheca (2, 5, 12) transcripta interpolator scholio ad 8, 368 de Cerbero adiunxit: qualia plura in codice Veneto B reperiuntur ex Pausania Palaephato, Diogene Laertio, Ioanne Philopono, Suida aliisque excerpta.

[k] Excerpta ex Ἰλιακῇ προσῳδίᾳ non ubique expeditum est ab excerptis ad alia Herodiani scripta referendis discernere: de quo videnda quae Lentzius dixit in Praefatione ad Herodianum vol. 1 p. lxxiv—lxxxii.

Aristophane et multo copiosius de Aristarcho tradiderunt ex ὑπομνήμασιν Aristarchi et grammaticorum Aristarcheorum libris excerpsisse, sed Zenodoti, Aristophanis et Aristarchi editionum exemplaria genuina nunquam usurpasse: quo factum est ut interdum coniectura assequi studerent quid grammatici illi legerint, qua non opus fuisset, si primitivis illarum recensionum exemplaribus uti licuisset[1]. De Aristarchi igitur in editione duplici (de qua v. Bernhardyus in Hist. Lit. Gr. vol. 1 p. 196, 197) scripturis quae Didymus et Aristonicus attulerunt satis certa haberi possunt, quum pleraque ipsius nitantur Aristarchi eiusque discipulorum testimoniis. Nec recensionis Aristophaneae[m] excerpta multam praebent dubitandi materiam: de Zenodoti vero scripturis quae in scholiis traduntur etsi multos monstrant errores ab Zenodoto commissos, de quibus disseruerunt Duentzerus in libro de Zenodoti studiis Homericis, Gottingae edito a. 1848, et Bernhardyus in Hist. Lit. Gr. vol. 1 p. 192 ed. tert. et nos in Annotationibus dicemus, tamen non raro tam absurda sunt et interdum metri adeo leges violant (velut 2, 520, 634, 658. 5, 638), ut non ab Zenodoto inventa, sed ex vitiosis bibliothecae Alexandrinae, cui praefectus erat, libris annotata ab eo, non probata esse videantur, de quo post alios dixit Cobetus in Mnemosyne nova vol. 2 p. 189 sqq. Apparet ex his recensionem carminum Homericorum Aristarcheam ex scholiastarum aliorumque grammaticorum quibus hodie utimur notationibus maiore quidem quam Zenodoteam et Aristophaneam, sed non omni ex parte restitui posse et locis non paucis incertum manere quas scripturas quibusque rationibus usus Aristarchus vel

[1] De hoc dixit Pluygersius in dissertatione de Zenodoti editione Leidae edita a. 1843 p. 6.

[m] De recensione Homeri Aristophanea eiusque ad Zenodoteam ratione optime dixit Nauckius in *Aristophanis Byzantii Fragmentis* quae Halis edidit a. 1848.

probaverit vel reiecerit. Ex iis autem quae de recensione eius comperta habemus etsi intelligitur Aristarchum ceteros grammaticos omnes ingenio, doctrina et diligenti ac subtili sermonis Homerici observatione superasse, de quo praeclare dixit Wolfius in Prolegomenis p. 245 sqq. tamen ab caeca cavendum est admiratione Aristarchi, qua eum iam veteres nonnulli grammatici sunt prosecuti, inter quos fuerunt qui cum Aristarcho errare quam verum ab aliis discere se malle profiterentur, ut schol. ad 4, 235 aliique, de quibus dixit Villoisonus in Proleg. p. xxix. Nam quum ars critica veterum grammaticorum temporibus nondum ad eam qua hodie gaudemus perfectionem adducta fuerit, fieri non poterat quin Aristarchus quoque saepe ab vero aberraret in scripturis codicum vel iudicandis vel explicandis et reconditiores propagatae per codices scripturae corruptelas ne animadverteret quidem, quod nostra aetate magis quam olim perspexerunt critici intelligentiores, velut Lehrsius in libro de Aristarcho p. 348, Bernhardyus in Hist. Lit. Gr. vol. 1 p. 194 ed. tert. et Cobetus, qui in duabus commentationibus Homericis Mnemosynes novae volumini secundo insertis errores Aristarchi non paucos monstravit, partim ex ignoratione litterae digamma ortos, cuius de usu in carminibus Homericis Aristarchus ceterique grammatici omnes nihil compertum habuerunt. Nec defuerunt inter veteres qui de Aristarcho sobrius iudicarent, inter quos clarissimum est Cratetis Mallotae nomen, qui etsi errorum ipse quoque non immunis, de quo dixit Bernhardyus in Hist. Lit. Gr. vol. 1 p. 197 ed. tert., tamen Aristarchi opiniones non raro recte impugnavit, ut alii grammatici testantur, quos dolendum est ex novem διορθώσεως Ἰλιάδος καὶ Ὀδυσσείας libris Cratetis pauca tantum attulisse, quae collegit C. Wachsmuthius in commentatione de Cratete Mallota Lipsiae edita a. 1861, quorum pleraque ad interpretationem verborum, pauca

ad scripturae diversitatem spectant, de quo dixit La Roche p. 67.

Signa critica, quae Aristarchus textui editionum suarum appinxerat, haud dubie in ὑπομνήμασιν repetivit, quum signa singulis versibus adscripta explicaret scholiis postea ab Didymo et Aristonico excerptis. In codice Veneto A signa haec textui adscripta, etsi interdum exciderunt vel inter se permutata sunt, cuiusmodi errores librarius ipse interdum radendo correxit, tamen in universum satis plene servata sunt, ut ex Villoisoni editione et accuratiore signorum indice videre licet, quem La Roche in commentatione a. 1862. edita p. 31–79. et C. Wachsmuthius in Museo Rhenano novo vol. 18 p. 178–188 et quod ad Zenodotea attinet Duentzerus p. 7. composuerunt. Nam Villoisonus falsa multa tradiderat nec diversarum manuum signa distinxerat, ut exemplis ostendit Pluygersius p. 7. quanquam cavendum est ne diversis manibus tribuantur quae ab eadem manu diverso atramento scripta sunt aliisve casibus colorem mutarunt: de quo dixit Wachsmuthius p. 179. Non inutilis autem est accurata signorum textui adscriptorum cognitio, quum ex iis saepe coniici possit quid in scholiis in codice omissis dictum fuerit, velut in ipso fere rhapsodiae primae initio v. 5, ubi in textu codicis διπλῆ περιεστιγμένη verbis οἰωνοῖσί τε πᾶσι est praescripta, de qua nihil dictum est in scholiis, ex Athenaeo vero 1 p. 12 f. novimus ἐν τῇ κατὰ Ζηνόδοτον ἐκδόσει δαῖτα pro πᾶσι scriptum fuisse, ex quo colligi potest scholion excidisse ὅτι Ζηνόδοτος δαῖτα γράφει, una cum Aristarchi de vocabuli δαίς apud Homerum observatione, quam apposuit Athenaeus et doctius tractavit Lehrsius in libro de Aristarcho p. 87. 161, et quae sunt alia huiusmodi exempla, quorum nonnulla memoravit La Roche p. 60. De usu autem et significatione horum signorum, quibus ante Aristarchum iam Zenodotus et Aristophanes partim usi erant, videnda

excerpta grammaticorum, quae huic Praefationi subieci, etsi multa in his sunt quae nihil ad Homerum pertinent. Nam Aristarchus his solum signis usus erat, obelo, asterisco vel puro vel cum obelo coniuncto, diple et pura et περιεστιγμένη, antisigma, quae praeeunte in ὑπομνήμασιν Aristarcho explicuit Aristonicus in libro περὶ σημείων τῶν ἐν Ἰλιάδι καὶ Ὀδυσσείᾳ, cui similem novimus Philoxeni librum περὶ σημείων τῶν ἐν Ἰλιάδι, ab Suida memoratum s. v. Φιλόξενος.

Signorum criticorum, quae lemmatis scholiorum olim praescripta fuerunt, partem longe maximam omiserunt posteriorum temporum librarii, ita ut in codice Veneto A signa scholiorum vix centum et quinquaginta supersint, quorum indicem infra posui, iactura non magnopere dolenda. Nam ubi scholia supersunt, signis criticis facile caremus, quum ex scholiastae annotatione ubique fere appareat quod signum olim praescriptum fuerit. Quamobrem ego satis habui signa in codice servata sub uno conspectu proposuisse nec supervacaneum suscepi laborem signorum quae centenis in locis omissa sunt supplendorum, quum praesertim interdum res sit incerta ut, in locis multis ubi dubitatur utrum diple pura an diple περιεστιγμένη sit praescribenda, de quo dixit H. Schraderus in dissertatione de notis criticis Bonnae edita a. 1863, p. 40. Sufficiet igitur lectores monuisse vocabula ὅτι, πρός et διά, a quibus scholia plurima incipiunt ad signa referri textui apposita, ita ut sententia plene enuntiata haec sit, ἡ διπλῆ (et quae sunt reliqua signa) παράκειται ὅτι vel παράκειται πρὸς, vel διά. Aliis locis multis librarius signis criticis nomina eorum substituit, velut ἡ διπλῆ ὅτι pro > ὅτι, vel ὁ ἀστερίσκος ὅτι pro ※ ὅτι, et quae sunt reliqua, etsi non sine erroribus : cuiusmodi est quod paragraphum, cuius idem quod obeli (—) signum est, et quae distinguendis narrationum partibus servit supra versus initium posita, ut in Villoisoni editione videre licet, pro obelo versibus

ἠθετημένοις praescripto habuit. Similes errores non paucos Villoisonus et Bekkerus commiserunt, de quo Pluygersius p. 7. 8 et La Roche in commentatione de codice Veneto p. 18 dixerunt.

Porro non exiguus est locorum numerus ubi signis criticis eorumve nominibus generale substitutum est vocabulum σημεῖον vel derivatum ab eo verbum σημειοῦσθαι in formulis τὸ σημεῖον ὅτι —, σημειοῦνταί τινες ὅτι —, quod frequentissimum, vel σημειωτέον ὅτι —, σημειώσαιτο ἄν τις ὅτι —, παρασημειώσαιτο ἄν τις ὅτι —, quorum omnium exempla collegit Lehrsius p. 9. et ratio manifesta fit comparatis inter se locis similibus, velut 11, 65, ubi annotatum est σημειοῦνταί τινες ὅτι τοῦτο (τὸ πᾶς) ἀντὶ τοῦ ὅλος, pro quo aliis locis multis diple praescripta reperitur cum Aristonici explicatione, ὅτι πᾶς ἀντὶ τοῦ ὅλος, aut 18, 512, ubi diple versui praescripta est cum annotatione Aristonici πρὸς τὸ ἀρχαῖον ἔθος ὅτι οἱ πολεμούμενοι cet., pro quo in alio quod praecedit scholio ad v. 510 legitur verbis leviter mutatis σημειοῦνταί τινες ὅτι οἱ ἐπιστρατεύσαντες cet. Non tamen ubique verbum σημειοῦσθαι signi critici significationem habet, sed ut apud alios omnes scholiastas non raro observandi vel attendendi ad aliquid sensu dicitur: de quo v. Lehrsius p. 14 et H. Schraderus in dissertatione de notis criticis p. 41, 42, 51.

Signa critica lemmatis scholiorum praescripta.

Fol. 15 b. — ἀπειλήσω δέ τοι ὧδε 1, 181.
·̣·̣· οὐρανόθεν 1, 195.
17 b. ·̣·̣· ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει 1, 287.
20 b. ·̣·̣· ὡς εἰπὼν ἐν χερσὶ τίθει 1, 446.
24 b. ·̣·̣· καρηκομόωντας 2, 11.
※— ὃς σεῦ ἄνευθεν ἐών 2, 27.
28 a. Ͻ οὐ γάρ πω σάφα οἶσθ' 2, 192.
28 b. — ἔχθιστος δ' Ἀχιλῆϊ 2, 220.
30 b. > ὡς ἡμεῖς τοσσαῦτ' 2, 328.
31 b. > ὥς κε πανημέριοι 2, 385.

33 a. ⁂ ἑκατόμβοιος 2, 449.
34 b. > Λοκρῶν δ' ἡγεμόνευεν 2, 527.
36 b. ⁂ πατρὶ χολωθείς 2, 629.
— οἵ τε Ζάκυνθον ἔχον 2, 634.
37 a. ⁜ αὐτὰρ ὅ γ' ἐς Ῥόδον 2, 667.
37 b. ⁂ ἄγε τρεῖς νῆας 2, 671.
⁂ Χαρόποιό τ' ἄνακτος 2, 672.
38 b. > οἵ τ' ἔχον Οἰχαλίην 2, 730.
⁜ υἱὸς Πειριθόοιο 2, 741.
39 a. ⁜ οὐκ οἷος ἅμα τῷγε 2, 745.
39 b. — εἵσατο δὲ φθογγήν 2, 791.
40 b. ⁜ Δαρδανίων αὖτ' ἦρχεν 2, 819.
41 b. >+ (novae paginae signum) Νάστης αὖ Καρῶν 2, 867.
42 a. ⁂ ποιμέσιν οὔτι φίλην 3, 11.
⁂ ἢ ἔλαφον κεραόν 3, 24.
42 b. > μιχθεὶς ἀλλοδαποῖσι 3, 48.
43 a. > Ἕκτορ 3, 59.
— μή μοι δῶρ' 3, 64.
> οὗτοι ἀπόβλητ' 3, 65.
43 b. ⁜ ἕνεκ' ἀρχῆς 3, 100.
43 a. ⁂ ναίοιτε 3, 74.
44 a. > οἴσετε ἄρν' 3, 103.
> γῇ τε καὶ ἠελίῳ 3, 104.
44 b. — Αἴθρη Πιτθῆος θυγάτηρ 3, 144.
46 a. > ἀλλ' ἀστεμφές 3, 219.
47 a. ⁜ ἀρνῶν ἐκ κεφαλέων 3, 273.
80 b. + ἴθυσε μάχη 6, 2.
83 b. > ἐννῆμαρ 6, 174.
88 a. + Ἠετίων ὃς ἔναιεν 6, 396.
94 a. > ὡς νείκεσσ' ὁ γέρων 7, 161.
101 a. ⁂ σειρὴν χρυσείην 8, 19.
123 a. ⁂ χερσὶν ἀλοία 9, 568.
133 b. — ἢ ἤδη χείρεσσιν 10, 397.
137 b. — ⁂ τοῖσι δ' ἄφαρ πόλεμος 11, 13.
151 a. > δώδεκα γὰρ Νηλῆος 11, 692.
152 a. > αὐτὰρ ἐγὼν ἐπόρουσα 11, 747.
153 a. — * ῥεῖα δέ κ' ἀκμῆτες: ὤσεσθαι προτὶ ἄστυ 11, 802, 803.
161 b. — καί οἱ Τεῦκρος 12, 363.
167 b. > Ἴμβριον αὖτ' Αἴαντε 13, 197.
173 b. > πιόμεν' ἐκ βοτάνης 13, 493.

177 b. > σπουδῇ ἐπαΐσσοντα 13, 687.
181 b. — νωλεμές 14, 58.
182 a. — ※ νῦν δὲ σεῦ ὠνοσάμην 14, 95.
183 a. > δεῦτ' ἴομεν πόλεμονδέ 14, 128.
184 b. > ἦ καὶ ἀπὸ στήθεσφιν 14, 214.
186 b. — κοινὸν κ.τ.λ. 14, 317.
190 a. — πέφραδέ τε Τρώεσσι 14, 500.
195 a. — ἄλλο δέ τοι ἐρέω 15, 212.
196 a. ※ — εἰωθὼς λούεσθαι 15, 265.
199 b. ※ — Ἕκτορι καὶ Τρώεσσι 15, 449
200 a. > ῥῆξ' ἐπὶ τῷ ἐρύοντι 15, 464.
203 b. — ἀγγελίης οἴχνεσκε 15, 640.
205 b. — ἔνθ' ἄρ ὅ γ' ἑστήκει 15, 730.
207 b. — αἰ γὰρ Ζεῦ τε πάτερ 16, 97.
210 b. — ※ τιμήσας μὲν ἐμέ 16, 237.
≻ εἴσεται ἦ ῥα καὶ οἷος 16, 243.
211 b. ※ ἔκ τ' ἔφανεν πᾶσαι σκοπιαί 16, 299.
215 b. > τεύχεα συλήσωσι νεῶν ἐν ἀγῶνι 16, 500.
216 b. ※ Τρῶας δὲ κατὰ κρῆθεν 16, 548.
226 b. ※ νῦν δὲ σεῦ ὠνοσάμην 17, 173.
227 a. > γηρὰς ἀλλ' οὐχ υἱός 17, 197.
242 b. ※ Ἶρι θεὰ τίς γάρ σε 18, 182.
246 a. > Ζεὺς δ' Ἥρην 18, 356.
246 b. — οἱ δ' ἤτοι 18, 378.
248 b. ※ ὅτι ἐθεῶντο 18, 496.
253 b. > Ἥρη δ' ἀΐξασα 19, 114.
> καρπαλίμως δ' ἵκετ' 19, 115.
259 b. — αὐδήεντα δ' ἔθηκε 19, 407.
263 b. ※ — ἀλλ' οὐ νῦν σ' ἐρύεσθαι 20, 195.
264 b. — κάλλεος εἵνεκα 20, 235.
※ κάλλεος εἵνεκα ibid.
— ἀλλὰ τίη 20, 251.
265 a. —+ πολλὰ τά τε καὶ οὐκί 20, 255.
265 b. > ταρβήσας ὅ οἱ ἄγχι πάγη βέλος 20, 283.
> μὰψ ἕνεκ' ἀλλοτρίων 20, 298.
> δῶρα θεοῖσι δίδωσι 20, 299.
271 b. ※ μή με κτεῖν' 21, 95.
279 a. — Ἄρτεμις ἀγροτέρη 21, 471.
279 b. — χηραμὸν οὐδ' ἄρα τῇ γε 21, 495.
281 a. — ἔμμεναι αὐτάρ οἱ 21, 570.
284 a. — τῶν μνῆσαι φίλε τέκνον 22, 84.

> ὡς δὲ δράκων ἐπὶ χειῇ 22, 93.
284 b. > παρθένος ἠΐθεός τ' ἀρίζετον 22, 128.
285 a. > ὡς ἄρ ὅ γ' ἐμμεμαώς 22, 143.
> δοιαὶ ἀναΐσσουσι 22, 148.
> ἡ δ' ἑτέρη θέρεϊ 22, 151.
286 a. — ὡς δ' ἐν ὀνείρῳ 22, 199.
— πῶς δέ κεν Ἕκτωρ 22, 202.
287 a. > μάρτυροι ἔσονται 22, 255.
288 a. > οἴμησεν δ' ἀλείς 22, 308.
289 a. > ἦ σ' εὖ γινώσκων 22, 356.
289 b. > ψυχὴ δ' ἐκ ῥεθέων πταμένη 22, 362.
290 a. — ᾐράμεθα μέγα κῦδος 22, 393.
291 a. > ἀλλ' ἤγ' ἵστὸν ὕφαινε 22, 440.
293 a. > μυρίοι αὐτὰρ ὁ τοῖσιν 23, 29.
293 b. > σπουδῇ παρπεπιθόντες 23, 37.
298 b. — Αἴθην τὴν Ἀγαμεμνονέην 23, 295.
300 b. — Τυδείδεω ἵπποισι 23, 405.
— καρπαλίμως 23, 408.
302 a. — λαβραγόρην ἔμεναι 23, 479.
— Εὐμήλου, ἐν δ' αὐτὸς ἔχων εὔληρα 23, 481.
306 b. > ὄρνυσθ' οἳ καὶ τούτου 23, 707.
308 a. ⁜ — γυῖα δ' ἔθηκεν ἐλαφρά 23, 772.
308 b. — ψαύσῃ δ' ἐνδίνων 23, 806.
309 a. — καί σφιν δαῖτ' ἀγαθήν 23, 810.
309 b. * — χειρὸς ἀπὸ στιβαρῆς 23, 843.
311 b. — γίνεται ἥ τ' ἄνδρας 24, 45.
> ἠὲ κασίγνητον 24, 47.
312 a. — ὡς ἔφατ', ὦρτο δὲ Ἶρις 24, 77.
312 b. > ἡ δ' ἄρα πὰρ Διί 24, 100.
314 a. ⁜ ὃς σεῦ ἄνευθεν ἐών 24, 174.
315 a. > ἦ καὶ φωριαμῶν 24, 228.
b. > ἦ οὔνεσθ' ὅτι μοι 24, 241.
316 b. > — χέρνιβον ἀμφίπολος 24, 304.
321 a. — ἀλλ' ἄγε δή 24, 522.

[In textu ante versum rasura est.]

— δοιοὶ γάρ τε πίθοι 24, 527.
321 b. > καὶ Φρυγίη καθύπερθε 24, 545.
322 b. — πατρὶ φίλῳ, ἐπεὶ οὔ μοι 24, 594.

Finis scholiorum usitato in codicibus quibusvis signo :— notatur, vel quod minus frequens est +, etiam primo multarum paginarum scholio praescriptum. Scholia ipsa ita sunt disposita ut pagina quaeque pleno terminetur scholio, secus atque in codice Veneto B (453), in quo scholia multa inter duas paginas sunt divisa.

Reliquum est ut de fatis codicis praestantissimi dicam, qui haud dubie non diversus est ab eo quem verbis "*Homeri Iliada cum Aristarcho super Iliade, opus quoddam spatiosum et pretiosissimum*" memorat Ioannes Aurispa Siculus in epistola exeunte seculo quinto decimo ad Ambrosium Camaldulensem scripta de plus quam ducentis codicibus ex Graecia Venetias ab se perlatis, de qua dixi in Praefatione ad Aeschyli tragoediarum editionem Lipsiensem quintam p. v. Primus vero qui codicem inspiceret et nonnulla ex eo excerperet vir doctus fuisse videtur qui marginibus editionis principis Florentinae (a. 1488), ab Demetrio Chalcondyla factae, in exemplari, quod nunc in Bibliotheca Veneta Marciana servatur, excerpta scholiorum non admodum copiosa adscripsit, quae vix aliunde quam ex ipso codice Veneto A sumta esse possunt, licet verba passim leviter sint mutata, paucis, quae non leguntur in Veneto, aliunde adscitis, quod operae pretium erit speciminibus nonnullis ostendisse a Cobeto descriptis, quae infra posui. Signa critica codicis Veneti per totam fere Iliadem sunt appicta, obeli, asterisci et reliqua, velut Il. 2, 203, 204. quibus appictum est antisigma,

> ⊖ *οὐ μέν πως πάντες βασιλεύσομεν ἐνθάδ' Ἀχαιοί·*
> ⊖ *οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω,*

ut in codice Veneto, sed adscripto quo codex caret scholio, quod ego non magis quam Cobetus intelligo

> Ñ *ὁ Φ ἔλεγεν ὅτι ταῦτα καλῶς εἰ καὶ ὡς ἀπὸ Πεισιστράτου* :—

In initio rhapsodiae T (19) legitur usitata codicis Veneti subscriptio *Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύ-*

μου περὶ τῆς Ἀρισταρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ ἐκ τῶν Νικάνορος περὶ στιγμῆς. post quam sequuntur rara scholiorum excerpta, velut ad v. 10 τὸ τύνη παρὰ Ὁμήρῳ ἀεὶ ἐπὶ ἀρσενικοῦ. Δώριον δέ ἐστι· quae ex duobus composita sunt codicis Veneti scholiis, altero marginali τύνη δ' Ἡφαίστοιο πάρα : ἀναστρεπτέον τὴν πρόθεσιν· ἔστι γὰρ παρ' Ἡφαίστου. τὸ δὲ τύνη ἀεὶ ἐπὶ ἀρσενικοῦ λαμβάνει ὁ ποιητής. altero intermarginali σημειοῦνταί τινες ὅτι Δωρικὸν τὸ τύνη.

Ad Υ (20) 84. βασιλεῖς ἁπλῶς λέγει τοὺς ἄρχοντας, ὡς τὸ, δώδεκα γὰρ βασιλῆες ἀριπρεπέες κατὰ δῆμον. ubi codex Venetus, βασιλεῖς δὲ καὶ τοὺς κατὰ μέρος ἄρχοντας λέγει· " δώδεκα γὰρ βασιλῆες ἀριπρεπέες κατὰ δῆμον " (Od. 8, 390).

114. Ex scholio longiore Veneto de Aristarchi scriptura haec tantum sunt excerpta γρ. ἡ δ' ἄμυδις στήσασα κατ' Ἀρίσταρχον.

135. Huic versui, qui legitur in Veneto, sed omissus est in aliis codicibus nonnullis, ἡμέας τοὺς ἄλλους, ἐπειὴ πολὺ φέρτεροί εἰμεν, adscriptum est ὁ στίχος οὗτος ἐν πολλοῖς οὐχ εὑρίσκεται. Nihil huiusmodi legitur in scholiis, sed Demetrius Chalcondylas in margine ed. Florentinae posuit νόθος.

138. Ἀρίσταρχος προκρίνει τὴν ἄρχωσι γραφὴν διὰ τοῦ ω̄, φησὶ δὲ καὶ διὰ τοῦ η̄ γράφεσθαι ἄρχῃσι. In Veneto est scholion intermarginale verbis paullo aliter collocatis Ἀρίσταρχος προκρίνει τὴν διὰ τοῦ ω̄ γραφήν· γράφεσθαι δέ φησι καὶ διὰ τοῦ η̄ ἄρχῃσι.

152. γρ. ἥιε κατὰ Ἀρίσταρχον. Non legitur in Veneto A. De duplici scriptura ἥιε vel ἴιε brevis annotatio est in Veneto B, sed nulla facta Aristarchi mentione.

188. ἐν τῇ Χίᾳ γρ. βοῶν ἔπι. οὕτως Ἡρωδιανὸς καὶ Ἀριστοφάνης. Ἀρίσταρχος δὲ βοῶν ἄπο. Male Herodiani nomen intulit pro Ῥιανός, quod recte scriptum in scholio Veneti A, ἐν τῇ Χίᾳ βοῶν ἔπι, et in annotatione intermarginali ἡ Ῥιανοῦ καὶ Ἀριστοφάνους βοῶν ἔπι, οὐκ ἀχαρίτως.

228. γρ. Ἀρίσταρχος Ἰακῶς ἀλλ' ὅδε δέ, perverse. Recte Ven. A in scholio intermarginali Ἀρίσταρχος ἀλλ' ὅτε δὲ, ἄλλοι δὲ ἀλλ' ὅτε δὴ διὰ τοῦ η̄.

229. ὅτι ῥηγμῖνα τὴν ἐπιφάνειαν τῆς θαλάσσης καλεῖ. In Ven. A, omisso ὅτι, est in scholio intermarginali, ῥηγμῖνος τῆς ἐπιφανείας τῆς θαλάσσης.

259. (Ad verba πόλλ' ἐτεά τε καὶ οὐκί) οὕτως Ἀρίσταρχος. ἄλλοι πολλά τ' ἐόντα καὶ οὐκί. Vide annot. ad Scholia vol. 2 p. 202, 25.

307. Annotata est scriptura diversa νῦν δὲ δὴ Αἰνείεω γενεὴ πάντεσσιν ἀνάξει, ubi Αἰνείεω rectius scriptum est quam Αἰνείω in codice Veneto A.

447. ἔν τισιν (in Ven. A est ἐν ἄλλοις) ὁ στίχος οὗτος οὐ κεῖται.

454. γρ. νῦν δ' αὖ τοὺς ἄλλους ἐπιείσομαι. Sic etiam Ven. A in scholio intermarginali.

Ad Φ (21) 87. ἐπὶ Σατνιόεντος] οὕτως Στράβων ἐν τῇ ις' λέγων οὐκ εἶναι ὄρος οὐδὲν ἐκεῖ, ἀλλὰ τὸν ποταμὸν μόνον. Non legitur hoc scholion in Ven. A, quod recentioris originis est. Strabo nusquam citatur in scholiis antiquioribus, bis vero in scholiis codicis Veneti B et Lipsiensis.

Eadem fere aetate nonnulla ex codice Veneto A excerpsit Petrus Victorius, qui in apographo codicis Townleiani Monacensi pagina prima scholii ad v. 1 partem alteram "μαντεύεο Μοῦσα—ἀλλ' ἑαυτοῖς," quae in Townleiano aegre legi potuerat, "*ex bibl. d. Marci Venetiis*," id est codice Veneto A, supplevit. Post Victorium codicem hunc "*una cum scholiis ab editis multum discrepantibus*" memoravit Kusterus in Historia critica Homeri p. 114 (apud Fabricium Bibl. Gr. vol. 1 p. 402), post Kusterum A. M. Zanetti in Catalogo codicum Marcianorum Venetiis a. 1740 edito p. 244, appositis speciminis causa duobus primis codicis scholiis. Primus vero qui codicis huius praestantiam penitus perspiceret I. C. Villoisonus fuit, qui textum codicis cum signis

criticis et scholiis quum huius codicis tum Veneti B (453) et Lipsiensis Venetiis edidit a. 1788, doctis praemissis Prolegomenis, sed scholiis, quae consilio perverso sine accentibus sunt impressa, tanta negligentia tractatis, ut non solum multa omitteret, sed etiam plurima non intellectis scripturae compendiis male legeret, quorum errorum exempla non pauca Bastius produxit in annotationibus ad Gregorium Corinthium et in Appendice ad Epistolam criticam. Horum errorum partem quidem magnam correxit Bekkerus, quum scholia codice denuo et accuratius collato Berolini ederet a. 1825, sed tamen partem non exiguam intactam reliquit et novos ipse errores non paucos commisit, quod exemplis multis ostendit G. Pluygers, qui Cobeti excerptis usus commentationem de his scholiis Lugduni Batavorum edidit a. 1847. Peccavit autem Bekkerus non solum omissis vel non recte lectis scholiis multis, sed etiam saepe confusis codicum siglis, ut multa in codice Veneto vel legi videantur quae non leguntur vel abesse quae leguntur, nec raro scholia codicis Veneti A ex aliis codicibus interpolavit, vel cum aliorum codicum scholiis, addita interdum δέ particula, ita conglutinavit ut ab uno scripta esse grammatico videantur quae a duobus scripta sunt. Hos igitur aliosque omnis generis errores plurimos in nova hac scholiorum editione correxi, eximie adiutus duorum doctissimorum amicorum diligentia et peritia, C. G. Cobeti et D. B. Monro Oxoniensis, qui codicem denuo ita cum editione Bekkeri compararunt ut nihil usquam dubitationis de scriptura mihi relinquerent. Vitia codicis, quorum certa emendatio ab aliis vel ab me ipso inventa esset, correxi, quorum vero incerta emendatio esset notavi in annotationibus. Aliquanto plura ex aliis emendata sunt codicibus[n], qui

[n] De aliis his codicibus quum in alia huius editionis parte plura dicenda sint, interim monuisse sufficiet emendationes plerasque omnes deberi Veneto B, Townleiano, Lipsiensi, Angelico Matrangae (Aned.

scholia cum Veneto A alii multa, alii pauciora communia habent: quibus tamen caute utendum fuit, quum inferiorum temporum grammatici scholia antiquiora, quae in suos reciperent commentarios, raro prorsus intacta reliquerint, sed plerumque vel leviter mutaverint vel prorsus aliter conformaverint suisque ipsorum additamentis amplificaverint, interdum etiam quae dicta in scholiis veteribus sunt perverterint, quod duorum insigniorum codicum, Veneti B (453) et Townleiani, qui vulgo Victorianus appellatur, exemplis nonnullis ostendit Lehrsius in libro de Aristarcho p. 31, 32. Alia scholia vetera multa et critica et exegetica ex aliis grammaticis emendari vel ubi exciderunt suppleri possunt, quanquam in his quoque eadem quam modo dicebam cautione opus est, ne grammaticorum interpolationes veteribus tribuantur scholiorum codicibus, in quibus nunquam lectae fuerunt: quod Etymologici Magni exemplo ostendit Otto Carnuthius in commentatione de fontibus Etymologici Berolini edita a. 1872, in quo Aristonici liber περὶ σημείων quinquies diserte memoratur, centum vero et quinquaginta tria excerpta ex Aristonici libro, omisso eius nomine, reperiuntur, multa cum scripturae diversitate, sed maximam partem inutili, ex qua perpauca tantum et levia codicis Veneti A vitia emendari potuerunt. Paullo utilior fuit Eustathii comparatio, qui codice usus qui similis fuit Veneto A magnam scholiorum veterum partem in commentarios Homericos transtulit, verbis vel servatis vel mutatis vel amplificatis: ut hic quoque cavendum sit ne codicibus Homericis tribuantur quae vel ex aliorum grammaticorum scriptis compilavit vel ex suae ipsius doctrinae copiis expromsit Eustathius. Omitto alios grammaticos non paucos qui idem secuti consilium scholia Homerica compilarunt: qualia plurima Cramerus in

vol. 2 p. 372—479) et scholiis, quae minora vocari solent, ab Iano Lascari primum editis Romae a. 1517.

Anecdotis aliique in lucem produxerunt. Nam de omni hac scripturae diversitate, quatenus operae pretium erit, et virorum doctorum observationibus in Annotationibus voluminis ultimi dicetur post impressa aliorum codicum scholia, quae inter se comparanda erunt. In iis enim quae nunc edo voluminibus duobus primis nihil amplius mihi propositum fuit quam ut scholia qualia in codice Veneto A leguntur, non cum aliorum codicum scholiis, ut adhuc factum erat, permixta, sed segregata ab illis exhiberem, quemadmodum scholiis vetustis Aeschyli et Sophoclis ad fidem codicis Medicei editis utimur, remotis quibus olim incrustari solebant Byzantinorum magistrorum commentariis.

Codices Veneto A omni ex parte similes, id est signis criticis Aristarchi et copiosis ex Aristonico, Didymo, Herodiano et Nicanore excerptis instructi, nulli usquam reperti sunt. Nam rumorem nuper per ephemerides Gallicas sparsum de codice vetusto Athoo, qui codicis Veneti archetypus haberi et undeviginti foliorum eius iacturam compensare possit, vanissimum fuisse ostendit E. Eggerus in iis quae scripsit in *Revue Archéologique, Février* 1875, p. 121, 122. cuius ex narratione discimus L. Duchesne, abbatem doctissimum, in monasterio montis Atho, quod Vatopedi nomen gerit, codicem Iliadis chartaceum seculi quinti decimi reperisse eiusque scholia ea quae ad partes ex codice Veneto ablatas pertinent sua ipsius manu ex viginti duobus codicis Athoi foliis descripsisse. Huius apographi usum Duchesnius, intercedente W. H. Waddingtono, Instituti Francogallici socio clarissimo, liberalissime nobis concessit: unde haec scholia in editionem meam recepi ad 5, 349—633. 17, 279—572. 751—761. 19, 149—320. 24, 418—482. ut lacunas codicis Veneti, etsi minima tantum ex parte, explerem. Nam scholia ipsa consideranti statim apparebit tantum abesse ut undeviginti foliorum codicis Veneti iacturam compensare

possint, ut nihil aliud sint quam ieiuna recentis grammatici Byzantini ex scholiis copiosioribus excerpta, in quibus tamen nonnulla reperiuntur quae vix dubitari potest quin in Veneto quoque libro, quum adhuc integer esset, lecta fuerint, velut lectiones Zenodoti, Aristarchi et Ptolemaei Ascalonitae, memoratae in scholiis ad 5, 444. 17, 279. 364. 368. 392. 551. 754. 24, 418. 473. ut dolendum sit Duchesnium intra folia codicis Athoi amissis codicis Veneti foliis respondentia substitisse, de reliquis autem codicis foliis omnibus ne verbum quidem prodidisse, licet instituta eorum cum Veneti codicis A scholiis comparatione fortasse nonnulla vel corrupta emendari vel omissa suppleri potuissent.

Scribebam Lipsiae.

I.

EXCERPTA EX PROCLI CHRESTOMATHIA.

Πρόκλου χρηστομαθείας γραμματικῆς τῶν εἰς δ' διηρημένων τὸ α'.

Ὁμήρου χρόνοι, βίος, χαρακτὴρ, ἀναγραφὴ ποιημάτων.

ἘΠΩΝ ποιηταὶ γεγόνασι πολλοί· τούτων δ' εἰσὶ κράτιστοι Ὅμηρος Ἡσίοδος Πείσανδρος Πανύασσις Ἀντίμαχος. Ὅμηρος μὲν οὖν τίνων γονέων ἢ ποίας ἐγένετο πατρίδος, οὐ ῥᾴδιον ἀποφήνασθαι· οὔτε γὰρ αὐτός τι λελάληκεν, ἀλλ' οὐδὲ οἱ περὶ αὐτοῦ εἰπόντες συμπε-

2. Excerpta haec ex Procli Chrestomathia leguntur in codicis Veneti 454 foliis primo, sexto et quarto. Ampliora ex hoc opere excerpta servata sunt a Photio in Bibliothecae codice 239 p. 318—322, quae cum suis aliorumque annotationibus Sylburgius in appendice ad Apollonii libros de syntaxi edidit Francofurti a. 1590, repetivit Gaisfordus in Appendice ad Hephaestionem vol. 1 p. 337 seqq. Aliud de Cypriis carminibus excerptum ex codice Homeri Scorialensi ab Tychseno descriptum edidit Heynius Gottingae in *Bibliotheca literaturae artisque veterum* fasc. primo. Accuratius vero et doctius haec omnia pertractarunt Welckerus in libro de Cyclo Epico Bonnae edito a. 1835 et Otto Iahnius in opere quod post mortem eius edidit Ad. Michaelis, *"Griechische Bilderchroniken"* Bonnae 1873 et R. Stiehle in Philologo vol. 8 p. 49—77. Proclus autem non est intelligendus Lycius, philosophus Platonicus, qui seculo quinto vixit, quod Suidas credidit, sed grammaticus multo antiquior, qui seculo secundo exeunte vixit, quod perspexit Valesius in libro *de critica* 1, 20 et demonstravit Welckerus p. 3 seqq.

3—5. Πρόκλου—ποιημάτων] Ab his verbis rubrica scriptis incipit codicis folium primum.

3. χρηστομαθείας] χρηστομαθίας A hic et infra. Correctum ex Photii codicibus optimis: de quo dixi in Thesauro vol. 8 p. 1675.

εἰς δ' διηρημένων] Horum quattuor librorum duobus tantum usum esse Photium excerpta eius docent. Tria Procli Lycii περὶ χρηστομαθείας βιβλία memorat Suidas s. v. Πρόκλος, et Πρόκλου τοῦ Πλατωνικοῦ μονόβιβλον περὶ κύκλου ἐπικοῦ ἐπιγεγραμμένην scholiasta Gregorii Nazianzeni in codice Paris. 573 fol. 18 ap. Gaisford. ad Heph. vol. 1 p. 344 et Monacensi 216 folio 72: de quo dixit Michaelis apud Iahnium p. 97.

7. Πανύασσις] Sic codex, quae frequens etiam apud alios scriptura est, non Πανύασις.

φωνήκασιν, ἀλλ' ἐκ τοῦ μηδὲν ῥητῶς ἐμφαίνειν περὶ τούτων τὴν ποίησιν αὐτοῦ μετὰ πολλῆς ἀδείας ἕκαστος οἷς ἠβούλετο ἐχαρίσατο. καὶ διὰ τοῦτο οἱ μὲν Κολοφώνιον αὐτὸν ἀνηγόρευσαν, οἱ δὲ Χῖον, οἱ δὲ Σμυρναῖον, οἱ δὲ Ἰήτην, ἄλλοι δὲ Κυμαῖον· καὶ καθόλου πᾶσα πόλις ἀντιποιεῖται τάνδρὸς, ὅθεν εἰκότως ἂν κοσμοπολίτης λέγοιτο. οἱ μὲν οὖν Σμυρναῖον αὐτὸν ἀποφαινόμενοι Μαίονος μὲν πατρὸς λέγουσιν εἶναι, γεννηθῆναι δὲ ἐπὶ Μέλητος τοῦ ποταμοῦ, ὅθεν καὶ Μελησιγενῆ ὀνομασθῆναι· δεθέντα δὲ Χίοις εἰς ὁμηρείαν Ὅμηρον κληθῆναι. οἱ δὲ ἀπὸ τῆς τῶν ὀμμάτων πηρώσεως τούτου τυχεῖν αὐτόν φασι τοῦ ὀνόματος· τοὺς γὰρ τυφλοὺς ὑπὸ Αἰολέων ὁμήρους καλεῖσθαι. Ἑλλάνικος δὲ καὶ Δαμάστης καὶ Φερεκύδης εἰς Ὀρφέα τὸ γένος ἀνάγουσιν αὐτοῦ· Μαίονα γάρ φασι τὸν Ὁμήρου πατέρα καὶ Δῖον τὸν Ἡσιόδου γενέσθαι Ἀπέλλιδος τοῦ Μελανώπου τοῦ Ἐπιφράδεος τοῦ Χαριφήμου τοῦ Φιλοτέρπεος τοῦ Ἰδμονίδα τοῦ Εὐκλέους τοῦ Δωρίωνος τοῦ Ὀρφέως. Γοργίας δὲ ὁ Λεοντῖνος εἰς Μουσαῖον αὐτὸν ἀνάγει. περὶ δὲ τῆς τελευτῆς αὐτοῦ λόγος τις φέρεται τοιοῦτος. ἀνελεῖν φασὶν αὐτῷ τὸν θεὸν χρωμένῳ περὶ ἀσφαλείας τάδε· "ἔστιν Ἴος νῆσος μητρὸς πατρὶς, ἥ σε θανόντα δέξεται· ἀλλὰ νέων ἀνδρῶν αἴνιγμα φύλαξαι." λέγουσιν οὖν αὐτὸν εἰς Ἴον πλεύσαντα διατρῖψαι μὲν παρὰ Κρεοφύλῳ, γράψαντα δὲ Οἰχαλίας ἅλωσιν τούτῳ χαρίσασθαι, ἥτις νῦν ὡς Κρεοφύλου περιφέρεται. καθεζόμενον δὲ ἐπί τινος ἀκτῆς, θεασάμενον ἁλιεῖς προσειπεῖν αὐτοὺς καὶ ἀνακρῖναι τοῖσδε τοῖς ἔπεσιν. "ἄνδρες ἀπ' Ἀρκαδίης θηρήτορες, ἦρ' ἔχομέν τι;" ὑποτυχόντα δὲ αὐτῶν ἕνα εἰπεῖν "οὓς ἕλομεν λιπόμεσθ', οὓς δ' οὐχ ἕλομεν φερόμεσθα." οὐκ ἐπιβάλλοντος δ' αὐτοῦ διελέσθαι τὸ αἴνιγμα, ὅτι ἐπὶ ἰχθυΐαν καταβάντες ἀφήμαρτον, φθειρισάμενοι δὲ ὅσους μὲν ἔλαβον τῶν φθειρῶν ἀποκτείναντες ἀπολείπουσιν, ὅσοι δὲ αὐτοὺς διέφυγον, τούτους ἀποκομίζουσιν, οὕτω δ' ἐκεῖνον ἀθυμήσαντα σύννουν ἀπιέναι τοῦ χρησμοῦ ἔννοιαν λαμβάνοντα, καὶ οὕτως ὀλισθέντα περιπταῖσαι λίθῳ καὶ τριταῖον τελευτῆσαι. ἀλλὰ δὴ ταῦτα μὲν πολλῆς ἔχεται ζητήσεως·

11. Ἑλλάνικος] ελλανικὸς A. Sic et infra. Hellanicum dicit non historicum, sed grammaticum: v. Clinton. Fast. Hell. vol. 1 p. 381.

13. Ἀπελλιδος] Ἀπελλῆς ap. Suidam s. v. Ὅμηρος.

14. Χαριφήμου] Εὔφημος ap. Suidam.

20, 21. Κρεοφ-] Sic A, non Κρεωφ-

23. τοῖσδε] Lineis quattuor ab τοῖσδε | ὑποτυχόντα | χ' ἕλομεν | γμα ὅτι incipientibus quattuor in A praescriptae sunt διπλαῖ >.

ἵνα δὲ μηδὲ τούτων ἄπειρος ὑπάρχῃς, διὰ τοῦτο εἰς ταῦτα κατεχώρισα. τυφλὸν δὲ ὅσοι τοῦτον ἀπεφήναντο, αὐτοί μοι δοκοῦσι τὴν διάνοιαν πεπηρῶσθαι· τοσαῦτα γὰρ κατεῖδεν ὅσα οὐδεὶς πώποτε ἄνθρωπος. εἰσὶ δὲ οἵτινες ἀνεψιὸν αὐτὸν Ἡσιόδου παρέδοσαν ἀτριβεῖς ὄντες ποιήσεως· τοσοῦτον γὰρ ἀπέχουσι τοῦ γένει προσήκειν ὅσον ἡ ποίησις διέστηκεν αὐτῶν. ἄλλως δὲ οὐδὲ τοῖς χρόνοις συνεπέβαλον ἀλλήλοις. ἄθλιοι δὲ οἱ τὸ αἴνιγμα πλάσαντες τοῦτο "Ἡσίοδος Μούσαις Ἑλικωνίσι τόνδ' ἀνέθηκεν, ὕμνῳ νικήσας ἐν Χαλκίδι δῖον Ὅμηρον." ἀλλὰ γὰρ ἐπλανήθησαν ἐκ τῶν Ἡσιοδείων ἡμερῶν· ἕτερον γάρ τι σημαίνει. τοῖς δὲ χρόνοις αὐτὸν οἱ μὲν περὶ τὸν Ἀρίσταρχόν φασι γενέσθαι κατὰ τὴν τῆς Ἰωνίας ἀποικίαν, ἥτις ὑστερεῖ τῆς Ἡρακλειδῶν καθόδου ἔτεσιν ἑξήκοντα, τὸ δὲ περὶ τοὺς Ἡρακλείδας λείπεται τῶν Τρωϊκῶν ἔτεσιν ὀγδοήκοντα· οἱ δὲ περὶ Κράτητα ἀνάγουσιν αὐτὸν εἰς τοὺς Τρωϊκοὺς χρόνους. φαίνεται δὲ γηραιὸς ἐκλελοιπὼς τὸν βίον· ἡ γὰρ ἀνυπέρβλητος ἀκρίβεια τῶν πραγμάτων προβεβηκυῖαν ἡλικίαν παρίστησιν. πολλὰ δὲ ἐπεληλυθὼς μέρη τῆς οἰκουμένης ἐκ τῆς πολυπειρίας τῶν τόπων εὑρίσκεται. τούτῳ δὲ προσυπονοητέον καὶ πλούτου πολλὴν περιουσίαν γενέσθαι· αἱ γὰρ μακραὶ ἀποδημίαι πολλῶν ἀναλωμάτων δέονται, καὶ ταῦτα κατ' ἐκείνους τοὺς χρόνους οὔτε πάντων πλεομένων ἀκινδύνως οὔτε ἐπιμισγομένων ἀλλήλοις πω τῶν ἀνθρώπων ῥᾳδίως. γέγραφε δὲ ποιήσεις δύο, Ἰλιάδα καὶ Ὀδύσσειαν, ἣν Ξένων καὶ Ἑλλάνικος ἀφαιροῦνται αὐτοῦ. οἱ μέντοι γε ἀρχαῖοι καὶ τὸν κύκλον ἀναφέρουσιν εἰς αὐτόν. προστιθέασι δὲ αὐτῷ καὶ παίγνιά τινα, Μαργίτην, βατραχομυομαχίαν ἢ μυοβατραχομαχίαν, ἑπτάπεκτον αἶγα, Κέρκωπας καινούς.

1. *κατεχώρισα* scripsi pro *κατεχώρησα*, a quo incipit folium 1 b.

4. *ἄνθρωπος* post *κατεῖδεν* A. Transposuit Welckerus 2 p. 503.

24. *Μαργίτην*] In margine A rubrica additum *οἱ δὲ λέγουσι τήγρητος* (i. e. *Πίγρητος*) *τοῦ Καρός*.

βατραχομυομαχίαν pro *βατραχομαχίαν* scripsi cum Allatio, qui Vitam hanc ex codice simili edidit in libro de patria Homeri Lugd. a. 1640 p. 30.

25. *μυοβατραχομαχίαν* (cuius exempla v. in Thes. vol. 2 p. 193) ex Suida] *μυομαχίαν* A.

ἑπτάπεκτον] *ἐντεπάκτιον* A. Correxit Allatius, nisi quod Hesychii glossa deceptus *ἑπταπέκτιον* scripsit. De aliis apud alios corruptelis v. Welcker. p. 413. Thes. vol. 3 p. 1941 et Gaisford. ad Etym. M. p. 368, 10.

καινούς scripsi pro *κενούς*, quod frustra defendit Welck. p. 402.

Post primum hoc folium exciderunt excerpta de Titanomachia, breviter significata a Photio, et carminum Cypriorum epitome quae servata est in codice Scorialensi et aliis codicibus quattuor,

[* * * * * * * * * * * *

Περὶ τῶν Κυπρίων λεγομένων ποιημάτων.

Ἐπιβάλλει τούτοις τὰ λεγόμενα Κύπρια ἐν βιβλίοις φερόμενα ἕνδεκα, ὧν περὶ τῆς γραφῆς ὕστερον ἐροῦμεν, ἵνα μὴ τὸν ἑξῆς λόγον νῦν ἐμποδίζωμεν. τὰ δὲ περιέχοντά ἐστι ταῦτα.

Ζεὺς βουλεύεται μετὰ τῆς Θέμιδος περὶ τοῦ Τρωϊκοῦ πολέμου· παραγενομένη δὲ Ἔρις εὐωχουμένων τῶν θεῶν ἐν τοῖς Πηλέως γάμοις νεῖκος περὶ κάλλους ἐνίστησιν Ἀθηνᾷ, Ἥρᾳ καὶ Ἀφροδίτῃ, αἳ πρὸς Ἀλέξανδρον ἐν Ἴδῃ κατὰ Διὸς προσταγὴν ὑφ' Ἑρμοῦ πρὸς τὴν κρίσιν ἄγονται· καὶ προκρίνει τὴν Ἀφροδίτην ἐπαρθεὶς τοῖς Ἑλένης γάμοις Ἀλέξανδρος. ἔπειτα δὲ Ἀφροδίτης ὑποθεμένης ναυπηγεῖται, καὶ Ἕλενος περὶ τῶν μελλόντων αὐτῷ προθεσπίζει. καὶ ἡ Ἀφροδίτη Αἰνείαν συμπλεῖν αὐτῷ κελεύει. καὶ Κασσάνδρα περὶ τῶν μελλόντων προδηλοῖ. ἐπιβὰς δὲ τῇ Λακεδαιμονίᾳ Ἀλέξανδρος ξενίζεται παρὰ τοῖς Τυνδαρίδαις, καὶ μετὰ ταῦτα ἐν τῇ Σπάρτῃ παρὰ Μενελάῳ· καὶ Ἑλένῃ παρὰ τὴν εὐωχίαν δίδωσι δῶρα ὁ Ἀλέξανδρος. καὶ μετὰ ταῦτα Μενέλαος εἰς Κρήτην ἐκπλεῖ, κελεύσας τὴν Ἑλένην τοῖς ξένοις τὰ ἐπιτήδεια παρέχειν, ἕως ἂν ἀπαλλαγῶσιν. ἐν τούτῳ δὲ Ἀφροδίτη συνάγει τὴν Ἑλένην τῷ Ἀλεξάνδρῳ. καὶ μετὰ τὴν μίξιν τὰ πλεῖστα κτήματα ἐνθέμενοι νυκτὸς ἀποπλέουσι. χειμῶνα δὲ αὐτοῖς ἐφίστησιν Ἥρα. καὶ προσενεχθεὶς Σιδῶνι ὁ Ἀλέξανδρος

quos ex codice Veneto A, quum adhuc integer esset, derivatos esse probabilis Studemundi coniectura est apud Iahnium p. 93, 94.

2. Περὶ—ποιημάτων] Excerpta haec primum edidit Heynius, ut supra diximus, et cum Heynii suisque annotationibus repetivit Gaisfordius in Appendice ad Hephaestionem vol. 1 p. 452—456.

3. Ἐπιβάλλει] Neutraliter dictum, ut infra p. xxxvi, 22 et *συνάπτει* p. xxxix, 11.

τούτοις] Id est Titanomachiae, quod primum Cycli Epici carmen fuisse testatur Photius, etsi non ipso Τιτανομαχίας nomine usus.

4. ὕστερον ἐροῦμεν] Quae Proclus de auctore post haec adiecerat suppleri ex parte possunt ex Photio (cod. 239): *λέγει δὲ καὶ περί τινων Κυπρίων ποιημάτων, καὶ ὡς οἱ μὲν ταῦτα εἰς Στασῖνον ἀναφέρουσι Κύπριον, οἱ δὲ Ἡγησίαν τὸν Σαλαμίνιον αὐτοῖς ἐπιγράφουσιν, οἱ δὲ Ὅμηρον· δοῦναι δὲ ὑπὲρ τῆς θυγατρὸς Στασίνῳ, καὶ διὰ τὴν αὐτοῦ πατρίδα Κύπρια τὸν πόνον ἐπικληθῆναι, ἀλλ' οὐ τίθεται ὁ συγγραφεὺς τῇ αἰτίᾳ ταύτῃ. μηδὲ γὰρ Κύπρια προπαροξυτόνως ἀναγράφεσθαι τὰ ποιήματα.*

5. περιέχοντα] περιεχόμενα Bekkerus, ignarus usus verbi περιέχω de quo dixi in Thes. vol. 6 p. 823.

6. Θέμιδος Heynius pro Θέτιδος.

12. αὐτῷ Heynius pro αὐτοῖς.

αἱρεῖ τὴν πόλιν. καὶ ἀποπλεύσας εἰς Ἴλιον γάμους τῆς Ἑλένης ἐπετέλεσεν.

Ἐν τούτῳ δὲ Κάστωρ μετὰ Πολυδεύκους τὰς Ἴδα καὶ Λυγκέως βοῦς ὑφαιρούμενοι ἐφωράθησαν. καὶ Κάστωρ μὲν ὑπὸ τοῦ Ἴδα ἀναιρεῖται, Λυγκεὺς δὲ καὶ Ἴδας ὑπὸ Πολυδεύκους· καὶ Ζεὺς αὐτοῖς ἑτερήμερον νέμει τὴν ἀθανασίαν. καὶ μετὰ ταῦτα Ἶρις ἀναγγέλλει τῷ Μενελάῳ τὰ γεγονότα κατὰ τὸν οἶκον. ὁ δὲ παραγενόμενος περὶ τῆς ἐπ' Ἴλιον στρατείας βουλεύεται μετὰ τοῦ ἀδελφοῦ. καὶ πρὸς Νέστορα παραγίνεται Μενέλαος. Νέστωρ δὲ ἐν παρεκβάσει διηγεῖται αὐτῷ, ὡς Ἐπωπεὺς φθείρας τὴν Λύκου θυγατέρα ἐξεπορθήθη, καὶ τὰ περὶ Οἰδίπουν καὶ τὴν Ἡρακλέους μανίαν καὶ τὰ περὶ Θησέα καὶ Ἀριάδνην. ἔπειτα τοὺς ἡγεμόνας ἀθροίζουσιν ἐπελθόντες τὴν Ἑλλάδα. καὶ μαίνεσθαι προσποιησάμενον τὸν Ὀδυσσέα ἐπὶ τῷ μὴ θέλειν συστρατεύεσθαι ἐφώρασαν, Παλαμήδους ὑποθεμένου τὸν υἱὸν Τηλέμαχον ἐπὶ κόλασιν ἐξαρπάσαντες.

Καὶ μετὰ ταῦτα συνελθόντες εἰς Αὐλίδα θύουσι· καὶ τὰ περὶ τὸν δράκοντα καὶ τοὺς στρουθοὺς γενόμενα δείκνυται, καὶ Κάλχας περὶ τῶν ἀποβησομένων προλέγει αὐτοῖς. ἔπειτα ἀναχθέντες Τευθρανίᾳ προσίσχουσι, καὶ ταύτην ὡς Ἴλιον ἐπόρθουν. Τήλεφος δὲ ἐκβοηθήσας Θέρσανδρόν τε τὸν Πολυνείκους κτείνει καὶ αὐτὸς ὑπὸ Ἀχιλλέως τιτρώσκεται. ἀποπλέουσι δὲ αὐτοῖς ἐκ τῆς Μυσίας χειμὼν ἐπιπίπτει καὶ διασκεδάννυνται. Ἀχιλλεὺς δὲ Σκύρῳ προσσχὼν γαμεῖ τὴν Λυκομήδους θυγατέρα Δηϊδάμειαν. ἔπειτα Τήλεφον κατὰ μαντείαν παραγενόμενον εἰς Ἄργος ἰᾶται Ἀχιλλεὺς ὡς ἡγεμόνα γενησόμενον τοῦ ἐπ' Ἴλιον πλοῦ.

Καὶ τὸ δεύτερον ἠθροισμένου τοῦ στόλου ἐν Αὐλίδι Ἀγαμέμνων ἐπὶ θήρας βαλὼν ἔλαφον ὑπερβάλλειν ἔφησε καὶ τὴν Ἄρτεμιν. μηνίσασα δὲ ἡ θεὸς ἐπέσχεν αὐτοὺς τοῦ πλοῦ χειμῶνας ἐπιπέμπουσα. Κάλχαντος δὲ εἰπόντος τὴν τῆς θεοῦ μῆνιν καὶ Ἰφιγένειαν κελεύσαντος θύειν τῇ Ἀρτεμιδι, ὡς ἐπὶ γάμον αὐτὴν Ἀχιλλεῖ μεταπεμψάμενοι θύειν ἐπιχειροῦσιν. Ἄρτεμις δὲ αὐτὴν ἐξαρπάσασα εἰς Ταύρους μετακομίζει καὶ ἀθάνατον ποιεῖ, ἔλαφον δὲ ἀντὶ τῆς κόρης παρίστησι τῷ βωμῷ.

10. Λύκου pro Λυκούργου Heynius comparato Apollodoro 3, 5, 5.
19. ἐκβοηθήσας (ut p. xl, 20) Heynius pro ἐκ βοηθείας.
27. θήρας pro θήραν Bekkerus.

Ἔπειτα καταπλέουσιν εἰς Τένεδον. καὶ εὐωχουμένων αὐτῶν Φιλοκτήτης ὑφ' ὕδρου πληγεὶς διὰ τὴν δυσοσμίαν ἐν Λήμνῳ κατελείφθη καὶ Ἀχιλλεὺς ὕστερον κληθεὶς διαφέρεται πρὸς Ἀγαμέμνονα. ἔπειτα ἀποβαίνοντας αὐτοὺς εἰς Ἴλιον εἴργουσιν οἱ Τρῶες, καὶ θνήσκει Πρωτεσίλαος ὑφ' Ἕκτορος. ἔπειτα Ἀχιλλεὺς αὐτοὺς τρέκεται ἀνελὼν Κύκνον τὸν Ποσειδῶνος. καὶ τοὺς νεκροὺς ἀναιροῦνται, καὶ διαπρεσβεύονται πρὸς τοὺς Τρῶας, τὴν Ἑλένην καὶ τὰ κτήματα ἀπαιτοῦντες. ὡς δὲ οὐχ ὑπήκουσαν ἐκεῖνοι, ἐνταῦθα δὴ τειχομαχοῦσιν. ἔπειτα τὴν χώραν ἐπεξελθόντες πορθοῦσι καὶ τὰς περιοίκους πόλεις. καὶ μετὰ ταῦτα Ἀχιλλεὺς Ἑλένην ἐπιθυμεῖ θεάσασθαι, καὶ συνήγαγεν αὐτοὺς εἰς τὸ αὐτὸ Ἀφροδίτη καὶ Θέτις. εἶτα ἀπονοστεῖν ὡρμημένους τοὺς Ἀχαιοὺς Ἀχιλλεὺς κατέχει. κἄπειτα ἀπελαύνει τὰς Αἰνείου βόας, καὶ Λυρνησὸν καὶ Πήδασον πορθεῖ καὶ συχνὰς τῶν περιοικίδων πόλεων, καὶ Τρωΐλον φονεύει. Λυκάονά τε Πάτροκλος εἰς Λῆμνον ἀγαγὼν ἀπεμπολᾷ καὶ ἐκ τῶν λαφύρων Ἀχιλλεὺς μὲν Βρισηΐδα γέρας λαμβάνει, Χρυσηΐδα δὲ Ἀγαμέμνων. ἔπειτά ἐστι Παλαμήδους θάνατος, καὶ Διὸς βουλὴ ὅπως ἐπικουφίσῃ τοὺς Τρῶας Ἀχιλλέα τῆς συμμαχίας τῆς Ἑλληνικῆς ἀποστήσας, καὶ κατάλογος τῶν τοῖς Τρωσὶ συμμαχησάντων.]

Πρόκλου χρηστομαθείας γραμματικῆς τὸ β'.

Αἰθιοπίδος ε' Ἀρκτίνου.

Ἐπιβάλλει δὲ τοῖς προειρημένοις ἐν τῇ πρὸ ταύτης βίβλῳ Ἰλιὰς Ὁμήρου, μεθ' ἣν ἐστιν Αἰθιοπίδος βιβλία ε' Ἀρκτίνου Μιλησίου, περιέχοντα τάδε. Ἀμαζὼν Πενθεσίλεια παραγίνεται Τρωσὶ συμμαχήσουσα, Ἄρεως μὲν θυγάτηρ, Θρᾳσσα δὲ τὸ γένος. καὶ κτείνει αὐτὴν ἀριστεύουσαν Ἀχιλλεύς, οἱ δὲ Τρῶες αὐτὴν θάπτουσι. καὶ Ἀχιλλεὺς Θερσίτην ἀναιρεῖ, λοιδορηθεὶς πρὸς αὐτοῦ καὶ ὀνειδισθεὶς τὸν ἐπὶ τῇ Πενθεσιλείᾳ λεγόμενον ἔρωτα· καὶ ἐκ τούτου στάσις γίνεται

2. κατελείφθη cod. Neap. pro κατελήφθη.

17. ἐπικουφίσῃ] ἐπικουφίσει Bekkerus.

20. Πρόκλου —] Incipit folium 6 a. Folium sextum ante quartum recte collocavit Thierschius in Actis Monac. vol. 2 p. 587.

21. Αἰθιοπίδος ε' Ἀρκτίνου] Rubrica scriptum.

22. ἐν τῇ πρὸ ταύτης βίβλῳ delent Dunnius in *Zeitschrift f. d. Alterthumswissenschaft* a. 1844 p. 781 et Welckerus in libro de Cyclo Epico 2 p. 523. Bekkerus servatis verbis illis προειρημένοις in εἰρημένοις mutavit.

24. Ἀμαζὼν] ἁμαζὼν A.

25. Θρᾳσσα Heynius] θράσα A.

τοῖς Ἀχαιοῖς περὶ τοῦ Θερσίτου φόνου. μετὰ δὲ ταῦτα Ἀχιλλεὺς εἰς Λέσβον πλεῖ, καὶ θύσας Ἀπόλλωνι καὶ Ἀρτέμιδι καὶ Λητοῖ καθαίρεται τοῦ φόνου ὑπ' Ὀδυσσέως. Μέμνων δὲ ὁ Ἠοῦς υἱός, ἔχων ἡφαιστότευκτον πανοπλίαν, παραγίνεται τοῖς Τρωσὶ βοηθήσων· καὶ Θέτις τῷ παιδὶ τὰ κατὰ τὸν Μέμνονα προλέγει. καὶ συμβολῆς γενομένης Ἀντίλοχος ὑπὸ Μέμνονος ἀναιρεῖται, ἔπειτα Ἀχιλλεὺς Μέμνονα κτείνει. καὶ τούτῳ μὲν Ἠὼς παρὰ Διὸς αἰτησαμένη ἀθανασίαν δίδωσι· τρεψάμενος δ' Ἀχιλλεὺς τοὺς Τρῶας καὶ εἰς τὴν πόλιν συνεισπεσὼν ὑπὸ Πάριδος ἀναιρεῖται καὶ Ἀπόλλωνος. καὶ περὶ τοῦ πτώματος γενομένης ἰσχυρᾶς μάχης Αἴας ἀνελόμενος ἐπὶ τὰς ναῦς κομίζει, Ὀδυσσέως ἀπομαχομένου τοῖς Τρωσίν. ἔπειτα Ἀντίλοχόν τε θάπτουσι καὶ τὸν νεκρὸν τοῦ Ἀχιλλέως προτίθενται· καὶ Θέτις ἀφικομένη σὺν Μούσαις καὶ ταῖς ἀδελφαῖς θρηνεῖ τὸν παῖδα. καὶ μετὰ ταῦτα ἐκ τῆς πυρᾶς ἡ Θέτις ἀναρπάσασα τὸν παῖδα εἰς τὴν Λευκὴν νῆσον διακομίζει· οἱ δὲ Ἀχαιοὶ τὸν τάφον χώσαντες ἀγῶνα τιθέασι, καὶ περὶ τῶν Ἀχιλλέως ὅπλων Ὀδυσσεῖ καὶ Αἴαντι στάσις ἐμπίπτει.

Ἰλιάδος μικρᾶς δ' Λέσχεω.

Ἑξῆς δ' ἐστὶν Ἰλιάδος μικρᾶς βιβλία τέσσαρα Λέσχεω Μυτιληναίου, περιέχοντα τάδε. ἡ τῶν ὅπλων κρίσις γίνεται. καὶ Ὀδυσσεὺς κατὰ βούλησιν Ἀθηνᾶς λαμβάνει, Αἴας δ' ἐμμανὴς γενόμενος τήν τε λείαν τῶν Ἀχαιῶν λυμαίνεται καὶ ἑαυτὸν ἀναιρεῖ. μετὰ ταῦτα Ὀδυσσεὺς λοχήσας Ἕλενον λαμβάνει, καὶ χρήσαντος περὶ τῆς ἁλώσεως τούτου Διομήδης ἐκ Λήμνου Φιλοκτήτην ἀνάγει. ἰαθεὶς δὲ οὗτος ὑπὸ Μαχάονος καὶ μονομαχήσας Ἀλεξάνδρῳ κτείνει· καὶ τὸν νεκρὸν ὑπὸ Μενελάου καταικισθέντα ἀνελόμενοι θάπτουσιν οἱ Τρῶες. μετὰ δὲ ταῦτα Δηΐφοβος Ἑλένην γαμεῖ. καὶ Νεοπτόλεμον Ὀδυσσεὺς ἐκ Σκύρου ἀγαγὼν τὰ ὅπλα δίδωσι τὰ τοῦ πατρός· καὶ

3. Ante Μέμνων quattuor litterarum spatium relictum in A.
Ἠοῦς] ἠοῦς A et infra ἠώς.
10. πτώματος] σώματος Schubartus.
18. Ἰλιάδος—Λέσχεω] Rubrica scriptum.
19. Μυτιληναίου Heynius] μιτυληναίου A.
20. περιέχοντα Siebenkeesius] περιέχον A.
24. Διομήδης] σὺν Ὀδυσσεῖ addit Welckerus l. c. p. 238.
Φιλοκτήτην] φιλόκτητον A.
27. Δηΐφοβος] διήφοβος A.

Ἀχιλλεὺς αὐτῷ φαντάζεται. Εὐρύπυλος δὲ ὁ Τηλέφου ἐπίκουρος τοῖς Τρωσὶ παραγίνεται, καὶ ἀριστεύοντα αὐτὸν ἀποκτείνει Νεοπτόλεμος. καὶ οἱ Τρῶες πολιορκοῦνται. καὶ Ἐπειὸς κατ' Ἀθηνᾶς προαίρεσιν τὸν δούρειον ἵππον κατασκευάζει. Ὀδυσσεύς τε αἰκισάμενος ἑαυτὸν κατάσκοπος εἰς Ἴλιον παραγίνεται, καὶ ἀναγνωρισθεὶς ὑφ' Ἑλένης περὶ τῆς ἁλώσεως τῆς πόλεως συντίθεται. κτείνας τέ τινας τῶν Τρώων ἐπὶ τὰς ναῦς ἀφικνεῖται. καὶ μετὰ ταῦτα σὺν Διομήδει τὸ Παλλάδιον ἐκκομίζει ἐκ τῆς Ἰλίου. ἔπειτα εἰς τὸν δούρειον ἵππον τοὺς ἀρίστους ἐμβιβάσαντες τάς τε σκηνὰς καταφλέξαντες οἱ λοιποὶ τῶν Ἑλλήνων εἰς Τένεδον ἀνάγονται. οἱ δὲ Τρῶες τῶν κακῶν ὑπολαβόντες ἀπηλλάχθαι τόν τε δούρειον ἵππον εἰς τὴν πόλιν εἰσδέχονται, διελόντες μέρος τι τοῦ τείχους, καὶ εὐωχοῦνται ὡς νενικηκότες τοὺς Ἕλληνας.

Ἰλίου πέρσιδος β' Ἀρκτίνου.

Ἕπεται δὲ τούτοις Ἰλίου πέρσιδος βιβλία β' Ἀρκτίνου Μιλησίου, περιέχοντα τάδε, ὡς τὰ περὶ τὸν ἵππον οἱ Τρῶες ὑπόπτως ἔχοντες περιστάντες βουλεύονται ὅ τι χρὴ ποιεῖν, καὶ τοῖς μὲν δοκεῖ κατακρημνίσαι αὐτὸν, τοῖς δὲ καταφλέγειν, οἱ δὲ ἱερὸν αὐτὸν ἔφασαν δεῖν τῇ Ἀθηνᾷ ἀνατεθῆναι· καὶ τέλος νικᾷ ἡ τούτων γνώμη. τραπέντες δὲ εἰς εὐφροσύνην εὐωχοῦνται ὡς ἀπηλλαγμένοι τοῦ πολέμου. ἐν αὐτῷ δὲ τούτῳ δύο δράκοντες ἐπιφανέντες τόν τε Λαοκώοντα καὶ τὸν ἕτερον τῶν παίδων διαφθείρουσιν. ἐπὶ δὲ τῷ τέρατι δυσφορήσαντες οἱ περὶ τὸν Αἰνείαν ὑπεξῆλθον εἰς τὴν Ἴδην. καὶ Σίνων τοὺς πυρσοὺς ἀνίσχει τοῖς Ἀχαιοῖς, πρότερον εἰσεληλυθὼς προσποίητος. οἱ δὲ ἐκ Τενέδου προσπλεύσαντες καὶ οἱ ἐκ τοῦ δουρείου ἵππου ἐπιπίπτουσι τοῖς πολεμίοις, καὶ πολλοὺς ἀνελόντες τὴν πόλιν κατὰ κράτος λαμβάνουσι. καὶ Νεοπτόλεμος μὲν ἀποκτείνει Πρίαμον ἐπὶ τὸν τοῦ Διὸς τοῦ ἑρκείου βωμὸν καταφυγόντα· Μενέλαος δὲ ἀνευρὼν Ἑλένην ἐπὶ τὰς ναῦς κατάγει, Δηΐφοβον φονεύσας. Κασσάνδραν δὲ Αἴας ὁ Ἰλέως πρὸς βίαν ἀποσπῶν συνεφέλκεται τὸ τῆς Ἀθηνᾶς

1. ἐπίκουρος] Incipit folium 6 b.
14. Ἰλίου πέρσιδος (περσίδος A) β' Ἀρκτίνου] Rubrica scriptum
21. δὲ τούτῳ δύο Welckerus] δὲ τ' . . . δύο A, litteris quinque vel sex lacuna haustis.
29. Ἑλένην Heynius] ἕλενον A.
30. ὁ Ἰλέως] Proclus incertum est utrum sic an ὁ Οἰλέως scripserit. Ἰλεύς dixerunt Hesiodus, Stesi-

ξόανον. ἐφ' ᾧ παρεξυνθέντες οἱ Ἕλληνες καταλεῦσαι βουλεύονται τὸν Αἴαντα· ὁ δὲ ἐπὶ τὸν τῆς Ἀθηνᾶς βωμὸν καταφεύγει καὶ διασώζεται ἐκ τοῦ ἐπικειμένου κινδύνου. ἔπειτα ἀποπλέουσιν οἱ Ἕλληνες, καὶ φθορὰν αὐτοῖς ἡ Ἀθηνᾶ κατὰ τὸ πέλαγος μηχανᾶται.

* * * * * * * * * *

καὶ Ὀδυσσέως Ἀστυάνακτα ἀνελόντος Νεοπτόλεμος Ἀνδρομάχην γέρας λαμβάνει, καὶ τὰ λοιπὰ λάφυρα διανέμονται. Δημοφῶν δὲ καὶ Ἀκάμας Αἴθραν εὑρόντες ἄγουσι μεθ' ἑαυτῶν. ἔπειτα ἐμπρήσαντες τὴν πόλιν Πολυξένην σφαγιάζουσιν ἐπὶ τὸν τοῦ Ἀχιλλέως τάφον.

Νόστων ε' Ἀγίου.

Συνάπτει δὲ τούτοις τὰ τῶν Νόστων βιβλία ε' Ἀγίου Τροιζηνίου, περιέχοντα τάδε. Ἀθηνᾶ Ἀγαμέμνονα καὶ Μενέλαον εἰς ἔριν καθίστησι περὶ τοῦ ἔκπλου. Ἀγαμέμνων μὲν οὖν τὸν τῆς Ἀθηνᾶς ἐξιλασόμενος χόλον ἐπιμένει, Διομήδης δὲ καὶ Νέστωρ ἀναχθέντες εἰς τὴν οἰκείαν διασώζονται. μεθ' οὓς ἐκπλεύσας ὁ Μενέλαος μετὰ πέντε νεῶν εἰς Αἴγυπτον παραγίνεται, τῶν λοιπῶν διαφθαρεισῶν νεῶν ἐν τῷ πελάγει. οἱ δὲ περὶ Κάλχαντα καὶ Λεοντέα καὶ Πολυποίτην πεζῇ πορευθέντες εἰς Κολοφῶνα Τειρεσίαν ἐνταῦθα τελευτήσαντα θάπτουσι. τῶν δὲ περὶ τὸν Ἀγαμέμνονα ἀποπλεόντων Ἀχιλλέως εἴδωλον ἐπιφανὲν πειρᾶται διακωλύειν, προλέγον τὰ συμβησόμενα. εἶθ' ὁ περὶ τὰς Καφηρίδας πέτρας δηλοῦται χειμὼν καὶ ἡ Αἴαντος φθορὰ τοῦ Λοκροῦ. Νεοπτόλεμος δὲ Θέτιδος ὑποθεμένης πεζῇ ποιεῖται τὴν πορείαν, καὶ παραγενόμενος εἰς Θρᾴκην Ὀδυσσέα καταλαμβάνει ἐν τῇ Μαρωνείᾳ, καὶ τὸ λοιπὸν ἀνύει τῆς ὁδοῦ. καὶ τελευτήσαντα

chorus et Pindarus et in locis Homericis pluribus probavit Zenodotus ὁ Ἰλῆος scribens pro Ὀϊλῆος, quod recte Aristarchus defendit, de quo dixit Duentzerus p. 45, 51.

6. καὶ Ὀδυσσέως—] Incipit folium 4 a. Indicavi lacunam: nam plura antecessisse manifestum est, nisi verba καὶ Ὀδυσσέως—τὸν τοῦ Ἀχιλλέως τάφον supra lin. 3 inter κινδύνου et ἔπειτα sunt inserenda, quae probabilis quorundam coniectura est, de qua pluribus dixit Th. Schreiberus (*Hermes* vol. 10 p. 305—322), examinatis etiam aliorum de hoc fragmento opinionibus, quarum novissima est Ad. Michaelis apud Iahnium p. 96 et 112.

8. εὑρόντες] ἀνευρόντες Michaelis p. 112.

10. Νόστων ε' Ἀγίου (sine spiritu et accentu A.)] Rubrica scriptum.

11. Συνάπτει] Neutraliter dictum pro συνάπτεται. V. ad p. xxxiv, 4.

Ἀγίου] ἁγίου A.

15. οἰκείαν Bekkerus] οἰκίαν A.

Φοίνικα θάπτει, αὐτὸς δὲ εἰς Μολοσσοὺς ἀφικόμενος ἀναγνωρίζεται Πηλεῖ. . . . τὰ Ἀγαμέμνονος ὑπὸ Αἰγίσθου καὶ Κλυταιμνήστρας ἀναιρεθέντος ὑπ' Ὀρέστου καὶ Πυλάδου τιμωρία, καὶ Μενελάου εἰς τὴν οἰκείαν ἀνακομιδή.

Τηλεγονίας β' Εὐγάμμονος.

Μετὰ ταῦτά ἐστιν Ὀδύσσεια. ἔπειτα Τηλεγονίας βιβλία δύο Εὐγάμμονος Κυρηναίου, περιέχοντα τάδε. οἱ μνηστῆρες ὑπὸ τῶν προσηκόντων θάπτονται. καὶ Ὀδυσσεὺς θύσας νύμφαις εἰς Ἴλιον ἀποπλεῖ ἐπισκεψόμενος τὰ βουκόλια, καὶ ξενίζεται παρὰ Πολυξένῳ, δῶρόν τε λαμβάνει κρατῆρα καὶ ἐπὶ τούτῳ τὰ περὶ Τροφώνιον καὶ Ἀγαμήδην καὶ Αὐγέαν. ἔπειτα εἰς Ἰθάκην καταπλεύσας τὰς ὑπὸ Τειρεσίου ῥηθείσας τελεῖ θυσίας. καὶ μετὰ ταῦτα εἰς Θεσπρωτοὺς ἀφικνεῖται καὶ γαμεῖ Καλλιδίκην, βασιλίδα τῶν Θεσπρωτῶν. ἔπειτα πόλεμος συνίσταται τοῖς Θεσπρωτοῖς πρὸς Βρυγοὺς Ὀδυσσέως ἡγουμένου. ἐνταῦθα Ἄρης τοὺς περὶ τὸν Ὀδυσσέα τρέπεται, καὶ αὐτῷ εἰς μάχην Ἀθηνᾶ καθίσταται. τούτους μὲν Ἀπόλλων διαλύει· μετὰ δὲ τὴν Καλλιδίκης τελευτὴν τὴν μὲν βασιλείαν διαδέχεται Πολυποίτης Ὀδυσσέως υἱός, αὐτὸς δ' εἰς Ἰθάκην ἀφικνεῖται. κἀν τούτῳ Τηλέγονος ἐπὶ ζήτησιν τοῦ πατρὸς πλέων, ἀποβὰς εἰς τὴν Ἰθάκην, τέμνει τὴν νῆσον. ἐκβοηθήσας δ' Ὀδυσσεὺς ὑπὸ τοῦ παιδὸς ἀναι-

1. Μολοσσοὺς] τοὺς Μολοσσοὺς Welckerus.

2. Post Πηλεῖ lacuna quinque litterarum. ἔπειτα τὰ Heynius.

3. ὑπ' Ὀρέστου] καὶ τούτων ὑπ' Ὀρέστου Heynius.

4. οἰκείαν Bekkerus] οἰκίαν A.

5. Τηλεγονίας β' Εὐγάμμονος (εὐγάμμωνος A)] Rubrica scriptum. Antiquior et rectior scriptura est Τηλεγονείας, de qua dictum in Thes. vol. 7 p. 2135, ubi adde grammaticum in Crameri Anecd. Oxon. vol. 2 p. 299, 28 διὰ τῆς ει διφθόγγου — Τηλεγόνεια ἡ κατὰ Τηλέγονον (πραγματεία).

7. Εὐγάμμονος Welckerus] εὐγάμμωνος A, frequenti in huiusmodi nominibus codicum vitio, de quo dixi in Thes. vol. 8 p. 798. et in Praef. Scholiorum in Odysseam vol. 1 p. lxviii.

Κυρηναίου] κυριναίου A.

μνηστῆρες Thierschius in Actis philol. Monac. vol. 2 p. 586.] μνήστορες A.

8. Ἴλιον] ἦλιν A.

10. τούτῳ] τούτου Welckerus.

14. Βρυγοὺς] Sic recte A, non Βρύγους, quo accentu apud Herodotum aliosque Βρύγοι scriptum est, vitio manifesto, quum syllaba prima longa sit, de quo dixi in Thesauro vol. 2 p. 439.

15. πεται, καὶ —] Incipit folium 4 b.

19. Τηλέγονος] τηλεγόμενος A.

ἐπὶ] Sic A, non εἰς ut Bekkerus.

ρεῖται κατ' ἄγνοιαν. Τηλέγονος δ' ἐπιγνοὺς τὴν ἁμαρτίαν τό τε τοῦ πατρὸς σῶμα καὶ τὸν Τηλέμαχον καὶ τὴν Πηνελόπην πρὸς τὴν μητέρα μεθίστησιν. ἡ δὲ αὐτοὺς ἀθανάτους ποιεῖ, καὶ συνοικεῖ τῇ μὲν Πηνελόπῃ Τηλέγονος, Κίρκῃ δὲ Τηλέμαχος.

Ἀρίσταρχος, Ζηνόδοτος, Στασῖνος, Θεόπομπος, Πολέμων, Ἀπολλόδωρος, Ἡρωδιανὸς, Νικάνωρ, Πορφύριος, Ἀπολλώνιος, Σωσιγένης, Ἀριστοφάνης, Δίκτυς, Εὐριπίδης, Πτολεμαῖος ὁ τοῦ Ὀροάνδου, Τυραννίων, Ζωΐλος, Χρύσιππος, Ἡσίοδος, Σέλευκος, Ἀλκμὰν ὁ λυρικὸς, Φιλόξενος, Καλλίμαχος, Πίνδαρος, Ἀριστόνικος, Πάμφιλος, Θεαγένης, Δίδυμος, Σοφοκλῆς, Καλλίστρατος, Σιδώνιος, Ἰξίων, Θεόφραστος, Ὦρος, Ῥιανός.

3. *μεθίστησιν*] *καθίστησιν* Heynius.

τῇ μὲν Πηνελόπῃ Τηλέγονος, Κίρκῃ Thierschius et Bekkerus] *τὴν μὲν πηνελόπην τηλέγονος, κίρκην* A, quo servato Heynius *συνοικεῖ* in *συνοικειοῖ* mutaverat.

In altera quarti folii pagina marginem et spatia vacua occupant picturae, leones nempe et monstra alata ac longis caudis horrentia, quae homines devorant, simul duo corvi et magnus heros inter parvos constitutus, adscripto nomine ὁ Ἀχιλλεύς, litteris maximis et alba pictis, ut rettulit Thierschius in Actis Monac. vol. 2 p. 586. Minus terribiles folii sexti picturae sunt, ubi conspiciuntur homines armati, eques, rex in solio sedens, sacerdos, ut videtur, infantem in templo constitutum suffimento adolens.

5. Nomina haec scriptorum in scholiis memoratorum rubrica scripta leguntur in folii noni pagina aversa.

Στασῖνος] *τασῖνος* A.

6. *Ἡρωδιανὸς*] *ἡρωιδιανὸς* hic et saepe in scholiis A.

7. *Πτολεμαῖος ὁ τοῦ Ὀροάνδου*] In textu A nihil praeter *πτολεμαῖος*, in margine vero *οὗ ὀροαν*$^{\delta}$.

8. *ὁ λυρικὸς* non in textu, sed in margine A.

10. *Καλλίστρατος*] *καλίστρατος* A.

Ἰξίων] *ἰξίων*

11. *Ὦρος* Bekkerus] *ἂρος* (sic) A.

II.

EXCERPTA DE NOTIS CRITICIS.

De notis veterum criticis plura supersunt grammaticorum quum Graecorum tum Latinorum excerpta quae collegerunt Reifferscheidius in *Suetonii Tranquilli Reliquiis* (Lipsiae 1860) p. 137–144 et Nauckius in Appendice ad Lexicon Vindobonense (Petropoli 1867) p. 271–282 et ante hos Fr. Osannus in *Anecdoto Romano de notis veterum criticis, inprimis Aristarchi Homericis* Gissae edito a. 1852 cum amplo commentario de usu signorum criticorum in omni fere scriptorum et Graecorum et Latinorum genere. Fuerunt enim haec signa partim eadem apud omnes, partim alia apud alios. Aristarchus quibus signis usus fuerit supra dictum est p. xix: poetarum lyricorum et scenicorum signa collectis grammaticorum testimoniis docte et diligenter tractavit H. Schraderus in commentatione *De notatione critica a veteribus grammaticis in poetis scaenicis adhibita*, Bonnae a. 1863.

1.

Hoc excerptum primus edidit Fr. Osannus in *Anecdoto Romano* p. 3–5, ex codice qui olim Mureti fuit, nunc in bibliotheca Collegii Romani servatur scriptus in membranis formae quadratae, seculo, ut Osanno videbatur, decimo, de quo dubito. Continet scholiorum, quae vulgo minora dicuntur, partem eam, quae ad libros quinque primos sextique partem fere dimidiam spectat, reliquis foliis perditis. De notis criticis eadem fere leguntur in duobus codicibus Hephaestionis (V et B), de quibus infra dicetur sub numero 2, quorum levem scripturae diversitatem hic annotavi.

Τὰ παρατιθέμενα τοῖς Ὁμηρικοῖς στίχοις Ἀριστάρχεια σημεῖα ἀναγκαῖον γνῶναι τοὺς ἐντυγχάνοντας.

διπλῆ ἀπερίστικτος . . >
διπλῆ περιεστιγμένη . ⩔
ὀβελὸς . . . . . —
ἀστερίσκος καθ' ἑαυτὸν . ※
ἀστερίσκος μετὰ ὀβελοῦ ※—
ἀντίσιγμα . . . . Ↄ
ἀντίσιγμα περιεστιγμένον Ↄ·
κεραύνιον . . . . . ⊤

> ἡ μὲν οὖν ἀπερίστικτος διπλῆ παρατίθεται πρὸς τοὺς γλωσσογράφους ἢ ἑτεροδόξως ἐκδεξαμένους τὰ τοῦ ποιητοῦ καὶ μὴ καλῶς· ἢ πρὸς τὰς ἅπαξ εἰρημένας λέξεις, ἢ πρὸς τὰ ἐναντία καὶ μαχόμενα, καὶ ἕτερα σχήματα πάμπολλα καὶ ζητήματα.

⩔ ἡ δὲ περιεστιγμένη διπλῆ πρὸς τὰς γραφὰς τὰς Ζηνοδοτείους καὶ Κράτητος καὶ αὐτοῦ Ἀριστάρχου καὶ τὰς διορθώσεις αὐτοῦ.

— ὁ δὲ ὀβελὸς πρὸς τὰ ἀθετούμενα ἐπὶ τοῦ ποιητοῦ, ἤγουν νενοθευμένα ἢ ὑποβεβλημένα.

※ ὁ δὲ ἀστερίσκος καθ' ἑαυτὸν ὡς καλῶς εἰρημένων τῶν ἐπῶν ἐν αὐτῷ τῷ τόπῳ ἔνθα ἐστὶν ἀστερίσκος μόνος.

※— ὁ δὲ ἀστερίσκος μετὰ ὀβελοῦ ὡς ὄντα μὲν τὰ ἔπη τοῦ ποιητοῦ, μὴ καλῶς δὲ κείμενα ἐν αὐτῷ τῷ τόπῳ, ἀλλ' ἐν ἄλλῳ.

Ↄ τὸ δὲ ἀντίσιγμα καθ' ἑαυτὸ πρὸς τοὺς ἐνηλλαγμένους τόπους καὶ ἀπάδοντας.

Ↄ· τὸ δὲ ἀντίσιγμα περιεστιγμένον παρατίθεται, ὅταν ταυτολογῇ καὶ τὴν αὐτὴν διάνοιαν δεύτερον λέγῃ.

⊤ τὸ δὲ κεραύνιον ἔστι μὲν τῶν σπανίως παρατιθεμένων, δηλοῖ δὲ καὶ αὐτὸ πολλὰς ζητήσεις πρὸς ταῖς προειρημέναις.

τούτων δ' ἁπάντων τῶν σημείων ἀκριβεστέρα γνῶσις ἐν τοῖς βι-

1. Ἀριστάρχεια om. V B.
2. ἐντυγχάνοντας] εἰσὶ δὲ ταῦτα addunt V B.
5, 6. Inverso ordine V B ὀβελὸς μετὰ ἀστερίσκου — ※ | ἀστερίσκος καθ' ἑαυτὸν ※.
8. ἀντίσιγμα] ἄστικτον addunt V B.
10. κεραύνιον om. V B.
11. ἀπερίστικτος διπλῆ V B. διπλῆ ἀπερίστικτος cod. Romanus.
12. ἑτεροδόξως pro ἑτεροδόξους Nauckius.
16. καὶ Κράτητος—αὐτοῦ] Haec recte omittunt V B, de quo dixit C. Wachsmuthius in commentatione de Cratete Mallota p. 20.
22. καλῶς pro κακῶς Osannus.
29. ἀκριβεστέρα] ἀκριβεστ . . . codex.

βλίοις τῶν συγγραψαμένων περὶ τούτων, καὶ εἴ σοι φίλον, ἐπιζήτει παρὰ τῶν τεχνικῶν.

II. > τῇ διπλῇ χρῆται Ἀρίστ̣αρχος πρὸς ἱστορίαν, σχηματισμοὺς καὶ ἑτέρας ποικίλας χρείας·

≻ τῇ δὲ περιεστιγμένῃ πρὸς Ζηνόδοτον τὸν διορθωτήν.

— τῷ δὲ ὀβελῷ πρὸς ἀθέτησιν.

⁜ — ἀστερίσκῳ δὲ σὺν ὀβελῷ πρὸς τὸ εἶναι μὲν τοὺς στίχους Ὁμήρου, κεῖσθαι δὲ ἐν ἄλλῳ τόπῳ καλῶς· οἷς καὶ ἀστερίσκος μόνος πρόσκειται.

Ɔ τῷ δὲ ἀντίσιγμα καὶ τῇ στιγμῇ, ὅταν δύο ὦσι διάνοιαι τὸ αὐτὸ σημαίνουσαι, τοῦ ποιητοῦ γεγραφότος ἀμφοτέρας, ὅπως τὴν ἑτέραν ἕληται· τῷ δὲ χρόνῳ καὶ αἱ δύο εὑρέθησαν οὐκ ὀρθῶς ἔχουσαι.

⁜ τῷ δὲ ἀστερίσκῳ μόνῳ χρῆται πρὸς τοὺς αὐτοὺς στίχους, οἳ κεῖνται ἐν ἄλλοις μέρεσι τῆς ποιήσεως καὶ ὀρθῶς ἔχοντες φέρονται, σημαίνων ὅτι οὗτοι καὶ ἀλλαχοῦ εἴρηνται.

2.

Quae Hephaestio in ultimo Ἐγχειριδίου sui capite (15) vol. i. p. 136 ed. Gaisf. περὶ σημείων scripsit ad sola spectant signa metrica in codicibus poetarum lyricorum et scenicorum, non ad critica quae versibus Homeri adscripsit Aristarchus, de quibus egit grammaticus in excerptis, quae in duobus Hephaestionis codicibus adscripta sunt, Veneto Marciano (V) 483 folio 46 verso apud Villoisonum in Prolegomenis p. lx, et Saibantiano bibliothecae Bodleianae (B) apud Gaisfordum vol. i. p. 136, 137.

Ταῦτα εὕρηται ἔν τινι παλαιῷ βιβλίῳ. Τοῖς παρ' Ὁμήρῳ στίχοις σημεῖα παράκειται τάδε·

διπλῆ καθαρὰ . . . >
διπλῆ περιεστιγμένη . ≻
ὀβελὸς . . . . . —
ὀβελὸς σὺν ἀστερίσκῳ —⁜
ἀντίσιγμα . . . . Ɔ
κεραία ἁ τοῦ ἁ . . . ·/.
ὦ πλάγιον . . . . Ɔ

1. τῶν συγγραψαμένων] Nescimus quos scriptores dicat. Diogenis Cyziceni et Suetonii Tranquilli libros περὶ σημείων memorat Suidas s. v. Διογένης ἢ Διογενειανός et Τράγκυλλος.

2. τῶν τεχνικῶν, vel τῷ τεχνικῷ, Nauckius pro τῶν τεχνιτῶν.

3. Incipit alius grammatici excerptum.

ἡ μὲν οὖν διπλῆ καθαρὰ παράκειται πρὸς τὴν ἅπαξ εἰρημένην λέξιν, πρὸς τὴν τοῦ ποιητοῦ συνήθειαν, πρὸς τοὺς λέγοντας μὴ εἶναι τοῦ αὐτοῦ ποιητοῦ Ἰλιάδα καὶ Ὀδύσσειαν, πρὸς τὰς τῶν παλαιῶν ἱστορίας, πρὸς τὰς τῶν νέων ἐκδοχάς, πρὸς τὴν Ἀττικὴν σύνταξιν, πρὸς τὴν πολύσημον λέξιν. πρὸς μὲν οὖν τὴν ἅπαξ εἰρημένην λέξιν (Il. 1, 106), "μάντι κακῶν, οὐ πώποτέ μοι τὸ κρήγυον εἶπες." ἅπαξ γὰρ εἴρηται, καὶ ἐπὶ τῶν λοιπῶν σημείων ὡσαύτως ἃ δεῖ τιθέναι.

Ἐν ἄλλῳ οὕτως.

Sequuntur quae supra sub numero 1 lin. 1–9 ex codice Romano apposuimus, Τὰ παρατιθέμενα—ἀντίσιγμα περιεστιγμένον Ϡ· post quae sic pergitur:

ἡ μὲν οὖν ἀπερίστικτος διπλῆ τίθεται πρὸς ἱστορίας καὶ σχηματισμοὺς καὶ ἑτέρας ποικίλας χρείας, καὶ πρὸς τὰς ἅπαξ εἰρημένας λέξεις, καὶ πρὸς τὰ ἐναντία καὶ μαχόμενα τῶν νοημάτων.

ἡ δὲ περιεστιγμένη διπλῆ πρὸς τὰς Ζηνοδότου καὶ Κράτητος γραφὰς καὶ αὐτοῦ Ἀριστάρχου.

ὁ δὲ ὀβελὸς πρὸς τὰ νόθα καὶ ἀθετούμενα.

ὁ δὲ μετὰ ὀβελοῦ ἀστερίσκος, ἔνθα εἰσὶ μὲν τὰ ἔπη τοῦ ποιητοῦ, οὐ καλῶς δὲ κεῖνται, ἀλλ' ἐν ἄλλῳ.

ὁ δὲ καθ' ἑαυτὸν ἀστερίσκος, ἔνθα καλῶς εἴρηνται τὰ ἔπη ἐν αὐτῷ τῷ τόπῳ ἔνθα κεῖνται.

τὸ δὲ καθ' ἑαυτὸ ἀντίσιγμα πρὸς τοὺς ἐνηλλαγμένους τόπους καὶ μὴ συνάδοντας.

τὸ δὲ περιεστιγμένον ἀντίσιγμα, ὅταν ταυτολογῇ καὶ τὴν αὐτὴν διάνοιαν δεύτερον λέγῃ.

Ἰστέον ὅτι αἱ ῥαψῳδίαι Ὁμήρου παρὰ τοῖς παλαιοῖς κατὰ συνάφειαν ηὐδῶντο, κορωνίδι μόνῃ διαστελλόμεναι, ἄλλῳ δὲ οὐδενί· τῆς δὲ κορωνίδος τοῦτό ἐστι τὸ σημεῖον Ϡ. λέγεται δὲ ἀπὸ μεταφορᾶς τῆς ἐν τοῖς πλοίοις ἀνακεκαμμένης κορωνίδος.

26. Ἰστέον—] Hic incipit alius grammatici excerptum, cuius pars prior in codice Romano adiecta est alii de vetere Iliade excerpto, quod vide apud Nauckium p. 273, sic scripta, αἱ μέντοι ῥαψῳδίαι κατὰ συνάφειαν ἤβωντο (ἤνωντο Osannus) κορωνίδι μόνῃ διαστελλόμεναι, ἄλλῳ δ' οὐδενί.

28. ἀπὸ μεταφορᾶς] κατὰ μεταφοράν B.

3.

Ex codice Iliadis Harleiano 5693.

Περὶ τῶν παρ' Ἀριστάρχου σημείων παρατιθεμένων τῷ Ὁμήρῳ.

— ὀβελός.

> διπλῆ ἀπερίστικτος.

⩔ διπλῆ περιεστιγμένη.

※ ἀστερίσκος.

※ — ἀστερίσκος μετὰ ὀβελοῦ.

Ↄ ἀντίσιγμα.

⁚ δύο στιγμαί.

— ὁ μὲν δὴ ὀβελὸς παρατίθεται πρὸς ἀθέτησιν.

> ἡ δὲ ἀπερίστικτος διπλῆ πρὸς τρόπον ἢ ἱστορίαν, ἢ λέξιν ξένην, ἢ ἄλλο τι τοιοῦτον.

⩔ ἡ δὲ περιεστιγμένη διπλῆ πρὸς τὰς Ζηνοδοτείους μεταγραφάς.

※ ὁ δὲ ἀστερίσκος πρὸς τὰ Ὁμηρικὰ ἔπη τὰ καλῶς κείμενα.

※ — ὁ δὲ ἀστερίσκος μετὰ ὀβελοῦ, ὁπόταν τὰ ἔπη Ὁμηρικὰ μὲν ᾖ διὰ τοῦ ἀστερίσκου δηλούμενα, ἀκαίρως δὲ κείμενα διὰ τοῦ ὀβελοῦ δηλούμενα.

Ↄ τὸ δὲ ἀντίσιγμα καὶ αἱ δύο στιγμαὶ, ὅταν κατὰ τὸ ἑξῆς δὶς ᾖ τὸ αὐτὸ νόημα κείμενον. καὶ ἐπὶ μὲν τοῦ προτέρου τίθεται τὸ ἀντίσιγμα, ἐπὶ δὲ τοῦ δευτέρου αἱ δύο στιγμαί.

4.

Anecdoton Parisinum.

Hoc Anecdoton ex codice Parisino 7530 anno 780 exaratum ex apographo Theodori Mommseni edidit Th. Bergkius in Zimmermanni Diario (*Zeitschrift für die Alterthumswissenschaft*) a. 1845, p. 85 sqq. et Suetonio Tranquillo vindicavit: unde

3. Leguntur haec in secundo codicis folio a manu scripta seculi decimi sexti. Primum edidit Cramerus in Anecdotis Paris. vol. 3 p. 293, sed parum accurate et versu adeo integro omisso, quem ego ex codice supplevi.

11. *ἀθέτησιν*] *ἀθαίτησιν* codex, quod eo explicandum quod librarius primo scripserat *ἀπαίτησιν*.

14. *Ζηνοδοτείους*] *ζηνοδοτίους* codex. Recte scriptum in excerpto codicis Romani supra apposito, ubi *τὰς γραφὰς τὰς Ζηνοδοτείους*.

15. *Ὁμηρικὰ*] Sic codex hic et infra, non *Ὁμήρου*, quod apud Cramerum legitur.

21. *δύο* addidit Osannus.

27. Suetonii Tranquilli et Diogenis, sive Diogeniani, Cyziceni

inter Suetonii Reliquias recepit A. Reifferscheidius a. 1860, p. 137—141 correctis codicis vitiis, de quibus videndae Reifferscheidii annotationes. Comparanda autem cum his similia quae tradidit Isidorus Orig. 1, 20.

[p. 139.] NOTAE XXI, QUAE VERSIBUS APPONI CONSUERUNT.

— obelus. ⁜ asteriscus. ⁂ — asteriscus cum obelo. ⁄ simplex ductus. > diple. ⩥ diple periestigmene. Ↄ antisigma. ⊃ antisigma cum puncto. ʒ coronis. >— diple obelismene.

[p. 138] ⩤ aversa obelismene. ⨯ ceraunion. ÷ obelus adpunctus. —< obelus cum aversa. ⩢ diple superne obelata. ⩥ ⩥ recta et aversa superne obelatae. ☧ chi et ro. ⌽ fi et ro. ⏐ ancora superior. ⏑ ancora inferior. alogus.

His solis in adnotationibus Ennii, Lucilii et historicorum usi sunt Vargunteius, Ennius Aeliusque et postremo Probus, qui illas in Virgilio et Horatio et Lucretio apposuit ut Homero Aristarchus.

— obelus versibus apponitur hac causa. Pisistratus quondam Atheniensium tyrannus inordinata et confusa adhuc poesi Homeri praemio sollicitare proposuit eos qui eam ordinarent iisque praemii nomine in singulos versus singulos obolos constituit. mercede multi inducti pauperes, quibus ingenium affluebat, quoniam aut invenire aut disponere (ut) debebat non poterant, fingendo plurimos versus operis nobilitatem corruperunt. unde evenit ut postea prudentiores viri, quorum summus in hac re fuit Aristarchus, quotiens inprobarent versus quasi aut malos aut non Homericos, obelo potissime notandum existimarent. nam et ipsius Homeri proprios, sed non eo dignos eadem hac nota condemnarunt.

[p. 139] ⁂ asteriscum Aristophanes apponebat illis locis quibus sensus deesset, Aristarchus autem ad eos (versus), qui hoc puta loco (recte) positi erant, cum aliis scilicet non recte ponerentur. item Probus et antiqui nostri.

libros περὶ σημείων τῶν ἐν τοῖς βιβλίοις memoravit Suidas s. v. Τράγκυλλος et Διογένης, quos Lehrsius p. 15 probabiliter coniecit singularum notarum apud singulos scriptores significationem explicuisse: nam eaedem notae alia apud alios scriptores significabant, de quo v. Menagius ad Diog. L. 3, 65.

⁂ — asteriscus cum obelo propria nota est Aristarchi. utebatur autem ea in his versibus, qui non suo loco positi erant. item antiqui nostri et Probus.

⸗ simplex ductus inter versus ponebatur ad separandas res a rebus quae in connexu concurrerent, quemadmodum (in) catalogo, cum loca a locis aut (regiones a) regionibus, et in agone, (cum) praemia a praemiis certamina a diversis certaminibus separantur.

> diplen aperisticton primus Leagoras Syracusanus apposuit Homericis versibus ad separationem Olympi a caelo, proprie Olympum ab eo pro monte positum adnotans, nusquam pro caelo, quod saepe *οὐρανὸν εὐρὺν* dicat et *μακρὸν Ὄλυμπον*, neque e contrario epitheta permutet. ponebat autem tam ad montis significationes quam ad caeli, utrimque manifestatur voluntas eius. usus est ea in multis Aristarchus nunc ea quae praeter consuetudinem tam vitae nostrae quam [p. 140] ipsius poetae apud eum invenirentur adnotans, nunc proprias ipsius figuras, interdum ea in quibus copiosus est, rursus quae semel apud eum ponerentur. similiter in nostris auctoribus Probus.

⩾ diple periestigmene apponebatur, quae Zenodotus Ephesius non recte adiecerat aut detraxerat aut permutaverat. in his et nostri ea usi sunt.

ↄ antisigma ponebatur ad eos versus quorum ordo permutandus erat. sic et in nostris auctoribus invenitur.

Ↄ̇ antisigma cum puncto ponebatur, cum eiusdem sensus versus duplices essent et dubitaretur, qui potius legendi. sic et apud nostros.

⸢ coronis tantum in fine libri posita invenitur.

⸙ ceraunium ponitur, quotiens multi versus inprobantur, ne per singulos obelentur.

⩽ aversa obelismene in ora ponitur, quae ad aliquid respiciunt ut [Virgil. Aen. 10, 88] "nosne tibi fluxas Phrygiae."

⨪ obelus cum puncto ad ea de quibus dubitatur tolli debeant necne.

>— diple obelismene ad separandas in comoediis et tragoediis periodos.

—< aversa obelismene, quotiens strophe (et) antistrophos infertur.

⩾̄ diple superne obelata ponitur ad condicionem locorum vel personarum vel temporum mutatam

⩾̄ ⩽̄ recta et aversa superne obelatae ponuntur cum eadem significant similemque sequentem esse.

[p. 141.] ⳨ chi et ro. haec sola ex voluntate uniuscuiusque ad aliquid adnotandum ponitur.

ϕ̓ fi et ro. haec apponuntur quotiens vel emendatio vel (sensus) eius versus sollicitius est inspiciendus.

⌒ ancora superior ad aliquod praecipue dictum.

⌣ ancora inferior ad humilius vel inconvenientius quid enuntiatum.

Notae simplices.

⩾ bis dictum. Ↄ alienus versus. ϝ metaphrasis latina. Φ metaphrasis graeca. M malum metrum aut *ἀπρεπές*. Π contra historiam. Θ supervacuus. ∴ repugnans. H ⳨ recte positus et pugnanti contrarius. — propositum sine consequenti. ∴ consequens sine praeposito. ⩾ alienus et supervacuus. Φ Ↄ Φ̄ ⊤̄ graeca metaphrasis et bis dictum et repugnans. ΦP graeca metaphrasis et repugnans. Φ ϝ metaphrasis graeca et latina.

Nonnulla in his falsa sunt quae notavit Lehrsius in libro de Aristarcho p. 337 his verbis:

"Obeli ipsum iam signum Zenodoti editioni appositum fuisse non dubitandum. Aristophanes praeterea in Homericis habuit ceraunion (ad plures ut videtur continuos versus spurios uno signo notandos, quod Aristarcho non commodum visum nec assumtum), sigma et antisigma, asteriscum ad notandos locos quibus sensus deesset" (Anecd. Paris Reifferscheid. p. 139). Nec ad hanc rem Aristarcho, cui ad hoc etiam diple sufficiebat, singulare signum opus videbatur. Sed praeter diplen periestigmenen ad Zenodotea notanda commodum Aristarcho visum singulari signo notare locos recurrentes nunc recte nunc falso positos; et ad hoc potius ipse asterisco usus est et contra posuit asteriscum obelatum. De his vide Nauckium Arist. p. 16 et Sengebuschium diss. Hom. I. p. 50. Sed quod idem ille auctor, cui illa de asterisco Aristophaneo debemus, quod certe causa non est cur dubitemus, de diple tradit hoc dudum dici debebat ineptissimum esse. "Diplen aperisticton primus Leogoras — — apud illum ponerentur." Aristarchus diplen, si iam ante aliquis eius usus erat, ad multo plura adhibuisse, ut plura pluraque attenderit et observaverit, id certum et sciremus sine illo. Fuisse iam ante eum aliquem diples usum id potest verum esse: sed illi testimonio nulla fides. Fuisse aliquam ante Aristarchum editionem Homericam, et quidem iam diple usam, ignoti cuiusdam Leogorae, cuius

editionis nullum praeterea vestigium, certe non admodum probabile. Sed esto. Quis credat talem editionem in qua diple iam apposita fuisset, sed ad solam distinctionem caeli et Olympi et haec distinctio probata ex solis adiectivis εὐρὺς et μακρός? Imo vero hic habemus confusionem eo dignam, qui obeli usum ab obolis Pisistrati ducit (ib. p. 138). Illa observatio de εὐρὺς et μακρὸς non Leogorea est, sed Aristarchea, ut supra una cum observationibus de Olympo νιφόεντι et πολυπτύχῳ et de Olympi καρήνοις et ceteris occurrerat. Talibus testimoniis, quale illud, non uti ratio est.

ARISTONICI

ΠΕΡΙ ΑΡΙΣΤΑΡΧΟΥ ΣΗΜΕΙΩΝ ΙΛΙΑΔΟΣ

PRAEFATIONIS FRAGMENTUM *.

. . . ᾗ τὸ ἔφη· ὁ δὲ τοῦτο μὴ νοήσας, ἀλλὰ λαβὼν πάλιν τὸ $\overline{\text{φη}}$ ἀντὶ τοῦ $\overline{\text{ως}}$ ὑπέταξεν ἐκ περισσοῦ (Il. 14, 500.)

πέφραδέ τε Τρώεσσι καὶ εὐχόμενος ἔπος ηὔδα.

σημειοῦται δὲ πρὸς τὸν αὐτὸν ἀπεριστίκτῳ διπλῇ τὰς ὁμωνυμίας ἁπάσας, ὅτι οὐ νοήσας τὸ τοιοῦτον ἔγραψεν ὁτὲ μὲν Πυλαιμένεα, ὁτὲ δὲ Κυλαιμένεα. πρὸς μὲν δὴ Ζηνόδοτον αὐτῷ ἡ παράθεσις τῆς περιεστιγμένης διπλῆς πρὸς ἑκάστην γραφὴν ἀκριβέστερον θεωρεῖται. τὸν δὲ ὀβελὸν ἔλαβεν ἐκ τῆς Ζηνοδότου διορθώσεως· παρετίθει

* Fragmentum hoc servatum est in codicis Veneti A folio octavo. Aristonici esse manifestum est et planissime docuit Cobetus in Mnemosyne nova vol. I p. 28–34. Nam quum marginibus textus Homerici *σημεῖα* Aristarchi apposita essent, in scholiis vero expositum esset cur Aristarchus ad quemque locum singula *σημεῖα* addiderit, Aristonicus de ipsis *σημείοις* in universum, et quae esset eorum ratio et usus, in ampliore exposuit Praefatione, cuius nunc breve tantum superest fragmentum.

4. ᾗ] Videtur ᾗ esse, pendens haud dubie ab *ἵνα*, quod praecesserat.

πάλιν] πάλιν dicit, quia Zenodotus eundem errorem commiserat in versu Iliadis 2, 144, ubi Aristonicus annotavit *ὅτι Ζηνόδοτος γράφει φὴ κύματα. οὐδέποτε δὲ Ὅμηρος τὸ φή ἀντὶ τοῦ ὡς τέταχεν.* Monuit Cobetus p. 34.

7. *τὰς ὁμωνυμίας*] Conf. schol. Aristonici ad Il. 2, 837 *ἐσημειοῦτο δὲ ὁ Ἀρίσταρχος τὰς ὁμωνυμίας πρὸς τὰ περὶ Πυλαιμένους.* Pylaemenes memoratur Il. 2, 851. 5, 576. et 13, 643. Loco tertio Zenodotus Κυλαιμένεος legit, de quo videnda quae dixit Eustathius p. 953.

11. *τὸν δὲ ὀβελὸν*—] Ex scholio Aristonici ad Odyss. 3, 71 videmus Aristophanem iisdem *σημείοις* quibus Aristarchum usum esse, *ὀβελοῖς* sive *ὀβελίσκοις* et *ἀστερίσκοις*. Zenodotum ea primum reperisse suspicor, unde Aristophanem, deinde et Aristarchum sumsisse, ut diserte Aristonicus dicit *τὸν δὲ ὀβελὸν ἔλαβεν ἐκ τῆς Ζηνοδότου διορθώσεως.* COBET. p. 33.

δὲ αὐτὸν τοῖς ἐκβαλλομένοις ἐκ τῆς ποιήσεως στίχοις ὡς τοῖς νεκροῖς τῶν ἀνθρώπων. τῆς δὲ ἀθετήσεως διττὸς αὐτῷ ὁ λόγος. ὁ μὲν γάρ ἐστι σημαίνων ὅτι οὐχ Ὁμήρου τὸ ἔπος, ὡς ἐλέγετο ἐπὶ τοῦ (Od. 11, 603.)

τέρπεται ἐν θαλίῃ καὶ ἔχει καλλίσφυρον Ἥβην.

ἀδύνατον γὰρ τὴν διηνεκῶς παρθένον παραδεδομένην γεγαμῆσθαι. ὁ δὲ αἰτίαν ἐπιφέρει ὡς τῶν ποιημάτων ἐν τῇ τάξει διημαρτημένων. ὅταν δ' ὁ Ἀγαμέμνων λέγῃ πρὸς τὸν Ἀχιλλέα (Il. 1, 177.)

αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε,

ἐνταῦθα ἠθετῆσθαί φησι, χάριν τοῦ βασιλέως ὀφείλοντος, εἰ τοιοῦτός ἐστιν ἐν πολέμῳ ὁ κατ' ἐπικουρίαν ἥκων. διόπερ ἐπὶ μὲν τοῦ λεγομένου ὑπ' Ἀγαμέμνονος ὀβελὸς παρακείσεται καὶ πρὸς τούτῳ ἀστερίσκος· δηλοῖ δὲ τοῦτο, ὅπου ἂν ᾖ κείμενος σὺν τῷ ὀβελῷ, ὅτι Ὁμήρου μέν ἐστι, φαύλως δ' ἐνταῦθα κεῖται. ἔστι δὲ καὶ ἕτερος τρόπος τῆς ἀθετήσεως, ὅταν τοῖς αὐτοῖς στίχοις πολλάκις χρῆται, ὁτὲ μὲν οἰκείοις περιτιθεὶς προσώποις τὰ λεγόμενα, ὁτὲ δὲ οὔ, ὡς ἔχει τὰ τοῦ Κύκλωπος τοῦ ἀνημερωτάτου ῥήματα ὑπὸ τοῦ συνετωτάτου Νέστορος λεγόμενα πρὸς Τηλέμαχον (Od. 3, 73. 9, 253.)

ὦ ξεῖνοι, τίνες ἐστέ; πόθεν πλεῖθ' ὑγρὰ κέλευθα;
ἦ τι κατὰ πρῆξιν, ἢ μαψιδίως ἀλάλησθε,
οἷά τε λῃϊστῆρες, ὑπειρ ἅλα, τοίτ' ἀλόωνται
ψυχὰς παρθέμενοι.

ταῦτα γὰρ ἥρμοζεν ὑπὸ τοῦ Κύκλωπος Ὀδυσσεῖ εἰρῆσθαι, οὐχ ὑπὸ Νέστορος Τηλεμάχῳ . . . . . .

2. αὐτῷ] Aristarcho.

6. ἀδύνατον γὰρ—] Comparanda cum his quae ex Aristonici scholiis excerpta leguntur in scholio ad Odyss. 11, 601, et ad Il. 4, 2.

7. ὁ δὲ] Aristarchus.

10. ἐνταῦθα ἠθετῆσθαι—] Eadem fere in scholio ad 1, 177 dixerat Aristonicus, quod mirum in modum corruptum legitur in codice Veneto A, de quo diximus in annotatione.

14. κεῖται] Post hoc verbum nonnulla excidisse videntur, probabiliter a Cobeto suppleta p. 32 ὅταν δὲ μόνος ὁ ἀστερίσκος, ὅτι νῦν μὲν ὀρθῶς εἴρηται, κακῶς δ' ἐντεῦθεν ἄλλοσέ ποι μετάκειται.

23. ταῦτα γὰρ—] Hoc copiosius expositum est in scholio Aristonici ad Od. 3, 71.

ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ

ΕΙΣ ΤΗΝ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

ΕΙΣ ΤΗΝ Α.

1. ΜΗΝΙΝ ἄειδε] ζητοῦσι διὰ τί ἀπὸ τῆς μήνιδος ἤρξατο, οὕτως δυσφήμου ὀνόματος. διὰ δύο ταῦτα, πρῶτον μὲν, ἵν' ἐκ τοῦ πάθους ἀποκαθαρεύσῃ τὸ τοιοῦτο μόριον τῆς ψυχῆς, καὶ προσεκτικωτέρους τοὺς ἀκροατὰς ἐπὶ τοῦ μεγέθους ποιήσῃ, καὶ προεθίσῃ φέρειν γενναίως ἡμᾶς τὰ πάθη, μέλλων πολέμους ἀπαγγέλλειν· δεύτερον δὲ, ἵνα τὰ ἐγκώμια τῶν Ἑλλήνων πιθανώτερα ποιήσῃ. ἐπεὶ δὲ ἔμελλε νικῶντας ἀποφαίνειν τοὺς Ἕλληνας, εἰκότως οὐ κατατρέχει, ἀξιοπιστότερον ἐκ τοῦ μὴ πάντα χαρίζεσθαι τῷ ἐκείνων ἐπαίνῳ.

ἤρξατο μὲν ἀπὸ μήνιδος, ἐπείπερ αὕτη τοῖς πρακτικοῖς ὑπόθεσις γέγονεν. ἄλλως τε καὶ τραγῳδίαις τραγικὸν ἐξεῦρε προοίμιον· καὶ γὰρ προσεκτικοὺς ἡμᾶς ἡ τῶν ἀτυχημάτων διήγησις ἐργάζεται,

Scholia in textu asterisco notata sunt intermarginalia, de quibus in Praefatione p. vii dictum est. Scripturae in annotationibus asteriscis notatae ex aliis scholiorum codicibus sunt petitae, ex quibus codicis Veneti 454, quem littera A designamus, scholia vel corrigi vel defecta restitui possunt: de quo in Annotationibus voluminis ultimi plura dicentur. Vitiorum orthographicorum correctiones vel ex aliis codicibus sumtas vel ab editoribus factas non fuit operae pretium ad suos singulas revocare auctores, quum talia a quovis emendari possint, exceptis gravioribus nonnullis, quarum auctores indicavimus.

4. Rubrica in A ἐῶ̃ ἅ, i. e. *ἐρώτησις ἀπόκρισις.*

Scholia ab *ζητοῦσι* vel *ζητεῖται* vel simplici *διὰ τί* incipientia pleraque omnia Porphyrii sunt, pauca aliorum, de quo dixi in Praef. p. xiii, xiv. Primae quaestionis *διὰ τί ἀπὸ τῆς μήνιδος ἤρξατο* solutio brevior Zenodoto tribuitur in Veneto B: de quo v. Duentzer. p. 27.

6. * *ἀποκαθαρεύσῃ* (alii * *ἀποκαθαριεύσῃ*)] *ἀποκαταρρεύσῃ*

7. * *προεθίσῃ*] *προσεθίζῃ*

9. * *δεύτερον δὲ*] δὲ om.

11. *ἀξιοπιστότερον*] * *ἀξιόπιστος* (praestat *ἀξιοπιστότερος*) *ὤν.*

καὶ ὡς ἄριστος ἰατρὸς πρῶτον ἀναστέλλων τὰ νοσήματα τῆς ψυχῆς ὕστερον τὴν ἴασιν ἐπάγει. Ἑλληνικὸν δὲ τὸ πρὸς τέλει τὰς ἡδονὰς ἐπάγειν. ἰστέον δὲ ὅτι ὥσπερ ἐπὶ συκῆς πρῶτον μέν ἐστιν ὄλυνθος, εἶτα φήληξ, σῦκον, ἰσχάς, οὕτω πρῶτον ὀργή, θυμός, χόλος, κότος, μῆνις. ὅμως ὁ ποιητὴς ὡς συνωνύμοις ὀνόμασιν ἐπὶ Ἀχιλλέως χρῆται. "ἠὲ χόλον παύσειεν ἐρητύσειέ τε θυμόν" (192)· "οὐδ' ὄθομαι κοτέοντος" (180)· "αὐτὰρ ὁ μήνιε νηυσὶ παρήμενος" (488).

μῆνιν] παρὰ τὸ μένω μῆνις ὡς ἔνος ἦνις. οἱ δὲ περὶ Γλαύκωνα τὸν Ταρσέα ἠξίουν ὀξύνειν τὸ ὄνομα, οὐκ ὀρθῶς.

διὰ τί εὐθὺς ἀπὸ τῶν τελευταίων τοῦ πολέμου ἤρξατο; καί φαμεν ὅτι ἅπας μὲν ὁ χρόνος ὁ πρὸ τοῦ δεκάτου ἔτους οὐκ ἔσχεν οὕτω συνεχεῖς τὰς μάχας, διὰ τὸ καὶ τοὺς Τρῶας αὐτοὺς φόβῳ τοῦ Ἀχιλλέως ἐντὸς κατακεκλεῖσθαι τοῦ τείχους· τὸ δὲ δέκατον ἔτος πλείονας ἔσχε τὰς πράξεις καὶ τοὺς πολέμους ἰσοπάλους, τοῦ Ἀχιλλέως ὀργιζομένου· ὁ δὲ ποιητὴς οἰκονομικῶς κἂν τούτῳ ἤρξατο μὲν ἀπὸ τῶν τελευταίων, διὰ δὲ τῶν σποράδην αὐτῷ λεχθέντων περιέλαβε καὶ τὰ πρὸ τούτου πραχθέντα.

ἄειδε] ὅτι κατὰ τὴν ποιητικὴν ἤτοι ἄδειαν ἢ συνήθειαν λαμβάνει τὰ προστακτικὰ ἀντὶ εὐκτικῶν· καὶ γὰρ Ἡσίοδός φησι "δεῦτε δὴ ἐννέπετε" (O. 2), καὶ Πίνδαρος "μαντεύεο Μοῦσα" (fr. 118), καὶ Ἀντίμαχος ὁ Κολοφώνιος "ἐννέπετε Κρονίδαο Διὸς μεγάλοιο θύγατρες." δεύτερον δὲ, ὅτι οὐ κατὰ ἀλήθειαν ταῖς Μούσαις ἐπιτάσσουσιν, ἀλλ' ἑαυτοῖς.

θεά] οὕτως εἴωθε τὴν Μοῦσαν καλεῖν. ἀμέλει καὶ ἐν Ὀδυσσείᾳ "ἄνδρα μοι ἔννεπε Μοῦσα."

Ἀχιλῆος] οὕτως ἀναγνωστέον διὰ τοῦ ἑνὸς λ, καὶ διὰ τὸ μέτρον καὶ διὰ τὸ ἄχος (ὅ ἐστι λύπην) ἐπενεγκεῖν τοῖς Ἰλιεῦσιν. οἱ δὲ παρὰ τὸ μὴ θιγεῖν χείλεσι θηλῆς· ὅλως γὰρ οὐ μετέσχε γάλακτος.

4. φήληξ] φίλιξ

7. νηυσὶ παρήμενος] νηυσὶν, omisso παρήμενος.

8. μῆνιν: παρὰ Bekker.] μῆνις παρὰ

ἔνος ἦνις Bastius ad Greg. Cor. p. 273] ἓν ἦνις

10–17. διὰ τί—πραχθέντα] Scholion manus recentioris in marg. exteriore intra ornamentum circumpictum.

13. * δέκατον ἔτος] ἔτος om.

14. * ἰσοπάλους (alii * ἰσοπαλεῖς)] ἰσοπάλου

17. τούτου] * τούτων

20. * μαντεύεο] μάντευο

21. Κρονίδαο ex Eustathio] κρονίωνος

28. θιγεῖν] θίγειν

*ὁ Κοτιαεὺς Ἀχιλῆος· διὰ τὸ μέτρον ἓν λ γράφεται καὶ τὸ Κάμανδρος ἀντὶ τοῦ Σκάμανδρος γράφεται.

2. μυρία] τινὲς θρηνητικὰ, παρὰ τὸ μυριᾶσθαι· καὶ ἐπίθετον αὐτὸ τῶν ἀλγέων ἤκουσαν, ἐφ' οἷς μυριᾶσθαι καὶ τὸ κλαῦσαι. οὐδὲν δὲ ἄτοπον εἰ παρὰ Μουσῶν ταῦτα ἐρωτᾷ· φρόνησις μὲν γάρ ἐστιν ἡ πάντων εἴδησις, προαίρεσις δὲ ἀκριβὴς ἡ τῶν ἀμεινόνων πράξεων αἵρεσις.

ἱστορία. Ξοῦθος ὁ Αἰόλου παῖς, ἀγαγόμενος Κρέουσαν τὴν Ἐρεχθέως θυγατέρα, ἔσχεν ἐξ αὐτῆς δύο παῖδας, Ἴωνα καὶ Ἀχαιόν· ὧν ὁ μὲν Ἴων ᾤκησεν Ἀθήνας, ὁ δὲ Ἀχαιὸς φόνον ἐμφύλιον δράσας παρεγένετο εἰς Θεσσαλίαν, καὶ κυριεύσας τῆς χώρας τοὺς ὑποτεταγμένους ἀφ' ἑαυτοῦ προσηγόρευσεν Ἀχαιούς. Ἕλληνες δὲ κοινῶς πάντες οἱ τῆς Ἑλλάδος ἐκλήθησαν, ἀπὸ Ἕλληνος τοῦ Διός. πρῶτοι οὖν οὗτος ἐλέγοντο οἱ ἐν Θεσσαλίᾳ ἄνθρωποι, καὶ οὗτοι οὐ πάντες, ἀλλὰ μόνοι οἱ ἐν Ἑλλάδι τῇ πόλει. ἔπειτα μεγάλα δυναστευθέντος τοῦ Ἕλληνος καὶ τῶν τούτου παίδων, ἀπ' αὐτοῦ πάντες ἐκλήθησαν Ἕλληνες.

3. *πολλὰς δ' ἰφθίμους ψυχάς] ὅτι κακῶς τινὲς μεταγράφουσι "πολλὰς δ' ἰφθίμους κεφαλάς," ἵνα περιφραστικῶς τοὺς ἀνδρείους καὶ ἀγαθοὺς λέγῃ ἰφθίμους κεφαλάς.

4, 5. ὅτι Ζηνόδοτος τοὺς δύο ἀθετεῖ. γίνεται δὲ τὸ προοίμιον κόλον. καὶ πρὸς τὰς ψυχὰς ἀντιδιέσταλκε τὸ αὐτοὺς δέ ἐπὶ τῶν σωμάτων. ἥρωας δέ φασι κληθῆναι ἀπὸ τῆς ἀρετῆς, ἢ ἀπὸ τοῦ ἀέρος, ὥς φησιν Ἡσίοδος "ἠέρα ἐσσάμενοι" (O. 124). ἢ ἀπὸ τῆς ἐράσεως, τουτέστι τῆς μίξεως τῶν θεῶν· οἱ γὰρ θεοὶ θνηταῖς γυναιξὶ συνερχόμενοι ἐποίουν γένος τὸ τῶν ἡρώων. ἢ ἀπὸ τῆς ἔρας. ἔρα δὲ γῆ κατὰ διάλεκτον, ἐκ δὲ τῆς γῆς ἐπλάσθη τὸ γένος τῶν ἀνθρώπων.

1. γράφεται—γράφεται] γρ.—γρ. ut solet. ὁ Κοτιαεὺς est Alexander.

2. ἀντὶ τοῦ] ἆ, et alibi non raro pro ἀντὶ τοῦ

6. *πάντων] π̄ ÷

8. ἱστορία] ἷσ rubrica.

*ἀγαγόμενος] ἀγόμενος

9. Ἴωνα] ἴονα

15. δυναστευθέντος] *δυνηθέντος

18. τινὲς] Apollonio Rhodio haec scriptura tribuitur in scholiis aliis, sumta ex Il. 11, 55.

20. ἰφθίμους addidit Friedlaenderus.

22. ἐπὶ τῶν Bekkerus] ἐπί τ͂ιν (i. e. τινων)

23. ἥρωας δέ—ἀνθρώπων] Comparandum cum hoc scholio Etym. M. p. 437, 22 et Plato in Cratylo p. 398.

25. ἐράσεως] ἐρώσεως Par. 2766.

5. Διὸς δ' ἐτελείετο βουλή] τινὲς σὺν τῷ ῑ κατὰ δοτικὴν, οἷον τῇ βουλῇ τοῦ Διὸς ἐτελειοῦτο.

5, 6. Διὸς δ' ἐτελείετο βουλὴ, ἐξ οὗ δὴ τὰ πρῶτα] Ἀρίσταρχος συνάπτει, ἵνα μὴ προοῦσά τις φαίνηται βουλὴ καθ' Ἕλλήνων, ἀλλ' ἀφ' οὗ χρόνου ἐγένετο ἡ μῆνις, ἵνα μὴ τὰ παρὰ τοῖς νεωτέροις πλάσματα δεξώμεθα.

ἱστορία. Διὸς βουλὴν οἱ μὲν τὴν εἱμαρμένην ἀπέδοσαν, ἄλλοι δὲ ἐξεδέξαντο δρῦν ἱερὰν μαντικὴν τοῦ Διὸς ἐν Δωδωναίῳ ὄρει τῆς Θεσπρωτίας, ὡς αὐτὸς Ὅμηρος λέγει ἐν Ὀδυσσείᾳ (14, 327.) "τὸν δ' ἐς Δωδώνην φάτο βήμεναι, ὄφρα θεοῖο ἐκ δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ἐπακούσαι." ἄλλοι δ' ἀπὸ ἱστορίας τινὸς εἶπον εἰρηκέναι τὸν Ὅμηρον. φασὶ γὰρ τὴν γῆν βαρουμένην ὑπ' ἀνθρώπων πολυπληθίας, μηδεμιᾶς ἀνθρώπων οὔσης εὐσεβείας, αἰτῆσαι τὸν Δία κουφισθῆναι τοῦ ἄχθους· τὸν δὲ Δία πρῶτον μὲν εὐθὺς ποιῆσαι τὸν Θηβαϊκὸν πόλεμον, δι' οὗ πολλοὺς πάνυ ἀπώλεσεν· ὕστερον δὲ πάλιν συμβούλῳ τῷ Μώμῳ χρησάμενος, ἣν Διὸς βουλὴν Ὅμηρός φησιν, ἐπειδὴ οἷός τε ἦν κεραυνοῖς ἢ κατακλυσμοῖς πάντας διαφθείρειν. ὅπερ τοῦ Μώμου κωλύσαντος, ὑποθεμένου δὲ αὐτῷ τὴν Θέτιδος θνητογαμίαν καὶ θυγατέρος καλῆς γένναν, ἐξ ὧν ἀμφοτέρων πόλεμος Ἕλλησί τε καὶ βαρβάροις ἐγένετο, ἀφ' οὗ χρόνου συνέβη κουφισθῆναι τὴν γῆν, πολλῶν ἀναιρεθέντων. ἡ δὲ ἱστορία παρὰ Στασίνῳ τῷ τὰ Κύπρια πεποιηκότι, εἰπόντι οὕτως

ἦν ὅτε μυρία φῦλα κατὰ χθόνα πλαζόμεν' ἀνδρῶν
. . . ἐβάρυνεβαθυστέρνου πλάτος αἴης.
Ζεὺς δὲ ἰδὼν ἐλέησε καὶ ἐν πυκιναῖς πραπίδεσσι
σύνθετο κουφίσσαι βάρεος παμβώτορα γαῖαν

4. *προοῦσα] παροῦσα

7. ῑ͂ rubrica.

8. Θεσπρωτίας] θεσπροτίας

14. *τὸν Θηβαϊκὸν] τὸν om.

17. διαφθείρειν] *διαφθεῖραι

22. *εἰπόντι] εἰπόντος

23. Criticorum de hoc fragmento coniecturas enumeravit Welck. in libro de Cyclo epico vol. 2 p. 509

πλαζόμεν' ἀνδρῶν Barnesius] πλαζόμενα, omisso ἀνδρῶν.

24. . .] ἐκπάγλως supplet Schneidewinus Philol. vol. 6. p. 591.

ἐβάρυνε addidit Boissonadius.

βαθυστέρνου legitur in Nic. Loënsis Epiphyll. 4, 3 in Gruteri Lampade vol. 5, 2, p. 401.] βαρυστέρνου A. Minus probabiliter alii εὐρυστέρνου. Adiectivi βαθυστέρνου exempla v. in Thes. vol. 2. p. 38.

25. πυκιναῖς] πυκινῆς Schneidew.

26. κουφίσσαι βάρεος παμβώτορα γαῖαν Schneidewinus] κουφίσαι παμβώτορα γαίης (* γαῖαν) ἀνῶν (i. e. ἀνθρώπων).

ῥιπίσσαι τε πόνου μεγάλην ἔριν Ἰλιακοῖο,
ὄφρα κενώσειεν θανάτῳ βάρος· οἱ δ' ἐνὶ Τροίῃ
ἥρωες κτείνοντο· Διὸς δ' ἐτελείετο βουλή.

καὶ τὰ μὲν παρὰ τοῖς νεωτέροις ἱστορούμενα περὶ τῆς τοῦ Διὸς βουλῆς ἐστὶ τάδε. ἡμεῖς δέ φαμεν, κατὰ τὴν Ἀριστάρχειον καὶ Ἀριστοφάνους δόξαν, τῆς Θέτιδος εἶναι βουλήν, ἣν ἐν τοῖς ἑξῆς φησι λιτανεύουσαν τὸν Δία ἐκδικῆσαι τὴν τοῦ παιδὸς ἀτιμίαν, καθάπερ ἐν τῷ προοιμίῳ.

7. Ἀτρείδης τε ἄναξ] ἱστορία. Ἀγαμέμνων κατὰ μὲν Ὅμηρον Ἀτρέως τοῦ Πέλοπος, μητρὸς δὲ Ἀερόπης, κατὰ δὲ Ἡσίοδον Πλεισθένους, τὸ γένος Μυκηναῖος, ὃς ἦγαγε ναῦς εἰς Ἴλιον. ἐκπορθήσας δὲ τὴν Ἴλιον καὶ ὑποστρέψας οἴκαδε ἀναιρεῖται ὑπὸ Αἰγίσθου τοῦ Θυέστου δόλῳ ἐπὶ εὐωχίας· οὗτος γὰρ παρὰ τὸν καιρὸν τῆς ἀποδημίας ἐμοίχευε τὴν Ἀγαμέμνονος γυναῖκα Κλυταιμνήστραν. κατὰ δὲ τοὺς τραγικούς, αὐτὴν τὴν Κλυταιμνήστραν ἀνελεῖν αὐτὸν χιτῶνι μὴ ἔχοντι διέκδυσιν τραχήλου. ἔσχε δ' ἐξ αὐτῆς υἱὸν μὲν Ὀρέστην, καὶ θυγατέρας τέσσαρας, Λαοδίκην, Χρυσόθεμιν, Ἰφιγένειαν καὶ Ἠλέκτραν.

8. *σφωε] ὅτι Ζηνόδοτος σφῶϊ ἔγραφεν.

*ξυνέηκε] δασύνεται τὸ ξυνέηκε.

9. Λητοῦς καὶ Διὸς υἱός] ἱστορία. Ζεὺς ἐρασθεὶς Λητοῦς τῆς Κοίου θυγατρὸς, ἑνὸς τῶν Τιτάνων, καὶ Φοίβης, ἔγκυον αὐτὴν ἐποίησεν· ἥτις δεκαμηνιαίου χρόνου διαγενομένου παρεγένετο διὰ θαλάσσης εἰς Ἀστερίαν τὴν νῆσον, μίαν οὖσαν τῶν Κυκλάδων· ἐκεῖσέ τε

1. ῥιπίσσαι τε πόνου Schneidewinus] ῥιπίσαι τε πολέμου
2. *θανάτῳ] θανάτ (i. e. θανάτου)
*οἱ δ' ἐνὶ] οἱ δὲ (δὲ per compendium expresso) ἐν
5. Ἀριστάρχειον] *Ἀριστάρχου
6. Ἀριστοφάνους] *ἀριστοφάνειον
*ἣν ἐν] ἐν om.
9. Rubrica ἱσ.
15. *χιτῶνι μὴ ἔχοντι] χιτ̃ν̃ μὴ ἐχον̃ (i. e. χιτῶνα μὴ ἔχοντα)
19. σφῶϊ] σφῶϊν A. Correctum ex Apollon. de constr. p. 167. et de pronom. p. 115. qui pluribus dixit de Zenodoti aliorumque scriptura τίς τ' ἄρ (vel τάρ) σφωϊ, quam improbat, et recte quidem: v. Duentzer. Zenod. p. 57 et Cobet. Mnem. nov. vol. 2 p. 188. Aristonici ad hunc versum annotatio excidit ex A, servata vero est ad 10, 546, ubi eodem quo hic modo erravit Zenodotus quum σφῶϊ (sive ἐγκλιτικῶς σφωϊ) pro σφωε scriberet.
21. Rubrica ἱσ̄
22. *Κοίου] κύου
24. *Ἀστερίαν] ἀστέριον

ἐλθοῦσα, καὶ ἁψαμένη δύο φυτῶν, ἐλαίας καὶ φοίνικος, διδύμους ἀπεκύησε παῖδας, Ἄρτεμιν καὶ Ἀπόλλωνα. καὶ τὴν νῆσον ἐκάλεσε Δῆλον, ὅτι ἐξ ἀδήλου βάσεως ἐρριζώθη.

11. *διὰ τὴν τάξιν τοῦ ἄρθρου, τὸν ἀρητῆρα Χρύσην.

12–16. *οὐ καλῶς γὰρ ἐν τοῖς ἑξῆς μετετέθησαν.

13. *εἰ μὲν εἶεν θεοσεβεῖς, τὸ στέμμα, εἰ δὲ φιλοχρήματοι, τὰ ἄποινα, εἰ δὲ οἰκτίρμονες, τὸ γῆρας αἰδεσθήσονται.

14. *στέμματ᾽] ὅτι ἔθος αὐτῷ πληθυντικῶς ἀντὶ τοῦ ἑνικῶς λέγειν.

στέμματ᾽ ἔχων ἐν χερσίν] ἱστορία. Λάδωνος τοῦ ἐν Ἀρκαδίᾳ ποταμοῦ Δάφνη ὑπῆρχε θυγάτηρ εὐπρεπεστάτη. ἐρασθεὶς δ᾽ αὐτῆς Ἀπόλλων καὶ βουλόμενος συγγενέσθαι ἐδίωκε. καταλαμβανομένης δ᾽ αὐτῆς ὑπὸ τοῦ θεοῦ, φασὶν εὔξασθαι τῇ μητρὶ τῇ Γῇ χάσματι αὐτὴν δεχθῆναι. γενομένου δὲ τούτου, καὶ τῆς Γῆς ἀναδύσης ὁμώνυμον φυτὸν, Ἀπόλλων θεασάμενος ἐξεπλάγη. καὶ τὸ μὲν δένδρον ἀπὸ τῆς παρθένου δάφνην προσηγόρευσεν ὁμωνύμως, λαβὼν δὲ τῶν κλάδων αὐτὸς ἐστέψατο.

15. *Ἀτρείδα] ὅτι τινὲς Ἀτρείδας.

18. εὖ δ᾽ οἴκαδ᾽ ἱκέσθαι] διὰ τί ὁ Χρύσης κατὰ τῶν οἰκείων ηὔχετο; λέγομεν ὅτι πρῶτον μὲν ἔδει κολακεύειν τὸν τύραννον, καὶ ταῦτα λέγειν ἅπερ ἐπεθύμει δρᾶσαι· δεύτερον δὲ ὅτι διὰ τοὺς Τρῶας ἀπολωλέκει τὴν θυγατέρα· ὅθεν εὐλόγως κέχρηται ταῖς ἀραῖς κατ᾽ αὐτῶν.

19. *ἱκέσθαι] μέσος ἀόριστος δεύτερος· διὸ παροξύνεται.

20. *ἀπαρέμφατον ἀντὶ προστακτικοῦ.

21. ἀζόμενοι] δασύνεται· διὸ τὸ σημεῖον.

1. *ἐλθοῦσα καὶ ἁψαμένη (*δρεψαμένη)—ἀπεκύησε] ἐλθοῦσαν καὶ ἁψαμένην—ἀποκυῆσαι. unde Vill., servatis accusativis, ἀποκυῆσαι λέγεται.

4. διὰ] Refertur ad διπλῆ, quae nec textui nec scholio praescripta est in A.

5. οὐ καλῶς γὰρ—] Refertur ad asteriscos his versibus praescriptos.

ἐν τοῖς ἑξῆς] Infra v. 371–375.

8. ἀντὶ τοῦ ἑνικῶς λέγειν] ἆ ενικ^{ω} λέ

10. Rubrica ἰσ^{τ}.

16. τῶν κλάδων Cobetus] τὸν κλάδον

17. αὐτὸς (αὐ^{ὸ} A.)] *αὐτῆς

25. ἀπαρέμφατον (ἀπαρεμφ^{α} τ^{ὰν} προσ^{τ} codex)] Infinitivum dicit λῦσαι et δέχεσθαι. In A male relatum ad v. 23 cum lemmate δέχθαι ἄποινα.

26. διὸ τὸ σημεῖον] διατο ση. Conf. p. 16, 3.

ἑκηβόλον Ἀπόλλωνα] ἵνα μὴ δοκοῖεν ἔμπειροι τῆς τοξικῆς εἶναι, τὸν θεὸν παρεισάγει ἀξιοῦντα αὐτοὺς δέξασθαι, διὰ δὲ τοῦ ἑκηβόλου εἰς μνήμην ἄξων τῶν τόξων ἐκφοβεῖ αὐτούς.

22. Ἀχαιοί] ἱστέον ὅτι τὸ παλαιὸν ἡ Πελοπόννησος εἰς ε' διῃρεῖτο μοίρας, Ἀργολικὴν, Πυλικὴν, Λακωνικὴν, Μεσσηνιακήν. ἱστέον δὲ ὅτι ἡ Πελοπόννησος τὸ ἀρχαῖον Αἰγιάλεια ἐκαλεῖτο, ἀπὸ Αἰγιαλέως τοῦ υἱοῦ Ἰνάχου τοῦ ἐν Ἄργει ποταμοῦ καὶ Μελίας τῆς Ὠκεανοῦ. ὕστερον δὲ Ἀπία πάλιν ἐκλήθη, ἀπὸ Ἄπιδος τοῦ Φορωνέως παιδός· εἶθ' οὕτως Ἄργος, ἀπὸ Ἄργου τοῦ πανόπτου· τελευταῖον δὲ πάντων Πελοπόννησος, ἀπὸ τοῦ κρατῆσαι τῆς χώρας τὸν Ταντάλου υἱὸν Πέλοπα.

24. *ἀλλ' οὐκ Ἀτρεΐδῃ Ἀγαμέμνονι ἥνδανε] ὅτι Ζηνόδοτος γράφει ἀλλ' οὐκ Ἀτρεΐδεω Ἀγαμέμνονος. ὁ δὲ ποιητὴς δοτικὴν ἀντὶ γενικῆς παραλαμβάνει.

ἀρχικὸν τὸ μὴ ἐπιτρέπειν τοῖς ἀρχομένοις τὰς κρίσεις, ἄλλων τε οὐκ ἐπεκηρυκεύσατο, ἀλλὰ τὸ τοῦ βασιλέως γέρας ᾔτει παρὰ τῶν ἀρχομένων.

26. μή σε, γέρον, κοίλῃσι] μετὰ σπουδῆς ὁ Ἀγαμέμνων ἀπελαύνει τὸν Χρύσην, εἰδὼς ὅτι παρὼν δυσωπεῖ τοὺς Ἕλληνας. καὶ οὐ τοῦτο δὲ λέγει ὅτι γηράσασαν αὐτὴν τότε ἀποδώσει, ἀλλ' ὅτι πρότερον γηράσει ἢ ἐκείνῳ ἀποδοθήσεται.

*κιχείω] ὅτι ἀντὶ τοῦ κιχείομι.

27. δηθύνοντα] ἓν μέρος λόγου. χρονίζοντα, βραδύνοντα.

28. μή νύ τοι οὐ χραίσμῃ] ἀναιρεῖ τὴν ἐλπίδα. καὶ ἔστι, μήποτε καὶ αὐτὸς ὁ θεὸς οὐκ ἀνεξόμενος τῆς σῆς ἀναιδείας περιόψεταί σε. ἢ ὡς πορθούμενον περιεῖδε πάντως καὶ φονευόμενον.

29, 30, 31. τὴν δ' ἐγὼ οὐ λύσω] ἀθετοῦνται, ὅτι ἀναλύουσι τὴν ἐπίτασιν τοῦ νοῦ καὶ τὴν ἀπειλήν. ἠσμένισε γὰρ καὶ ὁ Χρύσης εἰπούσης αὐτῆς τῷ βασιλεῖ. ἀπρεπὲς δὲ καὶ τὸ τὸν Ἀγαμέμνονα τοιαῦτα λέγειν.

1. *ἔμπειροι τῆς τοξικῆς εἶναι] ἔμπορον εἶναι, omisso τῆς τοξικῆς.

4. παλαιὸν Vill. πάλ° cum signo compendii sub λ. Conf. p. 15, 12.

7. Αἰγιαλέως] αἰγιαλε° (i. e. Αἰγιαλέος). υἱοῦ erasum.

Μελίας] μελείας

9. παιδός A, non τοῦ Διός, ut Vill.

13. Ἀτρείδεω] ἀτρείδεο. Addidi Ἀγαμέμνονος.

15. *τὰς κρίσεις] τὰς om.

26–30. Hoc scholion legitur post scholion inferius κατ' ὀλίγον —παισίν. Tum sequitur scholion versus 28 ἀναιρεῖ—φονευόμενον.

28. εἰπούσης] ὑπηρετούσης Lehrsius. συνούσης Cobet. Mnem. novae vol. 2 p. 168.

30. *ἡμετέρῳ—πάτρης] καθ' ἑαυτὸ τοῦτο προφερόμεθα· καὶ γὰρ ἐμφαντικώτερον.

Ἀργεῖ] διῃρημένως.

κατ' ὀλίγον αὔξων τὰ τῆς διαστάσεως λυπεῖ τὸν γέροντα· ἔστι γὰρ, ὥς που τὸ περὶ αὐτοῦ ἐπίγραμμα δηλοῖ, βασιλεὺς γὰρ ἀγαθὸς, κρατερὸς δ' αἰχμητής (Π. 3, 179). διὸ παρὰ μὲν τῶν ὑπηκόων ὑβρίζεται, τοῖς δὲ πολεμίοις λίαν ἐστὶν ἀπηνὴς, ὡς Ἀδράστῳ καὶ τοῖς Ἀντιμάχου παισίν.

32. *σαώτερος] ὅτι τὸ σαώτερος ἀντὶ τοῦ ἁπλοῦ.

34. *ἀκέων] ὅτι Ζηνόδοτος διὰ τοῦ χ.

πολυφλοίσβοιο] ὀνοματοποιία.

36. *Ἀπόλλωνι] ἐπὶ τῷ διχρόνῳ δεῖ ἐκτείνειν.

37. κλῦθι] Λαμψακηνῶν.

*ἀμφιβέβηκας] ὅτι κατὰ μεταφορὰν ἐκ τῶν τετραπόδων ὑπερμαχεῖς.

38. Κίλλαν τε ζαθέην] ἱστορία. Πέλοψ ὁ Ταντάλου καὶ . . . . . κατὰ μισθὸν παιδικῆς ὥρας λαβὼν παρὰ Ποσειδῶνος ἵππους ἀδαμάστους σὺν τῷ ὀχήματι, ἔσπευσεν εἰς Πῖσαν τῆς Πελοποννήσου ἐπὶ τὸν Ἱπποδαμείας γάμον, τὸν μνηστηροκτόνον αὐτῆς πατέρα Οἰνόμαον καταγωνίσασθαι ἐπιθυμῶν. γενομένῳ δὲ αὐτῷ περὶ Λέσβον Κίλλος ὁ ἡνίοχος τελευτᾷ τὸν βίον, ὃς καὶ καθ' ὕπνον ἐπιστὰς τῷ Πέλοπι σφόδρα ὀδυνηρῶς ἐπ' αὐτῷ ἔχοντι ἀπωδύρετό τε τὴν ἑαυτοῦ ἀπώλειαν καὶ περὶ κηδείας ἠξίου. διόπερ ἀναστὰς ἐξερυπάρου τὸ εἴδωλον διὰ πυρὸς, εἶθ' οὕτως ἔθαψε τὴν τέφραν ἐπιφανῶς τοῦ Κίλλου, ἠρίον ἐπ' αὐτῷ ἐγείρας, καὶ πρὸς τῷ ἠρίῳ αὐτοῦ ἐδείματο ἱερὸν,

1. Lemma om.

4. κατ' ὀλίγον—] In A lemma praescriptum μή νύ τοι οὐ χραίσμῃ.

5. *ἐπίγραμμα δηλοῖ] ἐπιγράφον γράμμα δηλοῦν. Librarii error, qui in codice suo scriptum viderat ἐπιγρ. δῆ.

βασιλεὺς γὰρ (γὰρ compendio expressum)] Immo βασιλεύς τ'—κρατερός τ'.

9. τοῦ addidit Bekk.

12. ἐπὶ τῷ διχρόνῳ δεῖ ἐκτείνειν] Hoc est nominis Ἀπόλλωνι litteram primam syllabae longae nota (–) esse insigniendam, ut fere constanter in huiusmodi syllabis factum est in textu codicis A.

13. Λαμψακηνῶν] Huiusmodi de dialecto observationes plurimae sunt inter glossemata interlinearia.

16. Rubrica ἱ.

Ταντάλου καὶ . . . . . κατὰ Bekkerus] Ταντάλου κάτω (*Ταντάλου κατὰ)

18. *Πελοποννήσου] λέσβου

21. *ὁ ἡνίοχος] ὁ om.

22. *ἐπ' αὐτῷ] ἐπαυτὸ

Κιλλαίου Ἀπόλλωνος προσαγορεύσας διὰ τὸ αἰφνιδίως τὸν Κίλλον ἀποθανεῖν. οὐ μὴν ἀλλὰ καὶ πόλιν κτίσας Κίλλαν ὠνόμασεν. ὁ μέντοι Κίλλος καὶ μετὰ θάνατον τῷ Πέλοπι δοκεῖ συλλαβέσθαι, ὅπως περιγένηται τοῦ Οἰνομάου περὶ τὸν δρόμον. ἡ ἱστορία παρὰ Θεοπόμπῳ.

Τενέδοιό τε] καὶ τῆς Τενέδου. ἱστορία. ἡ δὲ Τένεδος νῆσός ἐστι πρὸ τῆς Τροίας κειμένη. οὔπω δὲ πρότερον τοῦτο εἶχε τὸ ὄνομα· καὶ γὰρ οὐδὲ Κύκνῳ τῷ Ποσειδῶνος Τέννης ἦν καὶ Λευκοθέα· Λευκόφρυν δὲ αὐτὴν οἱ πρὶν ὠνόμαζον. ἐπειδὴ δὲ ἄρα τῷ Κύκνῳ ἐγεννήθη ὁ Τέννης καὶ ἡ Λευκοθέα, καὶ ἡ μὲν μήτηρ αὐτῶν οὐκέτι ἦν, ἐπέγημε δ' ὁ Κύκνος Φυλονόμην ἢ ὡς ἔνιοι Πολύβοιαν, ἡ Φυλονόμη (καὶ γὰρ εἰς ἄνδρας ἐτέλει ἤδη ὁ Τέννης) ἐρασθεῖσα αὐτοῦ λόγους περὶ συνουσίας ἠνέγκατο πρὸς αὐτόν. τοῦ δὲ τὰ πρὸς τὴν φύσιν δίκαια τηρήσαντος, κατηγορήσατο πρὸς τὸν πατέρα αὐτοῦ ὅτι ἐθελήκοι αὐτὴν βιάσασθαι. ὁ δὲ πιστεύσας τῇ κατηγορίᾳ, συλλαβὼν τὸν παῖδα ἐνέβαλεν εἰς λάρνακα καὶ ἔρριψεν εἰς τὴν ὑποκειμένην θάλασσαν. ὃν διὰ σωφροσύνην καὶ διὰ τὸ εἶναι υἱωνὸν ἔσωσεν ὁ Ποσειδῶν· τὴν γὰρ λάρνακα προσενεχθῆναι τῇ Λευκόφρυϊ νήσῳ ἐποίησεν. ἣν οἱ ἐπιχώριοι θεασάμενοι, καὶ ἀφελόντες τὸ ἐπίθημα, μαθόντες τε τὸ γεγονός, οὐ μόνον ἑαυτῶν βασιλέα κατεστήσαντο, ἀλλὰ καὶ ἀπ' αὐτοῦ Τένεδον τὴν νῆσον προσηγόρευσαν.

39. Σμινθεῦ] ἐπίθετον Ἀπόλλωνος· Σμίνθος γὰρ τόπος τῆς Τρῳάδος, ἐν ᾧ ἱερὸν Ἀπόλλωνος ἀπὸ αἰτίας τῆσδε. ἐν Χρύσῃ, πόλει τῆς Μυσίας, Κρῖνίς τις ἱερεὺς ἦν τοῦ κεῖθι Ἀπόλλωνος. τούτῳ ὀργισθεὶς ὁ θεὸς ἔπεμψεν αὐτοῦ τοῖς ἀγροῖς μύας, οἵτινες τοὺς καρποὺς ἐλυμαίνοντο. βουληθεὶς δέ ποτε ὁ θεὸς αὐτῷ καταλλαγῆναι, πρὸς Ὄρδην τὸν ἀρχιβουκόλον αὐτοῦ παρεγένετο, παρ' ᾧ ξενισθεὶς ὁ θεὸς ὑπέσχετο τῶν κακῶν ἀπαλλάξειν, καὶ δὴ παραχρῆμα τοξεύσας τοὺς μῦς διέφθειρεν. ἀπαλλασσόμενος οὖν ἐνετείλατο τὴν ἐπιφάνειαν αὐτοῦ

1. *Κιλλαίου] κιλλέου
6. Rubrica ἰσ. Proximum δὲ delendum. Neque enim haec cohaerent cum glossemate καὶ τῆς Τενέδου.
8. *τῷ] τοῦ
10. *καὶ ἡ] καὶ om.
14. ἐθελήκοι] *τεθελήκοι
17. εἶναι] *εἶναι αὐτῷ
*υἱωνὸν] οἰωνὸν
18. *οἱ ἐπιχώριοι] om.
20. *ἑαυτῶν] ἑαυτὴ βασιλέα] *βασιλέα τὸν Τέννην
24. *ἦν] om.
25. *μύας] μυῖ hic et infra.
28. *τῶν κακῶν] τὸ κακὸν
29. *ἐπιφάνειαν] ἐπιφανίαν

δηλῶσαι τῷ Κρίνιδι. οὗ γενομένου ὁ Κρῆνις ἱερὸν ἱδρύσατο τῷ θεῷ, Σμινθέα αὐτὸν προσαγορεύσας, ἐπειδὴ κατὰ τὴν ἐγχώριον αὐτῶν διάλεκτον οἱ μύες σμίνθοι καλοῦνται. ἡ ἱστορία παρὰ Πολέμωνι.

ἄλλοι δὲ οὕτως, ὅτι Κρῆτες ἀποικίαν στέλλοντες χρησμὸν ἔλαβον παρὰ τοῦ Ἀπόλλωνος, ὅπου αὐτοῖς ἐναντιωθῶσι γηγενεῖς—ἔλεγε δὲ περὶ μυῶν—, ἐκεῖ κτίσαι τὴν πόλιν. οἱ δὲ ἀπέστειλαν τοὺς ἀποίκους. ἐλθόντων δὲ εἰς τὸν Ἑλλήσποντον, καὶ νυκτὸς ἐπιγενομένης, μύες ἔκοψαν αὐτῶν τοὺς τελαμῶνας τῶν ὅπλων. πρωῒ δὲ ἀναστάντες καὶ θεασάμενοι τοῦτο, σοφισάμενοί τε καθ' ἑαυτούς, ἔκτισαν ἐκεῖ πόλιν, ἥντινα ἐκάλεσαν Σμινθίαν· οἱ γὰρ Κρῆτες τοὺς μύας σμίνθους καλοῦσιν. ἐκ τούτου καὶ Ἀπόλλων Σμίνθιος, διὰ τὸ ὑπερασπίζειν αὐτῆς.

*ἐπι νηὸν ἔρεψα] ὅτι παρέλκει ἡ ἐπί.

ἔρεψα] παρὰ τὸ ἐρέφω, ὅθεν καὶ εἰραφιώτης ὁ Διόνυσος λέγεται· ἐστέφετο γὰρ κισσῷ. ἢ ἀπὸ τοῦ ἐρράφθαι αὐτὸν τῷ μηρῷ τοῦ Διός· ἢ παρὰ τὸ ἐρίφῳ αὐτὸν συνανατραφῆναι· ἢ παρὰ τὸ ἐρίῳ αὐτὸν πλέκεσθαι.

41. *ἢ δ' αἰγῶν] ὅτι περιττὸς ὁ δέ συνήθως αὐτῷ.

*τόδε] Ἀρίσταρχος δύο μέρη λόγου τὸ τὸ δέ, Ἡρωδιανὸς ἕν.

42. *τίσειαν] ὅτι Ζηνόδοτος τίσαιεν.

ἱστορία. Δαναοί] Ἕλληνες, οὕτως. Βῆλος ὁ Ἀγήνορος μὲν ἀδελφὸς, υἱὸς δὲ Ποσειδῶνος καὶ Λιβύης, ἀφ' ἧς ἡ χώρα ὠνόμασται Λιβύη, βασιλεύων Αἰγυπτίων γαμεῖ Ἀγχινόην τὴν Νείλου θυγατέρα, καὶ αὐτῷ γίνονται παῖδες δίδυμοι, Αἴγυπτος καὶ Δαναός. καὶ Δαναὸν μὲν Βῆλος ἐν Λιβύῃ κατοικίζει, Αἴγυπτον δὲ ἐν Ἀραβίᾳ· ὃς καταστρεψάμενος τὴν τῶν Μελαμποδιδῶν χώραν ἀφ' ἑαυτοῦ ὠνόμασεν Αἴγυπτον. γίνονται δὲ ἐκ πολλῶν γυναικῶν Αἰγύπτῳ μὲν πεντή-

3. *σμίνθοι] σμίνθιοι

4. ἄλλοι] Novum incipit scholion cum rubrica ἱσ.

6. *ἀπέστειλαν] ἀπέλυσαν

7. *ἐλθόντων] ἐλθόντες

18. ἢ δ'] Sic A, non ἠδ'.

19. τὸ τὸ δέ] Prius τὸ delevit Vill. Scholion in A in brevius contractum integrum servarunt alii codices, τὸ δέ μοι: Ἡρωδιανὸς ἕν. Ἀρίσταρχος ὀξύνει τὸ δέ, ὁμοίως τῷ "τὸ δέ τοι ξεινήιον ἔσται" (Od. 9, 370.), ἵνα ᾖ δύο μέρη λόγου. Πτολεμαῖος (Ascalonita) δὲ ἐν ποιῶν ἐπὶ τὸ τό τίθησι τὴν ὀξεῖαν. ἐπείσθη δὲ ἡ παράδοσις Ἀριστάρχῳ.

20. τίσαιεν Heynius] τίσειεν

21. Rubrica ἱσ.

23. *Νείλου] νήλου

25. *ἐν] om.

26. Μελαμποδιδῶν] *Μελαμπόδων

κοντα παῖδες, Δαναῷ δὲ θυγατέρες πεντήκοντα. στασιασάντων δὲ αὐτῶν πρὸς ἀλλήλους περὶ τῆς ἀρχῆς, ὕστερον Δαναὸς τοὺς τοῦ Αἰγύπτου παῖδας, πλὴν ἑνὸς ἢ δυεῖν, διὰ τῶν θυγατέρων ἀνεῖλε δεδοικὼς, καθότι καὶ ἐκ χρησμοῦ ἠκηκόει, ὅτι φονευθήσεται ὑφ' ἑνὸς αὐτῶν. καὶ ὑποθεμένης Ἀθηνᾶς αὐτῷ, ναῦν πρῶτος κατεσκεύασε τὴν κληθεῖσαν ὡς ἀπὸ τοῦ ἀριθμοῦ τῶν θυγατέρων αὐτοῦ πεντηκόντορον, ἐν ᾗ τὰς κόρας ἐνθέμενος ἔφυγε. προσσχὼν δὲ Ῥόδῳ τὸ τῆς Λινδίας Ἀθηνᾶς ἄγαλμα ἱδρύσατο. ἐντεῦθεν δὲ ἦκεν εἰς Ἄργος, καὶ τὴν βασιλείαν αὐτῷ παραδίδωσιν Ἑλλάνωρ ὁ τότε βασιλεύων· αὐτὸς δὲ κρατήσας τῆς χώρας ἀφ' ἑαυτοῦ τοὺς ἐνοικοῦντας Δαναοὺς ὠνόμασεν. ἱστορεῖ Ἀπολλόδωρος ἐν β'.

44. *Οὐλύμποιο καρήνων] ὅτι ὄρος ὁ Ὄλυμπος· τὰ γὰρ κάρηνα ἐπὶ ὄρους.

45. ἀμφηρεφέα] κοινή ἐστιν, οὐκ ἔκτασις.

46, 47. *ὅτι Ζηνόδοτος ἀμφοτέρους ἠθέτηκεν, οὐ καλῶς.

49. * βιοῖο] Ἀριστάρχειος ὁ τόνος. παρὰ τὴν βίαν.

50. διὰ τί ἀπὸ τῶν κυνῶν καὶ τῶν ἡμιόνων ὁ λοιμὸς ἦρξατο, ἀπὸ τῶν Ἑλλήνων δὲ οὔ, οὐδὲ ἀπ' ἄλλου ζώου τινός; καὶ οἱ μὲν ῥητορικῶς λύοντές φασιν ὅτι φιλάνθρωπον ὂν τὸ θεῖον ἐβούλετο παιδεῦσαι τοὺς Ἕλληνας καὶ μὴ παντάπασιν ἀπολέσαι, καὶ διὰ τοῦτο πρότερον ἀπὸ τοιούτων ζώων ἦρξατο, μετάνοιαν τοῖς ἁμαρτήσασι διδούς. οἱ δὲ ἀληθέστερον καὶ φιλοσοφώτερον λύοντές φασιν ὅτι ἅπας μὲν λοιμὸς ἀπὸ ἐκφλογώσεως γίνεται, γῆθεν ἀναφερόμενος ἐξ ἀναθυμιάσεως. διὸ καὶ τὸν Ἀπόλλωνά φασιν αἴτιον εἶναι τῆς τοιαύτης ἀσθενείας, ἐπεὶ ὁ αὐτὸς εἶναι λέγεται τῷ ἡλίῳ τῷ καταφλέγοντι τὴν γῆν. ἐκ δὲ τῆς γῆς γιγνομένης τῆς νόσου, ἀναγκαῖον τοὺς κύνας πρώτους ἠσθῆσθαι τῆς βλάβης, ὅτι τε καὶ αἰσθητικώτερά ἐστι τὰ ἄλογα ζῶα φύσει τῶν ἀνθρώπων καὶ ὅτι κάτω νεύουσι πρὸς τὴν γῆν καὶ ἀνιχνεύουσι. τοὺς δὲ ἡμιόνους οὐ διὰ τὸ κάτω νεύειν, ἀλλὰ τῷ ἐκ διαφόρων σωμάτων εἰληχέναι τὴν γένεσιν· παντελῶς γὰρ εὐδιάφθαρτον

3. * πλὴν ἑνὸς—ἀνεῖλε] om.

9. Ἑλλάνωρ] Recte Γελάνωρ apud Apollod. 2, 1, 4.

11. ἐν β'] Post hoc schol on sequitur in A scholion versus 50 οὐρῆες—εὐπαθέστερα.

16. Ἀριστάρχειος] ἀριστα῀ χ

βίαν] βίαν τῆς τάσεως Etym. M. p. 198, 27.

17. Scholion in exteriore margine scriptum duabus columnis.

22. *λύοντες] λέγοντες

25. *τῷ ἡλίῳ] τῷ om.

27. καὶ] Delendum.

28. *τὴν γῆν] τῆι γῆι

29. *τῷ] τὸ

τὸ τοιοῦτο. τῆς δεκάτης δὲ ἡμέρας γεγενῆσθαι φανερὸν τὸ νοσῶδες, εὐλόγως· κατ᾽ αὐτὸν δὲ τὸν ποιητὴν τὸ θεώρημα δεῖ λύειν. τῇ δεκάτῃ φαίνεται τὸ νοσῶδες, τοῦ ἀέρος ἐν ταύτῃ πάντως καθισταμένου, ὥσπερ καὶ αὐτὸς ὁ ποιητὴς δεδήλωκεν. ἡ Ἥρα, φησὶν, ἐπὶ φρεσὶ θῆκε τῷ Ἀχιλλεῖ. Ἀχιλλεὺς γὰρ Χείρωνος ὢν μαθητὴς, καὶ τὴν ἰατρικὴν τέχνην σοφὸς, ἐκ τῆς καταστάσεως τοῦ ἀέρος ἐπέγνω γινόμενον τὸ κακόν. τὸ γὰρ τῆς Ἥρας ὄνομα παρὰ τὸν ἀέρα πεποίηται, ἐπεὶ τίνος ἕνεκα Νέστωρ ἢ Ὀδυσσεὺς ἢ Μενέλαος, οὐδενὸς ἔλαττον τῶν Ἑλλήνων φροντίζοντες, οὐ ζητοῦσιν, ἀλλὰ μόνος τῇ δεκάτῃ δ᾽ ἀγορήνδε καλέσσατο λαὸν Ἀχιλλεύς;

Φιλάνθρωπος ὢν ὁ θεὸς πρῶτον τὰς ἡμιόνους καὶ τοὺς κύνας καὶ τὰ ἄλογα ζῶα ἀναιρεῖ, ἵνα διὰ τούτων εἰς δέος ἀγαγὼν τοὺς Ἕλληνας ἐπὶ τὸ εὐσεβεῖν παρασκευάσῃ. ἢ ὅτι αἱ ἡμίονοι καὶ οἱ κύνες τὴν αἴσθησιν τῆς ὀσφρήσεως ἐνεργεστέραν ἔχουσιν. οἱ μὲν γὰρ κύνες ἀπὸ τῆς ὀσφρήσεως τῶν ἰχνῶν ἐν αἰσθήσει τῶν θηρίων γίνονται, αἱ δὲ ἡμίονοι πολλάκις ἀπολειφθεῖσαι ἀνθρώπων ἀπὸ τῆς ὀσφρήσεως καὶ τὰς ὁδοὺς ἀνευρίσκουσιν.

*ὅτι οὐκ ὀρθῶς τινὲς οὐρῆας τοὺς φύλακας· ἀντιδιαστέλλει γὰρ διὰ τοῦ αὐτοῖσι.

οὐρῆες μὲν πρῶτον] οὐρῆες λέγονται διὰ τὸ ἄγονον, ὡς οὔρια ἀὰ καλοῦμεν. εὐπαθῆ δὲ τὰ ζῶα ταῦτα καὶ εὐάλωτα ὑπὸ νόσου· σύμμικτος γὰρ οὖσα ἡ φύσις αὐτῶν, καὶ ἐκ διαφερόντων τοῖς εἴδεσιν, οὐ μεγάλης εἰς τὸ φθείρεσθαι δεῖται ἀνάγκης, οὐδὲ ἀντέχει μέχρι πολλοῦ βλαπτομένη. οἱ δὲ κύνες καθαροῦ δέονται τοῦ ἀέρος, ὀξυτέρᾳ τῇ ὀσφρήσει χρώμενοι. ἀργοὺς δὲ ἀκουστέον τοὺς λευκοὺς, ὅτι ἀσθενέστερά ἐστι τὰ τοιαῦτα σώματα τῶν ἐναντίως ἐχόντων, ἀραιότερα ὄντα καὶ εὐπαθέστερα.

51. αὐτὰρ ἔπειτ᾽ αὐτοῖσι βέλος] διαφέρει ὁ αὐτάρ τοῦ δέ, ὅτι ὁ μὲν αὐτάρ προτάσσεται, ὁ δὲ δέ ὑποτάσσεται.

1. τῆς δεκάτης δὲ ἡμέρας] *τῇ δεκάτῃ δὲ ἡμέρᾳ
* τὸ νοσῶδες] om.
3. * καθισταμένου] καθιστάμενον
4. * ἡ Ἥρα—τῷ Ἀχιλλεῖ] om.
6. σοφὸς (σοφο A)] * σαφῶς ἐπιστάμενος
* ἐπέγνω γινόμενον τὸ κακόν] μαθὼν
9. * ἀλλὰ—Ἀχιλλεύς] ἀλλ᾽ ἢ ὁ ἀχιλλεύς
11. Hoc scholion legitur in margine interiore folii 12 b, non inter scholia reliqua.
12. τούτων] τούτου Bekkerus.
21. καλοῦμεν] τὰ ἄγονα addit Bast. ad Greg. p. 732.
22. * οὖσα] om.
27. *καὶ εὐπαθέστερα] εὐπαθέστερά εἰσιν.

ἐχεπευκές] ἔχον πικρίαν· ἀπὸ τῆς πεύκης ἡ μεταφορά. καὶ γὰρ ἡ πεύκη κοπεῖσα οὐκ ἀνίησι βλαστὸν καὶ τὸ δάκρυον αὐτῆς ἐστι πικρόν.

*ἐχεπευκές] ὅτι μεταφορικῶς ἀπὸ τῆς πεύκης.

52. βάλλ'] ἐτίτρωσκε.

πυραὶ νεκύων καίοντο θαμειαί] πῶς, φασίν, ὁ ποιητὴς ἐναντία ἑαυτῷ λέγει; προειπὼν γὰρ "αὐτοὺς δὲ ἑλώρια τεῦχε κύνεσσιν" νῦν ἐπάγει "αἰεὶ δὲ πυραὶ νεκύων." ἐροῦμεν δὲ ὅτι ὁ λοιμὸς ηὔξε τὴν μῆνιν, ἡ μῆνις δὲ τὰς μετὰ ταῦτα μάχας· καὶ οἱ ἐν ταύταις πίπτοντες ἑλώρια κυνῶν ἐγίνοντο, οἱ δὲ ὑπὸ τοῦ λοιμοῦ φθειρόμενοι ἐκαίοντο.

αἰεὶ δὲ πυραὶ νεκύων] τὸ παλαιὸν τὰ σώματα τῶν θνησκόντων πρότερον ἐκαίετο διὰ τὸ ἀπέριττα γίνεσθαι, εἶθ' οὕτως ἐθάπτετο ὑπὸ γῆν. ἡ δὲ αἰτία τοῦ καίεσθαι τὰ σώματα παρὰ τοῖς Ἕλλησιν αὕτη· πρῶτος, φασίν, οὕτως ἐτάφη Ἀργεῖος ὁ Λικυμνίου δι' ἀνάγκην ὑπὸ Ἡρακλέους. συναγαγόντος γάρ, φασί, στρατιὰν ἐπὶ Ἴλιον Ἡρακλέους, διὰ τὸ τὸν Λαομέδοντα παρὰ σύνταξιν ποιῆσαι Ἡρακλεῖ σώσαντι τοῦ κήτους τὴν θυγατέρα αὐτοῦ Ἡσιόνην, καὶ μὴ δοῦναι τοὺς ἵππους οὓς ὑποσχόμενος ἦν αὐτῷ ὑπὲρ τῆς τοσαύτης εὐεργεσίας, ἐπεζήτει καὶ τὸν Ἀργεῖον ὡσανεὶ οἰκεῖον. Λικύμνιον δέ φασι τὸν πατέρα Ἀργείου, φοβούμενον ὅτι καὶ τὸν πρότερον αὐτοῦ υἱὸν ὀνόματι Οἰωνὸν ἀποστείλας εἰς Λακεδαίμονα μεθ' Ἡρακλέους ἀπέβαλεν, οὐ βούλεσθαι προΐεσθαι τοῦτον, ἕως Ἡρακλῆς ὤμοσεν ἀπάξειν πάλιν αὐτόν. τότε δ' οὖν συμπεσούσης τῷ Ἀργείῳ τῆς τοῦ βίου τελευτῆς, διαπορηθεὶς ὁ Ἡρακλῆς πῶς ἂν ἐπιτελέσοι τὸν ὅρκον, ἔκαυσεν αὐτὸν, καὶ πρῶτόν φασι τοῦτον τοιαύτης ἐπιμελείας τυχεῖν. ἡ ἱστορία παρὰ Ἄνδρωνι.

53. ἐννῆμαρ] ἐχρῆν τὸ ἐννῆμαρ προπαροξύνειν, ὡς παρ' οὐδέτερον

1. ἔχον] ἔχ (i. e. ἔχων).
5. ἐτίτρωσκε glossema est. διπλῆ huic versui praescripta indicio est excidisse Aristonici scholion, quo Aristarchi observatio de usu verbi βάλλειν pro τιτρώσκειν, saepius in scholiis repetita, memorata fuerat.
6. *φασὶν] φησὶν
10. *ὑπὸ] ἀπὸ
12. αἰεὶ δὲ—] Hoc scholion extra seriem scriptum in ima pagina, manu eadem qua scholia intermarginalia.
15, 16. *φασὶν] φησὶν
19. *τοσαύτης] τοιαύτης
20. *δέ] om.
23. *ὤμοσεν] ὄμωσεν
24. *συμπεσούσης] συμπετρούσης (sic)
26. *ἡ ἱστορία παρὰ Ἄνδρωνι] om.

συγκείμενον. ἀλλ' ὁ τόνος παρηλλάγη, ἐπεὶ καὶ ξένη ἡ σύνθεσις· οὐδὲν γὰρ τῶν εἰς ᾱρ συνετέθη οὐδετέρων.

κῆλα] νῦν τὰ βέλη· διὸ καὶ τὸ σημεῖον.

56. *κήδετο γὰρ Δαναῶν] εὐλόγως ἐφρόντιζε τῶν Ἑλλήνων ἡ Ἥρα, ὅτι τὸ Ἄργος ὅλον ἱερὸν αὐτῆς, ἄλλως τε καὶ ἣν ὑβρισθεῖσα ὑπὸ Ἀλεξάνδρου, ὡς καὶ ἡ Ἀθηνᾶ, ἐν τῇ τοῦ μήλου κρίσει. ἤθελεν οὖν σώζεσθαι τοὺς Ἕλληνας, ἵνα γένωνται τοῖς Τρωσὶν ὄλεθρος.

*ὁρᾶτο] ὅτι Ζηνόδοτος ὁρῆτο γράφει· ἀγνοεῖ δὲ ὅτι Δωρικὸν γίνεται.

58. τοῖσι δ' ἀνιστάμενος] τὸ γὰρ παλαιὸν, κἂν βασιλεὺς ἦν κἂν ἄλλης οἱασδήποτε τύχης λαμπρᾶς, ἐδημηγόρει δὲ, ὀρθὸς ἵστατο.

* μετέφη] διὰ τὴν μετά.

59. Ἀτρεΐδη, νῦν ἄμμε] μετὰ τὸ Ἀτρεΐδη δεῖ στίζειν, ἐπεὶ αἱ προσαγορευτικαὶ τῶν περιόδων αὐτοτελεῖς εἰσίν.

παλιμπλαγχθέντας] εἰς τοὐπίσω πλανηθέντας ἀπελθεῖν, μάτην ἐπανακάμψειν εἰς τὰ οἰκεῖα, ἐάν περ δὴ ὅλως τὸν θάνατον ὑπεκφύγοιμεν. οὐκ ἐκ ῥήματος δὲ ἡ σύνθεσις τῆς μετοχῆς, ἀλλὰ συντέθειται διὰ τὸ ἂψ ἀπονοστήσειν.

*πρὸς τὴν τῶν νεωτέρων ἱστορίαν, ὅτι ἐντεῦθεν τὴν κατὰ Μυσίαν ἱστορίαν ἔπλασαν.

Ἀτρεΐδη, νῦν ἄμμε παλιμπλαγχθέντας] οἱ νεώτεροι ποιηταὶ ἐντεῦθεν σημειοῦνται ἱστοροῦντες τὰ περὶ τὴν Μυσίαν τὸν τρόπον τοῦτον. ἐν Τροίᾳ πλέοντες οἱ Ἕλληνες Μυσίᾳ προσίσχουσιν, καὶ ἀγνοοῦντες αὐτὴν ἐπόρθουν, Τροίαν εἶναι νομίζοντες. Τήλεφος δὲ ὁ Ἡρακλέους καὶ Αὔγης τῆς Ἀλέου παῖς, βασιλεύων Μυσῶν καὶ ἰδὼν τὴν χώραν λεηλατουμένην, τοὺς Μυσοὺς καθοπλίσας, ἐπὶ τὰς ναῦς τοὺς Ἕλληνας συνδιώξας πολλοὺς ἀπέκτεινεν. ὁρμήσαντος δὲ ἐπ' αὐτὸν Ἀχιλλέως οὐ μείνας ἐδιώκετο· ἐν δὲ τῷ τρέχειν ἐμπλακεὶς ἀμπέλου κλήματι τὸν μηρὸν τιτρώσκεται, νεμεσήσαντος αὐτῷ Διονύσου, ὅτι ἄρα ὑπὸ τούτου τῶν τιμῶν ἀφῄρητο.

3. * διὸ καὶ τὸ σημεῖον] ͦ, καὶ σημεῖ. Similiter supra p. 8, 26.

4. Lemma om.

11. * ὀρθὸς] ὀρθῶς

12. Addidi lemma μετέφη. In A ante διὰ est signum non infrequens in A ※ pro διπλῆ, ut animadvertit Cobetus, qui τὴν μετά scripsit pro τὸν μετ᾽.

16. * δὴ] δεῖ

19. ἐντεῦθεν Bekkerus] ἔνθεν

20. ἱστορίαν] ἐφόρμισιν (vel simile quid) Friedl.

οἱ δὲ Ἕλληνες ὑπέστρεψάν εἰς τὸ Ἄργος· Τήλεφος δὲ ἀνίατον ἔχων τὸ τραῦμα, εἰπόντος θεοῦ μηδένα δύνασθαι αὐτὸν θεραπεῦσαι ἢ τὸν τρώσαντα, ἦλθεν εἰς Ἄργος, καὶ πίστιν δοὺς μὴ ἐπικουρήσειν Τρωσὶν ἐθεραπεύθη ὑπ' Ἀχιλλέως, καὶ αὐτὸς ἔδειξε τὸν ἐπὶ Τροίαν πλοῦν. ταῦτα οἱ νεώτεροι· ὁ δὲ ποιητὴς λέγει Κάλχαντα ὑφηγήσασθαι τὸν ἐπὶ Ἴλιον πλοῦν.

60. εἴ κεν] ὅτι Ζηνόδοτος οἵ κεν γράφει, οὐ καλῶς· καλὴ γὰρ ἡ ἀπόγνωσις τῆς σωτηρίας.

61. εἰ δὴ] ἀντὶ τοῦ καὶ γάρ.

62. μάντιν ἐρείομεν, ἢ ἱερῆα ἢ καὶ ὀνειροπόλον] μέχρι τοῦ ἐρείομεν διασταλτέον, εἶτα ἢ ἱερῆα ἢ καὶ ὀνειροπόλον, ἵνα γενικὸν μὲν ᾖ τὸ μάντιν, εἴδη δὲ τὰ ἐπιφερόμενα. οὕτως Ἡρωδιανός. καὶ ὁ Νικάνωρ δὲ οὕτως λέγει.

ἔστι γένος τι ἡ μαντικὴ, διαιρουμένη εἰς εἴδη τρία, εἰς οἰωνοσκοπίαν, εἰς ἀεροσκοπίαν καὶ τὴν διὰ τῶν ὀνειράτων μαντείαν.

Ἡρωδιανὸς τελείαν δίδωσι, καὶ κοινὸν τὸ μάντιν. ὁ δὲ Πορφύριος τὸν δι' οἰωνῶν ἢ σημείων ἢ τεράτων μαντευόμενον, ὀνειροπόλον δὲ τὸν ὀνειροκρίτην.

63. ἀλλ' ἄγε δή τινα μάντιν] ἡ διπλῆ, ὅτι μάντις γενικῶς, ἱερεὺς δὲ καὶ ὀνειροπόλος εἰδικῶς, εἴδη μάντεων. Ζηνόδοτος δὲ ἠθέτηκεν αὐτόν. μήποτε δὲ ὀνειροκρίτην ὑπείληφεν, οὐκ ὀρθῶς.

καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστιν] τοῦ τι ἐστὶν συναλοιφὴ, καὶ γάρ τι ὄναρ· οὐ γὰρ πᾶν λέγει ἀληθὲς, ἐπεί φησιν οὐ πάντας εἶναι τοὺς ὀνείρους ἀληθεῖς· "αἱ μὲν γὰρ κεράεσσι τετεύχαται, αἱ δ' ἐλέφαντι." (Od. 19, 563.)

65. εἴ ταρ] οὕτως ὀξεῖα εἰς τὸν εἴ· τὸ γὰρ τάρ ἐστιν ἐγκλιτικὸς σύνδεσμος ἐπιφερόμενος. καὶ οὐ δεῖ ἀπόστροφον βάλλειν εἰς τὸ τ οὐ γάρ ἐστιν ὁ τέ σύνδεσμος· ἐπεφέρετο γὰρ ἂν ἕτερος τέ.

*εὐχωλιῆς] ὅτι ἐλλείπει ἡ περί.

ἑκατόμβης] ἢ τῆς ἀπὸ ἑκατὸν βοῶν, ἢ ἀπὸ ἑκατὸν βημάτων, ὅ ἐστιν κέ ζώων.

2. *μηδένα] μὴ
10. Lemma om.
15. μαντείαν addidit Vill.
20. ὀνειροπόλος Friedl.] οἰωνοπόλος
22. συναλοιφή] συναλιφὴ, et sic constanter. Errat vero hoc loco scholiasta.
23. πᾶν—ἀληθὲς—πάντας Vill.] παῦ—ἀλ—πάντ̄.
24. αἱ μὲν—αἱ δ'] οἱ μὲν—αἱ (sic) δὲ

66. αἴ κέν πως ἀρνῶν κνίσης] Ἀρίσταρχος τὸ κνίσης ἑνικῶς, κατὰ γενικὴν πτῶσιν, ἄνευ τοῦ ῑ.

τελείων] λελωβημένον γὰρ οὐ θύεται.

67. ἀντιάσας] ἀπαντήσας, μετασχών.

ἀπὸ λοιγὸν ἀμῦναι] τὸ ἐξῆς ἐστὶν ἀπαμῦναι· διὸ φυλάττει τὸν ἴδιον τόνον. ὅταν γὰρ πρόθεσις τὴν σύνταξιν ἔχῃ πρὸς τὸ ἐπιφερόμενον, τὸν ἴδιον τόνον φυλάσσει, ἅτε δὴ ἐπέχουσα τὴν τάξιν. εἰς δὲ τὸ αἴ κεν περισσὸς ὁ κεν, ἵνα ᾖ ἀντὶ τοῦ εἴ πως.

68. κατ' ἄρ' ἔζετο] ὅτι Ζηνόδοτος γράφει ἐκαθέζετο. οὐκ ἐᾷ δὲ ἑλληνίζειν τὸν Ὅμηρον· ὥσπερ γὰρ οὐδεὶς λέγει ἐκατέβαινεν, οὕτως οὐδὲ ἐκαθέζετο.

69. Κάλχας Θεστορίδης] ὅτι Ζηνόδοτος γράφει μάντις Θεστορίδης. οὐ δύναται δὲ τῷ γένει τὸ εἶδος ἅμα συγκατατίθεσθαι.

71. καὶ νήεσσ' ἠγήσατ' Ἀχαιῶν] ὅτι ἀντὶ τοῦ νεῶν, καὶ ὅτι Κάλχας ἡγήσατο τοῖς Ἕλλησι καὶ οὐχὶ Τήλεφος, ὥς τινες νεώτεροι, καὶ ὅτι τὸ εἴσω ἀντὶ τοῦ εἰς.

73. *ὅ σφιν] οὕτως διὰ τοῦ ἑνὸς σ̄

*ὅτι Ζηνόδοτος γράφει "ὅς μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα."

74. ὦ Ἀχιλεῦ, κέλεαί με] καὶ τῷ βασιλεῖ ἀπολογεῖται ὡς ἀναγκαζόμενος ὑπὸ Ἀχιλλέως, καὶ τῷ πλήθει ὡς δέει τοῦ βασιλέως μὴ προειπών.

77. ἠμέν μοι πρόφρων] ἐπὶ μὲν τοῦ προτέρου βαρεῖαν παραληπτέον κατὰ τὴν ἄρχουσαν· κεῖται γὰρ ἀντὶ τοῦ ἠμὲν, ὅπερ ἐστὶν ὁρκικὸν ἐπίρρημα, ὅπερ ὁ ποιητὴς ἀεὶ διὰ τοῦ ε̄ προφέρεται· "ἠμὲν τοὺς ἵππους τε καὶ ἅρματα," "ἠμὲν ἐμοὶ δώσειν" (Il. 14, 275). τὸ δὲ "ἦ γὰρ οἴομαι" (78) περισπωμένῃ τάσει ἀναγνωστέον· διαβεβαιωτικὸς γὰρ ὁ σύνδεσμος.

80. *κρείσσων γὰρ βασιλεύς] ὅτι Ζηνόδοτος χωρὶς τοῦ ν̄ γράφει. τὰ δὲ τοιαῦτα συγκριτικὰ ἔχει ἐπὶ τῆς εὐθείας τὸ ν̄.

9. Lemma ἤτοι ὅγ' ὡς εἰπών.

10. οὐδεὶς] οὐ quod οὐδεὶς potius est quam οὐδέ.

16. καὶ ὅτι τὸ εἴσω Cobetus] ὅτι om.

ἀντὶ τοῦ εἰς] In marg. interiore ἀντὶ τῆς εἰς προθέσεως.

23. ἠμέν] In hoc scholio A ubique ἠ μὲν, sine spiritu, pariterque ἠ μήν.

29. ὅτι] Praescriptum ※.

τοῦ ν̄ addidit Bekkerus, solum ν̄ Vill.

30. συγκριτικὰ ex scholio v. 249] εὐσύγκριτα

χέρηϊ] ὡς Ἀρηϊ. γέγονε δὲ οὕτως. ἔστι τι χερείων, οὗ γενικὴ χερείονος καὶ αἰτιατικὴ "χερείονά περ καταπέφνων" (Il. 17, 539), ὃν οὖν τρόπον τὴν χερείονα αἰτιατικὴν συγκόψας ἔφη "ἀλλὰ τὸν υἱὸν γείνατο εἷο χέρεια" (Il. 4, 400), πληθυντικῶς δὲ τὰ χερείονα χέρεια "χέρεια δὲ χείρονι δόσκεν" (Il. 14, 382), τοῦτον τὸν τρόπον καὶ τὴν χερείονι χέρειι· καὶ ἐπεὶ κακόφωνόν ἐστι, τροπὴ ἐγένετο τῆς ει διφθόγγου εἰς τὸ η. οὕτως Ἡρωδιανός.

81. καταπέψῃ] ἡ μεταφορὰ ἀπὸ τῶν ἐν τῇ γαστρὶ πλείω χρόνον κατεχομένων σιτίων διὰ τὴν πέψιν τὴν ἐν αὐτῇ γινομένην.

83. *φράσαι] ὅτι Ζηνόδοτος γράφει φράσον. μᾶλλον δὲ τὸ φράσαι ἁρμόζει.

85. *μάλα] διασταλτέον ἐπὶ τὸ μάλα.

θαρσήσας μάλα εἰπέ] τρία εἰσὶ τὰ ἐν τῇ κοινῇ ὀξυνόμενα, ἐλθέ, εὑρέ, εἰπέ· ἰδίως δὲ καὶ μακρᾷ παραλήγονται. Ἀττικοὶ δὲ καὶ ἐπὶ τῶν βραχυπαραλήκτων ὀξύνουσι τὸ ἰδέ καὶ λαβέ.

ὅ τι οἶσθα] ὅτι οἶσθα χωρὶς τοῦ σ. οὕτως γὰρ λέγει διὰ παντός· "οἶσθα· τίη τοι ταῦτα" (Il. 1, 365), "οἶσθα, γέρον," (Od. 4, 465).

86. οὐ μὰ γὰρ Ἀπόλλωνα] ἡ οὐ ἀπωμοτικῶς. πεπλεόνακε δὲ κατὰ Ἀττικὴν συνήθειαν.

Κάλχαν] ὅτι Ζηνόδοτος χωρὶς τοῦ ν, Κάλχα. τὰ δὲ εἰς ας λήγοντα, διὰ τοῦ ντ κλινόμενα ἐπὶ τῆς γενικῆς, ἔχει τὴν κλητικὴν εἰς ν, Θόαν, Αἶαν.

88. οὔτις ἐμεῦ ζῶντος] πεφυλαγμένος καὶ δεισιδαίμων ὁ ὅρκος· συνέβαινε γὰρ ἀποθανόντος ἢ ἀποδημοῦντος Ἀχιλλέως αἰκισθῆναι τὸν μάντιν. τινὲς δὲ τὸ σοί τοῖς ἐπάνω προσδιδόασιν, ἵν' ᾖ σοι δερκομένοιο. βελτίων δὲ ἡ συνήθης ἀνάγνωσις.

90. οὐδ' ἣν Ἀγαμέμνονα] ὁ τρόπος ὑπερβολή. ὃ δεδιὼς ἔσκεπεν ὁ μάντις, τοῦτο θαρσύνων ἀπεκάλυψεν Ἀχιλλεύς.

1. ἔστι τι χερείων, οὗ γενικὴ χερείονος Cobetus] ἔστι τι χερείονος γενική

7. Ἡρωδιανός] ἡρωιδιανός hic et alibi.

12. διασταλτέον ἐπὶ τὸ μάλα] Hoc scholion sine lemmate scriptum est post lin. 19, μάλα per compendium μᾶ expresso.

15. ἰδέ καὶ λαβέ] εἰδὲ (*ἴδε) καὶ λάβε.

17. τίη τοι] τίῃ τοι.

18. *ἀπωμοτικῶς] ἀπωμωτικῶς.

πεπλεόνακε] πλεόνακε, quod in πλεονάζει mutavit Villoisonus, πεπλεόνακε pariter dixit scholiasta ad v. 234.

20. Κάλχαν] Lemma οὐ μὰ γὰρ Ἀπόλλωνα.

91. *ἐνὶ στρατῷ] Ἀχαιῶν, οὐκ ἐνὶ στρατῷ, αἱ Ἀριστάρχειοι. ὁμοίως καὶ ἡ Σωσιγένους καὶ ἡ Ἀριστοφάνους καὶ ἡ Ζηνοδότου.

93. οὔ ταρ ὄγ' εὐχωλῆς] οὕτως ὀξεῖαν ἐπὶ τοῦ οὐ· ὁ γὰρ τάρ ἐστι σύνδεσμος ἐπιφερόμενος ἐγκλιτικῶς, ὡς καὶ ἐπὶ τοῦ "εἴ ταρ ὄγ' εὐχωλῆς" (65). οὐ γάρ ἐστιν ὁ τε συμπλεκτικός· εἰ γὰρ ἦν, ἐπεφέρετο ἂν πάλιν ὁ τέ μετὰ ἀποφάσεως, οὔθ' ἑκατόμβης. οὕτως γὰρ ἔστιν εὑρέσθαι τὸν τέ σύνδεσμον μετὰ τῆς οὔ ἀποφάσεως· "ἔνθα μὲν οὔτε ἄναξ ἐπιδευὴς οὔτε τι ποιμήν" (Od. 4, 87).

*εὐχωλῆς ἐπιμέμφεται] ὅτι ἐλλείπει ἡ περί καὶ περισσὴ ἐστὶν ἡ ἐπί ἐν τῷ ἐπιμέμφεται. κατεκερμάτισε δὲ τὸν Ἀγαμέμνονος λόγον εἰς διαβολήν.

94. ἕνεκ' ἀρητῆρος] βραχὺ διασταλτέον ἐπὶ τὸ ἑκατόμβης καὶ ἀρητῆρος. κοινὸν δὲ τὸ ἕνεκα· οὔτ' εὐχωλῆς οὔθ' ἑκατόμβης ἕνεκα, ἀλλ' ἀρητῆρος ἕνεκα μέμφεται.

96. τούνεκ' ἄρ' ἄλγε'] ἀθετεῖται, ὅτι περισσός· πρόκειται γὰρ "ἀλλ' ἕνεκ' ἀρητῆρος, ὃν ἠτίμησ' Ἀγαμέμνων."

97. λοιμοῖο βαρείας χεῖρας ἀφέξει] Δαναοῖσιν ἀεικέα λοιγὸν ἀπώσει. οὕτως Ἀρίσταρχος. καὶ ἡ Μασσαλιωτικὴ δὲ καὶ ἡ Ῥιανοῦ τὸν αὐτὸν ἔχει τρόπον. ἔοικεν οὖν ἡ ἑτέρα Ζηνοδότου εἶναι, ἡ οὐδ' ὅγε πρὶν λοιμοῖο βαρείας χεῖρας ἀφέξει.

οὐδ' ὅγε πρὶν λοιμοῖο] λέξεις ἐκ τῶν πρὸς Κωμανόν. τὸ μὲν ἀεικέα λοιγόν ὄλεθρον ἀπεοικότα λέγειν· τοῦτο δέ ἐστιν ἀπεχθῆ· ἀπριάτην δὲ σαφὲς ὡς ἄνευ τοῦ πρίασθαι καὶ ταὐτὸν τῷ νῦν λεγομένῳ δωρεάν.

98. ἑλικώπιδα] μελανόφθαλμον, ἀφ' οὗ εὐπρεπῆ, ὡς "ὕδωρ μέλαν Αἰσήποιο" (Il. 2, 825) καὶ Καλλίμαχος "Αἴσηπον ἔχεις ἑλικώ-

1. Lemma ἐνὶ στρατῷ om.

Ἀριστάρχειοι Vill.] ἀρίσταρ quod Ἀριστάρχου esse potest.

2. ἡ ante Ἀριστοφάνους om.

3. ἐπὶ τοῦ Vill.] ἐπὶ τὴν.

4. ἐγκλιτικῶς Vill.] ἐγκλιτικός.

9. ἐλλείπει ἡ περί καὶ περισσὴ ἐστὶν ἡ ἐπί ἐν τῷ ἐπιμέμφεται] ἐλλείπει τὸ περί καὶ περισσὸν τὸ ἐπιμέμφεται A. Correxit Cobetus et partim Lehrsius.

18. καὶ ἡ M.—ἀφέξει] Haec in fine scholii proximi leguntur in A.

26. Αἰσήποιο] αἰσήποι (sic)

Καλλίμαχος ante ὕδωρ μέλαν lectum hunc transposui. Nam quae sequuntur Callimachi esse verba (fr. 290, ed. Schneid.) ex aliorum codicum scholiis ad Il. 2, 825 et Eustathio, p. 354, 22 novimus.

τατον ὕδωρ." ἢ τὴν οὐκ ἀτενῆ τὴν θέαν. ἢ τὴν ἀξιοθέατον, πρὸς ἣν πάντες ἐλίσσουσι τὴν θέαν.

99. ἀπριάτην ἀνάποινον] ὅτι οὐ κατὰ προσηγορίαν τὴν ἀπριάτην λέγει, ἀλλ' ἀντὶ τοῦ ἀπρατί, καὶ παράλληλον τὸ ἀνάποινον· τὸ γὰρ αὐτὸ δι' ἀμφοτέρων δηλοῦται. διασταλτέον δὲ βραχὺ ἀπριάτην, ἀνάποινον, στικτέον δ' ἐς Χρύσην, ἐπεὶ κοινὸν κατὰ πάντων τὸ πρίν. τὸ ἀπριάτην ἐπιρρηματικῶς ἀκούει Ἀπολλώνιος ἀντὶ τοῦ ἀπριάδην.

ἄγειν] τοῦτο ἐπὶ νηὸς καὶ ἅρματος, ὡς τὸ "ὃ οἴκοθεν ἦγ' ὁ γεραιός" (Il. 11, 632), καὶ "ἦγον δὲ Μαχάονα ποιμένα λαῶν" (Il. 11, 596). παράληψις δὲ ὁ τρόπος. οὐ γὰρ ἐπ' ἴσοις ἀπαλλάσσεσθαι δεῖ τοὺς προαμαρτήσαντας.

100. ἐς Χρύσην· τότε κέν μιν] ὅτι Ζηνόδοτος γράφει αἴ κέν μιν. γελοῖον δὲ δισταχτικῶς λέγειν τὸν μάντιν.

103. φρένες ἀμφιμέλαιναι] ἡ ἀμφὶ πρὸς τὸ πίμπλαντο, ἀπὸ τῆς τῶν ὑδάτων μεταφορᾶς· εἰσὶ δὲ τῶν ἐντοσθιδίων αἱ φρένες. (Soph. Tr. 931) "πλευρὰς ὑφ' ἧπαρ καὶ φρένας." ἤδη δὲ οἱ νεώτεροι μελαίνας τὰς φρένας φασίν.

μέλαιναι] αἱ ἐν βάθει κείμεναι, ἢ τεταραγμέναι διὰ τὴν ὀργήν.

103, 104. * ὅτι ἀμφότεροι εἰς τὴν Ὀδύσσειαν (4, 661) μετάκεινται οὐκ ὀρθῶς.

105. Κάλχαντα πρώτιστα] ὅτι ἀπὸ τῶν ὄσσων κακῶς ὑπιδόμενος, οὐκ ἀπὸ τῆς ὄσσης, τῆς φωνῆς, κακολογήσας· οὐ γὰρ χρῆται Ὅμηρος τῇ ὄσσῃ ψιλῶς ἐπὶ τῆς φωνῆς, μᾶλλον δὲ ἐπὶ τῆς θείας κληδόνος.

106. *μάντι κακῶν] μετὰ τὸ κακῶν στικτέον.

μάντι κακῶν] ἡ συνήθεια μετὰ τὸ κακῶν στίζει, καὶ ἔστι τὸ σημαινόμενον κακόμαντι, ἤτοι τὸ δύσφημον τοῦ Κάλχαντος καὶ ἀεὶ τοιοῦτον λοιδοροῦντος τοῦ Ἀγαμέμνονος, ἢ τὸ παρακολουθοῦν ἀεὶ τοῖς μάντεσιν ὡς ἴδιον ἁμάρτημα τῷ Κάλχαντι προστριβομένου· μάντεως γὰρ τότε χρεία, ὅταν ἐν συμφορᾷ τινὲς ὦσιν.

κρήγυον] ὅτι ἅπαξ εἴρηται τὸ κρήγυον, καὶ οὐκ ἔστιν ἀληθὲς,

4. ἀπρατί] ἀπρὰτῃ

7. Ἀπολλώνιος] Rhodius, ut videtur: v. Merkel. Proleg. ad Apoll. Rh. p. lxxvi.

ἀπριάδην] Idem pro ἀπριάτην legit Rhianus Od. 14, 318: de quo v. Mayhoff. de Rhiano p. 83.

15. *ἐντοσθιδίων] ἐντοσθίων

30. In marg. exteriore a m. recentiore σημ. (i. e. σημειωτέον) ὅτι τὸ κρήγυον ἅπαξ.

ἀλλ' ἀγαθόν· ἀντιδιαστέλλει γοῦν ἐπὶ τὸ "αἰεί τοι τὰ κάκ' ἐστὶ φίλα."

κρήγυον τὸ τῷ κέαρι ἡδὺ καὶ προσηνές, ὃ ταυτόν ἐστι τῷ θυμῆρες.

108. ἐσθλὸν δ' οὐδέ τί πω] συντείνει τοῦτο εἰς τὸ δεκαετῆ μαντεύσασθαι αὐτὸν ἐν Αὐλίδι τὸν πόλεμον, ὅσον ἀπὸ τοῦ συμβόλου τῶν στρουθῶν.

τί πω εἶπας ἔπος οὐδ' ἐτέλεσσας] οὕτως αἱ Ἀριστάρχου καὶ ἡ Ἀριστοφάνους. καὶ ἔστιν ἐμφαντικὸν τὸ οὐδὲ δὶς λεγόμενον.

μάντι κακῶν] δυσκαταπαύστως ἔχουσι πρὸς τὰς κατηγορίας οἱ ὀργιζόμενοι καὶ τὰ αὐτὰ ἐπαναλαμβάνουσιν ὡς μὴ κατ' ἀξίαν εἰρηκότες.

ἐντεῦθεν οἱ νεώτεροι ὁρμηθέντες ἱστοροῦσιν ὅτι τῶν Ἑλλήνων ἐν Αὐλίδι πόλει τῆς Βοιωτίας ἀθροισθέντων καὶ ἁπλοίᾳ κατασχεθέντων, Κάλχας ὁ μάντις ἐξεφώνησε μὴ δύνασθαι εἰς Ἴλιον ἄλλως ἐκπλεῦσαι αὐτούς, εἰ μὴ Ἀγαμέμνων Ἰφιγένειαν τὴν θυγατέρα αὐτοῦ σφαγιάσῃ Ἀρτέμιδι, διὰ τὸ φονεῦσαι αὐτὸν τὴν ἱερὰν αἶγα τὴν τρεφομένην ἐν τῷ ἄλσει αὐτῆς, καὶ πρὸς τούτῳ καυχησάμενον εἰπεῖν ὅτι οὐδὲ ἡ Ἄρτεμις οὕτως ἂν ἐτόξευσε. τοῦ δὲ Ἀγαμέμνονος διὰ τὴν πολλὴν ἀνάγκην παραστήσαντος τὴν κόρην τῷ βωμῷ, κατοικτειρήσασαν τὴν θεὰν, καὶ ἔλαφον ἀντὶ τῆς παρθένου παραστήσασαν, σῶσαι καὶ ἐν Ταύροις τῆς Σκυθίας εἰς τὸ ἱερὸν τῆς θεοῦ εἰπεῖν πεμφθῆναι αὐτήν. ἡ ἱστορία παρὰ πολλοῖς μὲν τῶν νεωτέρων, καὶ παρὰ Δίκτυϊ τῷ γράψαντι τὰ Τρωϊκά.

110. ὡς δὴ τοῦδ' ἕνεκά σφιν] ἀθετεῖται, ὅτι αἱρομένου τούτου σύντομος γίνεται ἡ ἑρμηνεία καὶ οὐδὲν ἐλλιπὲς ἔχουσα.

σφιν] αὐτοῖς, τοῖς Ἕλλησι.

111. * κούρης] ὅτι ἐλλείπει ἡ περὶ πρόθεσις.

113. Κλυταιμνήστρης] ἡ Κλυταιμνήστρα γυνὴ μὲν Ἀγαμέμνονος, Τυνδάρεω δὲ καὶ Λήδας τῆς Θεστίου θυγάτηρ, Ἑλένης δὲ ἀδελφή.

5. Lemma μάντι κακῶν.
8. In textu A ἐσθλὸν δ' οὐδέ τι—οὐδ', in lemmate scholii οὐδέτι—οὐδ'.
9. * τὸ οὐδέ] τὸ οὔτε
17. * διὰ τὸ] ά τε (sic)
18. οὐδὲ] οὔτε A. * οὔτε αὐτὴ
23. * παρὰ πολλοῖς] παρὰ om.

προβέβουλα] ἀπὸ τοῦ βούλω, μέσος μόνος ὀφθεὶς ἐν τοῖς ἐνεργητικοῖς.

κουριδίης ἀλόχου] διὰ τί ὁ Ἀγαμέμνων τὴν αἰχμάλωτον τῆς γαμετῆς προκρίνει; λέγει γὰρ Κλυταιμνήστρης προβέβουλα. καὶ οἱ μέν φασιν ὅτι ἕνεκα τοῦ μὴ δοκεῖν Ἕλλησιν ἐφ' ὕβρει κατέχεσθαι τὴν κόρην· οἱ δὲ ὅτι ἐπαινεῖ τὴν Χρυσηΐδα, ἵνα μὴ τὰ τυχόντα τοῖς Ἕλλησιν, ἀλλὰ τὰ μέγιστα δοκῇ χαρίζεσθαι· ἔνιοι δὲ ἵνα ψευδόμενον ἀποδείξῃ τὸν Κάλχαντα. πῶς γὰρ ὀργίζοιτο ἂν ὁ θεὸς τῆς αἰχμαλώτου μηδὲν ἐφύβριστον πασχούσης;

114. οὔ ἑθεν] οὕτως ὀξυτονητέον τὴν οὔ ἀπόφασιν, ἵν' εἰς ἁπλῆν μεταληφθῇ ἡ ἀντωνυμία· τοῦτο γὰρ καὶ Ἀρίσταρχος παρήγγειλεν· ἐὰν γὰρ ὀρθοτονήσωμεν, ἔσται τὸ ἑαυτῆς σύνθετον, οὕτως ὡς τὸ "οἳ ἔθεν ὀτρύνοντος" (Il. 15, 199), καὶ "οὓς ἔθεν εἵνεκ' ἔπασχον" (Il. 3, 128).

115. οὐ δέμας] δέμας ὁ ποιητὴς τὸ ἔμψυχον εἴωθε λέγειν, παρὰ τὸ δεδέσθαι καὶ συνεστηκέναι, οἷον "οὐ δέμας οὐδὲ φυήν" καὶ πάλιν "δέμας δ' ἤϊκτο γυναικὶ καλῇ τε μεγάλῃ τε" (Od. 4, 796) καὶ "ἐπεὶ οὔτως οὐδὲ ἔοικε θνητὰς ἀθανάτῃσι δέμας" (Od. 5, 212). καὶ σῶμα δὲ καλεῖ τὸ ἄψυχον, ἐπεὶ σῆμά τί ἐστι τοῦ ποτὲ ζῶντος, οἷον "σῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι πάλιν" (Il. 7, 79)· καὶ ἐπὶ τοῦ Ἐλπήνορος πάλιν "σῶμα γὰρ ἐν Κίρκης κατελείπομεν αὖθις ἡμεῖς ἄκλαυτον καὶ ἄθαπτον" (Od 11, 53)· καὶ "ὧν ἔτι καὶ νῦν σώματ' ἀκηδέα κεῖται" (Od. 24, 186). Εὐριπίδης μέντοι ἐνηλλαγμένως δέμας μὲν ἐπὶ τοῦ νεκροῦ, λέγων "ἔκτον δὲ δὴ τόδ' ἦμαρ ἐξ ὅτου σφαγαῖς θανοῦσα μήτηρ πυρὶ καθήγνισται δέμας" (Orest. 40.) τὸ δὲ σῶμα ἐπὶ ἐμψύχου λαμβάνει, λέγων "δεῖξαι γὰρ Ἀργείοισι σῶμ' αἰσχύνομαι" (ibid. 98).

116. *τὸ ὡς ὁπότε σημαντικόν ἐστι τοῦ ὅμως, περισπᾶται.

*στικτέον ἐπὶ τὸ ἄμεινον· ψυχροὶ γὰρ οἱ ἐπὶ τὸ πάλιν στίζοντες.

117. βούλομ' ἐγὼ λαὸν σόον] ὅτι Ζηνόδοτος αὐτὸν ἠθέτηκεν ὡς

5. Ἕλλησιν] ἕλληνας
8. *ἵνα] ὅτι ἵνα
ὀργίζοιτο ἂν] ἂν ὀργίζοιτο Vill.
11. μεταληφθῇ ἡ ἀντωνυμία Bekkerus] μεταληφθῆναι ἀντωνυμίαν.
12. ἔσται] ἔσται.
οὕτως] οὖν addit Lehrs. Herod. p. 194.
19. σῶμα—καὶ ἐπὶ] σῶμα οἴκαδε καὶ ἐπὶ
29. στικτέον] στηκτέον

τῆς διανοίας εὐήθους οὔσης. οὐ δεῖ δὲ αὐτὸν ἰδίᾳ προφέρεσθαι, ἀλλὰ συνάπτειν τοῖς ἄνω· ἐν ἤθει γὰρ λέγεται.

σόον ἔμμεναι] οὕτως, σῶν, αἱ Ἀριστάρχου, οὐ διῃρημένως σόον, ἀλλὰ σῶν. συνᾴδει καὶ τὸ "νῦν μοι σῶς αἰπὺς ὄλεθρος" (Od. 5, 305). ἔσθ' ὅπου δὲ καὶ διαιρεῖ· "σόον δ' ἀνένευσε" (Il. 16, 252). ὁ δὲ λόγος τοιοῦτος· θέλω, φησίν, ἐγὼ τὸν ὄχλον μᾶλλον σώζεσθαι καὶ αὐτὸς ἀπολέσθαι· ὁ γὰρ ἢ σύνδεσμος ἀντὶ τοῦ καί παρείληπται τῷ ποιητῇ. Πορφύριος δὲ παραδιαζευκτικὸν ἀντὶ τοῦ καὶ ἀπολέσθαι ἐγώ.

120. λεύσσετε] Ἀρίσταρχος διὰ δύο σσ, ἐγὼ δὲ ἐνεστῶτα ἀπὸ τοῦ μέλλοντος, ὡς ἄξετε οἴσετε, "καταβήσεο δίφρου" (Il. 5, 109).

ὅ μοι] ἀποκοπὴ τοῦ ὅτι μοι.

γέρας ἔρχεται ἄλλῃ] σὺν τῷ ι τὸ ἄλλῃ. καὶ ἔστιν ἄλλοσε, ὥσπερ τὸ πάντῃ. ὁ γὰρ νοῦς τῶν λεγομένων τοιοῦτος· ἐμοὶ δὲ γέρας παρασκευάσατε, ὅπως μὴ ὑπολειφθῶ ἀγέραστος ἐν τοῖς Ἕλλησιν· ὁρᾶτε γὰρ δή μου τὸ γέρας ἀλλαχόσε ἀπερχόμενον. θαυμάσειε δ' ἄν τις Πτολεμαίου τοῦ Ὀροάνδου τὴν ἀπειρίαν· ἐν γὰρ τῷ τρίτῳ τῶν Ὁμηρικῶν ὑποδειγμάτων παραδεικνὺς ὅτι ἀντὶ τοῦ ἑτέρου τῷ ἄλλῳ ἔσθ' ὅπη καταχρῆται Ὅμηρος, καὶ τοῦτο φέρων ἐντέθεικε τὸ μαρτύριον "ὅ μοι γέρας ἔρχεται ἄλλῃ," ὡς ἐκεῖνο "πῦρ ἕτερον μὲν ὑπ' αἰθούσης εὐερκέος αὐλῆς, ἄλλο δ' ἐνὶ προδόμῳ" (Il. 9, 472) καὶ "ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ" (Il. 9, 313). ἁπλῶς δ' ἔοικε νοῦς ὑγιὴς μὴ ὑποφαίνεσθαι διὰ τῆς ἐκδοχῆς ταύτης· καὶ εἴη ἂν τὸ παρόραμα οὐκ ἐπιστήσαντος αὐτοῦ τοῖς παραδείγμασιν.

124. οὐδέ τί πω] διὰ τοῦ ō καὶ ῡ, οὕτως καὶ ἡ Σωσιγένους καὶ ἡ Ἀριστοφάνους.

οὐδέ τί πω ἴδμεν ξυνήϊα κείμενα πολλά] τινὲς ἐπὶ τὸ κείμενα στίζουσι, καὶ τὸ πολλά τοῖς ἑξῆς συνάπτουσι, κακῶς. ξυνὸν δὲ ξυνεῖον ὡς κοινὸν κοινεῖον· καὶ διαίρεσις Ἰωνικὴ ξυνήϊον.

126. λαούς] παρὰ τὸ λᾶαν· λᾶας δὲ κατὰ διάλεκτον ὁ λίθος. Προμηθέως παῖς Δευκαλίων γίνεται. οὗτος βασιλεύων τῶν περὶ

5. διαιρεῖ] διερεῖ

10. Hoc scholion scholio proximo postpositum est post lin. 24.

21. εὐερκέος] εὐεργέος

25. Lemma om.

διὰ τοῦ ō καὶ ῡ] Id est που. Addidit haec verba librarius, quia in textu scriptum videbat πω, quae plerorumque librorum lectio est, cui ου superscriptum est in textu A.

27. κείμενα πολλά om.

τὴν Φθίαν τόπων γαμεῖ Πύρραν τὴν Ἐπιμηθέως καὶ Πανδώρας, ἣν ἔπλασαν οἱ θεοὶ πρώτην γυναῖκα. καὶ ἐπειδὴ Ζεὺς ἠθέλησε τὸ χαλκοῦν γένος ἀπολέσαι, ὑποθεμένου Προμηθέως Δευκαλίων τεκτηνάμενος λάρνακα, καὶ τὰ ἐπιτήδεια ἐνθέμενος ἐν αὐτῇ, μετὰ Πύρρας ἐνέβη. Ζεὺς δὲ πολὺν ὑετὸν ἀπ' οὐρανοῦ χέας τὰ πλεῖστα μέρη τῆς Ἑλλάδος κατέκλυσεν, ὥστε διαφθαρῆναι πάντας ἀνθρώπους ὀλίγων χωρὶς, οἵτινες συνέφυγον εἰς τὰ πλησίον ὑψηλὰ ὄρη. τότε δὲ καὶ τὰ κατὰ Θεσσαλίαν στενώματα διέστη, καὶ τὰ ἐκτὸς Ἰσθμοῦ καὶ Πελοποννήσου συνεχύθη πάντα. Δευκαλίων δὲ ἐν τῇ λάρνακι διὰ τῆς θαλάσσης φερόμενος ἐφ' ἡμέρας ἐννέα καὶ νύκτας ἴσας τῷ Παρνασσῷ περιηχεῖτο, κἀκεῖ τῶν ὄμβρων παῦλαν λαβόντων ἐκβὰς ἔθυσε Διὶ φυξίῳ. Ζεὺς δὲ πέμψας Ἑρμῆν πρὸς αὐτὸν ἐπέτρεψεν αἰτεῖσθαι ὅ τι βούλεται· ὁ δὲ αἱρεῖται ἀνθρώπους αὐτῷ γενέσθαι, καὶ Διὸς εἰπόντος ὑπὲρ κεφαλῆς ἔβαλλεν αἴρων τοὺς λίθους· καὶ οὓς μὲν ἔβαλλεν οὗτος, ἄνδρες ἐγίνοντο, οὓς δὲ ἡ Πύρρα, γυναῖκες. ἡ ἱστορία παρὰ Ἀπολλοδώρῳ.

παλίλλογα] οὐ δίκαιόν ἐστιν εἰς τὸ αὐτὸ πάλιν συναγαγεῖν τοὺς Ἕλληνας τὰ ἅπαξ φθάσαντα αὐτοῖς διαμερισθῆναι χρήματα. παρὰ τὸ λέγω, ὅθεν καὶ τὸ συλλέγω. τὸ δὲ ταυτ' Τυραννίων ὀξύνει.

127. ἀλλὰ σὺ μὲν νῦν τήνδε θεῷ πρόες] οὐ χάριν αἰτεῖ, ἀλλ' ὡς κακῷ δανειστῇ κέχρηται, καὶ διπλᾶ καὶ τριπλᾶ ἀποδώσειν ἐπαγγέλλεται.

128. ἀποτίσομεν] πιστοῦται τὴν ὑπόσχεσιν ὡς ἐπὶ δανείου, καὶ ἑαυτὸν καθυπογράφει τῷ χρέει.

αἴ κέ ποθι Ζεύς] ὅτι μεθ' ὑπεξαιρέσεως δεῖ ποιεῖσθαι τὰς ὑποσχέσεις διὰ τὸ ἄδηλον τῆς τύχης.

129. Τροίην] οὕτως Ἀρίσταρχος τρισυλλάβως, καὶ ἐνθάδε καὶ ἐν τῇ Λ τῆς Ὀδυσσείας (510) "ἤτοι ὅτ' ἀμφὶ πόλιν Τροίην φράζευ." καὶ ἐπείσθη αὐτῷ ἡ παράδοσις. ἔστι δὲ καὶ τὸ τῆς χρήσεως τῆς Ὁμηρικῆς ἰδίωμα παραφυλάξαι οὕτως, ὡς ὅτι εἴ που λέγει τὸ Τροίη

11. περιηχεῖτο] * περιίσχει. Recte προσίσχει ap. Apollod. 1, 7, 2.

16. * ἡ ἱστορία παρὰ Ἀπολλοδώρῳ] om.

19. ταυτ'] ταῦ. Hoc est ταῦτ'.

ὀξύνει] *ὀξύνει, ἵν' ᾖ τὰ αὐτά.

22. * ὡς ἐπὶ] ἐπὶ om.

26. Τροίην] Fugit Aristarchum rectam scripturam esse non Τροίην, sed Τρῳὴν, ut docuit Cobetus Mnem. nov. vol. 1 p. 56 et vol. 2 p. 190, idem recte restituens aliis locis ubi nunc Τροίην vel Τροίῃν scribitur, non intellecta vetere orthographia ΤΡΟΙΕΝ.

27. φράζευ] Legitur φραζοίμεθα βουλάς.

29. Τροίη Cobetus] Τροία.

δισυλλάβως, οὐδέποτε ἐπιφέρει τὸ πόλις, οἷον "εἰσόκε περ Τροίην διαπέρσομεν" (Il. 9, 46) "ἔνθα κεν ὑψίπυλον Τροίην ἕλον υἷες" (Il. 16, 698) "Τροίῃ ἐν εὐρείῃ" (Il. 24, 256), καὶ ἀλλαχοῦ. ἐπὶ μέντοι τούτων τῶν δύο ὁμοιοπτώτως ἐπήνεγκε τὸ πόλιν τῷ Τροίην· "δῶσι πόλιν Τροίην" καὶ τὸ "ἤτοι ἀμφὶ πόλιν Τροίην" (Od. 11, 510). ταῦτα ὁ Ἡρωδιανός.

δῶσι πόλιν Τρωίην] ὅτι Ζηνόδοτος γράφει δῶσι πόλιν Τροίην, ὡς ἐπὶ τὴν Ἴλιον βουλόμενος γενέσθαι τὴν ἀναφοράν, ἀπιθάνως· ἄδηλον γὰρ ἦν εἰ ἑλοῦσιν αὐτήν. ἔστιν οὖν ὁ λόγος περὶ μιᾶς πόλεως τῶν περιοίκων· ταύτας γὰρ ἐπόρθει ὁ Ἀχιλλεύς. διὸ καὶ ἐν τρισὶ συλλαβαῖς ἀναγινώσκεται. Ζωΐλος δὲ ὁ Ἀμφιπολίτης καὶ Χρύσιππος ὁ Στωϊκὸς σολοικίζειν οἴονται τὸν ποιητήν, ἀντὶ ἑνικοῦ πληθυντικῷ χρησάμενον ῥήματι· τὸ γὰρ δῶσί φασι πληθυντικόν. ἀγνοοῦσι δέ· ἔστι γὰρ τὸ δῷ ἑνικὸν ἐκτεταμένον, ὡς τὸ λέγῃ λέγῃσι, φέρῃ φέρῃσι. τοιοῦτόν ἐστι καὶ τὸ ἐν Ὀδυσσείᾳ (1, 168), τὸ "φῆσιν ἐλεύσεσθαι," καὶ τὸ "εἰσόκε μοι μάλα πάντα πατὴρ ἀποδῷσιν ἔεδνα" (Od. 8, 318). κἀνταῦθα γὰρ ἀποδῷ· διὸ καὶ τὸ ῑ ἔχει προσκείμενον. μέμνηται αὐτοῦ κἀν τῇ ὀρθογραφίᾳ ὁ Ἡρωδιανός.

131. μηδ' οὕτως ἀγαθός περ] ὅτι ἰδίως κέχρηται τῷ πέρ συνδέσμῳ, ἀντὶ τοῦ γέ ἢ τοῦ δή.

θεοείκελ' Ἀχιλλεῦ] εὐειδὴς γὰρ παρὰ πάντας τοὺς ἥρωας ὁ Ἀχιλλεὺς καὶ γυναικοπρόσωπος, ὡς καὶ εἰς τὸν Λυκομήδους παρθενῶνα εἰσελθόντα αὐτὸν ἀγνοηθῆναι ὅτι εἴη ἀνήρ.

133, 134. ἦ ἐθέλεις, ὄφρ'] ἀθετοῦνται, ὅτι εὐτελεῖς τῇ συνθέσει καὶ τῇ διανοίᾳ, καὶ μὴ ἁρμόζοντες Ἀγαμέμνονι.

*ἐσχημάτισεν οὐχ ὁμοίως, τῷ αὐτός ἐπενεγκὼν αὐτὰρ ἔμ' αὖτως.

136. ἄρσαντες] Ἀρίσταρχος δασύνει· ἔνθεν γάρ φησι γεγονέναι καὶ τὸ ἅρμα. ὁ δὲ Ἡρωδιανὸς ψιλοῖ, λέγων ἀπὸ τοῦ ἄρω, οὗ ὁ μέλλων Αἰολικῶς ἄρσω· τὸ δὲ ᾱ καὶ τὸ ᾰ, πρὸ τοῦ ῥ ὄντα, ἑτέρου φωνήεντος ἐπιφερομένου ψιλοῦται.

137. *ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι] ὅτι περισσεύει ὁ κε σύνδεσμος,

4. τῷ Τροίην Lehrsius Herod. p. 195] τῷ om.
14. ἐκτεταμένον] ἐπεκτεταμένον Lehrsius.
16. ἐλεύσεσθαι] ἐμὲ γενέσθαι
25. ἦ ἐθέλεις] ἦε θέλεις
32. ἐγὼ—ἕλωμαι] Lemma εἰ δέ κε μὴ δώωσιν.
κε] καὶ

καὶ τὸ ῥῆμα ἤλλακται, ἕλωμαι ἀντὶ τοῦ ἑλοίμην. οὕτως δὲ γίνεται περισσὸς ὁ "ἄξω ἑλών."

139. ἄξω ἑλών] ἀθετεῖται, ὅτι πλήρης ὁ λόγος, ἀλλαγῆς γενομένης τοῦ ῥήματος, ἕλωμαι ἀντὶ τοῦ ἑλοίμην. καὶ εὔηθες τὸ προσκείμενον "ὁ δέ κεν κεχολώσεται·" πῶς γὰρ οὐκ ἔμελλε χολοῦσθαι;

141. *ἐρύσσομεν] ὅτι τὸ ἐρύσσομεν ἐστὶν ἀντὶ τοῦ ἐρύσσωμεν· συνέσταλται γάρ.

142. *ἐς] διὰ τοῦ η̄ Ἀρίσταρχος, ἐν δ' ἐρέτας.

143. θείομεν] ὅτι Ζηνόδοτος αὐτὸν ἠθέτηκεν. ἀναγκαῖος δὲ ὁ περὶ τῆς Χρυσηΐδος λόγος· ταύτης γὰρ ἕνεκα ἐγένετο καὶ ὁ λοιμός.

144. *βραχὺ διασταλτέον ἐπὶ τὸ ἀρχός, ἵν' ᾖ ἀνὴρ βουληφόρος ἀρχὸς ἔστω.

147. ὄφρ' ἧμιν] οὕτως ὀξυτόνως τὴν ἄρχουσαν τοῦ ἧμιν· ἁπλῆ γάρ ἐστιν. ἐκτατέον δὲ καὶ τὴν τελευταίαν· δεῖ γὰρ ῥωννύναι μᾶλλον τὸ μέτρον.

148. τὸν δ' ἄρ' ὑπόδρα ἰδών] τὸ σημεῖον, ὅτι εἰκὸς ἦν διαπεπυρῶσθαι τὸν Ἀχιλλέα, ὅτε ἔλεγεν ὁ Ἀγαμέμνων "ἦ τεὸν ἦ Αἴαντος." ὁ δὲ ποιητὴς διαστηματικὸς ὢν οὐκ ἠδυνήθη εἰπεῖν, μέχρις οὗ συγκλείσῃ τὸν Ἀγαμέμνονος λόγον.

149. κερδαλεόφρον] παροξυτόνως ἡ κλητική. καὶ καθόλου τὰ παρὰ τὸ φρήν συντεθέντα, εἰς ων̄ καταλήξαντα, ἐπὶ κλητικῆς παροξύνεται, Λυκόφρον, "καρτερόθυμε δαΐφρον" (Il. 5, 277). τὰ δὲ ἄλλα ἐπὶ κλητικῆς ἀναδίδωσι τὸν τόνον, ὁπότε ἐστὶ σύνθετα εἰς ων̄ βαρύτονα, Ἀγάμεμνον, ὀλβιόδαιμον, κυλλοπόδιον, Ποσείδαον. ἔνθεν παράλογος ἡ Λακεδαῖμον προπερισπωμένη κλητική.

τὰ κέρδεα ἁπλᾶ μὲν ὄντα μέσα ἐστὶ, συντιθέμενα δὲ ψόγον δηλοῖ, ὡς ὄψα ἐσθίειν καὶ ὀψοφαγεῖν. φησὶ γοῦν "κέρδεά θ' οἷ' οὔ πώ τιν' ἀκούομεν" (Od. 2, 118).

151. ἶφι] ἐσχημάτισται οὕτως. ἴς ἰνός ἰνόφι, ὡς χαλκός χαλκοῦ χαλκόφι. καὶ κατὰ συγκοπὴν τῆς νο συλλαβῆς ἶφι.

6. ἐστὶν] εἰσ̄
ἐρύσσωμεν] ἐρύσσομεν
9. θείομεν] Lemma θείομεν, ἂν δ' αὐτήν.
13. ἧμιν] Sic in textu A, superscripto ἐγκλιτέον.
16. τὸ σημεῖον hoc loco addere placuit librario, quod centenis aliis in locis non addidit. σημεῖον est διπλῆ simplex, non περιεστιγμένη, quae praescripta est in textu A.
27. *κέρδεά θ' οἷ' οὔ πω] κέρδεά τ' οὔπω

153. δεῦρο μαχησόμενος] βέλτιον ἐπὶ τὸ δεῦρο διαστέλλειν, ἵν' ᾖ ἤλυθον δεῦρο, * * * ἐπεὶ σόλοικόν ἐστι, τὴν εἰς τόπον σχέσιν δηλοῦντος τοῦ ἐπιρρήματος. δύναται δ' ἴσως τις λέγειν ὡς καὶ τὴν ἐν τόπῳ σχέσιν δηλοῖ ἐν Ὀδυσσείᾳ "πωλεῖταί τις δεῦρο γέρων ἅλιος" (Od. 4, 384)· σημαίνει δὲ ἀντὶ τοῦ ἀναστρέφεται ἐν τούτῳ τῷ τόπῳ. βέλτιον δέ ἐστι τὸ πρότερον, ἐπεὶ καὶ ἐκεῖ τὴν εἰς τόπον σχέσιν μᾶλλον δηλοῖ, ἀντὶ τοῦ παραγίνεται πολλάκις ἐνθάδε.

154. οὐ γὰρ πώποτ'] οὕτως ὑφ' ἓν, πώποτε, Ἀρίσταρχος. ἀεὶ δὲ τὸ πώποτε ἐν συνθέσει ὂν ἐπὶ παρῳχημένου παραλαμβάνεται, οὐδέποτε δὲ ἐπὶ μέλλοντος.

156. *περισπαστέον τὸν ῆ· ἔστι γὰρ βεβαιωτικός.

157. *σκιόεντα] σκιώντα διὰ τοῦ ω̄ Ἀρίσταρχος.

θάλασσά τε ἠχήεσσα] ὁ λόγος, οὐδέποτε ἠδίκησάν με οἱ Τρῶες, ἐπειδὴ μεταξὺ Φθίας καὶ Πελοποννήσου πολλά ἐστι μέγιστα ὄρη καὶ πολλὴ θάλασσα, ὡς μήτε ὑπήκοόν με σοὶ εἶναι μήτε ἀστυγείτονα.

159. τιμὴν ἀρνύμενοι] ὅτι Ζηνόδοτος γράφει τιμὴν ἀρνύμενος, καὶ τὸν ἑξῆς ἠθέτηκεν. ἠγνόηκε δὲ ὅτι ἡ τιμὴ νῦν ἀντὶ τῆς τιμωρίας κεῖται· καὶ τὸ ἀρνύμενος οὐκ ἔστι λαμβάνων, ἀλλ' ἀντὶ τοῦ εἰσπρατόμενος παρὰ Τρώων.

160. πρὸς Τρώων τῶν οὔ τι μετατρέπει] τινὲς ἐπὶ τὸ Τρώων στίζουσι, καὶ τὸ ἐπιφερόμενον μόριον ἐπὶ τὰ προειρημένα πράγματα, οὐκ ἐπὶ τοὺς Τρῶας ἔχειν τὴν ἀναφορὰν βούλονται. ἐὰν μέντοι ἐπὶ τὸ Τρώων ἀναφέρηται καὶ ἀντὶ ὑποτακτικοῦ τοῦ ὧν κέηται, βραχὺ διαστελοῦμεν ἐπὶ τὸ Τρώων, ὡς ἐπὶ τοῦ "οὐλομένην ἣ μυρί' Ἀχαιοῖς."

τῶν οὔ τι μετατρέπει οὐδ' ἀλεγίζεις] ἤτοι τῶν πεπραγμένων εἰς τὴν σὴν χάριν, ἢ τῶν ἀκολουθησάντων. δύναται δὲ καὶ ὑπὲρ

2. Lacunam indicavit Friedl. ad Nican. p. 143, fortasse verbis explendam ἢ τῷ μαχησόμενος συνάπτειν αὐτό.

σόλοικόν ἐστι Vill.] σόλοικον ἔσται, αι per compendium expresso.

9. πώποτε Cobetus] ποτὲ

13. σκιόεντα om.

14–17. ὁ λόγος — ἀστυγείτονα] Haec in A infra post scholion versus 164.

20. ἀλλ' ἀντὶ τοῦ εἰσπραττόμενος] ἀλλὰ τὸ ἀρνύμενοι ἀντὶ τοῦ εἰσπραττόμενοι Friedl.

29. ὑπὲρ] ἐπὶ Cobetus.

τῶν Τρώων ἀκούεσθαι, ἵν' ᾖ ὧν οὐκ ἀλεγίζεις τῶν ἐπικειμένων πολεμίων.

*Ἰακῶς τὸ μόγησα αἱ Ἀριστάρχου.

163. *ὁππότ' Ἀχαιοί] ὅτι Ζηνόδοτος γράφει οὐδ' ὅτ' Ἀχαιοί. ἠγνόηκε δὲ ὅτι ἤλλακται τὸ ἔχω ἀντὶ τοῦ ἔσχον.

164. Τρώων ἐκπέρσωσ'] ὅτι φανερὸν ἐκ τούτου ὡς καὶ ἐν τοῖς ἐπάνω (129) περί τινος τῶν περιχώρων ἐστὶ πόλεων ὁ λόγος. καὶ ὅτι ὁ χρόνος ἤλλακται, ἐκπέρσωσιν ἀντὶ τοῦ ἐκπέρσουσιν.

166. δασμός] μερισμὸς τῶν λαφύρων δηλονότι.

168. ἔρχομ' ἐπὶ νῆας, ἐπὴν κεκάμω] ὅτι δύναται ὑφ' ἓν κεκάμω, δύναται δὲ καὶ χωρὶς τοῦ κε· καὶ ὅτι ἤλλακται ὁ χρόνος, ἔρχομαι ἀντὶ τοῦ ἠρχόμην.

Ἀρίσταρχος γράφει ἐπεί κε κάμω, ἵνα μὴ ᾖ διπλασιασμὸς ἐν τῷ ῥήματι· καὶ οὕτως ἡ συνήθης ἀνάγνωσις. οὕτως δὲ καὶ Ἡρωδιανὸς, φάσκων ὅτι τὸ ἐπήν ἔχει τὸν ἄν, καὶ τίς χρεία ἐν δευτέρῳ αὐτὸν κεῖσθαι; οὐκ ἀγνοῶ δὲ ὅτι τινὲς ἐπήν κε γράφουσιν.

169. *Φθίηνδ'] οὕτως σὺν τῷ δ αἱ Ἀριστάρχου, Φθίηνδ'. καὶ ἡ Ζηνοδότου ὁμοίως.

ὁ νοῦς, ὑπερβατόν· νῦν δ' εἶμι Φθίηνδε σὺν νηυσὶ κορωνίσιν, ἐνθάδ' ἄτιμος ἐών, ἐπειὴ πολὺ φέρτερόν ἐστιν. οὐχ ὑπολαμβάνω δέ σε, φησὶν, ἐμοῦ ἀπόντος καταστρέψαι τὴν Ἴλιον καὶ πλοῦτον πολὺν σχεῖν.

*ὅτι πτῶσις ἐνήλλακται· ἀντὶ γὰρ γενικῆς κέχρηται ὀνομαστικῇ, ἀντὶ τοῦ οὐχ ὑπονοῶ δὲ ἐνθάδε σε ἐμοῦ ὄντος ἀτίμου πλουτήσειν.

171. ἄφενος καὶ πλοῦτον] ἄφενος καλεῖται ἡ ἀπὸ ἑνὸς ἐνιαυτοῦ περιουσία, πλοῦτος δὲ ἡ ἀπὸ πολλῶν.

3. τὸ μόγησα] τὸ ἐμόγησα. Legit Aristarchus πολλὰ μόγησα, non πόλλ' ἐμόγησα.

4. Lemma om.

7. περί τινος Bekkerus] ὅτι περί τινος.

8. ἐκπέρσουσιν] ἐκπέρθουσιν Cobetus.

11. δύναται δὲ Friedl.] δὲ om.

χωρὶς τοῦ κε] In textu est ἐπὴν κε, κάμω, εἰ super ἡν scripto.

τοῦ κε] τοῦ κε κάμω Vill.

16. ὅτι τινες] ὅτινες

17. Lemma om.

καὶ ἡ Ζηνοδότου ὁμοίως] *Ζηνόδοτος δὲ χωρὶς τοῦ δέ. τινὲς δὲ χωρὶς τοῦ δέ, καὶ ἡ Ζηνοδότου ὁμοίως, Duentzerus Zenod. p. 72.

23. πτῶσις] ἡ πτῶσις Bekkerus.

24. σε ἐμοῦ Friedl.] σου.

ἀτίμου addidit Vill.

26. πολλῶν Bastius Append. Ep. crit. p. 53] πο cum signo compendii A.

173. φεῦγε μάλ'] διασταλτέον βραχὺ ἤτοι ἐπὶ τὸ φεῦγε ἢ ἐπὶ τὸ μάλα. ἢ γὰρ φεῦγε μάλα, ἢ εἴ τοι μάλα θυμὸς ἐπέσσυται, εἰ λίαν ὥρμησαι. ἢ τάχα περιττεύει τὸ μάλα.

θυμός] τοῦτο τὸ ὄνομα παρὰ τῷ ποιητῇ σημαίνει πέντε, τὴν ὀργήν, ὡς ἐν τῷ "θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων" (Il. 2, 196)· τὴν ψυχήν, ὡς ὅταν εἴπῃ "μελιηδέα θυμὸν ἀπηύρα" (Il. 10, 495)· τὴν ἐπιθυμίαν, ὡς ἐν τῷ "ᾧ θυμῷ εἴξασα μίγη φιλότητι καὶ εὐνῇ" (Od. 5, 126)· τὸν ἐπιλογισμόν, ὡς τὸ "ἕτερος δέ με θυμὸς ἀνῆκεν" (Od. 9, 302)· τὴν ὁμόνοιαν, ὡς ἐπὶ τοῦ "ἀλλ' ἕνα θυμὸν ἔχοντε νόῳ καὶ ἐπίφρονι βουλῇ" (Od. 3, 128).

*ἔγωγε] οὕτως προπαροξυτονητέον τὸ ἔγωγε, ἵν' ᾖ ἕν.

174. πάρ' ἔμοιγε] τὴν παρὰ πρόθεσιν κατὰ τὴν ἄρχουσαν ὀξυτονητέον. καὶ καθόλου ὁπότε σημαντικαί εἰσι ῥημάτων αἱ προθέσεις, τοῦτον τὸν τόνον ἀναδέχονται· "ἐπεὶ οὔ τοι ἔπι δέος" (515) "οὐ γὰρ ἔπ' ἀνὴρ οἷος Ὀδυσσεύς" (Od. 2, 58). τὴν δὲ ἔμοιγε προπαροξυτονητέον· ἔστι γὰρ Ἀττική, ὡς καὶ ἡ ἔγωγε.

175. *οἵ κέ με τιμήσουσι] ὅτι περισσὸς ὁ σύνδεσμος, ἢ τὸ τιμήσουσιν ἀντὶ τοῦ τιμήσειαν.

*μητίετα] οὕτως Ἀρίσταρχος τρίτην ἀπὸ τέλους ποιεῖ τὴν ὀξεῖαν· καὶ ἐπεκράτησεν ἡ ἀνάγνωσις. καὶ ἴσως πλεονασμός ἐστι τοῦ ε.

οἵ κέ με τιμήσουσι, μάλιστα δὲ μητίετα Ζεύς] Βοιωτῶν καὶ Αἰολέων ὁ τοιοῦτος τῶν ὀνομάτων μετασχηματισμός, οἷον "αὐτὰρ ὁ αὖτε Θυέστα" (Il. 2, 107) ἀντὶ τοῦ Θυέστης, καὶ ἱππηλάτα ἀντὶ τοῦ ἱππηλάτης, καὶ νεφεληγερέτα ἀντὶ τοῦ νεφεληγερέτης, καὶ κυανοχαῖτα ἀντὶ τοῦ κυανοχαίτης. παρ' ἡμῖν δὲ οὐδὲν ἀρσενικὸν ὄνομα ἐπὶ τῆς εὐθείας εἰς α̅ λήγει.

τὰ εἰς ης̄ βαρύτονα βραχέα παραληγόμενα, ἀπρόσληπτα τοῦ σ̄ κατὰ γενικήν, παροξυνόμενα, ἐν τῇ κλητικῇ φυλάττει τὸν τόνον. σεσημείωται τὸ δέσποτα καὶ εὐρύοπα καὶ μητίετα προπαροξυτονούμενα.

176. *ἔχθιστος] ὅτι συγκριτικῷ ἀντὶ ἁπλοῦ ἐχρήσατο.

2. εἴ τοι] ἤτοι
3. ἢ τάχα] καὶ τάχα Friedl. Nican. p. 143.
6. *τὴν ψυχὴν] καὶ τὴν ψυχήν
8. *ὡς τὸ] om.
9. ἀνῆκεν] Legitur ἔρυκεν.
10. ἔχοντε] ἔχοντες
17, 19. Lemma om.
17. ἢ Friedl.] καὶ.
31. συγκριτικῷ] Immo ὑπερθετικῷ, ut monet Friedl. p. 31.

διοτρεφέων] τῶν σὺν Διὸς γνώμῃ τεθραμμένων, ἐπεὶ τῆς αὐτοῦ σειρᾶς εἰσὶν, ὡς καὶ Ἡσίοδός φησιν (Th. 94) "ἐκ γάρ τοι Μουσάων καὶ ἑκηβόλου Ἀπόλλωνος ἄνδρες ἀοιδοὶ ἐπὶ χθονὶ καὶ κιθαρισταὶ, ἐκ δὲ Διὸς βασιλῆες."

177. *αἰεὶ γάρ τοι ἔρις] ὅτι ἐνταῦθα ὀρθῶς εἴρηται, ἐν δὲ τῇ Ὀδυσσείᾳ οὔ.

178. εἰ μάλα καρτερός ἐσσι] ἐπὶ τὸ ἐσσί ὑποστικτέον, ἵνα στίζωμεν κατὰ τὸ τέλος τοῦ στίχου, τὰ δὲ ἑξῆς ἀπ' ἄλλης ἀρχῆς προφερώμεθα, οἷκαδ' ἰών. ἢ ὑποστικτέον καὶ ἐπὶ τὸ ἔδωκεν ἀνυποκρίτως, ὡς διὰ μέσου τὸ ἡμιστίχιον ἀναφωνεῖσθαι, καὶ τὸ ἑξῆς εἶναι, εἰ μάλα καρτερός ἐσσι, οἷκαδ' ἰών.

180. Μυρμιδόνεσσιν ἄνασσε] Αἴγιναν τὴν Ἀσωποῦ τοῦ ποταμοῦ Θηβῶν θυγατέρα ἁρπάσας Ζεὺς κατῆλθεν εἰς Φλιοῦντα, καὶ φθείρας τὴν προειρημένην ἔγκυον ἐποίησεν, ἥτις Αἰακὸν ἐγέννησεν. Ἀσωπὸς δὲ τὴν θυγατέρα ζητῶν ἔμαθεν παρὰ Σισύφου καὶ τὸν ἁρπάσαντα καὶ τὸν τόπον εἰς ὃν κατεληλύθει. μὴ μελλήσας οὖν ἔσπευσε. μέλλων δὲ ὁ Ζεὺς ἐπ' αὐτοφώρῳ καταλαμβάνεσθαι τὴν μὲν Αἴγιναν μετεμόρφωσεν εἰς ὁμώνυμον νῆσον, αὐτὸς δὲ μετεβλήθη εἰς λίθον. ἐλθὼν δ' ὁ Ἀσωπὸς καὶ μηδ' ὄντινα καταλαβὼν ἔμπαλιν εἰς τὰς ἰδίας ὑπέστρεψε πηγάς. βουλόμενος δ' ὁ Ζεὺς τιμωρήσασθαι τὸν μηνύσαντα, ἠνάγκασεν αὐτὸν ἐν τοῖς ὑποχθονίοις τοσοῦτο μέγεθος πέτρου ἀνωθεῖν, εἰς ὅσον αὐτὸς μετεβλήθη. Αἰακοῦ δὲ ἐν τῇ νήσῳ μόνου ὄντος, ὁ Ζεὺς κατοικτείρας τοὺς αὐτόθι μύρμηκας μετέβαλεν εἰς ἀνθρώπους· ἀφ' ἧς αἰτίας Μυρμιδόνες ἐκλήθησαν.

181. ὧδε] στικτέον ἐπὶ τὸ ὧδε καὶ ὑποστικτέον ἐπὶ τὸ Ἀπόλλων, ἵν' ἀπ' ἄλλης ἀρχῆς ᾖ τὸ ὡς ἔμ' ἀφαιρεῖται.

184. *ὅτι τὸ ἄγω ἀντὶ τοῦ ἄγοιμι.

Βρισηΐδα] Βρισηΐς ἀπὸ τοῦ βρι, ἡ βαροῦσα πάντας ἢ πάντα τῷ κάλλει.

3. ἀοιδοὶ—ἐκ δὲ Διὸς βασιλῆες] ἀδελφοὶ—ἐκ διὸς βασιλέως.

5. αἰεὶ γάρ τοι ἔρις om. et asteriscum ante ὅτι ponit. Scholion ipsum absurdissime interpolatum. Nam scholiasta hoc potius dixerat ὀβελὸς μετ' ἀστερίσκου ὅτι ἐνταῦθα κακῶς εἴρηται, ἐν δὲ τῇ Ε ῥαψῳδίᾳ (891) εὖ, quod certissima emendatione restituit Cobetus Mnem. novae, vol. 1 p. 31, collatis quae de hoc loco Aristonicus dixit in Praefatione (supra p. 2, 8.) et in scholio ad 5, 891.

8. προφερώμεθα] προσφερώμεθα, sed σ cum puncto superscripto.

16. *μελλήσας] μελήσας

21. τοσοῦτο] τοσούτω corr. A.

28, 29. in marg. exteriore a manu recenti.

185. *αὐτὸς ἰὼν κλισίηνδε*] *βραχὺ διασταλτέον ἐπὶ τὸ γέρας καὶ σέθεν καὶ φάσθαι· ἐπανάληψις γάρ ἐστιν ὑποτακτικοῦ μέρους. καὶ τὸ ὄφρα κοινὸν κατὰ πάντων νοεῖται.*

***οὕτω περισπαστέον τὸ εἰδῇς.*

189. *στήθεσσιν λασίοισι*] *νῦν περὶ τοῦ θυμοειδοῦς μέρους τῆς ψυχῆς φησὶν, ἀφ' οὗ λέγει στήθεσσιν· ὑπὸ γὰρ τὰ στέρνα κεῖται ἡ καρδία, ἐν ᾗ ἐστὶ τὸ πυρῶδες καὶ θερμὸν καὶ μανικὸν τῆς ψυχῆς. σημαίνει δὲ καὶ τοῖς θερμοῖς· ἡ θέρμη γὰρ αἰτία τῆς ἐκφύσεως τῶν τριχῶν.*

διάνδιχα] *ὅτι δύο ἐμερίμνησεν οὐκ ἐναντία ἀλλήλοις, ὅπερ ἐκλαβών τις προσέθηκεν "ἠὲ χόλον παύσειεν." βραχὺ δὲ διασταλτέον ἐπὶ τὸ μερμήριξεν· ὁ γὰρ λόγος, διχῶς ἐλογίσατο, τοὺς μὲν ἀναστῆσαι, τὸν δ' Ἀγαμέμνονα ἀνελεῖν.*

μερμήριξα] *μερίζω μερμερίζω, καὶ ἐκτάσει μερμηρίζω, ὡς δάπτω δαρδάπτω.*

190. ἦ—ἠέ] *τὸν μὲν πρότερον σύνδεσμον βαρυτονητέον, τὸν δὲ δεύτερον περισπαστέον· διαπορητικὴ γάρ ἐστιν ἡ σύνταξις. καὶ οὕτως ἐν τῇ καθόλου.*

192. **ἠὲ χόλον παύσειε*] *ὅτι ἐκλύεται τὰ τῆς ὀργῆς. διὸ ἀθετεῖται.*

193. *ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν*] *ἐνταῦθα μὲν ὑποστικτέον, ἐπὶ δὲ τὸ ξίφος ἤτοι ὑποστικτέον ἢ στικτέον. ἐὰν μὲν οὖν ὑποστίζωμεν, ὁ ἐπιφερόμενος σύνδεσμος περισσὸς ἔσται, ἦλθε δ' Ἀθήνη· ἐὰν δὲ στίζωμεν, οὗτος μὲν καλῶς κείσεται, ὁ δὲ πρότερος πλεονάσει ἐν τῷ "ἕλκετο δ' ἐκ κολεοῖο." βέλτιον δὲ ὑποστίζειν ἀμφότερα· ἐν ὅσῳ γὰρ λογίζεταί τε καὶ σπᾶται, ἦλθεν ἡ Ἀθηνᾶ.*

194, 195. **ἦλθε δ' Ἀθήνη οὐρανόθεν*] *ὅτι περισσὸς ὁ δέ σύνδεσμος.*

4. οὕτω—εἰδῇς Cobetus] οὗ—οὗ δ
5. *μέρους] om.
10. διάνδιχα] Lemma στήθεσσιν λασίοισι
16. ἦ—ἠέ] ἦ ὅγε φάσγανον ἠὲ χόλον
17. * καὶ οὕτως ἐν τῇ καθόλου] om.
19. διὸ ἀθετεῖται ab librario additum esse coniecit Cobetus, qui huic versui ὀβελὸν praescriptum videret pro διπλῆ.
24. στίζωμεν] στήζωμεν, ut alibi non raro.
κείσεται — πλεονάσει Cobetus] στίζεται—πλεοῦ.
27. Lemma om.

194, 195. *ἦλθε δ' Ἀθήνη οὐρανόθεν] ὅτι οὐκ ὀρθῶς ἐκ τοῦ ποιητικοῦ προσώπου λέγεται.

195. ὡς ἐκ τοῦ οὐρανοῦ, παρεγένετο, φησὶν, ἡ Ἀθηνᾶ, ὅ ἐστιν ἡ φρόνησις· δεῖ γὰρ οὕτως αὐτὴν καταβαίνειν, οἷα καὶ τῆς κόμης αὐτὸν κρατεῖν καὶ οὐκ ἄλλου μέρους τοῦ σώματος, ἀλλ' ἔνθα ἵδρυται τὸ λογικὸν τῆς ψυχῆς μέρος. εὐλόγως δὲ καὶ οἱ μυθογράφοι φασὶν ὅτι ἔγκυος οὖσα ἡ Μῆτις τὴν Ἀθηνᾶν κατεπόθη ὑπὸ τοῦ Διὸς, καὶ ἀπὸ τῆς κεφαλῆς αὐτοῦ ἐν τῷ ὡρισμένῳ τῆς ἀποκυήσεως χρόνῳ ἐξέθορεν ἡ θεὸς σὺν ὅπλοις. ἡ ἱστορία παρὰ Ἀπολλοδώρῳ ἐν πρώτῳ.

197. κόμης ἕλε Πηλείωνα] ὅτι οὕτως λέγει, τὸν Πηλείωνα τῆς κόμης εἷλεν, οὐχὶ τοῦ Πηλείωνος τὴν κόμην. ἀγνοήσαντες δέ τινες γράφουσι ξανθῆς δὲ κόμης ἕλε Πηλείωνος. διὰ τούτου δὲ αἰνίττεται τὸ θερμὸν καὶ ὀργίλον τοῦ ἥρωος· οἱ γὰρ ξανθότριχες τοιοῦτοι.

198. *ὁρᾶτο] ὅτι Ζηνόδοτος γράφει ὁρᾶτο. τοῦτο δὲ Δώριον.

200. Παλλάδ' Ἀθηναίην] Παλλάδα τὴν Ἀθηνᾶν ἐπιθετικῶς, ἤτοι ἀπὸ τοῦ πάλλειν καὶ κραδαίνειν τὸ δόρυ (πολεμικὴ γὰρ ἡ θεός), ἢ ὅτι Πάλλαντα ἕνα τῶν γιγάντων ἀπέκτεινεν, ἢ ἀπὸ τοῦ ἀναπαλθῆναι αὐτὴν ἀπὸ τῆς κεφαλῆς τοῦ Διὸς, ἢ διὰ τὸ παλλομένην τὴν καρδίαν τοῦ Διονύσου προσκομίσαι τῷ Διί.

δεινὰ δέ οἱ ὄσσε φάανθεν] διὰ τῆς ἐκπλήξεως Ἀχιλλέως τὴν Ἀθηνᾶν γλαυκῶπιν παρέστησεν. τινὲς δὲ φάανθεν ἀντὶ τοῦ ἐφωτίσθησαν οἱ τοῦ ἥρωος ὀφθαλμοί.

201. καί μιν] τὸ μιν Ἰώνων.

202. αἰγιόχοιο] τοῦ ἀπὸ τῆς αἰγὸς ὀχὴν λαβόντος· ὅθεν καὶ Ζεὺς τῇ Ἀμαλθείᾳ τὸ κέρας δίδωσι πάσης τροφῆς παρεκτικόν.

203. *ὅτι χωρὶς τοῦ σ τὸ ἴδῃ. οὕτως καὶ ἡ Ἀριστάρχου.

1. Versibus 194, 195 in A praescriptus obelus cum asterisco. Ex quo sequitur λέγεται prioris tantum versus habita ratione pro λέγονται dictum esse, ut alibi interdum in his scholiis.
4. *οἷα] ὡς
*αὐτὸν] αὐτὴν
5. κρατεῖν] *κρατῇ
8. *ἐν τῷ] ἐν om.
10. Lemma στῆ δ' ὄπιθεν.
13. ξανθότριχες Cobetus] ξανθόχολοι cum aliis codicibus et Eustathio p. 82, 6.
14. ὁρᾶτο om.
24. *τοῦ ἀπὸ] τοῦ om.
26. ἴδῃ] ἰδῇι
Ἀριστάρχου (ἀρισταρ χ)] Ἀριστοφάνους Cobetus : nam videri hanc Didymi annotationem esse, διπλῆν vero περιεστιγμένην, quae adscripta sit in A, ad Aristonici annotationem referendam esse ὅτι Ζηνόδοτος γρ. ἴδῃς.

204. ἀλλ' ἔκ τοι ἐρέω] ἤτοι στικτέον ἐπὶ τὸ ἐρέω. ἢ βραχὺ διασταλτέον. ἐὰν μὲν οὖν στίζωμεν, ἔσται τὸ λεγόμενον, τοῦτο καὶ τετελέσθαι ὑπολαμβάνω· ἐὰν δὲ διαστέλλωμεν, ἔσται ὁ δὲ κείμενος ἀντὶ τοῦ δή, καὶ τὸ τό ἀντὶ ὑποτακτικοῦ τοῦ ὅ.

ἀλλ' ἔκ τοι ἐρέω] ὅτι Ζηνόδοτος γράφει τὸ δὲ καὶ τετελεσμένον ἔσται. τοῦτο δὲ τῇ Ἀθηνᾷ ἁρμόζει μᾶλλον διαβεβαιοῦν.

* τελέεσθαι Ἀρίσταρχος, οὐ τετελέσθαι.

208, 209. οὐρανόθεν, πρὸ δέ μ' ἧκεν] ὅτι ἀμφοτέρους Ζηνόδοτος ἠθέτηκεν. οἰκείως δὲ μᾶλλον κεῖνται εἰς προτροπὴν τοῦ Ἀχιλλέως. τὸ σφριγῶν δὲ τοῦ θυμοῦ μαλακοῖς ἴαται λόγοις. ὅμως ἐκδειματοῖ, καὶ τὸν ἐχθρὸν θεοφιλῆ εἶναι λέγουσα. οὐ πᾶς δὲ ὁ φιλῶν κήδεται ὡς λύκος ἄρνα.

211. ἀλλ' ἤτοι ἐπέεσσιν ὀνείδεσιν] Πτολεμαῖος καὶ Σέλευκος ἐπὶ τὸ ὀνείδισον στίζειν ἀξιοῦσι, καὶ ὑποστίζειν κατὰ τὸ τέλος τοῦ στίχου, ἵν' ᾖ τὸ λεγόμενον, ὥσπερ γὰρ ἔσται, οὕτω καὶ ἐρῶ. ἐναντιοῦται δὲ αὐτοῖς τό τε ὑπερβατὸν τοῦ γάρ συνδέσμου, καὶ τὸ διλογεῖσθαι τὰ ἡμιστίχια ταῦτα, ὡς ἔσεταί περ καὶ ὡς τετελεσμένον ἔσται. μήποτε οὖν ἄμεινον στίζειν ἐπὶ τὸ τέλος τοῦ στίχου, ἵνα μὴ μόνον συμβουλεύῃ, ἀλλὰ καὶ μαντεύηται, ὃ θεοῖς μάλιστα πρέπει.

212. *τὸ δὲ] δύο μέρη λόγου εἰσίν.

τετελεσμένον ἔσται] ὅτι Ζηνόδοτος γράφει τετελέσθαι οἴω. τοῦτο δὲ Ἀχιλλεῖ ἥρμοζεν.

214. *ἡμῖν] ὅτι ὀρθοτονητέον, ἵνα ᾖ διασταλτική.

216. χρὴ μὲν σφωΐτερόν γε] ὅτι πρὸς δύο ἀμείβεται· τὸ γὰρ σφωΐτερόν ἐστι δυϊκόν. κακῶς ἄρα ἀθετεῖ Ζηνόδοτος τὸν "πρὸ δέ μ' ἧκε θεά," καὶ τὸν "ἄμφω ὁμῶς" (208, 209). ὁ λόγος δὲ αἱρεῖ στίζειν ἐπὶ τὸ κεχολωμένον καὶ ἄμεινον· ἕκαστος γὰρ καθ' ἑαυτὸν λόγος ἀπηρτισμένος ἐστί. καὶ οἱ μὲν πρῶτοι δύο ὑπὸ τοῦ γάρ συνδέσμου

12. ὡς λύκος ἄρνα] Notum proverbium ὡς λύκοι ἄρνα φιλοῦσ', ὡς παῖδα φιλοῦσιν ἐρασταί. COBET.

16. τό τε ὑπερβατὸν Vill.] τὸ τῷ ὑπερβατῷ

τοῦ γὰρ Friedl. Nican. p. 145] τοῦ περ. De prava Ptolemaei et Seleuci interpunctione dixit Ios. Kraussius in Ritschelii Museo Rhen. novo vol. 28 p. 489.

19. ὃ Vill.] ὃ

21. τετελεσμενον ἔσται] Lemma ὧδε γὰρ ἐξερέω.

τετελέσθαι] τελέεσθαι Cobetus.

25. τὸν πρὸ Bekkerus] τὸ πρὸ

26. τὸν ἄμφω Bekkerus] τὸν om.

αἱρεῖ] ἐρεῖ

συνημμένοι εἰσίν· ὁ δὲ τρίτος "ὅς κε θεοῖς ἐπιπείθηται" ἀσύνδετός ἐστι πρὸς τὸν δεύτερον, διὸ τελείαν ἔχει τὴν πρὸ ἑαυτοῦ στιγμήν· γελοῖος δ' ὁ Πτολεμαῖος, ὃς αἰτίαν ἡγεῖται τῶν διαστολῶν ἐνθάδε τὸ γνωμικῶς λέγεσθαι τὸν τελευταῖον στίχον· καὶ γὰρ εἰ μὴ γνωμικὸς ἦν, οὐδαμῶς ἐδύνατο συνάπτεσθαι τοῖς ἄνω, ἀσύνδετος ὢν, ὁ λόγος.

χρή] *ὀξυτονητέον καὶ ἐν τῇ συντάξει βαρυνόμενον σημαίνει ἐπίρρημα τὸ δεῖ—"χρὴ μὲν σφωΐτερόν γε, θεὰ, ἔπος εἰρύσασθαι"—, περισπώμενον δὲ ῥῆμα Ἀττικόν. ἀπὸ γὰρ τοῦ χρῶμαι τὸ δεύτερον τῆς κοινῆς διαλέκτου ἐστὶ χρᾷ, Ἰωνικῶς, Ἀττικὸν δὲ χρῇ, ὡς εἴρηται Ἀλεξάνδρῳ ἐν Διονύσῳ "ἰδοὺ κάτοπτρον. εἰπέ μοι τούτῳ τί χρῇ;"*

217. *ὡς γὰρ ἄμεινον*] *στικτέον, εἶτα ἀπὸ ἄλλης ἀρχῆς "ὅς κε θεοῖς ἐπιπείθηται, μάλα τ' ἔκλυον αὐτοῦ." γνωμικώτερον γὰρ τὸ τοιοῦτο εἴρηται. οὕτως Ἡρωδιανός.*

218. **ἔκλυον*] *πρὸς τὸ σχῆμα, ὅτι οὐ κλύουσιν εἶπεν ἢ ἀκούσονται.*

219. *ἦ καὶ ἐπ' ἀργυρέῃ*] *τοῦτο τὸ ἦ ψιλῶς λεγόμενον καὶ περισπωμένως δηλοῖ σύνδεσμον παραπληρωματικὸν τὸν ἤτοι, ἴσον τῷ δή, οἷον "ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστιν" (169), καὶ παραλλήλως "ἦ δὴ λοίγια ἔργα" (573). δηλοῖ δὲ καὶ ἀπορηματικὸν σύνδεσμον· "ἦ οὐχ Ἑλένης ἕνεκ' ἠϋκόμοιο; ἦ μοῦνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων Ἀτρεΐδαι;" (Il. 9, 339). δηλοῖ δὲ καὶ τὸ ἔφη· "ἦ καὶ κυανέῃσιν" (528). καὶ σεσημείωται Ἀρίσταρχος ὅτι ὁ μὲν Ὅμηρος ἀεὶ ἐπὶ προειρημένοις λόγοις ἐπιφέρει τὸ δηλοῦν τὸ ἔφη, ὡς ἐπὶ τοῦ προκειμένου, ὁ δὲ Πλάτων μετ' αὐτὸν ἐπιφέρει τὸν λόγον. ψιλούμενον δὲ καὶ βαρυτονούμενον δηλοῖ σύνδεσμον διαζευκτικόν· "ἦ εὖ ἠὲ κακῶς" (Il. 2, 253). ἔστι δὲ ὅτε καὶ ἀντὶ συναπτικοῦ τοῦ εἴ τίθεται, οἷον "οὐδ' ἀφαμαρτοεπὴς, ἦ καὶ γένει ὕστερος ἦεν" (Il. 3, 215). ποτὲ δὲ παρέλκει· "ἀλλὰ τί ἦ με ταῦτα παρεξερέεσθαι ἕκαστα;" (Il. 10, 432). δασυνόμενον δὲ καὶ ὀξυτονούμενον ἄρθρον προτακτικὸν δηλοῖ· "ἡ δ' ἑτέρη θέρεϊ προρέει εἰκυῖα χαλάζῃ" (Il. 22, 151). δηλοῖ δὲ*

1. *συνημμένοι* Friedl. Nican. p. 145] *συνηγμένοι*
4. *γνωμικὸς* Vill.] *γνωμικὸν*
7. *εἰρύσασθαι*] *εἰρύσσασθαι*
9. *χρᾷ*] *χρὴ* (sine accentu).
10. *τούτῳ τί χρῇ* Hermannus] *τί χρὴ τοῦτο*
11. *ὅς κε*] *ὥς κε*
13. *Ἡρωδιανός*] *ἡρωιδιανός*. Et sic saepissime.
14. *ἔκλυον* om.
19. *ἀπορηματικὸν*] *ἀπορρηματικὸν*
26. *τοῦ εἴ*] *τοῦ ἤ*.
27. *ἦ καὶ*] *εἰ καὶ*
28. *τί ἦ με*] *τίη με*.
30. *προρέει*] *προρρέει*

καὶ ἄρθρον ὑποτακτικὸν, οἷον "ἢ μυρί' Ἀχαιοῖς" (2). δηλοῖ δὲ καὶ ἀναφορικὴν ἀντωνυμίαν· "ὡς ἦ γ' ἀμφιπόλοισι μετέπρεπεν" (Od. 6, 109). δηλοῖ δὲ καὶ τὴν σύναρθρον ἀντωνυμίαν τρίτου προσώπου, συζυγοῦσαν τῇ ἐμῇ σῇ. ὑποδείγματα δὲ ταύτης παρ' Ὁμήρῳ οὐχ εὑρίσκεται, ἐκ δὲ τοῦ ἀναλόγου νοεῖται· αἱ γὰρ πλάγιοι πᾶσαι δι' αὐτῆς παρ' Ὁμήρῳ σώζονται.

κώπη παρὰ τὸ κοπτικὸν τοῦ ξίφους.

219, 220. ὅτι Ζηνόδοτος μεταγράφει "ὃς εἰπὼν πάλιν ὧσε μέγα ξίφος οὐδ' ἀπίθησε" καὶ τοὺς δύο ἕνα ἐποίησεν.

κουλεόν] κουλεὸς παρὰ τὸ κοῖλον εἶναι, ξίφος παρὰ τὸ σκίπτω σκίφος καὶ ξίφος Δωρικῶς.

222. *δώματ' ἐς αἰγιόχοιο] βραχὺ διασταλτέον ἐπὶ τὸ Διός.

δύναται μὲν ἀθετεῖσθαι· οἱ γὰρ θεοὶ πρὸ μιᾶς ἡμέρας εἰς Αἰθιοπίαν εἰσὶ κεχωρισμένοι· δύναται δὲ καὶ Ὁμηρικῷ τρόπῳ ἀκούεσθαι, μετὰ δαίμονας ἄλλους, εἰς τὸν τῶν δαιμόνων τόπον.

μετὰ] ὅτι ἀντὶ τῆς ἐπί.

μετὰ δαίμονας ἄλλους] οὕτως δαίμονας καλεῖ τοὺς θεούς, ἤτοι ὅτι δαήμονες (ἔμπειροι γὰρ καὶ ἴδριες πάντων αὐτοί εἰσιν), ἢ ὅτι διαιτηταί εἰσι καὶ διοικηταὶ τῶν ἀνθρώπων, ὡς Ἀλκμὰν ὁ λυρικός φησιν "ὅς ἔθεν πάλοις ἔπαλλεν δαίμονάς τ' ἐδάσσατο," τοὺς μερισμοὺς, τὰς διαιρέσεις αὐτῶν. Ἡσίοδος δὲ δαίμονάς φησι τοὺς ἐκ τοῦ ζῆν μεταστάντας, ὄντας δὲ ἐπὶ τῆς Κρόνου βασιλείας, τοῦ χρυσοῦ γένους, λέγων αὐτοὺς φύλακας θνητῶν ἀνθρώπων (O. 122).

225. οἰνοβαρὲς κυνὸς ὄμματ' ἔχων] ὅτι Ζηνόδοτος τοῦτον τὸν τόπον ἠθέτηκεν, ἕως τοῦ ναὶ μὰ τόδε σκῆπτρον (234). καθ' ἑκάστην δὲ λοιδορίαν βραχὺ διασταλτέον, ἐπὶ δὲ τὸ τέλος στικτέον· προσαγορευτικὴ γὰρ ἡ περίοδος. ἡ δὲ ἑξῆς ῥηματική· διὸ ἀπ' ἄλλης ἀρχῆς "οὔτε ποτ' ἐς πόλεμον οὔτε λόχον."

*κραδίην δ' ἐλάφοιο] λέγεται χολὴν οὐκ ἔχειν ἐν τῷ ἥπατι περικειμένην τὴν ἔλαφον.

7. κώπη—ξίφους] Haec post scholion proximum leguntur.
10. κουλεόν] om.
15. μετὰ Vill.] ἡμῶν μετὰ
16. ὅτι ἀντὶ τῆς (ἀν codex) ἐπὶ] Hoc non inter scholia, sed in textu supra μετὰ scriptum.
18. δαήμονες] δαίμονες
*γὰρ] om.
20. ὅς ἔθεν Vill.] οἵεθεν
τ' ἐδάσσατο Vill.] τε δάσσαντο
23. *φύλακας] δαίμονας φύλακας.
27. ῥηματική Bekkerus] περιοδικὴ ῥηματική

226. οὔτε ποτ' ἐς πόλεμον] τοῦτο δημοκρατικοῦ βασιλέως καὶ δημαγωγικοῦ.

227. οὔτε λόχονδ' ἰέναι] τοῦτο ἀριστοκρατικοῦ. ἅμα οὖν τῶν ἰδίων κατορθωμάτων ὑπομιμνήσκει· ὅτι γὰρ καὶ ἐλόχα δῆλον ἀπὸ Λυκάονος (Il. 21, 35). καὶ "ἐς λόχον, ἔνθα μάλιστ' ἀρετὴ διαείδεται ἀνδρός" (Il. 13, 277).

228. τὸ δέ τοι κήρ] ἐν δύο μέρεσι λόγου, ἵνα ᾖ τοῦτο δέ σοι θάνατος νομίζεται.

229. ᾗ πολὺ λώϊον] περισπαστέον τὸν ᾗ· κατ' ἀρχὴν γὰρ κεῖται, ἰσοδυναμῶν τῷ δή· δύναται δὲ βραχὺ διαστέλλεσθαι ἐπὶ τὸ εὐρύ, ἵν' ᾖ 'Αχαιῶν δῶρ' ἀποαιρεῖσθαι.

*περισπαστέον τὸν ᾗ. καὶ ἐν τῷ "ᾗ γὰρ ἂν, 'Ατρείδη" (232).

231. δημοβόρος βασιλεύς] καθ' ἑαυτὸ τοῦτο ἀναγνωστέον, ὡς καὶ Φιλοξένῳ ἐν τῷ περὶ προσῳδιῶν δοκεῖ, ἵνα τὸ κομματικὸν τῆς προφορᾶς τὴν ὀργὴν μᾶλλον ἐμφαίνῃ. δύναται δὲ καὶ τὸ εἶ ῥῆμα λείπειν, ὑφ' ἓν ἡμῶν ὅλον προφερομένων τὸν στίχον, ἵν' ᾖ δημοβόρος εἶ βασιλεὺς, ἐπεὶ οὐτιδανοῖσιν ἀνάσσεις. ἀλλ' οὐκ ἐπείγει.

232. ᾗ—λωβήσαιο] ὅτι τὸ εὐκτικὸν ἀντὶ παρεληλυθότος ὁριστικοῦ τοῦ ἐλωβήσω παρείληπται, ὡς "καί νύ κεν ἔνθ' ἀπόλοιτο ἄναξ ἀνδρῶν Αἰνείας" (Il. 5, 311). τὸν δὲ ᾗ περισπαστέον· βεβαιωτικὸς γάρ ἐστιν.

καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι] ἐπόμνυσθαί ἐστι τὸ ὑπισχνούμενον ὀμόσαι, ἀπομνύναι δὲ τὸ ἀποφάσκειν.

234. ναὶ μὰ τόδε] πεπλεόνακε τῷ μά ἀρνητικῷ ἤγουν ἀπωμοτικῷ μορίῳ κατὰ 'Αττικὸν ἔθος· ἤρκει γὰρ εἰπεῖν νὴ τοῦτο τὸ σκῆπτρον. ἰστέον δὲ ὅτι διὰ τοῦ σκήπτρου ὄμνυσιν αὐτὸν τὸν ἔφορον τῆς βασιλείας θεόν.

234–240. ναὶ μὰ τόδε σκῆπτρον] ὅλη ἡ παρέκβασις διὰ μέσου, ἕως τοῦ "ᾗ ποτ' 'Αχιλλῆος ποθή." διὸ τὰ μεταξὺ διαστολαῖς τε καὶ ἀνυποκρίτοις στιγμαῖς ἀναπαύσομεν. τὸ γὰρ ἑξῆς, ναὶ μὰ τόδε σκῆπτρον, ᾗ ποτ' 'Αχιλλῆος.

ναὶ μὰ τόδε σκῆπτρον—ᾗ ποτ' Ἀχιλλεύς] μεταξὺ παρενείρει, ἅτε σκεπτόμενος ὅπως ὀμόσῃ, οὔτε ὁμοίως ἐῶν ὅλως κατὰ τῆς βεβαιότητος τοῦ ὅρκου, ἀλλὰ δεικνὺς ἐν ἤθει ὅτι τιμιώτερον κατάξυλον

26. *αὐτὸν] αὐτῷ
34. κατάξυλον] καταξύλον, quod κατὰ ξύλον potius est quam quod Villoisonus (sine accentu) et Bek-

τὸ σκῆπτρον, καθ' Ὅμηρον· διὸ καὶ ἐπιφέρει "ὁ δέ τοι μέγας ἔσσεται ὅρκος."

ὁ δέ τοι μέγας ἔσσεται] ἄμεινον δύο μέρη λόγου ποιεῖν· "ὁ δέ τοι νημερτὲς ἐνίψει" (Od. 11, 148).

240. *τὸ ποθή ὀξυτόνως.

241. *οὕτως Ἀρίσταρχος, τότε δ' οὔτι.

244. οὐδὲν ἔτισας] ὅτι πλεονάζει τὸ δεν· ἰσοδυναμεῖ γὰρ τῷ οὐκ ἔτισας.

Ἀρίσταρχος παρέλκειν λέγει τὸ δεν, Ἀπολλόδωρος δὲ ἐν γλώσσαις εἶναι τὸ πλῆρες οὐδὲ ἕν. πολλοῖς γὰρ καὶ τῶν ἄλλων γραμματικῶν δοκεῖ τρία εἶναι μέρη λόγου, οὗ καὶ δέ καὶ ἕν.

249. τοῦ καὶ ἀπὸ γλώσσης] ἡ γλῶσσα τρία σημαίνει, αὐτό τε τὸ σῶμα, καὶ τὴν διάλεκτον, καὶ τὸ ἀπεξενωμένον τῶν λέξεων.

μέλιτος γλυκίων] μέλιτος διὰ τὸ πείθειν, ῥέεν πρὸς τὸ ἀνεμπόδιστον. ἔοικε δὲ ἀποτείνεσθαι εἰς ἑαυτὸν ὁ κατὰ συλλογισμὸν ἔπαινος.

*ὅτι Ζηνόδοτος χωρὶς τοῦ ν̄ γλυκίω. τὰ δὲ τοιαῦτα συγκριτικὰ ἔχει τὸ ῡ̆.

250. τῷ δ' ἤδη δύο μὲν γενεαὶ] ὅ ἐστι, δύο τριακονταετηρίδες παρεληλύθεσαν ἐπ' αὐτῷ. ἡ γὰρ γενεὰ λ' ἔτη ἔχει· τελεία γὰρ αὕτη πρὸς γένεσιν ἡλικία. οἱ μὲν οὖν συντεχθέντες αὐτῷ ἀπολώλεισαν ὑπὸ Ἡρακλέους, οἱ δὲ συγγηράσαντες οὐ συνεστράτευσαν αὐτὸς δὲ, "οὔ μιν ἐπέτρεπε γήραϊ λυγρῷ" (Il. 10, 79). τῶν οὖν υἱῶν αὐτῶν ἦρχεν. ἔστιν οὖν ἑβδομηκονταέτης· δύο γὰρ γενεὰς πληρώσας εἰς τὴν τρίτην κατελέγετο. ἀμέλει τήν τε Ἑκαμήδην ἔχει καὶ μετὰ τὸν νόστον σύνεστι τῇ γυναικί.

μερόπων ἀνθρώπων] μεμερισμένην τὴν φωνὴν ἐχόντων, ὡς πρὸς σύγκρισιν τῶν ἄλλων ζώων. ὅ ἐστι μεριζομένην εἰς συλλαβὰς καὶ ἔναρθρον ἐχόντων τὴν ὄπα, τουτέστι τὴν φωνήν. ἢ ἀπὸ Μέροπος τοῦ Ὕαντος, ὃς μετὰ τὸν κατακλυσμὸν πρῶτος συνῴκισε τοὺς ἀνθρώπους.

kerus posuerunt κατάξυλον: nam praepositiones in codicibus saepissime cum nominibus suis coniunguntur. Adiectivi κατάξυλος unum praeter hoc novimus exemplum ex glossemate καταξύλῳ, quod in codicibus quibusdam Il. 11, 155 cum πολυξύλῳ adscriptum est

verbis poetae ἀξύλῳ ὕλῃ

4. ἐνίψει] ἐνήψει

14. πείθειν] *πείθειν ἑτοίμως

20. *παρεληλύθεσαν] παρεληλύθεισαν

22. *οἱ δὲ] οἳ

29. *ἢ ἀπὸ] ἡ om.

30. *Ὕαντος] ὑΐαντος

ἢ τῶν μοιρούντων περὶ τὴν ὄπα. οἱ δὲ, τῶν παρεξηλλαγμένην ὄπα ἐχόντων.

251. ἐφθίαθ' οἵ οἱ] ὅτι Ζηνόδοτος γράφει αἵ οἱ. γενέσθαι δὲ ἅμα τραφῆναί τε ἀδύνατον.

* τὸ ἅμα ἐπὶ καιροῦ, τὸ ὁμοῦ ἐπὶ τόπου.

252. ἐν Πύλῳ ἠγαθέῃ] τοῦτο καὶ τοῖς ἡγουμένοις καὶ τοῖς ἑπομένοις δύναται συντάττεσθαι.

255. ἦ κεν γηθήσαι Πρίαμος] ἕως τοῦ μάχεσθαι συναπτέον· βραχὺ δὲ διασταλτέον παῖδες, θυμῷ, μαρναμένοιιν. περισπαστέον δὲ τὸν ἦ· βεβαιωτικὸς γάρ. τὸ δὲ γηθήσαι παροξυτονητέον, ἐπειδὴ εὐκτικόν ἐστιν, ἡ δὲ αι ἐν τοῖς εὐκτικοῖς μακρά ἐστιν.

258. * οἳ περὶ μὲν βουλῇ] διὰ τοῦ ν βουλήν, οὐ διὰ τοῦ ι. οὕτως Ἀρίσταρχος καὶ ἐν τῇ πολυστίχῳ.

ἡ περί ἀντὶ ἑτέρας κεῖται τῆς ὑπέρ· τὸν ἴδιον οὖν τόνον φυλάξει· πρόθεσις γὰρ ἀντὶ ἑτέρας προθέσεως παραλαμβανομένη τὸν ἴδιον τόνον φυλάττει. οὕτως ἔχει καὶ τὸ "ἀλλ' οὐδ' ἀνὴρ ἐθέλει περὶ πάντων" (287). εἴτε τοῖς ἑξῆς συνάπτεται, ἀντὶ τοῦ περίεστε, πάλιν φυλάξει τὸν ἴδιον τόνον· πάλιν γὰρ πᾶσα πρόθεσις ἔχουσα σύνταξιν πρὸς ἐπιφερόμενόν τι τὸν ἴδιον τόνον φυλάσσει, ὡς τὸ "νήπιοι οἳ κατὰ βοῦς ὑπερίονος ἠελίοιο ἤσθιον" (Od. 1, 8).

260. ἠέπερ ἡμῖν] ὅτι Ζηνόδοτος γράφει ἠέπερ ὑμῖν ἀντὶ τοῦ ἡμῖν. ἐφύβριστος δὲ ὁ λόγος. διὰ δὲ τοῦ ἡμῖν καὶ ἑαυτὸν συγκαταριθμεῖ καὶ πάντας τοὺς καθ' αὑτόν.

262. οὐδὲ ἴδωμαι] ὅτι παραλέλειπται ἡ μὴ ἀπαγόρευσις. ἔστι γὰρ οὐδὲ μὴ ἴδωμαι, ὅμοιον τῷ "πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω" (Il. 2, 488).

263. οἷον Πειρίθοον] Πειρίθους ὁ Ἰξίονος γένει μὲν ἦν Ἀθηναῖος, ᾠκείωτο δὲ τοῖς Κενταύροις· πρὸς γάμον δὲ ἀγόμενος Ἱπποβότειαν

12. βουλῇ] Sic in lemmate: idem in textu est, sed in βουλὴν mutatum.

13. καὶ ἐν] καὶ Σέλευκος ἐν Schmidt. Did. p. 117, collato scholio ad 1, 340, repugnante La Roche *Textkr.* p. 85.

19. τὸν ἴδιον τόνον bis scriptum.

21. ἠέπερ ἡμῖν] Lemma ἤδη γάρ ποτ' ἐγώ.

γράφει ἠέπερ ὑμῖν] ὑμῖν a m. rec. in ἡμῖν mutatum. Rectam esse Zenodoti scripturam ὑμῖν, pravam Aristarchi ἡμῖν, ostendit Cobetus Mnem. novae vol. 2 p. 167.

24. οὐδὲ ἴδωμαι] Lemma οὐ γάρ πω τοίους ἴδον.

27. *γένει] γένη

28. Ἱπποβότειαν] * Ἱπποδάμειαν

τὴν Βούτα τοὺς Κενταύρους συνεκάλεσεν εἰς εὐωχίαν, οἵτινες οἰνωθέντες ἐπεχείρουν ὑβρίζειν ὅσαι τῶν Ἑλληνίδων παρῆσαν γυναικῶν· ὅθεν οἱ Λαπίθαι συστάδην μαχεσάμενοι διώκουσιν αὐτοὺς εἰς Μαλέαν, ὄρος τῆς Πελοποννήσου. ἡ δέ τινι ἀναστρεφομένη μεταβαλόντι τὴν φύσιν εἰς ἵππον διεμίγη, καὶ τὸν προειρημένον ἐγέννησε Πειρίθουν, ὃς ὠνομάσθη ἀπὸ τοῦ περιθεῖν ἵππῳ ὁμοιωθέντα τὸν Δία ἐν τῷ μίγνυσθαι τῇ μητρὶ αὐτοῦ.

264. Καινέα] ὁ Καινεὺς Ἐλάτου μὲν ἦν παῖς, Λαπιθῶν δὲ βασιλεύς, πρότερον ἦν παρθένος εὐπρεπὴς, μιγέντος δὲ αὐτῇ Ποσειδῶνος, αἰτησαμένη μεταβαλεῖν εἰς ἄνδρα ἡ νεᾶνις ἄτρωτος γίνεται, γενναιότατος τῶν καθ' αὐτὸν ὑπάρξας. καὶ δή ποτε πήξας ἀκόντιον ἐν τῷ μεσαιτάτῳ τῆς ἀγορᾶς θεὸν τοῦτο προσέταξεν ἀριθμεῖν. δι' ἣν αἰτίαν ἀγανακτήσας ὁ Ζεὺς τιμωρίαν τῆς ἀσεβείας παρ' αὐτοῦ εἰσεπράξατο. μαχόμενον γὰρ αὐτὸν τοῖς Κενταύροις καὶ ἄτρωτον ὄντα ὑποχείριον ἐποίησε· βαλόντες γὰρ αὐτὸν οἱ προειρημένοι δρυσί τε καὶ ἐλάταις ἤρεισαν εἰς γῆν. μέμνηται δὲ αὐτοῦ καὶ Ἀπολλώνιος ἐν τοῖς Ἀργοναυτικοῖς (1, 59), λέγων οὕτως "Καινέα γὰρ δὴ πρόσθεν ἔτι κλείουσιν ἀοιδοὶ Κενταύροισιν ὀλέσθαι, ὅτε σφέας οἷος ἀπ' ἄλλων ἤλασ' ἀριστήων· οἱ δ' ἔμπαλιν ὁρμηθέντες οὔτε μιν ἀγκλῖναι προτέρω σθένον οὔτε δαΐξαι, ἀλλ' ἄρρηκτος ἄκαμπτος ἐδύσατο νειόθι γαίης, θεινόμενος στιβαρῇσι καταΐγδην ἐλάτῃσιν."

Ἐξάδιόν τε] παρὰ τῷ ποιητῇ ἀπὸ τοῦ ε̄ τὸ ὄνομα ἤρξατο, παρὰ δὲ τοῖς νεωτέροις καὶ χωρὶς τοῦ ε̄ εὑρέθη, ὡς καὶ Ὀϊλεὺς μὲν παρὰ τῷ ποιητῇ καὶ παρ' Ἡσιόδῳ. εἰ δὲ χρὴ πρὸς τὸν χαρακτῆρά τι λέγειν, ἐκεῖνο ἔχομεν εἰπεῖν, ὡς ὅτι ἐχρῆν δασύνεσθαι αὐτό· τὸ γὰρ ε̄ πρὸ τοῦ ξ̄, ὑποστελλομένων τῶν παρὰ τὴν ἐξ πρόθεσιν, θέλει δασύνεσθαι, ἕξις ἑξῆς ἕξω. χωρὶς εἰ μὴ λέγοι τις διὰ τὴν ἰδιότητα τὸ πνεῦμα μεταπεπτωκέναι.

268. φηρσὶν] τοῖς Κενταύροις. Ἰξίων ὁ Φλεγύου παῖς, Δίαν τὴν Δηϊονέως γήμας, ἐλθόντα τὸν κηδεστὴν ἐπὶ τὰ ἕδνα δόλῳ κατα- πρήσας, μανεὶς καὶ ὑπὸ θεῶν καθαρθεὶς τὸν φόνον, Ἥρας ὕστερον ἠράσθη. Ζεὺς δὲ βουλόμενος αὐτὸν δοκιμάσαι εἰ τῷ ὄντι τολμᾷ ποιῆσαι τοῦτο, νεφέλην ἀπεικάσας Ἥρᾳ παρέκλινεν αὐτῷ. ὁ δὲ

4. *ἡ—ἀναστρεφομένη] ἣν—ἀναστρεφομένην.
8–21. Conf. Eustath. p. 101, 12.
19. *μιν—προτέρω] μὴν—πρότερον
30. *Δηϊονέως] ἰωνέως

μιγεὶς τῇ νεφέλῃ ὡσανεὶ τῇ Ἥρᾳ ἔσχε παῖδα Κένταυρον, ἀφ' οὗ τὸ τῶν Κενταύρων γένος. μετὰ δὲ θάνατον ἔλαβε δίκας παρ' αὐτοῦ ὁ Ζεύς, ποιήσας αὐτὸν ἐν τοῖς καταχθονίοις στρέφεσθαι μετὰ πολλῆς βίας ἐπὶ τροχοῦ σιδηροῦ.

φησὶν Αἰολικῶς· ἢ φυήρεσιν, ἡρμοσμένοις τὰς φύσεις. ᾤκουν δὲ περὶ Πήλιον.

ὀρεσκῴοισι] κείω κοῖος κῷος ὀρεσικῷος καὶ ὀρεσκῷος.

269. *μέθ' ὁμίλεον] οὕτως Ἀρίσταρχος τὴν μετά φυλάσσειν τὸν τόνον.

270. τηλόθεν ἐξ ἀπίης] ὅτι παραλλήλως τηλόθεν ἐξ ἀπίης. οἱ δὲ νεώτεροι ἐξεδέξαντο τὴν Πελοπόννησον.

271. κατ' ἔμ' αὐτόν] οὕτως κατὰ παράθεσιν ἐν δύο τόνοις, ἐμὲ αὐτόν· σύνθετος γὰρ ἀντωνυμία παρὰ τῷ ποιητῇ οὐκ ἔστιν.

*ὅτι Ζηνόδοτος γράφει κατ' ἐμωυτόν. τὸ δὲ πλῆρες ἐμὲ αὐτόν.

272. μαχέοιτο] ὅτι ἀντὶ τοῦ μάχοιτο, οὐ κατὰ διαίρεσιν, ἀλλὰ κατὰ παρένθεσιν τοῦ ε̄.

273. ξύνιεν] οὕτως ἡ Ἀριστάρχειος διὰ τοῦ ε̄, ξύνιεν, ὡς "αὐτὰρ ἐπεὶ κόσμηθεν" (Il. 3, 1). μέμνηται δὲ αὐτοῦ καὶ ἐν τῷ ιζ΄ ὁ Ἡρωδιανός.

275. *τόνδ' ἀποαίρεο] ὅτι ἀρχαϊκῶς τόνδ' ἀφαιροῦ, οὐχὶ τοῦδε.

276. *ἔα] ἐκτατέον τὸ ἄλφα.

277. *Πηλείδῆθελ'] ὅτι ἐγκεκλιμένως ἀναγνωστέον, ἵνα διαλύηται εἰς τὸ ἤθελε.

Ἀρίσταρχος ἀποφαίνεται ὡς κατὰ τὴν Ὁμηρικὴν συνήθειαν τὸ ῥῆμα κατὰ τὸν ἐνεστῶτα ἀπὸ τοῦ ε̄ ἄρχεται. ἀλλὰ μὴν καὶ ἡ κίνησις ἡ τοῦ παρατατικοῦ· "ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει" (287)· "ἤθελε Μηριόνης" (Il. 10, 229). καὶ ἐνθάδε οὖν ἄμεινον τῇ συνηθεστέρᾳ ἀναγνώσει προσέχοντας ἐπὶ τὴν δη̄ συλλαβὴν ὀξεῖαν παραλαμβάνειν, ἵνα κρᾶσις ᾖ τοῦ ἤθελε τρισυλλάβου γενομένου, ὡς καὶ συνήθης ἐστὶν ὁ ποιητής. τὸ μέντοι ῥῆμα τῶν παραλόγων κατὰ τόνον ἐστὶ τρισύλλαβον ὄν, ὡς δείκνυται ἐν τοῖς περὶ ῥημάτων.

6. Πήλιον] *τὸ Πήλιον

8 et 20–22. Lemmata om.

φυλάσσειν] φυλάσσων Lehrsius.

14. ἐμωυτὸν] Idem error Zenodoti ad 14, 162, refutatus ab Aristonico.

17. οὕτως ἡ Ἀριστάρχειος additum ex scholio intermarg. in quo sunt verba οὕτως — κόσμηθεν, omisso αὐτὰρ ἐπεί.

22. ἐγκεκλιμένως] Conf. schol. ad 11, 217.

29. συνήθης ἐστιν (συνηθὴς ἐστιν A. σύνηθές ἐστιν Vill.) ὁ ποιητής] σύνηθές ἐστι τῷ ποιητῇ Lehrsius.

280. καρτερός] τὰ εἰς τερος τρισύλλαβα βαρύνεται, οἷον σφέτερος πρότερος κύντερος. πῶς οὐχὶ κάρτερος κατὰ βαρεῖαν λέγομεν; ὅτι τοῦτο οὐκ ἦν εἰς τερος, ἀλλ' εἰς ερος· τὸ γὰρ τ οὐκ ἐν τῇ παραγωγῇ ἔσχεν· ἦν γὰρ ἀπὸ τοῦ κράτος. ὡς ἀπὸ τοῦ βλάβος βλαβερός οὐ διὰ τοῦ βερος ἡ παραγωγή (ἐν γὰρ τῷ πρωτοτύπῳ τὸ β), οὕτως καὶ ἀπὸ τοῦ κράτος κρατερός διὰ τοῦ ερος ἡ παραγωγή, οὐ διὰ τοῦ τερος.

280, 281. ὑποστικτέον ἐπὶ τὸ ἐσσί καὶ μήτηρ, τοῦ ἀλλά πρὸς μὲν τὴν σύνδεσιν πλεονάζοντος, μόνην δὲ ἐναντίωσιν παριστάντος. δύναται δέ τις τὸ μὲν ἐσσί ὑποστίζειν, τὸ δὲ μήτηρ στίζειν, ἵνα ὁ δὲ περισσεύῃ, ἀπ' ἄλλης δὲ ἀρχῆς "ἀλλ' ὅδε φέρτερός ἐστιν." βέλτιον δὲ τὸ πρότερον.

289. πᾶσι δὲ σημαίνειν] ἴδιον τῶν θυμουμένων ἐπανακυκλοῦν τὰ αὐτά· οὐδέποτε γὰρ οἴονται ἱκανῶς εἰρηκέναι οἱ θυμούμενοι. καλεῖται δὲ τὸ σχῆμα ἐπιβολή, ἐν μιᾷ περιόδῳ ἀρχὰς πλείους ἐπιφερόμενον. οὕτως ἔχει καὶ τὸ "ἐν δ' ἔρις, ἐν δὲ κυδοιμός" (Il. 18, 535).

290, 291. ὑποστικτέον ἐπὶ τὸ ἐόντες, ἐπὶ δὲ τὸ ὀνείδεα μυθήσασθαι στικτέον· οὐδὲν γὰρ ἐλλείπει, ὡς ᾠήθησάν τινες. ἀναφέρεται δὲ ταῦτα ἐπὶ τὸ "οὔποτ' ἐς πόλεμον" καὶ "οὔτε λόχονδ' ἰέναι" (226). τοῦ δευτέρου οὖν στίχου πευστικῶς ἀναγινωσκομένου γίνεται ὁ λόγος τοιοῦτος· εἰ δὲ πολεμικὸν αὐτὸν ἐποίησαν οἱ θεοί, ἆρα ὀφείλει διὰ τοῦτο ἄλλοις ὀνειδίζειν καὶ κακῶς λέγειν ἡμᾶς τοὺς βασιλεῖς;

290. * ὅτι συνήθως ἑαυτῷ προθέουσι τὰ ὀνείδη.

293. οὐτιδανός] ὡς πευκεδανός, ληθεδανός. οἱ δὲ, οὔτις οὐτιδανός ὡς οὐδαμινός. μέγιστον δὲ ὄνειδος ἡγεῖται τὴν δειλίαν.

294. εἰ δὴ σοὶ πᾶν ἔργον] οὕτως ὀρθοτονητέον τὴν ἀντωνυμίαν· ἀντιδιασταλτικὴ γάρ ἐστιν. διδάσκει καὶ ἡ γραφὴ διὰ τοῦ σ οὖσα· εἰ γὰρ ἦν ἐγκλιτική, ὁμοίως ἂν ἐγράφετο τῷ "εἰ δή τοι σοῦ πατρός"

1. Hoc scholion post scholion v. 289.
καρτερός] εἰ δὲ σὺ καρτερὸς ἔσσι.
8. Lemma εἰ δὲ σὺ καρτερὸς ἔσσι.
9. παριστάντος Vill.] περιστάντος
13. Lemma ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι ἄλλων.
15. *ἐπιφερόμενον] ἀποφερόμενον
17. Lemma εἰ δέ μιν αἰχμητήν.
20. *τοῦ δ.] τὸ τοῦ δ.
22. ἆρα] ἄρα
26. μέγιστον ὄνειδος ἡγεῖται τὴν δειλίαν] Eadem verba in marg. interiore.

(Od. 2, 271) "*καί τοι ἐγὼ συνέριθος*" (Od. 6, 32). *περὶ δὲ ταύτης τῆς ἀναγνώσεως ἐντελέστερον διαληψόμεθα ἐν τῇ Γ τῆς Ὀδυσσείας* (50), *ὅταν περὶ τῆς Ζηνοδοτείου γραφῆς ἐπιζητῶμεν, πότερον "τοῦ ἕνεκα σοὶ προτέρῳ" ἢ "τοῦ ἕνεκά τοι."*

295. *ὅτι κοινὸν τὸ ἐπιτέλλεο καὶ ὁ γάρ περισσός. οὕτως δὲ* 5 *γίνεται περισσὸς ὁ ἑξῆς· διὸ ἀθετεῖται.*

298. *μαχήσομαι*] *οὕτως διὰ τοῦ η̄, οὐ διὰ τοῦ ε̄σ, καὶ ἡ Μασσαλιωτικὴ καὶ ἡ Ἀργολικὴ καὶ ἡ Σινωπικὴ καὶ ἡ Ἀντιμάχου καὶ ἡ Ἀριστοφάνους.*

299. *οὔτε τῳ ἄλλῳ*] *ἵνα μὴ νομισθῇ πρὸς ἕνα μόνον ἀξιόχρεως* 10 *εἶναι μάχεσθαι. ἢ ὡς κοινωνοὺς τῆς ὕβρεως τοὺς Ἕλληνας συμπεριείληφεν οὐκ ἐπαμύνοντας αὐτῷ στερουμένῳ τῆς δωρεᾶς.*

οὔτε τῳ] *τὸ τω̄ σημαίνει πέντε, ὄνομα, ἄρθρον, ἀντωνυμίαν, σύνδεσμον αἰτιολογικὸν καὶ ῥῆμα. ὄνομα μὲν οὕτως "οὔτε σοὶ οὔτε τῳ ἄλλῳ" ἔστι γὰρ ἀντὶ τοῦ τινί. ῥῆμα δὲ, οἷον "Κύκλωψ, τῇ, πίε* 15 *οἶνον"* (Od. 9, 347)· *ἔστι γὰρ τὸ θέμα τῶ, ὃ σημαίνει τὸ λαμβάνω. ἄρθρον δὲ οὕτως "ἤτοι μὲν τά γ' ὄπισθε Μαχάονι πάντα ἔοικε τῷ Ἀσκληπιάδῃ"* (Il. 11, 613). *ἀντωνυμίαν δὲ, ὡς ἐν τῷ "τῷ μιν ἐεισάμενος"* (Il. 2, 22). *σύνδεσμον δὲ αἰτιολογικὸν οὕτως "τῷ σε καὶ οὐ δύναμαι"* (Od. 13, 351). 20

**ἐπεί μ' ἀφέλεσθέ γε δόντες*] *καὶ ὑβρίσατε ἑαυτοὺς, οὐ γὰρ ἐμέ.*

3. *Ζηνοδοτείου* Lehrsius] *ὀδυσσείου*

5. Scholion defectum marginis interioris ad verba *μὴ γὰρ ἔμοιγε* referendum, *κοινὸν τὸ ἐπιτέλλεο καὶ ὁ γὰρ περισσὸς ὁ ἑξῆς· διὸ ἀθετεῖται*, quod correxi cum Cobeto. Similiter Friedl. *κοινὸν τὸ ἐπιτέλλεο καὶ ἐπὶ τὸ "μὴ γὰρ ἔμοιγε," περισσὸς οὖν ὁ ἑξῆς· διὸ ἀθετεῖται.* Quod primo versus proximi (296) vocabulo *σήμαιν'* in A superscriptum *παραγράφου* signum, error librarii est, qui ad *σήμαιν'* obeli signum appingere debebat, ad quod referenda sunt scholiastae verba ad v. 295 *ὁ ἑξῆς ἀθετεῖται*, collato scholio simillimo ad v. 443.

7. In marg. interiore *οὗ διὰ τοῦ η̄ μαχήσομαι* et cum nomine Aristarchi ad v. 304.

διὰ τοῦ ε̄σ] I. e. *μαχέσσομαι*. Verba *διὰ τοῦ η̄, οὐ διὰ τοῦ ε̄σ* addidit epitomator, ut intelligerent lectores cur scriptura *μαχήσομαι* annotata sit. Disertius in scholio codicis Veneti B dicitur Aristarchum *διὰ τοῦ η̄* scripsisse *μαχήσομαι* Heracleonem vero probasse *μαχέσσομαι*. Nihil annotatum est in scholiis ad 6, 184, ubi libri in *μαχέσσατο* consentiunt, sed Aristarchus, si constare sibi voluit, *μαχήσατο* scribere debuit.

10. *ἄλλῳ* om. Hoc et proximum scholion ordine inverso.

15. *τῇ*] *τι*

21. *καὶ ὑβρίσατε—οὐ γὰρ ἐμέ* sine lemmate in marg. interiore] **ἐπεί μ' ἀφέλεσθέ γε δόντες*: *ἐπειδὴ*

ὅτι Ζηνόδοτος γράφει ἐπεί ῥ' ἐθέλεις ἀφελέσθαι. ἔργῳ δὲ κοινωνεῖ εἰς ἅπαντας, ὡς τὸν αἴτιον τῆς ἀφαιρέσεως ἀγνοῶν.

301. ** ἀνελών*] *ἔν ἐστι τὸ ἀνελών.*

302. ** πείρησαι*] *τὸ πείρησαι προπαροξυτόνως· προστακτικὸν γὰρ ὡς τὸ "σὺ δὲ φράσαι"* (83).

εἰ δ' ἄγε μὴν, πείρησαι] *προπαροξυτονητέον τὸ πείρησαι, ἵνα ᾖ προστακτικὸν, ὡς τὸ "σὺ δὲ φράσαι"* (83), *καίτοι πολλάκις τῶν τοιούτων τὸν τόνον ἐχόντων τῶν ἀπαρεμφάτων, λέγω δὲ τῶν εἰς αι ληγόντων· "ἀλλά με κακκείαι σὺν τεύχεσι·" "τῇ δὲ τόδε κρήδεμνον ὑπὸ στέρνοιο τανύσσαι"* (Od. 5, 346). *οὐ μέντοι τὸ τοιοῦτο διηνεκές· ἔστι γὰρ ἃ καὶ ἐφύλαξαν τὸν ἴδιον τόνον· "ἀλλὰ σὺ μὲν κατάλεξαι"* (Od. 19, 44) *"νῦν αὖτ' ἐμὸν ἔγχος ἄλευαι"* (Il. 22, 285). *καὶ τὸ τοιοῦτο δόξειεν ἂν, ὅτι ἐπὶ τινῶν μὲν ἤλλαξαν τοὺς τόνους, ἐπὶ τινῶν δ' οὔ. ἐνθάδε μέντοι κατὰ λόγον δοκεῖ ἡ προστακτικὴ ἀνάγνωσις κεῖσθαι· εἰ γὰρ πρόκειται τὸ ἄγε παρακελευστικὸν ἐπίρρημα, ὅπερ σημεῖόν ἐστι προστακτικῆς ἐγκλίσεως, οἰκείως καὶ τὰ τῆς ἀναγνώσεως ἐνεγένετο, ἄγε πείρησαι, ὡς καὶ ἐν ἑτέροις "δεῦρ' ἄγε καὶ σὺ ξεῖνε πείρησαι ἀέθλων"* (Od. 8, 145).

304. ** μαχεσσαμένω*] *καὶ τοῦτο ὁμοίως τῷ προκειμένῳ διὰ τοῦ η̄ ἀξιοῖ Ἀρίσταρχος.*

305. *ἀνστήτην, λῦσαν δ' ἀγορὴν παρὰ νηυσὶν Ἀχαιῶν*] *δύναταί τις διαστέλλειν βραχὺ ἐπὶ τὸ νηυσὶν, ἵν' ᾖ τὸ ἑξῆς ἀγορὴν Ἀχαιῶν.*

307. *ἥϊε σύν τε Μενοιτιάδῃ*] *ὅτι εἰπὼν τὸ πατρωνυμικὸν παρέλιπε τὸ κύριον.*

309. ** ἐς δ' ἐρέτας*] *διὰ τοῦ ν̄ Ἀρίσταρχος, ἐν δ' ἐρέτας.*

312. *κέλευθα*] *παρὰ τὸ ἐλεύθω. ἔστι δὲ ὡς τὸ δίφρα λύχνα· μεταβολὴ γένους· ἀντὶ γὰρ θηλυκῶν τὰ οὐδέτερα εἶπεν. γίνεται γὰρ*

δεδωκότες μοι αὐτὴν ἀφείλεσθε καὶ ὑβρίσατε ἑαυτοὺς, οὐκ ἐμέ.

1. ἔργῳ] ὀργῇ Lehrsius.
κοινωνεῖ] κοινοποιεῖ Friedl.
2. ὡς addidit Friedl.
τὸν αἴτιον Lehrsius] τὴν αἰτίαν.
7. ὡς—φράσαι] om.
9. κακκείαι] κακκῆαι Od. 11, 74 cum Aristarcho.
10. τανύσσαι] Conf. schol. ad 15, 159.
13. δόξειεν Cobetus] δόξει τινῶν μὲν Bekkerus] μὲν om.
19. Conf. p. 43, 7.
21. Ἀχαιῶν om.
25. Lemma om.
27. μεταβολὴ (μεταβολῇ Bastius) γένους] κατὰ μεταπλασμὸν γένους ἐστίν Etym. M. p. 502, 23.

Inter εἶπεν et γίνεται γὰρ in A per dittographiam repetuntur verba γίνεται γὰρ μεταβολὴ γένους· ἀντὶ γὰρ θηλυκῶν τὰ οὐδέτερα εἶπεν.

μεταβολὴ γένους εἰς ἕτερον γένος, ὡς ἀπὸ τοῦ τράχηλος τὸ τράχηλον, ἔνθεν πληθυντικὸν παρὰ Καλλιμάχῳ (fr. 98) τὰ τράχηλα γυμνάζειν. καὶ λύχνος λύχνα, δίφρος δίφρα, καὶ ἀπὸ τοῦ ἐρετμὸς τὸ ἐρετμόν. Τάρταρος ἀρσενικῶς, καὶ κατὰ μεταβολὴν ἡ Τάρταρος παρὰ Πινδάρῳ (Pyth. 1, 29) "ὅς τ' ἐν αἰνᾷ Ταρτάρῳ," καὶ οὐδέτερον τὸ Τάρταρον· Ἡσίοδος (Th. 119) "Τάρταρά τ' ἠερόεντα." τοιοῦτόν ἐστι καὶ τὸ ὑγρὰ κέλευθα.

314. εἰς ἅλα λύματ' ἔβαλλον] τὰ περιττώματα εἰς τὴν ἀπέριττον θάλασσαν βάλλουσι. καὶ Εὐριπίδης "θάλασσα κλύζει πάντα τἀνθρώπων κακά" (Iph. T. 1193).

λύματ'] φύσει γὰρ τὸ ὕδωρ τῆς θαλάσσης καθαρτικόν.

317. κνίση δ' οὐρανὸν ἷκεν] δοκεῖ ἡ λέξις τέσσαρα σημαίνειν, ὡς καὶ τῷ Πορφυρίῳ δοκεῖ, αὐτό τε τὸ λίπος καὶ τὸν ἐπίπλουν καὶ τὸ κρέας καὶ τὴν ἀναθυμίασιν. ἔστι δὲ παρὰ τὸ κνίσω. ὑπ' ὄψιν δ' ἤγαγεν ἅμα τῷ μέλανι τοῦ καπνοῦ συναναμισγομένην τὴν λευκότητα τῆς πιμελῆς φανταστικῶς. ἀπὸ οὖν τοῦ κνίσω μέλλοντος γέγονε· πλεῖστα γὰρ ὀνόματα ἀπὸ μελλόντων γέγονεν, οἷον ἅψω ἁψίς, λέξω λέξις, δόξω δόξα, ἄξω ἄξα καὶ ἅμαξα. οὕτως οὖν καὶ κνίσω κνίσα. εἰ δέ τις εἴποι ὅτι πόθεν δῆλον ὅτι δίφθογγον οὐκ ἔστι, φαμὲν ὅτι κνίζω ἐστὶ καὶ ἔχει τὸ ῑ· τὰ γὰρ διὰ τοῦ ιζω τὸ ῑ μόνον ἔχουσι. τὸ δὲ κνισμός ὁμοίως ἐκ τοῦ κνίζω, κνίσω κνισμός, ὡς λογίσω λογισμός. τὸ κνίσα καὶ τὸ ῑ καὶ τὸ ᾰ βραχύ, καὶ τὸ μὲν ῑ, ἐπειδὴ τὰ διὰ τοῦ ιζω τὸ ῑ βραχὺ ἔχει, τὸ δὲ ᾰ, ἐπειδὴ τὰ εἰς ᾰ θηλυκὰ, ἀπὸ μελλόντων ἢ ἐνεστώτων γινόμενα, βραχὺ ἔχει τὸ ᾰ, δόξω δόξα, ἄξω ἄξα καὶ ἅμαξα, μῶ μῶσα καὶ μοῦσα. ἐκτέταται δὲ ποιητικῶς τὰ δύο· "κνίση δ' οὐρανὸν ἷκεν."

320. Εὐρυβάτην] ὅτι καὶ ἕτερος Εὐρυβάτης, Ὀδυσσέως κῆρυξ (Il. 2, 184). ἡ δὲ ἀναφορὰ πρὸς τὰ περὶ Πυλαιμένους (Il. 5, 576).

1. τράχηλος] τράχη
2. ἔνθεν ex Etym. M.] ἔνθα πληθυντικὸν] πληθυντικῶς Etym. M.
γυμνάζειν] Apud alios grammaticos γυμνάζει: v. Schneider. ad Callimachi fragm. 98.
5. ὅς τ'] ὥστ'
9. πάντα τἀνθρώπων] παντ' ἀνθρώπων
11. Lemma om.
27. Εὐρυβάτην] Lemma ἀλλ' ὅγε Ταλθύβιον καὶ Εὐρυβάτην.
28. τὰ περὶ Πυλαιμένους Cobetus] τὰ πυλαιμενῆα

321. ὀτρηρὼ θεράποντε] παρὰ τὸ ὄρω τὸ ὁρμῶ. θεράποντες δὲ οἱ τοὺς κρείσσονας δι' ὠφέλειαν θεραπεύοντες, ὡς Ἐτεωνεὺς καὶ Μηριόνης. ὁμωνύμως δὲ καὶ οἱ δοῦλοι θεράποντες καλοῦνται.

322. ἔρχεσθον κλισίην] στικτέον κατὰ τὸ τέλος τοῦ στίχου. αὐτοτελὴς γὰρ ὁ λόγος, καὶ ὁ ἑξῆς ὁμοίως. τὸ δὲ ἀγέμεν ἀντὶ προστακτικοῦ τοῦ ἄγε.

323. χειρὸς ἑλόντ'] οὕτως χειρὸς ἑλόντε ἄγειν Ἀρίσταρχος, ἵνα τὸ δυϊκὸν εὔδηλον ᾖ· ἀμφίβολον γὰρ ἔσται, ἐὰν κατὰ συναλοιφὴν ἀναγινώσκωμεν.

324, 325. δώῃσιν—ἕλωμαι] δώῃσιν ἀπὸ τοῦ δώω, ἐπεὶ δύο δεῖ λαμβάνειν τὰς ἐπεκτάσεις, ἐάν ἐστιν ἀπὸ τοῦ δῶ, τό τε η καὶ τὴν σι συλλαβήν.

324. πρὸς τὸ σχῆμα, ὅτι ἀντὶ τοῦ ἑλοίμην. ὑποστικτέον δὲ εἰς τὸ δώῃσι, στικτέον δὲ ἐπὶ τὸ πλεόνεσσι, ἵνα ὁ δὲ περιττεύῃ.

325. *τό οἱ καὶ ῥίγιον ἔσται] δύναται ὑπερβατὸν εἶναι· καὶ τοῦτο αὐτῷ ῥίγιον ἔσται.

330. οὐδ' ἄρα τώ γε ἰδὼν γήθησεν] ὅτι ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον ἀκουστέον· οὐκ ἐγήθησεν, ἀλλ' ἐλυπήθη.

332. * διὰ τοῦ ι, οὐδέ τι, οὐ διὰ τοῦ ε. καὶ ἡ Κύπριος.

οὐδέ τί μιν προσεφώνεον] τὸ μὲν γὰρ εἰπεῖν τι παροξυντικὸν, τὸ δὲ θωπεῦσαι δουλοπρεπές. πρῶτος δὲ Ὅμηρος πρόσωπα κωφὰ παρήγαγεν εἰς τὴν τραγῳδίαν.

334. στικτέον κατὰ τὸ τέλος τοῦ στίχου, καὶ βραχὺ διαστελτέον ἐπὶ τὸ ἐπαίτιοι· ὡς γὰρ ἀγγέλους σεμνύνων αὐτοὺς εἶπεν.

Διὸς ἄγγελοι] ἄσυλον γὰρ καὶ θεῖον τὸ γένος τῶν κηρύκων. Ἑρμῆς γὰρ μιγεὶς Παυδρόσῳ τῇ Κέκροπος θυγατρὶ ἔσχε παῖδα ὀνόματι Κήρυκα, ἀφ' οὗ τὸ τῶν κηρύκων γένος, ὡς ἱστορεῖ Πτολεμαῖος· ἢ ὅτι τὰς ἑορτὰς αὐτοῦ ἀγγέλλουσιν, ἢ ὅτι ἀπὸ Ἑρμοῦ εἰσὶν,

2. *καὶ Μηριόνης] καὶ om.

7. οὕτως—ἵνα Pluygers, p. 7] ὅτι χειρὸς ἑλόντε ἄγειν Ἀριστόνικος, ἵνα.

8. συναλοιφὴν ἀναγινώσκωμεν] συναλιφὴν ἀναγινώσκομεν. De vocali non elidenda v. Lehrs. Quaest. Ep. p. 49.

10. Lemma om. et scholion scholio proximo postponit.

13. Lemma εἰ δέ κε μὴ δώῃσιν.

ὅτι ἀντὶ τοῦ] *ὅτι ἕλωμαι ἀντὶ τοῦ ἑλοῦμαι ἢ

15, 19. Lemma om.

20. *τὸ μὲν γὰρ] τὸ γὰρ

23. Lemma χαίρετε κήρυκες.

24. ἐπὶ τὸ Friedl.] ἐπὶ τοῦ

ὃς ἄγγελος Διός. πεπαιδευμένως δέ· οὐ γὰρ δεῖ τὰς αἰτίας ἐφ' ἑτέρους μετάγειν, ὡς κύνα κατὰ τοῦ βεβλημένου λίθου.

335. ὔμμες] οὕτως ψιλωτέον τὸ ῡ τοῦ ὔμμες· ἡ γὰρ λέξις Αἰολική. ἐπιμαρτυρεῖ καὶ ἡ συναλοιφή "αἴ κ' ὔμμιν ὑπερσχῇ χεῖρα Κρονίων" (Il. 4, 249).

336. ὃ σφῶϊ] διὰ τοῦ ἑνὸς σ̄ ὃ σφῶϊ, ὁμοίως τῷ "καὶ θώρηχ', ὃ γὰρ ἦν οἱ" (Il. 18, 460). ἡ διπλῆ δὲ, ὅτι Ζηνόδοτος γράφει σὺν τῷ ν̄, ὃ σφῶϊν. τοῦτο δὲ σημαίνει ὑμῶν ἢ ὑμῖν, ὧν οὐδὲν ἁρμόζει τῷ λόγῳ τούτῳ, ἀλλὰ τὸ ὑμᾶς.

337. Πατρόκλεις] ἀντὶ τοῦ Πάτροκλε. ἐσχημάτισται γὰρ τὸ ὄνομα οὐκ ἀπὸ τῆς Πάτροκλος εὐθείας, ἀλλ' ἀπὸ τῆς Πατροκλῆς ὡς Ἡρακλῆς.

340. ἀπηνέος] Σέλευκος ἐν τῇ πολυστίχῳ γράφει ἀναιδέος· εὐεπίφορον γὰρ εἶναι τὸν Ἀχιλλέα εἰς τὸ ἀναιδῆ καλεῖν τὸν Ἀγαμέμνονα· "αἰὲν ἀναιδείην ἐπιειμένε, κερδαλεόφρον" (149). ἀπηνῆ δὲ καλεῖ τὸν Ἀγαμέμνονα διὰ τὰ εἰς αὐτὸν πεπραγμένα. διασταλτέον δὲ μετὰ τὸ ἀπηνέος. ἡ διπλῆ δὲ, ὅτι τὸ ἄρθρον μετάκειται. ἔδει δὲ καὶ παρὰ τοῦ ἀπηνέος βασιλῆος. καὶ ἄνω (11) κατὰ τὸ "οὕνεκα τὸν Χρύσην ἠτίμασεν ἀρητῆρα."

341. χρειὼ] ὡς Κλειώ· καὶ γὰρ χρειοῖ ἀναγκαίῃ (Il. 8, 57) ὡς Κλειοῖ.

342. *ὀλοιῇσι] πλεονασμῷ τοῦ ι.

343. νοῆσαι ἅμα πρόσσω] διασταλτέον ἐπὶ τὸ ὀπίσσω, ἴσως δὲ καὶ ἐπὶ τὸ νοῆσαι, ἵν' ᾖ ὅππως οἱ παρὰ νηυσὶ σόοι μαχέοιντο ἅμα πρόσσω καὶ ὀπίσσω, καὶ νῦν καὶ ὕστερον. ἢ καὶ ἑτέρως, ἐκ τῶν ἔμπροσθεν στοχάσασθαι τὰ ὕστερα. ἢ ἐν ἀμφιβολίᾳ· κἀν τῇ Γ (109) ἐστὶν "οἷς δ' ὁ γέρων μετέῃσιν ἅμα πρόσσω καὶ ὀπίσσω."

349. δακρύσας ἑτάρων] βραχὺ διασταλτέον ἐπὶ τὸ δακρύσας· μᾶλλον γὰρ σαφηνίζει τὰ πράγματα.

1. * δεῖ] δὴ
3. Lemma οὔτι μοι ὔμμες.
4. συναλοιφὴ] συναλιφή
7. οἱ om.
9. * τὸ ὑμᾶς] τῷ ὑμᾶς
13. ἀπηνέος] Lemma καὶ πρὸς τοῦ βασιλῆος, omisso ἀπηνέος.
15. ἀπηνῆ] ἀπεινῆ
18. παρὰ] Immo πρός. Addidi ἀπηνέος.
19. ἠτίμασεν] Sic, non ἠτίμασ' ut Vill. ἀρητῆρα om.
20. χρειὼ om.
22. ὀλοιῇσι] ολοῆισι
23. Lemma οὐδέ τι οἶδε νοῆσαι.

350. *οὕτως ἀπείρονα, οὐκ οἴνοπα, ἡ Ἀριστάρχου.

351. *χεῖρας ὀρεγνύς] ὅτι Ζηνόδοτος γράφει χεῖρας ἀναπτάς.

353. *ὄφελλεν] ὄφειλεν ὄφελλεν, Αἰολικῶς, ὡς χεῖρες χέρρες.

ὁ Ὄλυμπος ὄρος τῆς Μακεδονίας, ὑψηλότατον, ἱερὸν καὶ οἰκητήριον τῶν θεῶν. ἀλληγορικῶς δὲ ὁ οὐρανός.

354. ὑψιβρεμέτης] βρόμος κυρίως ὁ τοῦ πυρὸς ἦχος. ὅθεν καὶ τὸν ἀπὸ πυρὸς Διόνυσον Βρόμιον καλοῦσιν.

356. *ἠτίμησεν] τῶν σπανίων ἡ τομὴ κατὰ τὸν ἕβδομον χρόνον.

357. πότνια] σεπτή· οἱ γὰρ σεβόμενοι προσπίπτουσι τοῖς ἕδεσι τῶν θεῶν. ἢ παρὰ τὸν πότμον, ἡ εὐτυχής· ὅς ἐστιν ἀπὸ τοῦ πεσεῖν παρὰ ποσὶ γυναικός. καὶ ποτνιᾶσθαι δὲ τὸ προσπίπτειν καὶ παρακαλεῖν.

358. παρὰ πατρὶ γέροντι] τῷ Νηρεῖ. τὸν δὲ Νηρέα οἱ ποιηταὶ παριστῶσιν ἡμῖν δαίμονα θαλάσσιον, ἀφ' οὗ καὶ Δωρίδος τῆς Ὠκεανοῦ αἱ Νηρεΐδες.

361. στικτέον ἐπὶ τὸ κατέρεξεν καὶ ἔφατ' καὶ ὀνόμαζεν· ἡ περίοδος γὰρ καθ' ἑαυτὴν ἑκάστη.

363. ἵνα εἴδομεν] προπαροξύνεται τὸ εἴδομεν, ἀπὸ βαρυτόνου τοῦ εἴδω. οὐ θαῦμα δὲ, εἰ τὸ αὐτὸ καὶ ὡς βαρύτονον καὶ ὡς περισπώμενον κλίνει. ἢ ὅτι ἀνθ' ὑποτακτικοῦ ἐστὶ καὶ ἡ συστολὴ ἀνέδωκε τὸν τόνον· οὐ γὰρ παροξύνομεν κατὰ τὸν Πάμφιλον.

364. *ὅτι τὸ βαρυστενάχων κατὰ βαρεῖαν τάσιν.

βαρύνεται ἡ μετοχή. διδασκόμεθα δὲ ἐξ ἐκείνου "τοὺς δὲ βαρυστενάχων μετέφη κρείων Ἀγαμέμνων, χειρὸς ἔχων Μενέλαον· ἐπεστενάχοντο δ' ἑταῖροι." ἡ γὰρ ἐπίζευξις τοῦ ἐπεστενάχοντο διδάσκει ὅτι καὶ τὸ στενάχω βαρύνεται· εἰ γὰρ ἦν περισπώμενον, ἐστεναχοῦντο ἐγίνετο ὡς ἐνενοοῦντο. καὶ ἡ κλίσις δὲ τοῦτο δείκνυσι· "βαρὺ δὲ στενάχοντος ἄκουσα" (Od. 8, 95.) οὐχὶ στεναχοῦντος. καὶ ἡ δοτικὴ "τῷ δὲ βαρὺ στενάχοντι."

365. οἶσθα] ὅτι παλιλλογεῖν παρῄτηται. ἀλλότριοι ἄρα οἱ ἐπιφερόμενοι στίχοι εἴκοσι ἑπτά.

1. ἀπείρονα] In textu est οἴνοπα.
2. Lemma om.
χεῖρας ἀναπτάς] V. Lobeck. Rhemat. p. 107 et Duentzer. Zenod. p. 130.
8. *τομὴ] τιμὴ
9. Lemma om.
16. Lemma χειρί τέ μιν κατέρεξε.
23. Lemma τῇ δὲ βαρυστενάχων.
27. ἐνενοοῦντο] ἐννοοῦντο

366. ᾠχόμεθ' ἐς Θήβην] ὁ τρόπος ἀνακεφαλαίωσις. τέσσαρες δὲ διηγήσεων ἰδέαι· ὁμιλητικὴ, ὡς ὅταν παρά τινός τις ἀκούσας πάλιν αὐτὰ διηγῆται ἃ ἤκουσεν, ὡς τὸ "πολλάκι γὰρ σέο πατρός" (396). τὸ δὲ ἀπαγγελτικὸν, ὅταν ἃ παρ' ἑτέρου ἤκουσεν ἑτέρῳ διηγῆται, ὡς τὸ "ἀγγελίην τινά τοι, γαιήοχε" (Il. 15, 174). τὸ δὲ ὑποστατικὸν, ὅταν τινὰ τῶν πραγμάτων ἀπαγγεῖλαι ὑποθέμενοι διηγώμεθα, ὡς τὸ "ὡς ὁπότ' Ἠλείοισι καὶ ἡμῖν νεῖκος ἐτύχθη" (Il. 11, 671). τὸ δὲ μικτὸν ἐξ ὁμιλητικοῦ καὶ ὑποστατικοῦ, ὡς τὸ "ἀλλὰ σὺ τόν γ' ἐλθοῦσα, θεὰ, ὑπελύσαο δεσμῶν" (401).

ᾠχόμεθ' ἐς Θήβην] νῦν λέγει τὰς Ὑποπλακίους, ὧν ἐβασίλευσεν Ἠετίων ὁ Ἀνδρομάχης πατήρ.

Κίλικες ἔθνος βάρβαρον τῆς Ὑποπλάκου Θήβης· τούτων ἦρχεν Ἠετίων ἔχων υἱοὺς ἑπτὰ, θυγατέρα δὲ τὴν Ἀνδρομάχην τὴν γαμηθεῖσαν Ἕκτορι τῷ υἱῷ Πριάμου. κατὰ δὲ τοὺς Τρωϊκοὺς πολέμους ἐπιστρατεύσας Ἀχιλλεὺς τῇ Θήβῃ, καὶ τὴν πόλιν πορθήσας τόν τε Ἠετίωνα ἀνεῖλε σὺν τοῖς τέκνοις, μεθ' οὓς Λυρνησσὸν πορθήσας καὶ τὴν πόλιν ἐξελὼν αἰχμάλωτον ἦγεν ἐκ Λυρνησσοῦ μὲν Βρισηΐδα, ἣν γέρας αὐτῷ ἐψηφίσαντο Ἕλληνες, ἀπὸ δὲ τῆς Χρύσης Χρυσηΐδα τὴν Χρύσου τοῦ ἱερέως τοῦ Ἀπόλλωνος θυγατέρα, ἣν Ἀγαμέμνων κλήρῳ λαχὼν τῷ πατρὶ δεομένῳ οὐκ ἀπέδωκεν· ἐξ οὗ ὀργισθεὶς ὁ θεὸς ἔπεμψε τοῖς Ἕλλησι λοιμικὴν νόσον. ἔνιοι δέ φασιν ὅτι καὶ ἡ Χρυσηὶς ἐκ Θηβῶν ἐλήφθη· τῆς γὰρ Χρύσης, φασὶν, οὔσης πολιχνίου ἀτειχίστου καὶ εὐτελοῦς, ὡς ἐν ἀσφαλεστέρᾳ καὶ μείζονι τῇ Θήβῃ οἱ ἀπ' αὐτῆς προσερρυηκότες ἦσαν διὰ τὸν πόλεμον. τρεῖς γάρ εἰσι Θῆβαι, αἱ Ὑποπλάκιοι, ὧν ἐνταῦθα μέμνηται καὶ ἐν τῇ Ζ, καὶ αἱ Καδμεῖαι, ὧν μέμνηται ἐν τῇ Δ καὶ ἐν τῇ Ε, καὶ αἱ τῆς Αἰγύπτου, ὧν μνημονεύει ἐν τῇ Ι.

368. τοῦ σφίσι τὴν πρώτην ὀξυτονητέον, ἐπειδήπερ εἰς σύνθετον ἡ μετάληψις, εἰ καὶ οὐκέτι διηνεκὴς ὁ λόγος· ἔστι γάρ τινα ἐναντιούμενα· "τοὺς δ' ἄναγον ζῳοὺς σφίσιν ἐργάζεσθαι ἀνάγκη" (Od. 17, 441)· "σφίσι δ' αὐτοῖς δαῖτα πένεσθαι" (Od. 4, 683). καὶ ὅτι μετὰ προθέσεώς ἐστιν. ὅταν γὰρ πρόθεσις ᾖ μετὰ ἀντωνυμίας,

1. Breviter in marg. interiore ἀνακεφαλαίωσις ὁ τρόπος.
3. διηγῆται — διηγῆται] διηγεῖται —διηγοῖτο.
6. *ὡς τὸ—ἐτύχθη] om.
12. Ὑποπλάκου] *ὑποπλάκους ὄρους, vel ὑπὸ τὸ πλάκιον ὄρος.
17. *ἐκ] om.
24. *διὰ τὸν πόλεμον om.

ὀρθοτονεῖται ἡ ἀντωνυμία· "σὺν σοί, δῖα θεά" (Il. 10, 290)· "προτὶ οἷ δ' ἔλαβ' ἔντεα" (Il. 20, 418)· "κατὰ σφέας γὰρ μαχέοιντο" (Il. 2, 366)· "ἀπὸ ἕο κάββαλεν" (Il. 5, 343)· "ἀμφὶ ἑ παπτήνας" (Il. 4, 497), τοῦ "ἆλτ' ἐπὶ οἷ μεμαώς" (Il. 21, 174) ζήτησιν ἔχοντος.

374. * λίσσετο] οὕτως Ἰακῶς τὸ λίσσετο.

381. ἐπεὶ μάλα οἱ φίλος ἦεν] Σέλευκός φησιν ἐν τῇ Κυπρίᾳ καὶ Κρητικῇ, ἐπεί ῥά νύ οἱ φίλος ἦεν. καὶ Θεαγένης δὲ οὕτως προφέρεται. ἀπίθανον γὰρ τὸ ὁ δέ νυ λίαν φίλος ἦεν.

383. ἐπασσύτεροι] Αἰολικόν ἐστιν. ἆσσον ἀσσότερος ἀσσύτερος, ὡς ὄνομα ὄνυμα, καὶ ἐπασσύτερος.

388. ἀμφίβολος ἡ στιγμὴ διὰ τὸ ὅ μόριον, ἐπεὶ καὶ αὐτὸ ἀμφίβολον. ὅμως δὲ εἰς τὸ ὅς ὑποτακτικὸν ἄρθρον αὐτὸ μεταληπτέον.

392. κούρην Βρισῆος] ἔοικε πατρωνυμικῶς τὰ ὀνόματα αὐτῶν σχηματίζειν ὁ ποιητὴς, καὶ οὐ κυρίως· ὡς γὰρ ἄλλοι ἀρχαῖοι ἱστοροῦσιν, ἡ μὲν Ἀστυνόμη ἐκαλεῖτο, ἡ δὲ Ἱπποδάμεια. ὁ δὲ τρόπος ἀντωνομασία.

393. *ὑποστικτέον ἐπὶ τὸ γε, στικτέον δὲ κατὰ τὸ τέλος τοῦ στίχου.

ἑῆος] ὅτι Ζηνόδοτος γράφει ἑοῖο.

396. πολλάκι γάρ σεο] Ἀρίσταρχος ἐγκλιτικὴν παρέλαβε τὴν ἀντωνυμίαν, λέγων τὸ δηλούμενον εἶναι τοιοῦτο, πολλάκις γάρ σου ἐν τοῖς τοῦ πατρός μου δόμοις ἤκουσα καυχωμένης. ἐὰν γὰρ, φησὶ, κατ' ὀρθὸν τόνον ἀναγνῶμεν, ἔσται ἐν τοῖς τοῦ Νηρέως οἴκοις ὁ Ἀχιλλεὺς αὐτῆς ἀκηκοώς· ταύτην δὲ τὴν ἱστορίαν οὐκ οἶδεν Ὅμηρος. τοσαῦτα ὁ Ἀρίσταρχος καὶ οἱ ἀπ' αὐτοῦ. Πτολεμαῖος δὲ συγκατατίθεται μὲν τῇ ἐγκλιτικῇ ἀναγνώσει, οὐ μὴν τῇ προκειμένῃ αἰτίᾳ, εἴ γε ἤδη καὶ αὐτὸς ὁ Ἀρίσταρχος τὸ τοιοῦτο, φησὶ, παρεφύλασσεν, ὡς ὅτι ταῖς μὲν πρωτοτύποις οὕτως χρῆται κατὰ γενικὴν, ἐμέο ἐμεῖο ἐμεῦ ἐμέθεν, ὁμοίως δὲ καὶ ἐπὶ δευτέρου καὶ τρίτου, ταῖς δὲ κτητικαῖς ἤτοι ἐμοῦ ἢ ἐμοῖο, σοῦ σοῖο. ἐγίνετο οὖν, εἴπερ ἦν κτητικὴ, σοῖο, ὥστε κἂν ὀρθοτονήσωμεν τὴν σέο, οὐ δύναται ἀμφίβολος καθίστασθαι· ἡ γὰρ γραφὴ διελέγχει ὅτι πρωτότυπός ἐστιν. ἐγένετο οὖν ἐγκλιτικὴ ἡ ἀνάγνωσις, ἐπειδήπερ ἁπλῆ ἐστὶ καὶ οὐκ ἔχει ἀντιδιαστολήν· καὶ ἐπεκράτησεν ἡ ἀνάγνωσις.

12. ὅ addidit Cobetus. 20. Lemma ἀλλὰ σὺ εἰ δυνασαί γε.

ἡ διπλῆ δὲ, ὅτι ἀπὸ τούτου τοῦ στίχου ἕως "τοῦ τὸν καὶ ὑπέδδεισαν" (406) Ζηνόδοτος ἀθετεῖ. βραχὺ δὲ διασταλτέον μετὰ τὴν ἀντωνυμίαν· τὸ γὰρ ἑξῆς ἐστὶ πολλάκι γάρ σου ἤκουσα.

397–400. διασταλτέον μετὰ τὸ εὐχομένης καὶ λοιγὸν ἀμῦναι, ἐπὶ δὲ τὸ Παλλὰς Ἀθήνη στιγμήν. ἐνδέχεται δὲ καὶ οὕτως, ἐπὶ μὲν τὸ λοιγὸν ἀμῦναι στίζειν, τὰ δ' ἄλλα ἀπ' ἄλλης προφέρεσθαι ἀρχῆς ἕως τοῦ Ἀθήνη.

397. κελαινεφεΐ] παρὰ τὸ μελαίνοντα τὸν ἀέρα νείφειν αὐτόν.

399. ὁππότε μιν ξυνδῆσαι] Ζεὺς παραλαβὼν τὴν ἐν οὐρανῷ διοίκησιν περισσῶς τῇ παρρησίᾳ ἐχρῆτο, πολλὰ αὐθάδη διαπρασσόμενος. Ποσειδῶν δὲ καὶ Ἥρα καὶ Ἀπόλλων καὶ Ἀθηνᾶ ἐβούλοντο αὐτὸν δήσαντες ὑποτάξαι. Θέτις δὲ ἀκούσασα παρὰ τοῦ πατρὸς Νηρέως (ἦν γὰρ μάντις) τὴν Διὸς ἐπιβουλὴν ἔσπευσε πρὸς αὐτὸν, ἐπαγομένη Αἰγαίωνα φόβητρον τῶν ἐπιβουλευόντων θεῶν· ἦν δὲ θαλάσσιος δαίμων οὗτος, καὶ τὸν πατέρα Ποσειδῶνα κατεβράβευεν. ἀκούσας δὲ ὁ Ζεὺς Θέτιδος τὴν μὲν Ἥραν ἐν τοῖς καθ' αὑτοῦ δεσμοῖς ἐκρέμασε, Ποσειδῶνι δὲ καὶ Ἀπόλλωνι τὴν παρὰ Λαομέδοντι θητείαν ἐψηφίσατο, τῇ δὲ Θέτιδι τὴν Ἀχιλλέως τιμὴν εἰς τὰ μετὰ ταῦτα ἐταμιεύσατο. ἱστορεῖ Δίδυμος.

400. Παλλὰς Ἀθήνη] ὅτι Ζηνόδοτος γράφει Φοῖβος Ἀπόλλων· ἀφαιρεῖται δὲ τὸ πιθανόν· ἐπίτηδες γὰρ τοὺς τοῖς Ἕλλησι βοηθοῦντας θεοὺς ἠχθρευκέναι Διί φησιν, ἵνα μᾶλλον ἀκούοιτο Θέτις.

401. *συναπτέον τοῦτον τῷ ἑξῆς· βραχὺ δὲ διασταλτέον ἐπὶ τὸ Ὄλυμπον.

402. *μακρὸν Ὄλυμπον] ὅτι μακρὸν τὸν Ὄλυμπον ὡς ὄρος· τὸν δὲ οὐρανὸν εὐρύν.

403. τῶν διωνύμων τὸ μὲν πρότερον ὄνομα Ὅμηρος εἰς θεοὺς ἀναφέρει, τὸ δὲ δεύτερον εἰς ἀνθρώπους, ὡς καὶ τὸ "χαλκίδα κικλήσκουσι θεοὶ, ἄνδρες δὲ κύμινδιν" (Il. 14, 291), καὶ περὶ τοῦ ποταμοῦ "ὃν Ξάνθον καλέουσι θεοὶ, ἄνδρες δὲ Σκάμανδρον" (Il. 20, 74.)

7. Post Ἀθήνη haec fere excidisse monet Friedl. ἴν' ᾖ ἀπόδοσις τὰ ἐπιφερόμενα, τοῦ ἀλλὰ πρὸς μὲν τὴν σύνθεσιν πλεονάζοντος, μόνην δὲ ἐναντίωσιν παριστάντος, ut ad v. 280.

16. καθ' αὑτοῦ] καταυτοῦ.

20. Lemma ἦιρη (sic) τ' ἠδὲ Ποσειδάων.

22. *θεοὺς—Θέτις] om.

25. ὅτι] ※ ὅτι

27. Lemma Βριάρεων καλέουσι. τῶν] ὅτι τῶν Cobetus. In textu asteriscus praescriptus pro διπλῆ. Monuit Pluygers, p. 9.

29, 30. δὲ—δὲ] δέ τε—δέ τε

404. ὁ γὰρ αὖτε] ὅτι Ζηνόδοτος γράφει "ὁ γὰρ αὖτε βίῃ πολὺ φέρτατος ἁπάντων, ὁππόσοι ναίουσ' ὑπὸ Τάρταρον εὐρώεντα." οὐκ ἔστι δὲ τῶν Τιτάνων ὁ Αἰγεὺς, ἀλλ' ἐνάλιος δαίμων· οὕτως γὰρ καὶ ἡ σύγκρισις λαμβανομένη πρὸς τὸν Ποσειδῶνα λόγον ἕξει.

*οὕτως διὰ τοῦ ν̄, βίην, Ἀρίσταρχος. 5

405. ὅς ῥα παρὰ Κρονίωνι] ὅτι ἐντεῦθεν ἐπὶ τοῦ Ἄρεως λέγεται οὐκ ὀρθῶς "πὰρ δὲ Διὶ Κρονίωνι καθέζετο κύδεϊ γαίων" (Il. 5, 906). Ὅμηρος δὲ, ὡς στωϊκὸς, Ποσειδῶνος αὐτὸν εἶναί φησιν. ἢ ὅτι, φησὶ, παῦροι δέ τε πατρὸς ἀρείους (Od. 2, 277).

407. λαβὲ γούνων] κεφαλῆς λαμβανόμεθα, ἐπεὶ ἡγεμονικόν· 10 δεξιᾶς, ἐπεὶ πρακτικόν· γονάτων (δι' αὐτῶν γὰρ ἐπικλᾶται τὸ σῶμα) ἐπικλᾶν σπεύδοντες τὴν ψυχὴν τοῖς λόγοις.

407–412. βραχὺ διασταλτέον μνήσασα, παρέζεο, καὶ κτεινομένους, καὶ βασιλῆος, καὶ ἣν ἄτην· πάντα γὰρ ἤρτηται τοῦ αἴ κέν πως ἐθέλῃσι. 15

412. *οὐδὲν] ὅτι τὸ δεν παρέλκει.

415. ὄφελες] ῥῆμά ἐστι κατὰ παντὸς ἀριθμοῦ φερόμενον· "ὡς δὴ μὴ ὄφελον νικᾶν" (Od. 11, 548). "ἆς μ' ὄφελ' Ἕκτωρ κτεῖναι" (Il. 21, 279) καὶ "μὴ ὄφελες λίσσεσθαι" (Il. 9, 698.) Καλλίμαχος δὲ ἐπίρρημα εὐκτικόν· "ὄφελε μηδ' ἐγένοντο θοαὶ νέες" 20 (Epigr. 18).

417. λέγεται τὴν Θέτιν παρὰ Διὸς μαθεῖν τὰ περὶ Ἀχιλλέως, ὅτι εἰ μὲν μείνειεν ἐν τῇ Φθίᾳ μὴ συμπλεύσας τοῖς Ἕλλησιν εἰς τὴν Ἴλιον, πολλὴ μὲν ἔσται αὐτῷ ἡ ζωὴ, ἄδοξος δὲ, εἰ δὲ συνανέλθοι αὐτοῖς, ἔσται ὀλιγοχρόνιος μὲν, ἀλλ' ἀοίδιμος καὶ εὐκλεής. ὅθεν ὡς 25

2. ἁπάντων] ἄλλων Lehrsius. φέρτατος ἦεν τῶν ὁπόσοι Cobetus Mnem. nov. vol. 2 p. 189. Apud Eustath. p. 124, 39 φέρτερος ἁπάντων, ὁπόσοι—.

5. οὕτως] οὐ τ A, sed ut τ vix appareat.

βίην] Hoc addit quia in textu non hoc, sed βίῃ legitur: de qua ratione dictum est ad 2, 298.

8. Apud Eustath. p. 124, 35 ὁ στωϊκὸς Ὅμηρος.

13. Scholion valde decurtatum, quod explere conatus est Friedl. Nican. p. 194.

14. καὶ βασιλῆος] καὶ om.

15. ἐθέλῃσι] His adiuncta sunt superioris scholii verba κεφαλῆς—λόγοις.

19. καὶ "μὴ ὄφελες λίσσεσθαι." Καλλίμαχος] ὡς μὴ ὄφελ' ἕκτορα λίσσεσθαι καλλίμαχος A. In aliis libris additur exemplum Il. 24, 254 Ἕκτορος ὠφέλετ' ἀντί.

20. ὤφελε] ὄφελλε

νέες] νῆες

22. Lemma ἔπλεο.

προειδυῖα ἡ Θέτις τοῦτο, ἦν αὐτὸν παραθεμένη εἰς τὸν Λυκομήδους παρθενῶνα ὡς κόρην, ἐν τῇ Σκύρῳ· ἔστι δὲ μία τῶν Κυκλάδων.

420. εἶμ'] προπερισπᾶται, ὅτε ἐπὶ τοῦ πορεύομαι· ὅτε δὲ ἐπὶ τοῦ ὑπάρχω, ὀξύνεται.

*πρὸς Ὄλυμπον] ὅτι ὄρος ὁ Ὄλυμπος.

ἀγάννιφον] τὰ ἄκρα τοῦ Ὀλύμπου οὔτε νείφεται οὔτε κατομβρεῖται, κατ' αὐτὸν τὸν ποιητὴν λέγοντα "Οὔλυμπόνδ', ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεὶ ἔμμεναι· οὔτ' ἀνέμοισι τινάσσεται, οὔτε ποτ' ὄμβρῳ δεύεται, οὔτε χιὼν ἐπιπίλναται, ἀλλὰ μάλ' αἴθρη πέπταται ἀννέφελος, λευκὴ δ' ἐπιδέδρομεν αἴγλη" (Od. 6, 42). ἀγάννιφον οὖν ἢ τὸν πάνυ κατανειφόμενον, ἢ τὸν οὐδὲ ὅλως.

τὸ νείφω σημαίνει τὸ βρέχω, ὅπερ γράφεται διὰ τῆς ει διφθόγγου, ἐξ οὗ νέφος καὶ νεφρός. νίφω τὸ χιονίζω διὰ τοῦ ι, ἐξ οὗ τὸ ἀγάννιφον. νήφω τὸ σπένδω διὰ τοῦ η, ἐξ οὗ τὰ νηφάλια ξύλα. νήφω τὸ προσέχω· καὶ διὰ τοῦ η τοῦτο· ἐξ οὗ τὸ "νήφων προσεύχου."

421. νῦν] τὸ νῦν ἀντὶ τοῦ δή· διὸ καὶ Τυραννίων ἠξίου ὀξύνειν, οὐκ εὖ.

422. μήνι'] τῆς ὀργῆς αὐτὸν οὐκ ἐπέχει, εἰδυῖα τὸ φιλόνεικον αὐτοῦ καὶ φιλότιμον. καλῶς δὲ λόγοις μὲν χαρίζεται αὐτῷ, ἔργοις δὲ ἀναβάλλεται.

423. Αἰθιοπῆας ὁμοίον ἐστι τῷ ἡνιοχῆας. διττοὶ δέ εἰσιν οἱ Αἰθίοπες, ὑπὸ Νείλου ὁριζόμενοι, ὡς ἡ Ἰθάκη καὶ αἱ λοιπαὶ νῆσοι. τινὲς δὲ γράφουσι μετὰ Μέμνονας Αἰθιοπῆας· ἔθνος δὲ οὗτοι.

λέξις Ἀριστάρχου ἐκ τοῦ α τῆς Ἰλιάδος ὑπομνήματος. τὸ μὲν μετ' ἀμύμονας ἐπ' ἀμύμονας, ὅ ἐστι πρὸς ἀμώμους, ἀγαθούς, τὸ δὲ κατὰ δαῖτα ἀντὶ τοῦ ἐπὶ δαῖτα· οὕτως γὰρ νῦν Ὅμηρος τέθεικεν. ἔνιοι δὲ ποιοῦσι μετὰ δαῖτα, ὅπως ᾖ αὐτοῖς αὐτόθεν τὸ μετά ἐπί. χρῶνται δὲ καὶ πλείονες ἄλλοι τῶν ποιητῶν τῇ κατά ἀντὶ τῆς ἐπί.

7. Οὔλυμπόνδ'] ὄλυμπόν τε

8. τινάσσεται—ποτ'] τινασσόμενον —ποθ'

11. οὐδὲ] οὔτε

14. τὰ νηφάλια Vill.] τὰ om.

16. τὸ νῦν—οὐκ εὖ] Eadem in marg. interiore.

24. λέξις Ἀριστάρχου] Sic ad 3, 406 est τὴν Ἀριστάρχου λέξιν οὕτως ἔχουσαν. Plurali λέξεις Ἀριστάρχου utitur schol. ad 2, 125, 435. λέξεις ἐκ τῶν πρὸς Κωμανόν memorantur ad 1, 97. Haec et alia collegit Villoisonus Proleg. p. xxviii. Ἀριστάρχου, Ἀπίωνος καὶ Ἡροδώρου λέξεις memorat Hesychius in Epistola ad Eulogium.

ἐκ τοῦ α' τῆς] ἐκ τοῦ εἰς τὴν ᾱ τῆς Cobetus.

Σοφοκλῆς (fr. 149) "ἐγὼ κατ' αὐτὸν, ὡς ὁρᾷς, ἐξέρχομαι." οὕτως δὲ εὕρομεν καὶ ἐν τῇ Μασσαλιωτικῇ καὶ Σινωπικῇ καὶ Κυπρίᾳ καὶ Ἀντιμαχείῳ καὶ Ἀριστοφανείῳ. Καλλίστρατος δὲ ἐν τῷ πρὸς τὰς ἀθετήσεις· ὁμοίως καὶ ὁ Σιδώνιος καὶ ὁ Ἰξίων ἐν τῷ ϛ' πρὸς τὰς ἐξηγήσεις. καὶ τὸ "θεοὶ δὲ πάντες ἕπονται" διὰ τῆς αι.

424. * Ἀρίσταρχος κατὰ δαῖτα.

* ὅτι τινὲς γράφουσι μετὰ δαίμονας ἄλλους· διὸ ἀθετεῖται.

425. δωδεκάτῃ] φασὶν ἐν Διοσπόλει μέγιστον εἶναι Διὸς ἱερὸν, ἀφ' οὗ λαμβάνοντας τὸ ξόανον Αἰθίοπας μετὰ καὶ τῶν ἄλλων ἐγχωρίων θεῶν κατά τινα χρόνον περινοστεῖν τὰ μέρη τῆς Λιβύης καὶ πολυτελεῖς ποιεῖν πανηγύρεις ἐπὶ δώδεκα ἡμέρας, ὅτι καὶ τοσοῦτοι οἱ θεοί.

429. * γυναικός] ὅτι ἐλλείπει ἡ περί· ἔστι γὰρ περὶ γυναικός.

432. * ἐντός] Ἀρίσταρχος ἐγγύς, οἷον πλησίον, οὐχὶ ἐντός.

434. ἱστοδόκῃ] τὸ κατὰ τὴν πρύμναν ἐξέχον ξύλον, καθ' οὗ κλίνεται ὁ ἱστός. τὰ δὲ παρὰ τὸ δέχω πάντα διὰ τοῦ κ, ξεινοδόκος, ἱστοδόκη.

ἱστὸν δ' ἱστοδόκῃ πέλασαν] οὐ γὰρ ᾔδεσαν τῶν ἀνέμων τὸ παλίμβολον, ἄλλως τε ἐν Ἰλιάδι ταύτην μόνην ἔχων ἔκπλοιαν τρόπον ἐδίδαξεν προσορμισμοῦ.

* ὑφέντες] Ἀρίσταρχος ἀφέντες.

435. * βέλτιον τοῖς ἐπάνω προσδίδοσθαι τὸ καρπαλίμως.

προέρυσσαν] διὰ τοῦ ε, προέρεσσαν, οὐ διὰ τοῦ υ, προέρυσσαν, καὶ ἡ Ἀργολικὴ καὶ ἡ Σινωπικὴ καὶ ἡ Σωσιγένους.

436. ἐκ δ' εὐνάς] τὰ σίδηρα, παρὰ τὸ εὐνάζειν τὴν ναῦν χαλώ-

4. Post ἀθετήσεις aliquid excidit.

5. * διὰ τῆς (τοῦ A) αι] I. e. ἕπονται, non ἕποντο.

7. Scholion omni ex parte absurdum. Nam nec μετὰ δαίμονας ἄλλους, quod legitur v. 222, hoc loco scribi potuit, neque ἀθετεῖσθαι hic versus, quod credidit epitomator, quia in textu ὀβελὸν adscriptum videbat. Friedlaenderus haec sic restituit, ὅτι τινὲς γράφουσι μετὰ δαῖτα· διὸ ἡ διπλῆ, καὶ ὅτι μάχεται τὸ μετὰ δαίμονας ἄλλους (v. 222)· διὸ ἀθετεῖται (v. ad v. 222). Diversa Cobeti sententia est, qui veterem scholii formam fuisse coniecit cum διπλῆ περιεστιγμένη, (qua Zenodoti lectiones notat Aristarchus) ὅτι τινὲς γρ. μετὰ δαῖτα, illa autem μετὰ δαίμονας ἄλλους· διὸ ἀθετεῖται librarii inventum esse, qui διὸ ἀθετεῖται de suo addiderit, quia huic versui per errorem ὀβελὸς est praescriptus in codice pro διπλῆ περιεστιγμένη. Alia tentavit Pluygersius p. 6.

21. ἀφέντες] * ἀφέντες. Ζηνόδοτος ὑφέντες. In textu ὑφέντες, superscr. ε, i. e. ἐφέντες.

25. * τὰ σίδηρα] om.

μενα εἰς τὸ ὕδωρ καὶ ποιεῖν ἵστασθαι. τρία δὲ σημαίνει ἡ λέξις παρὰ τῷ ποιητῇ, τὴν κοίτην, ὡς ὅταν λέγῃ "εὐνῇ ἔνι μαλακῇ" (Il. 9, 618)· τὴν ἄγκυραν, ὡς νῦν "ἐκ δ' εὐνὰς ἔβαλον·" τὴν διατριβήν, ὡς τὸ "ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς" (Il. 2 783).

437. ἐπὶ ῥηγμῖνι θαλάσσης] ἀλλαχοῦ ἡρμήνευκεν αὐτὸ διὰ τοῦ τῇ χέρσῳ ῥηγνύμενον μεγάλα βρέμειν (Il. 4, 425). πάντα δὲ ἐν ὀλίγῳ πέφρασται.

440. πολύμητις Ὀδυσσεύς] τὰ ἐπίθετα Ὀδυσσέως δῖος Ὀδυσσεὺς, πολύμητις Ὀδυσσεύς. ὅτε δὲ ὁ καιρὸς τῆς σοφίας, Διὶ μῆτιν ἀτάλαντόν φησιν.

443. ὅτι τὸ ἀγέμεν κοινὸν, ὥστε γίνεσθαι τὸν ἑξῆς περισσόν· διὸ ἀθετεῖται.

444. *ὅτι περισσός.

446–448. ὣς εἰπὼν—ἔστησαν] ὅτι Ζηνόδοτος οὕτως συντετμημένως "ὣς εἰπών· τοὶ δ' ὧκα θεῷ ἱερὴν ἑκατόμβην ἐξείης ἔστησαν." τὴν δὲ ἀναγκαιοτάτην Χρυσηΐδα περιεῖλεν.

447. κλειτήν] ἱερὴν, οὐ κλειτὴν, εἶχον αἱ Ἀριστάρχου.

449. οὐλοχύτας] τινὲς τὰ κανᾶ δι' ὧν ἐπέχεον τὰς οὐλάς. καὶ κριθαὶ δὲ πρὸς ἀντιδιαστολὴν τῶν ψαιστῶν· πρὸ τῶν πυρῶν γὰρ εὕρηνται, καὶ ἀπὸ τοῦ προκριθῆναι τῶν βαλάνων οὕτως ὠνομάσθησαν. κριθὰς δὲ μετὰ ἁλῶν μεμιγμένας ἐπέχεον τοῖς ἱερουργουμένοις ζώοις πρὸ τοῦ θύεσθαι, ἤτοι πολυπληθείας χάριν, ἢ μνήμην ποιούμενοι τῆς ἀρχαίας βρώσεως· ὡς γάρ φησι Θεόφραστος ἐν τῷ περὶ εὑρημάτων, πρὶν ἢ μάθωσιν οἱ ἄνθρωποι ἀλεῖν τὸν Δημητριακὸν καρπὸν, οὕτω σώας αὐτὰς ἤσθιον. ὅθεν ὅλας αὐτάς φησιν ὁ ποιητής.

451. *κλῦθί μευ] τὸ μεῦ διὰ τοῦ ευ κατὰ γενικὴν πτῶσιν.

454. *ὅτι κατὰ τὴν Πατρόκλου ἔξοδον (Il. 16, 237) οὐκ ὀρθῶς λέγεται, ἐντεῦθεν μετενεχθείς.

459. αὐέρυσαν] εἰς τοὐπίσω ἀνέκλων τὸν τράχηλον τοῦ θυομένου ἱερείου, ὡς προσέχειν εἰς οὐρανὸν τοῖς θεοῖς οἷς καὶ ἐθύοντο, ὡς καὶ

2. εὐνῇ] om.
5. αὐτὸ διὰ τοῦ] αὐτὸν διὰ τὸ
15. εἰπών] εἶπεν Duentzerus p. 152.
20. *βαλάνων] οὐλῶν
22. πολυπληθείας] πολυπληθίας est p. 6, 12.
23. εὑρημάτων] εὑρεμάτων
28. μετενεχθείς] μέχθεις. Quum in alio scholio μετηνέχθη sit, μετενεχθεὶς scripsi. μεταχθεὶς Vill.
29. εἰς] ὅτι εἰς Cobetus. Nam διπλῆ praefixa est in A.

αὐτῶν ὄντων ἐν οὐρανῷ. πάλιν δὲ τοῖς ἥρωσιν, ὡς κατοιχομένοις, ἔντομα ἔθυον ἀποβλέποντες κάτω εἰς γῆν.

461. ὠμοθέτησαν] ἀπὸ τῶν ὠμῶν ἱερείων ἀπαρξάμενοι ἔκοψαν μικρὸν ἀπὸ παντὸς μέλους, καὶ ἐπέθηκαν ἐπὶ τὰ μηρία, ὡς δοκεῖν ὅλα τὰ μέλη τοῦ ἱερείου καρποῦσθαι· διὸ ἡ διπλῆ.

464. αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη] Πτολεμαῖος τὸ ε̄ τελευταῖον λαμβάνει τοῦ μῆρε, ἵνα ἰακώτερον ἐκδέξηται τὸ κάη· καὶ Ἀρίσταρχος δὲ οὕτως. δύναται δὲ καὶ ἑκάη εἶναι τὸ πλῆρες, ἐκθλίψεως γενομένης τοῦ ᾱ, ὥσπερ καὶ ἐπὶ τοῦ ἐντελεστέρου αὐτοῦ ὁρῶμεν "ἦ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί' ἔκηα" (40). τὸ δὲ τοιοῦτο πολὺ παρὰ τῷ ποιητῇ, λέγω δὲ τὸ καὶ τὸν χρόνον τὸν ἔξωθεν φυλάσσειν τὸ ῥῆμα καὶ συνάρχεσθαι τῷ ἐνεστῶτι. ἀπεφηνάμην δὲ ἐντελέστερον τὸ μηρίον τοῦ μήρου ὄν· ἐκ γὰρ συγκοπῆς αὐτοῦ ἐγεγόνει, ἐπείτοι εὐθύνεται ὁ τόνος. τὰ γὰρ εἰς ος λήγοντα μεταπλασσόμενα εἰς οὐδέτερον γένος τὸ εἰς ον λῆγον, τὸν αὐτὸν τόνον φυλάσσει· ὁ ζυγός τὸ ζυγόν—τὰ ζυγά, δίφρος δίφρον δίφρα. ὅθεν εἰ καὶ μηρός, καὶ μηρόν καὶ μηρά, εἰ δὲ μῆρα, καὶ μήρους. εἰ δὲ δοίημεν ὅτι κυρίως τὰ ἁγιαζόμενα θεοῖς μῆρα καλεῖται, τοῦ περὶ τὸ σημαινόμενον καὶ τοῦ περὶ τὸν τόνον ἁμαρτήματος τὴν λέξιν ἀπολύει.

* σπλάγχν' ἐπάσαντο] Ἀρίσταρχος Ἰακῶς πάσαντο.

465. ἄρα τ' ἄλλα] Πτολεμαῖος ὡς τἄργα τἄλλα. ἡ μέντοι κοινὴ ἀνάγνωσις παραπληρωματικὸν ἔλαβε τὸν τε̄ σύνδεσμον, ἐν ἐκείνῳ δὲ συνεσταλμένον τὸ ᾱ ἐφύλαξεν, καθότι ἤδη ἔθος ἐστὶ τῷ ποιητῇ ἐλλείπειν τοῖς ἄρθροις.

467. πόνου] ὅτι πόνον τὸ ἐπὶ τῆς ἱερουργίας ἔργον· οὐδέποτε δὲ τὴν ἀλγηδόνα πόνον εἴρηκεν.

τετύκοντο] τεύχω ἔτυχον ἐτυχόμην ἐτύχοντο· ποιητικὸς ἢ Ἰωνικὸς διπλασιασμὸς οἰκεῖος τοῖς δευτέροις ἀορίστοις μετὰ τροπῆς, καὶ γίνεται τετύκοντο, ὡς παρὰ τὸ χάζω κεχάδοντο· "κεχάροντο δὲ πάντες Ἀχαιοί" (Od. 4, 344).

1. πάλιν] ἔμπαλιν Cobetus.
2. * ἀποβλέποντες] ἀποβλέποντα
4. * μέλους] μέρους
5. ἡ διπλῆ] Quae in textu et in scholio est praefixa.
17. εἰ δὲ μῆρα, καὶ μήρους delet Lehrsius.
18. τοῦ περὶ τὸ σημαινόμενον] τὸ περὶ τοῦ σημαινομένου
21. ὡς τἄργα τἄλλα] ὡσ τάργ' ἄλλα
27. * ἢ Ἰωνικὸς] ἢ om.
28. δευτέροις] δύο
29. κεχάδοντο] καὶ παρὰ τὸ χαίρω κεχάροντο addit Cobetus.
κεχάροντο] κεχάδοντο

ἐξ ἔρον ἔντο] τὸ μὲν ἔρον ὡς Αἰολικὸν ψιλωτέον, ἢ καθὸ τὸ ε̄ καὶ ᾱ πρὸ τοῦ ρ̄ φωνήεντος ἐπιφερομένου ψιλοῦται. τὸ δὲ ἔντο δασέως· ἔστι γὰρ παρὰ τὸ ἵημι, δεύτερος ἀόριστος ἦν, καὶ εἷς ἡ μετοχὴ καὶ ἀφείς, ἕμαι, ἕμην ἕσο ἕτο ἕντο. ταῦτα δὲ καὶ πλεονάζουσι τῷ ῐ πολλαχοῦ.

470. κοῦροι μὲν κρητῆρας] ἀρχαῖον ἔθος οἰνοχοεῖν τοὺς νέους· διὸ καὶ παῖδας μέχρι τοῦ νῦν τοὺς δούλους φαμέν· καὶ Γανυμήδης καὶ Ἥβη ὑπηρέται θεῶν εἰσίν.

* ἐπεστέψαντο ποτοῖο] ὑπὲρ τὸ χεῖλος ἐπλήρωσαν, ὡς δοκεῖν ἐστέφθαι τῷ ὑγρῷ.

472. οἱ δὲ πανημέριοι] ὅτι οὐ δι' ὅλης φησὶ τῆς ἡμέρας, ἀλλὰ τοῦ λείποντος τῆς ἡμέρας· καὶ γὰρ τὸ μὲν πεπλεύκασι, τὸ δὲ λεῖπον εὐωχήθησαν.

473. καλὸν ἀείδοντες παιήονα] ὅτι παιήονα οὐ τὸν Ἀπόλλωνα, ἀλλὰ τὸν ἐπὶ καταλύσει λοιμοῦ ὕμνον. καὶ τὸ καλόν ἀντὶ τοῦ καλῶς.

474. ἀθετεῖται, ὅτι νομίσας τις τὸν Ἀπόλλωνα Παιήονα εἰρῆσθαι προσέθηκεν αὐτόν. καὶ γίνεται διασσολογία· προείρηκε γὰρ "οἱ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο." ἀπὸ δὲ τοῦ εἰπεῖν τὸν ποιητὴν τὸ "ὁ δὲ φρένα τέρπετ' ἀκούων" διδάσκει ἡμᾶς ὅτι πλέον τῶν θυσιῶν τέρπονται οἱ θεοὶ τοῖς οἰκείοις ἕκαστος ὕμνοις.

477. ἦμος δ' ἠριγένεια] ὅτι τῇ ἑξῆς ἐκ τῆς Χρύσης κατέρχονται. ἡ δὲ ἀναφορὰ ἀπὸ τῆς σημειώσεως πρὸς τὸν τῶν ἡμερῶν ἀριθμόν.

ῥοδοδάκτυλος] πυρώδης γὰρ ὁ ἀὴρ ὄρθρου γίνεται ἐν τῇ ἀνατολῇ. ἀπὸ δὲ τοῦ σχήματος τῶν τῆς χειρὸς δακτύλων παρίστησι τὸ τῶν ἀκτίνων σχῆμα, συνεκδοχικῶς ἀπὸ μέρους τὸ ὅλον. τὴν δὲ πολὺ τοῦ φωτὸς ἔχουσαν οὕτως καλεῖ, τὴν δὲ πολὺ τοῦ σκότους κροκόπεπλον.

479. ἵκμενον] παρὰ τὸ ἱκνεῖσθαι, ἢ ὑγρόν, παρὰ τὴν ἰκμάδα· καὶ γὰρ ἐν ἄλλοις φησὶν "ἀνέμων μένος ὑγρὸν ἀέντων" (Od. 5, 478). ἰκμάδος γὰρ ὑδάτων ἀτμιζομένης ἄνεμος γίνεται. διὸ ψιλωτέον· οὐ γὰρ παρὰ τὸ ἱκνεῖσθα. ἅμα δὲ φύσιν ἀνέμων διδάσκει· τὸ γὰρ στυγνὸν τοῦ λοιμοῦ διασκεδάζει ὁ ἄνεμος.

482. στείρῃ] ἐπεὶ στερεωτέρα τῶν σανίδων ὑπάρχει· ἐπὶ γὰρ τὸ

9. Lemma om.
17. Lemma μέλποντες ἑκάεργον.
22. τῇ—κατέρχονται Bekkerus] οἱ—μετέρχονται.
23. ἀπὸ delet Friedl.

ξύλον τοῦτο, ὥσπερ εἰς θεμέλιόν τινα, ἐποικοδομεῖται τὰ ἄλλα ξύλα τῆς νεώς.

484. *μετὰ στρατὸν] Ἀρίσταρχος κατά, οὐ μετά. καὶ "χθιζὸς ἔβη κατὰ δαῖτα" (424).

486. ὑψοῦ ἐπὶ ψαμάθοις] ψάμαθος. καὶ ἡ ποταμία οὕτως καλεῖται· "κείμενον ἐν ψαμάθοις Αἰσήποιο."

ἕρματα] τὸ ἕρματα, εἰ καὶ ἐκ τοῦ ἐρείσματα, οὐ ψιλοῦται, ὥς τινες, ἐπεὶ τὰ βραχυνόμενα φωνήεντα καταλήγοντα εἰς ρ̄ ἐπιφερομένου τοῦ μ̄ δασύνεται, ὅρμος ἅρμα Ἑρμῆς ὅρμαθος. ἔνθεν ἡ πλείων χρῆσις τὸ ἁρμοῖ δασύνει. τὸ μέντοι ἅρμενον καὶ ὅρμενον ψιλὸν πνεῦμα ἀνεδέξατο.

488. αὐτὰρ ὁ μήνιε] ὅτι Ζηνόδοτος ἠθέτηκεν ἕως τοῦ "αἶθι μένων" (492). τὸν δὲ "οὔτε ποτ' ἐς πόλεμον" οὐδὲ ἔγραφεν.

490. *ποθέεσκε] ἐχθρὸς γὰρ τῆς ἀργίας ὁ ἥρως, φιλότιμος δὲ περὶ τὰς πράξεις.

493. ὅτε δή ῥ' ἐκ τοῖο] Ἀρίσταρχος ὁτεδή ὡς δηλαδὴ παραλόγως ἀνεγίνωσκε. Πάμφιλος δὲ τὸ ὅτε κατ' ἰδίαν ἀναφορικὸν ἀναλόγως· διαφέρει γὰρ τὸ ὅτε ὀξυνόμενον κατὰ τὴν πρώτην τοῦ ὁτέ ἀορίστου. ὥστε ἐὰν θελήσῃ ὁ Ἀρίσταρχος ἀναγινώσκειν ὁτεδή ὡς δηλαδή, πρῶτον τὴν μὴ οὖσαν χρῆσιν παρὰ τῷ ποιητῇ παραλήψεται, δεύτερον τὸ σημαινόμενον παραφθείρει. τὸ δὲ τοῖο προπερισπαστέον· τὸ γὰρ τοῦ Θεσσαλικῶς παρωξυνθὲν ἐγίνετο τοῖο, ὡς καλοῦ καλοῖο.

ἀποφήνασθαι δεῖ ὅτι ὁ Ἡρωδιανὸς ἐν τῇ Ἰλιακῇ προσῳδίᾳ διαλαμβάνων περὶ τοῦ "ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο" λέγει ὅτι τοῦ ὁτέ ὀξυτόνου ἀορίστου οὐκ ἔστιν ἡ χρῆσις παρὰ τῷ ποιητῇ· ἐν μέντοι τῷ ἐννεακαιδεκάτῳ τῆς καθόλου τὸ "ὣς Ἕκτωρ ὁτὲ μὲν μετὰ πρώτοισι φάνεσκεν" (Il. 11, 64) ὀξυτόνως δεῖν φησὶν ἀναγινώσκεσθαι.

496. ἀνεδύσετο] παρατατικοῦ παθητικοῦ, ὡς ἀπὸ τοῦ δύω ἐνεστῶτος τὸ παραγωγὸν δῦμι, ὁ μέλλων δύσω. καὶ ἐγένετο ὁ μέλλων ἐνεστὼς, οὗ ὁ παθητικὸς δύσομαι, ὁ παρατατικὸς ἐδυσόμην ἐδύσετο. ὥσπερ καὶ ἐκ τοῦ βῶ βιβῶ βίβημι ὁ μέλλων βήσω· καὶ μετάγεται εἰς ἐνεστῶτα, οὗ παθητικὸς βήσομαι, ὁ παρατατικὸς ἐβησόμην ἐβήσετο.

3, 14. Lemma om.
17. ἀναφορικόν] ἀναφορὰν Lehrsius.
21. παραφθερεῖ Vill.] παραφθείρει
29. παραγωγὸν] Rectior accentus est παράγωγον.

μέγαν οὐρανὸν Οὔλυμπόν τε] *ὅτι οὕτως εἴρηκεν οὐχ ὡς τοῦ Ὀλύμπου ἐπ' οὐρανοῦ ὄντος, ἀλλ' ἐπεὶ καὶ αἱ κορυφαὶ τοῦ ὄρους ὑπὲρ τὰ νέφη εἰσίν· ὁ δὲ ὑπὲρ τὰ νέφη τόπος οὐρανὸς καλεῖται ὁμωνύμως τῷ στερεμνίῳ. ἀλλὰ καὶ ἐν οὐρανῷ καὶ ἐν Ὀλύμπῳ γεγονέναι αὐτὴν λέγει.*

**οὐρανὸν Οὔλυμπόν τε*] *ὅτι ἐν τῷ ἄκρῳ τοῦ Ὀλύμπου ἐστὶν ὁμώνυμος πόλις Ὄλυμπος.*

498. *εὐρύοπα*] *ἤτοι μεγαλόφθαλμον, παρὰ τοὺς ὤπας, ἢ μεγαλόφωνον, παρὰ τὴν ὄπα, ὅ ἐστι τὴν φωνήν.*

ψιλῶς μεγαλόφωνον, ὡς τὸ ἐριβρεμέτης. ἢ μεγαλόφθαλμον, διὰ τὸ προνοητικόν.

499. **πολυδειράδος Οὐλύμποιο*] *παροιμία "τρὶς δὲ τριηκόσιαι κορυφαὶ νιφόεντος Ὀλύμπου."*

**πολυδειράδος Οὐλύμποιο*] *ὅτι καὶ ἀρσενικῶς τὸ πολυδειράδος, ὡς ἐνταῦθα.*

504. *ἢ ἔπει ἢ ἔργῳ*] *ὅτι εἰ μὴ προϊστορήσαμεν τὰ περὶ τῶν δεσμῶν, ἐφ' ὧν ἡ Θέτις ἐβοήθησεν αὐτῷ, ἐζητοῦμεν ἂν τί αὐτὸν ὤνησεν.*

508. *μητίετα*] *βουλευτικώτατε. ἐχρῆν αὐτὸ παροξύνειν, εἴγε τὰ εἰς τ̄η̄ς̄ λήγοντα βαρύτονα βραχεῖα παραληγόμενα ἀπρόσληπτα τοῦ σ̄ ἐπὶ γενικῆς καὶ ἐπὶ κλητικῆς παροξύνεται, οἰκέτα φυλέτα εὐνέτα. παραλόγως ἄρα ἡ εὐρύοπα δέσποτα καὶ τὸ μητίετα. ἔστι δὲ εἰπεῖν ὅτι ἀπὸ τοῦ μητῖτα κατὰ πλεονασμὸν τοῦ ε̄ καὶ συστολῇ τοῦ ῑ̄, ἀπὸ εὐθείας τῆς μητίτης, κλητικὴ γέγονε μητίετα· καὶ ὁ τόνος ἐπὶ τοῦ αὐτοῦ τόπου ἔμεινε μετὰ τὸν πλεονασμόν. οὕτως Ὧρος καὶ Ἀπολλώνιος ἐν τῷ περὶ παρωνύμων, καὶ ἀπὸ τοῦ μητῖτά φησι τὸ μητίετα.*

509, 510. **βραχὺ διασταλτέον ἐπὶ τὸ κράτος καὶ τίσωσιν.*

510. **ὀφέλλωσιν*] *αὔξωσιν. ὅθεν καὶ ὄφλημα τὸ χρέος διὰ τὸν τόκον.*

512. *ὑποστιγμὴ ἐν ὑποκρίσει ἐπὶ τὸ γούνων διὰ τὸ ὡς μόριον.*

1. Lemma *ἠερίη δ' ἀνέβη.*
4. *ἀλλὰ καὶ*] *καὶ ἀλλαχοῦ* Lehrsius.
6, 12, 14. Lemma om.
12. *τρὶς*] Praefixum ※.
15. *ἐνταῦθα* Bekkerus] *ἐντεῦθεν*
16. *προϊστορήσαμεν*] *προϊστόρησεν* Friedlaenderus.
20. *ἐπὶ κλητικῆς* Lehrsius] *ἐπὶ* om.
28. Lemma om.
αὔξωσιν Bekkerus] *αὔξουσιν*
30. Lemma *ἀλλ' ἀκέων δὴν ἦστο.*

513. ἐμπεφυνῖα] ἐμπλέξασα τὰς χεῖρας.

*εἵρετο] Δημήτριος ὁ Ἰξίων προπερισπᾷ, παραλαμβάνων τὸ τό ἄρθρον.

514. ὑπόσχεο καὶ κατάνευσον] διὸς τὸ αὐτὸ πέφρακεν ἐπιτάσεως χάριν· ἀντὶ τοῦ ὑποσχοῦ μοι.

517. ὀχθήσας] εἰς ὕψος ἐπάρας τὸν θυμόν, παρὰ τοὺς ὄχθους, ἢ παρὰ τὸ ἄχθος ἀχθήσας, ὅ ἐστιν ἀχθεσθεὶς καὶ ὀχθήσας.

518. ἦ] περισπαστέον τὸν ἦ· ἔστι γὰρ βεβαιωτικὸς ἐν ἀρχῇ κείμενος ὁμοίως τῷ "ἦ δὴ ἀλιτρὸς ἐσσί" (Od. 5, 182).

ἐχθοδοπῆσαι ἐφήσεις] ἐχθρὸν καταστῆναι ἐφορμήσεις, ὅ ἐστιν ἀναγκάσεις.

519. Ἥρῃ, ὅτ' ἄν μ' ἐρέθῃσιν] Ἀρίσταρχος τὸ Ἥρη κατ' εὐθεῖάν φησιν, οὐ κατὰ δοτικὴν, ἵν' ᾖ ὅταν με ἐρεθίσῃ ἡ Ἥρα, τότε ἐχθοδοπῆσαί με ἐφήσεις. τὸ δὲ ὅταν δύο μέρη λόγου.

τὸ τέλειον ὅτε ἄν ἐστι, καὶ κατὰ συναλοιφὴν ὅτ' ἄν· ἐν δὲ τῇ συντάξει κεκοίμισται ἡ ὀξεῖα τοῦ ἄν, ὡς τὸ "οὐκ ἂν ἐφ' ὑμετέρων ὀχέων" (Il. 8, 455)· "οὐκ ἂν δὴ μείνειας" (Il. 3, 52). ἀεὶ οὖν οὕτως ὀφείλομεν ἀναγινώσκειν ἐπὶ τὴν ἄρχουσαν ὀξεῖαν ποιοῦντες· "ὡς δ' ὅταν ὠδίνουσαν" (Il. 11, 269). καὶ τοτὲ μὲν ἐν σημαινομένῳ ὀφείλομεν παραλαμβάνειν τὸν ἄν, ὅταν ὑποτακτικὸν ἐπιφέρῃ ἢ εὐκτικὸν, τοτὲ δὲ παρέλκοντα, ὅταν μὴ οὕτως ἔχῃ. πρόδηλον δὲ ἐκ τοῦ χαρακτῆρος ὅτι οὐ δύναται ἓν εἶναι, εἴ γε τὰ εἰς ᾱν ἐπιρρήματα οὐδέποτε συστέλλει τὸ ᾰ· τὸ γὰρ πάμπαν οὐ φύσει ἐπίρρημα. ἀλλὰ μὴν οὐδὲ σύνθετον δύναται εἶναι· οὐδέποτε γὰρ τὰ ἀναφορικὰ τῶν ἐπιρρημάτων κατ' ἀρχὰς συντίθεται.

Ζεὺς ἐρασθεὶς Θέτιδος τῆς Νηρέως ἐδίωκεν αὐτὴν βουλόμενος βιάσασθαι. γενόμενος δὲ ἐπὶ τὸ Καυκάσιον ὄρος ἐκωλύθη ὑπὸ Προμηθέως, φήσαντος τὸν ἐκ Θέτιδος γενόμενον ἀμείνονα ἔσεσθαι τοῦ ἰδίου πατρός. δείσας οὖν ὁ Ζεὺς περὶ τῆς ἐν οὐρανῷ κρατήσεως αὐτὸς μὲν ἀπέσχετο τῆς προειρημένης, εἰς τιμὴν δὲ τοῦ παιδὸς Λιακοῦ ἔδωκεν αὐτὴν πρὸς γάμον Πηλεῖ· ἐξ ἧς ἐγένετο ὁ Ἀχιλλεύς,

2. Lemma om.
4. *δὶς] διὰ
6. Lemma τὴν δὲ μέγ' ὀχθήσας.
9. ἐσσί] ἐστί
10. καταστῆναι] καταστῆσαι
14. δύο Cobetus] τρία
15. τὸ τέλειον] ὅταν μ' ἐρέθῃσιν: τὸ τέλειον.
συναλοιφὴν] συναλιφὴν.
29. κρατήσεως] *ἐπικρατείας
31. *αὐτὴν] αὐτῇ

ὃς οὐ μόνον ὑπερέβαλε τῇ ἀνδρείᾳ τὸν ἑαυτοῦ πατέρα, ἀλλὰ καὶ τοὺς κατ᾽ ἐκεῖνο καιροῦ γενομένους πάντας ἥρωας.

522. μή σε] οὐχὶ μή σε, ἀλλὰ μή τι αἱ Ἀριστάρχου καὶ αἱ ἄλλαι σχεδὸν πᾶσαι διορθώσεις. καὶ μήποτε ἐκ περισσοῦ τὸ τί πρόσκειται, ὡς ἐπὶ τούτων "μή τι φόβονδ᾽ ἀγόρευε" (Il. 5, 252)· "μή τί μευ ἠΰτε παιδός" (Il. 7, 235)· "μή τι σὺ ταῦτα ἕκαστα διείρεο" (550).

523. *ὅτι περισσὸς ὁ κε.

524. κεφαλῇ κατανεύσω] τὸ λογιστικὸν περὶ κεφαλὴν, τὸ θυμικὸν περὶ καρδίαν, "κραδίη δέ οἱ ἔνδον ὑλάκτει" (Od. 20, 13) καὶ "οἰδάνεται κραδίη χόλῳ" (Il. 9, 646), τὸ ἐπιθυμητικὸν περὶ ἧπαρ· "ἧπαρ ἔκειρον" (Od. 11, 578).

κεφαλῇ κατανεύσομαι] οὕτως κατανεύσομαι, οὐχὶ ἐπινεύσομαι Ἀρίσταρχος ἐν τοῖς πρὸς Φιλητᾶν προφέρεται.

526, 527. οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ᾽ ἀπατηλὸν οὐδ᾽ ἀτελεύτητον] ὅτι περιώρικε τοὺς τρόπους. στικτέον δὲ ἐπὶ τὸ παλινάγρετον, τὰ δὲ ἄλλα συναπτέον. εἰ δέ τις στίζοι ἐπὶ τὸ τέκμωρ, ὑγιεστέρα μὲν ἡ σύνταξις ἔσται.

παλινάγρετον] ὑστερόληπτον, οἱονεὶ μεταμελητόν.

διὰ τοῦ παλινάγρετον ἐσήμανεν ὅτι βέβαιός ἐστιν· ὅτι φιλάγαθος, διὰ τοῦ ἀπατηλόν· ὅτι τελεσιουργὸς, διὰ τοῦ ἀτελεύτητον.

528. ἦ] ἔφη, εἶπεν. δηλοῖ δὲ πλείονα, καὶ τὸ ἤτις, ὡς ἐπὶ τοῦ "ἦ μυρί᾽ Ἀχαιοῖς" (2), καὶ τὸν καί σύνδεσμον, ὡς ἐπὶ τοῦ "βούλομ᾽ ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι" (117). δηλοῖ καὶ τὸ ἀληθῶς, ὡς ἐπὶ τοῦ "ἦ δὴ λοίγια ἔργα" (573)· τὸ γὰρ ὄντως ἐπὶ τοῦ ἀληθοῦς λαμβάνεται.

ἐπ᾽ ὀφρύσι] ταῖς ὀφρύσι συνεκδοχικῶς, ὡς ἀπὸ μέρους τὴν κεφαλήν· εὐθὺς γὰρ ἐπάγει "ἀμβρόσιαι δ᾽ ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος κρατὸς ἀπ᾽ ἀθανάτοιο."

ἀπὸ τούτων λέγεται τῶν δύο στίχων Φειδίαν τὸν ἀγαλματοποιὸν

2. ἐκεῖνο] εκειν, quod est ἐκείνου

3. μή σε] μή σε νοήσῃ

16. στικτέον—] Scholion non integrum, de quo v. Friedl. Nican. p. 150.

24. καὶ τὸν καί Bastius ad Greg. p. 429] καὶ τὸ ἦ. Fallitur scholiasta hic et supra p. 24, 7.

25. σόον] σῶον.

ποιῆσαι τὸν ἐν Ἥλιδι χαλκοῦν ἀνδριάντα οὕτως καμπτόμενον καὶ συνωθούμενον.

530. κρατός] ὅτι Ζηνόδοτος γράφει κρητός. οὐκ ἔστι δὲ Ἰακόν· "ἆψ Ὀδυσεὺς κατὰ κρᾶτα καλυψάμενος" (Od. 8, 92).

μέγαν δ' ἐλέλιξεν Ὄλυμπον] τῷ τάχει τῶν συλλαβῶν τὸ ταχὺ τῆς κινήσεως δηλοῖ.

531. διέτμαγεν] αἱ πᾶσαι διὰ τοῦ ε̄. ἡ μεταφορὰ δὲ ἀπὸ τῶν τεμνομένων σωμάτων.

532. ἅλτο] ψιλωτέον. καὶ τάχα μὲν ἀπέλαβε τὸ προσφειλόμενον πνεῦμα· ἠλόγητο γὰρ τὸ ἄλλομαι δασυνόμενον, εἴ γε τὸ ᾱ πρὸ δύο λ̄ ἐψιλοῦτο, ἄλλος ἀλλότριος. τάχα δὲ, ὅπερ καὶ μᾶλλον, ἐπεὶ τὸ ᾱ καταλῆγον εἰς λ̄, ἐπιφερομένου στοιχείου ἑνὸς τῶν τῆς τρίτης συζυγίας, ψιλοῦται· "Ἄλτεο, ὃς Λελέγεσσι" (Il. 21, 86)· "ληΐου ἀλδήσκοντος" (Il. 23, 599)· "ἄλθετο χείρ" (Il. 5, 417). ἔνθεν τινὲς καὶ τὸ "ὃς τοῦτον τὸν ἄναλτον" (Od. 18, 113) ψιλῶς προφέρονται.

534. ἐξ ἑδέων] δασύνεται παρὰ τὸ ἕζω. οἱ δὲ μετὰ τοῦ ρ̄, ἐξ ἐδρέων. ἀπὸ τούτων τῶν δύο στίχων λέγουσι μέρος τιμῆσαι τὸν Λυκοῦργον τὸν τῶν Λακεδαιμονίων, γράψαντα νόμον ἐπανίστασθαι τοὺς νέους τοῖς πρεσβυτέροις.

*σφοῦ] τὸ σφοῦ ἀπὸ συγκοπῆς τοῦ σφετέρου.

535. ἔσταν ἅπαντες] ψιλωτέον τὸ ἔσταν, ἐπεὶ γίνεται "στὰν δὲ μεταστοιχεῖ" (Il. 23, 358)· τὸ γὰρ αἰρόμενον ἐκ τοῦ ῥήματος ε̄ ἐν ψιλῷ πνεύματι, τὸ δὲ ἔσταν δασύνεται, ἐπεὶ οὐκ ἀποβάλλει τὸ ε. ὁ δὲ ἔστησα ψιλοῦται, ἐπεὶ γίνεται "στῆσα δ' ἐν Ἀμνισῷ ποταμῷ" (Od. 19, 188).

538. ἁλίοιο γέροντος] ἄδηλον Πρωτέως ἢ Φόρκυνος, εἰ μὴ διὰ τὸ "κλῦτε, κασίγνηται Νηρηΐδες" (Il. 18, 52).

539. κερτομίοισι] τοῖς τὸ κέαρ τέμνουσιν, ὅ ἐστι τὴν ψυχὴν, καὶ λυποῦσιν, οἱονεὶ κεαροτομίοις.

540. δολομῆτα] προπερισπαστέον τὸ δολομῆτα ὁμοίως τῷ "σχέτλιε ποικιλομῆτα" (Od. 13, 293). καὶ καθόλου τὰ εἰς της λήγοντα

16. *ἐξ ἑδρέων] om.
17. μέρος] Fortasse μέρος τι.
18. τὸν] I. e. τὸν νομοθέτην.
20. σφοῦ om.
23. τὸ δὲ ἔστασαν addidit et οὐ ante δασύνεται delevit Cobetus.
24. Ἀμνισῷ] ἀμνησῷ.
27. κλῦτε—Νηρηΐδες] κλῦται — νιρηΐδες
30. Lemma τίς δ' αὖ τοι δολομῆτα.

βαρύτονα, ὅτε ἐπὶ κλητικῆς εἰς ᾱ λήγει, προπερισπᾶται, ἀλῆτα πλανῆτα νικῆτα πεδῆτα αἰσυμνῆτα. ἔνθεν οὖν σημειωτέον τὸ ἀκάκητα.

541. *ἀπὸ νόσφιν ἑόντα*] *τὸ ἐξῆς ἀπόντα· διὸ οὐκ ἀναστρεπτέον τὴν ἀπό. ἡ δὲ φράσις συνήθης ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν ἔρχεσθαι· ὡς "σφῶϊν μέντ' ἐπέοικε μετὰ πρώτοισιν ἑόντας" (Il. 4, 341).*

542. *κρυπτάδια*] *ὡς διχθάδια.*

**δικαζέμεν*] *τὸ δικαζέμεν ἀντὶ τοῦ πράττειν.*

τὸ δὲ πῶ ὀξύνεται διὰ τὴν μοί ἀντωνυμίαν, ἥτις νῦν ἐγκλιτική ἐστιν.

δυσχεραίνουσιν αἱ γυναῖκες, εἰ μὴ πάντα ἀνακοινοῦσιν αὐταῖς οἱ ἄνδρες.

544. *πατὴρ ἀνδρῶν τε θεῶν τε*] *διὰ τί τὸν Δία μόνον τῶν θεῶν οὕτω καλεῖ; ὅτι τὸ συναμφότερον ἔχει οὗτος μόνος· θεῶν μὲν γάρ ἐστι πατὴρ καθ' Ὅμηρον Ἀπόλλωνος, Ἡφαίστου, Ἄρεως, Ἑρμοῦ, Διονύσου, Χαρίτων, Μουσῶν, Ἀφροδίτης, καὶ πολλῶν θνητῶν, Σαρπηδόνος, Αἰακοῦ, Ζήθου, Ἀμφίονος, Μίνωος, Ῥαδαμάνθυος, Ἡρακλέους, Περσέως καὶ ἑτέρων πολλῶν. οἱ δὲ ἄλλοι πολλοὶ καθ' Ὅμηρον πατέρες εἰσὶ μόνως ἢ θνητῶν ἢ ἀθανάτων, οἷον Κρόνος μὲν Διός, Ἥρας, Ἅιδου, Ποσειδῶνος, θνητοῦ δὲ οὐδενός· καὶ Ποσειδῶν πάλιν θεοῦ μὲν οὐδενός, θνητοῦ δὲ Κύκλωπος, Ἐφιάλτου, Ὤτου, Πελίου, Νηλέως.*

547. *ἀλλ' ὃν μέν κ' ἐπιεικές*] *ἀλλ' ὄντινα μὲν λόγον προσήκει σε παρ' ἐμοῦ ἀκοῦσαι, τοῦτον οὐδεὶς πρὸ σοῦ μάθῃ οὔτε θεῶν οὔτε ἀνθρώπων.*

ὡς τιμὴν αὐτῇ περιάπτει. ἔστι δὲ καὶ βιωτικῶν μιμητικά, πρῶτον ἠπίως ἀρξάμενον ἐπάγειν τὰς ἀπειλὰς ὕστερον.

550. *διείρεο*] *ἀνερώτα, πολυπραγμόνει.*

553. *οὔτ' εἴρομαι οὔτε μεταλλῶ*] *οὕτως αἱ Ἀριστάρχου καὶ ἡ Ῥιανοῦ καὶ ἡ Ἀριστοφάνους· καὶ ἔστιν ἐμφατικὸν δὶς λεγόμενον τὸ οὔτε. οἱ γράφοντες οὐδὲ μεταλλῶ κακῶς γράφουσιν.*

1. *βαρύτονα*] **βαρύτονα τῷ ῑ παραληγόμενα*, ut Etym. M. p. 282, 43.
2. **πεδῆτα*] *παιδῆτα*
αἰσυμνῆτα Bastius ad Greg. Cor. p. 97] *σαμνῖτα*
10. Lemma *οὐδέ τί πώ μοι πρόφρων.*
13. **γὰρ*] om.
20. **Πελίου*] om.
25. Lemma *ἐπιεικές.*
ὡς] **πράως διαλεγόμενος ὡς.*
28. Lemma *καὶ λίην σε πάρος γ'.*
29. *δὶς*] *διὸ*
30. *οὐδὲ μεταλλῶ*] Haec si antiquissimorum librorum scriptura

554. εὔκηλος] τὸ εὔκηλος ψιλοῦται κατὰ δύο λόγους, καὶ ὅτι τὸ ῡ ἐπεντιθέμενον ψιλοῖ τὰ δασυνόμενα φωνήεντα, ὅρος οὖρος, ὅλος οὖλος, καὶ ὅτι ἡ εὖ διφθογγος ἐπιφερομένου συμφώνου ψιλοῦται, εὐνή εὐχή εὖρος. ἐναντιοῦται τὸ εὕδω καὶ εὑρίσκω· τὸ γὰρ εὗσεν δασυνόμενον ἀπὸ θέματος τοῦ εὕω.

ἄσσ'] ὁ μὲν Πτολεμαῖος δασύνει, τρία λέγων σημαίνειν τὸ ἄσσα, τό τε ἄτινα καὶ ὅσα καὶ τινά· καὶ ὅτε μὲν ἰσοδυναμεῖ τῷ ἄτινα, δασύνεται· ἀλλὰ καὶ ὅτε τῷ ὅσα, ὡς ἐπὶ τοῦ "ἄσσ' ἂν ἐμοί περ αὐτῇ" (Od. 5, 188). ψιλοῖ δὲ ὅτε ἐπὶ τοῦ τινά παραλαμβάνεται.

556. ἀργυρόπεζα] κόσμον περὶ τὰς ὥας ἔχουσα, ἢ διὰ τοὺς αἰγιαλούς.

558. διασταλτέον ἐπὶ τὸ ἐτήτυμον, ἵν' ᾖ ἀληθὲς κατανενευκέναι.

560. *τὴν δ' ἀπαμειβόμενος] γράφεται τὴν δὲ μέγ' ὀχθήσας.

564. εἰ δ' οὕτω τοῦτ' ἐστί] εἰ δὲ τοῦτο οὕτως ἔχον ἐστὶν, ἔοικε κἀμοὶ προσφιλὲς εἶναι. λέγει δὲ προϋποσχέσθαι τὴν Ἀχιλλέως τιμήν.

* μέλλει] ὅτι τὸ μέλλει οὐκ ἔστι χρονικὸν, ἀλλ' ἀντὶ τοῦ ἔοικεν.

565. κάθησο] προπαροξυτόνως· τὰ γὰρ σύνθετα προστακτικὰ βραχυκατάληκτα ὡς ἐπὶ τὸ πλεῖστον ἀναπέμπει τὸν ἑαυτῶν τόνον, τὰ δὲ μακροκατάληκτα τὸν αὐτὸν τοῖς ἁπλοῖς φυλάσσει τόνον. βραχυκατάληκτα μὲν λέγε κατάλεγε, σπεῖρε κατάσπειρε· οὕτως οὖν καὶ ἧσο κάθησο. μακροκατάληκτα δὲ νοοῦ διανοοῦ, ποίει περιποίει.

566. εἰσ'] ἀπὸ τοῦ εἰμί τοῦ σημαίνοντος τὸ ὑπάρχω πρῶτον πρόσωπον ἐμέν, ὡς τίθημι τίθεμεν τίθετε, καὶ τὸ τρίτον ἐσί, καὶ κατὰ πλεονασμὸν τοῦ ι εἰσί. μαρτυρεῖ τὸ ἔασι τῇ διφθόγγῳ γραφῇ· ὥσπερ γὰρ ἐκ τοῦ τιθέασι τιθεῖσιν, οὕτως καὶ ἐκ τοῦ ἔασιν εἰσίν.

567. *ἆσσον ἰόνθ'] ὅτι Ζηνόδοτος γράφει ἆσσον ἰόντε. οὐκ ἔστι δὲ, ἀλλ' ἀντὶ τοῦ ἰόντος. συγχεῖ δὲ καὶ τὸ δυϊκόν.

fuit, praecedens οὔτ' εἴρομαι in οὐ εἴρομαι (cum digammo pronunciandum) erit mutandum : quod vidit Mayhoffius de Rhiano p. 45, quod convenit praecedentibus Iovis verbis 550 μή τι σὺ ταῦτα ἕκαστα διείρεο μηδὲ μετάλλα.

4. εὕδω] εὕρω

* δασυνόμενον] om.

6. Lemma ἄσσ' ἐθέλῃσθα.

9. αὐτῇ] αὕτη

10. Hoc scholion repetitum in marg. interiore, sed sine lemmate.

12. Lemma τῇ σ' οἵῳ κατανεῦσαι.

16, 26. Lemma om.

22. Lemma θεοί εἰσ' ἐν Ὀλύμπῳ.

19. ἁπλοῖς Lehrsius] αὐτοῖς

26. ἆσσον] ἄσσον.

ἔστι] εἰ

27. ἀντὶ τοῦ ἰόντος (ἰόντα Cobetus)] αντιϊοντ

δυϊκόν] δκ cum usitato compendio.

*ἀντὶ τοῦ ἰόντος· δοτικῇ δὲ κέχρηται ἀντὶ γενικῆς.

ἀάπτους] οὕτως ψιλῶς προενεκτέον· οὕτως δὲ καὶ Ἀρίσταρχος. ἤκουε δὲ τὰς δεινὰς καὶ ἀπτοήτους. ὁ δὲ Ζηνόδοτος καὶ αὐτὸς ὁμοίως τῷ πνεύματι, εἰς τὰς ἰσχυρὰς δὲ μετελάμβανεν. ἐν δὲ ταῖς Ἀριστοφάνους γλώσσαις διὰ τοῦ η̄ ἐγέγραπτο ἀέπτους. εἰσὶ δὲ οἱ ἀπροσπελάστους ἀποδιδόασιν, ἀπὸ τοῦ ἅψασθαι, ὧν οὐδεὶς ἂν ἅψαιτο δι' ἰσχύν. ἐμοὶ δὲ δοκεῖ παρὰ τὸ ἰάπτω γεγενῆσθαι, ὃ σημαίνει τὸ διαφθείρω καὶ βλάπτω· ἔνθεν τὸ "πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν." καὶ μέσον αὐτοῦ κατ' ἔλλειψιν τοῦ ᾱ, "μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν" (454). ἔνθεν καὶ ὁ ἴψ· ἔστι δὲ θηρίον διατρῶγον τὰ ξύλα. ἀπὸ δὴ τούτου τοῦ ἰάπτω τὸ ἀϊάπτους ἦν, καὶ κατ' ἔλλειψιν τοῦ ῑ ἀάπτους, ἤτοι τὰς μὴ δυναμένας διαφθαρῆναι καὶ βλαβῆναι, ἢ κατ' ἐπίτασιν τὰς ἄγαν δυναμένας βλάψαι καὶ διαφθεῖραι.

569. καθῆστο] τοῦ ἕζω ἐστὶν ἡ κλίσις, ἧσμαι ἥσμην ἧσο ἧστο, καὶ ἐν συνθέσει καθῆστο. εἰ γὰρ ἦν ἐκ τοῦ ἧμαι, ὡς ἀπὸ τῶν εἰς μι, ἀνεδίδου τὸν τόνον. οἱ δὲ τοιοῦτοι παρακείμενοι καὶ ὑπερσυντέλικοι δισύλλαβοι, ἔχοντες δύο σύμφωνα, ἐν τῇ συνθέσει φυλάσσουσι τὸν τόνον, εἶργμαι καθεῖργμαι, ἦγμαι κατῆγμαι. οὕτως· οὖν καὶ τὸ καθῆστο.

570. *βραχὺ διασταλτέον ἐπὶ τὸ Διός· ὁ γὰρ οἶκος Διός.

572. ἐπίηρα φέρων] ὅτι ἐπίηρα τὴν μετὰ χάριτος ἐπικουρίαν. οἱ δὲ νεώτεροι ἀντὶ συνδέσμου αἰτιώδους χρῶνται, ἀντὶ τοῦ χάριν, ἕνεκα. ἔστι δὲ παρὰ τὸ ἔρω ἔρανον ὡς ἔχω ὄχανον καὶ κόπτω κόπανον, τροπῇ τοῦ η̄ εἰς η̄ ἤρανον. ἡ εὐθεῖα τοῦ πληθυντικοῦ ἤρανα, εἶτα συγκοπῇ ἢ ἀποκοπῇ ἦρα. ἐν δὲ τῇ καθόλου οὕτως· ἔστιν ἦρ ἡ ἐπικουρία, καὶ ὀξύνεται ἡ γενικὴ, ἠρός· καὶ ἡ αἰτιατικὴ ἦρα, καὶ ἐν συνθέσει ἐπίηρα. Ἀρίσταρχος δὲ ὑφ' ἓν, κατ' ὀρθὴν σημασίαν, τὸ ἐπίηρα· καὶ ἐπεκράτησεν ἡ Ἀριστάρχου, καίτοι λόγον οὐκ ἔχουσα.

573. *ἀνεκτά] διασταλτέον ἐπὶ τὸ ἀνεκτά· ἔχεται γὰρ τῶν ἑξῆς.

575. κολῳόν] ἀπὸ τοῦ κολοιός ἐγένετο τὸ κολῳός, τοῦ ο̄ τραπέντος εἰς τὸ ω̄· διὸ καὶ τὸ ῑ προσγράφεται, ὡς κλοιὸς κλῳός, ὁ δὲ Φιλόξενος παρὰ τὸ κλῶ, ὅ ἐστι τὸ κλάζω, ἀπὸ τοῦ κλῶ, κατὰ παραγωγήν· καὶ οὐ προσγράφει τὸ ῑ.

2. Lemma ἀάπτους χεῖρας.
6. ὧν Bekkerus] ὃν
29. ἔχεται γὰρ] ὁ λόγος addit Friedl., ut 3, 166.
31. προσγράφεται Cobetus] γράφεται
32. κλῶ] κολῶ

576. ἦδος] ψιλωτέον, ὡς τροχαϊκὸν τῶν εἰς ος̄ ληγόντων. κατὰ μετασχηματισμόν ἐστι τὸ ἦδος τοῦ ἡδονή. δασυνόμενον γὰρ μετασχηματίζεται εἰς τὸ ἧδος ψιλούμενον, ὡς τὸ ἡμέρα μετασχηματίζεται εἰς τὸ ἧμαρ ψιλούμενον καὶ τὸ ἅμα εἰς τὸ ἄμυδις. οὕτως Ἡρωδιανὸς ἐν τῇ Ἰλιακῇ προσῳδίᾳ.

577. παράφημι] ὡς σύνθετον ἀνεβίβασε τὸν τόνον· τὰ γὰρ ὀξυνόμενα τῶν εἰς μῑ τοιαῦτα.

578. *ἐπίηρα] πρὸς τὸ αὐτό.

579. ἧμιν] πιθανώτερον ὀξύνειν τὴν πρώτην τοῦ ἡμῖν καὶ ἐκτείνειν τὴν τελευταίαν.

580. ἀστεροπητής] ἀστραπὰς ποιῶν.

580–583. αἱ διορθώσεις τῶν στίχων τούτων διάφοροι. οἱ μὲν εἰς τὸ ἀστεροπητής ὑποστίζουσιν, καὶ τὸ στυφελίξαι ὑποτελείαν στίζουσι στιγμὴν, ἐκδεχόμενοι αὐτὸ εὐκτικὸν εἶναι ῥῆμα· ὁμοίως δὲ καὶ τὸ ἐστίν, καὶ τὸ μαλακοῖσι τελείαν. οἱ δὲ τὸ στυφελίξαι ὑποστίξαντες, καὶ τὸ ἐστίν καὶ τὸ μαλακοῖσι, ἐκδεχόμενοι συνεκδοχικῶς ὑπακούεσθαι τῷ στίχῳ τὸ ἐθέλῃς, τοῦ ἀλλά παραλαμβανομένου ἀντὶ τοῦ δέ, ἵν' ᾖ ἡ ἔννοια αὕτη, σὺ δὲ τοῦτον ἐθέλῃς θεραπεῦσαι· καὶ εἰς τὸ ἔσσεται ἡμῖν τελείαν στίζουσιν. ἄλλοι δὲ ὑποστίζοντες εἰς τὸ στυφελίξαι καὶ τὸ ἐστίν εἰς τὸ μαλακοῖσι τιθέασι τὴν τελείαν, ἵν' ᾖ ἐλλεῖπον τῷ λόγῳ τὸ ὀφείλεις.

580. εἴπερ γάρ κ' ἐθέλῃσιν] θωπευτικῶς τὰ τῆς δυνάμεως αὐτοῦ προβάλλεται· ἅμα δὲ καὶ πρὸς κατάπληξιν τῆς μητρός. τὸ δὲ ὅλον· εἰ θέλοι καταβαλεῖν ἡμᾶς ὁ Ζεὺς (δυνήσεται γὰρ), σὺ δὲ θωπεύσεις αὐτὸν, εὐθέως ἡμερωθήσεται.

581. *στυφελίξαι] λείπει τὸ δύναται. ἀντὶ τοῦ στυφελίξειε.

582. καθάπτεσθαι] καταπραΰνειν, ἐπέχειν.

584. *βραχὺ διασταλτέον μετὰ τὴν μετοχήν.

δέπας] οἱονεὶ δέχας. καὶ "πλησάμενος οἴνοιο δέπας" (Il. 9, 224) καὶ "δεικανόωντο δέπασσιν·" γελοῖος δέ ἐστιν "Ηφαιστος ἀναπηδῶν καὶ μιμούμενος "Ηβην καὶ Γανυμήδεα καὶ μεμνημένος τῆς ῥίψεως (Il. 15, 86).

2. μετασχηματισμὸν ex Etym. M. p. 420] σχηματισμόν.
τοῦ ἡδονή Lehrsius] τὸ ἡδονή.
3. *εἰς τὸ] ἐν τῷ
8. πρὸς τὸ αὐτό] Respicit ad διπλῆν vocabulo ἐπίηρα supra adscriptam v. 52.
9. Lemma σὺν δ' ἧμιν δαῖτα.
17, 18. ἐθέλῃς Friedl.] ἐθέλεις
18. καὶ delet Friedl.

585. ἐν χερσὶ τίθει] οὕτως αἱ Ἀριστάρχου, ἐν χειρὶ, οὐ πληθυντικῶς ἐν χερσίν. ὁμοίως δὲ καὶ ἡ Μασσαλιωτικὴ καὶ ἡ Σωσιγένους καὶ ἡ Ἀριστοφάνους. συνᾴδει δὲ καὶ τὸ ἐπιφερόμενον "μειδήσασα δὲ παιδὸς ἐδέξατο χειρὶ κύπελλον" (596). πᾶσαι ἐνικῶς ἔχουσι τὸ χειρί, οὐ πληθυντικῶς. καὶ συνᾴδει τῷ "ἐδέξατο χειρὶ κύπελλον."

590. ἤδη γάρ με] Ἡρακλῆς ἀνακομιζόμενος ἐξ Ἰλίου μετὰ τὴν γενομένην ὑπ' αὐτοῦ πόρθησιν τῆς Ἰλίου ἐπὶ τῇ Λαομέδοντος ἀπάτῃ, παρ' ὅσον αὐτῷ ἀντὶ τῶν ἀθανάτων ἵππων οὓς ὑπέσχετο ἀντέδωκε θνητοὺς ἀπατήσας, κατ' ἐκεῖνο καιροῦ προσέσχε τῇ Κῷ τῆς Μεροπίδος, χειμῶνι κατεχόμενος κατὰ χόλον Ἥρας, μισούσης τὸν ἥρωα καὶ διὰ τοῦτο πρότερον κατακοιμισάσης τὸν Δία. οἱ δὲ ἀπὸ τῆς Κῶ θεασάμενοι αὐτὸν καὶ ὡς ἄγριον φοβηθέντες ἐξήλασαν ἀπὸ τῆς πόλεως· ἐφ' ᾧ ἀγανακτήσας Ἡρακλῆς ἐξεπόρθησε τὴν Κῶ. ἐπὶ δὲ τῇ τῆς Ἥρας κατακοιμίσει ὁ Ζεὺς ὀργισθεὶς ἐν δεσμοῖς κατέσχε τὴν Ἥραν· ἣν ἐπειρᾶτο τηνικαῦτα ὁ Ἥφαιστος λύειν, καὶ φωραθεὶς ἀπὸ τοῦ Ὀλύμπου ἐξερρίφη, καὶ εἰς Λῆμνον τὴν πρὸ τῆς Θρᾴκης νῆσον καταπεσὼν χωλὸς ἐγένετο, ὥς φησιν ὁ ποιητής· διὸ καὶ ἱερὰ τοῦ θεοῦ ἡ Λῆμνος.

591. ῥῖψε ποδός] ὅτι ἀπὸ δυεῖν τόποιν συμπεπλήρωκε τὸν μῦθον. νῦν μὲν γὰρ, ὅτι ἐρρίφη, κατὰ δὲ τὴν ὑπόμνησιν τῶν τῆς Ἥρας δεσμῶν (Il. 15, 18) καὶ τὸν καιρὸν καὶ τὴν αἰτίαν δι' ἣν ἐρρίφη.

δύο ῥίψεις Ἡφαίστου, προτέρα μὲν ἡ ὑπὸ τὴν γένεσιν ὑπὸ τῆς Ἥρας, δευτέρα δὲ ἡ ὑπὸ Διὸς διὰ τοὺς τῆς Ἥρας δεσμούς.

βηλοῦ] ἀπὸ τοῦ βεβηκέναι τοὺς θεοὺς ἐπ' αὐτῷ, καὶ τοὺς ἀστέρας κεῖθι βαίνειν, οὕτως εἴρηται. τῷ δὲ τόνῳ, καθάπερ οἱ Ἀριστάρχειοι, βηλόν ὡς χωλόν προφερόμενοι, ἀποδιδόντες τὸν τῶν θεῶν βαθμόν. ἕτεροι δὲ βηλὸν εἶπον τὸν ἀνωτάτω πάγον καὶ περιέχοντα τὸν πάντα ἀέρα. ἄλλοι δὲ τὴν περίοδον τοῦ αἰθέρος καὶ τῶν ἄστρων. κοινῶς δὲ σημαίνει ὁ βηλὸς τὸν οὐδὸν τῆς θύρας, ὃ καλεῖται φλιά· ὁ γὰρ ποιητὴς ὑποτίθεται τὸν οὐρανὸν πύλας ἔχειν. εἴρηται δὲ βηλὸς ἀπὸ τοῦ βαίνεσθαι, ὡς καὶ ὁδὸς ἀπὸ τοῦ διοδεύεσθαι. τινὲς δὲ κατὰ Χαλδαίους τὴν ἀνωτάτω τοῦ οὐρανοῦ περιφέρειαν, οἱ δὲ κατὰ Δρύοπας

6. Lemma ἤδη γάρ με καὶ ἄλλοι ἀλεξάμενοι μεμαῶτα.
11. *κατακοιμισάσης] κατακοιμίσασα
14. κατακοιμίσει] κατακοιμήσει
16. τὴν πρὸ] πρὸ τὴν
22. ὑπὸ τῆς Ἥρας Cobetus] ὑπὸ om.
29. *φλιά] φλιαί

τὸν Ὄλυμπον. ἄμεινον δὲ τὸν βατῆρα λέγειν ἤτοι τὴν φλιάν, ἀπὸ τοῦ βαίνειν.

593. κάππεσον ἐν Λήμνῳ] πρὸς τὰ περὶ Ὀλύμπου· παράκειται γὰρ ἡ Λῆμνος τῇ Θράκῃ. τινὲς δὲ μεταποιοῦσιν εἰς Λῆμνον· ἀλλ' ὁ ποιητὴς χρῆται τῷ τοιούτῳ σχήματι· "ἐν δ' ἔπεσ' Ὠκεανῷ" (Il. 8, 485)· "κάππεσεν ἐν κονίῃσι" (Il. 15, 538)· "θοῇ ἐν νηῒ πέσῃσιν" (ib. 624). οὕτως Ἀρίσταρχος.

594. σίντιες] ἀπὸ τοῦ σίνεσθαι καὶ βλάπτειν, ὄντας πειρατάς. ἢ ὅτι δοκοῦσιν αὐτοὶ πρῶτοι ἐπινενοηκέναι τὰ πρὸς τὸν πόλεμον ὅπλα· ταῦτα γὰρ ὁμολογουμένως βλάπτει.

596. *μειδήσασα δὲ] βραχὺ μετὰ τὸν σύνδεσμον διασταλτέον.

*παιδὸς ἐδέξατο] ὅτι ἐλλείπει ἡ παρά πρόθεσις, ἵν' ᾖ παρὰ παιδός.

597. ἐνδέξια] ἀπὸ τῶν δεξιῶν μερῶν ἀρξάμενος.

598. ᾠνοχόει] οὕτως οἰνοχόει Ἀρίσταρχος, Ἰακῶς· καὶ ἐν τῇ Ἀργολικῇ καὶ Μασσαλιωτικῇ καὶ Ἀντιμαχείῳ καὶ ἐν τῇ Ζηνοδότου καὶ Ἀριστοφάνους.

600. Ἥφαιστον] δασύνεται διὰ τὴν ἐτυμολογίαν· παρὰ γὰρ τὸ ἅπτω ἐγένετο.

602. βραχὺ διασταλτέον κατὰ τὸ τέλος τοῦ στίχου, καὶ ἐν τῷ ἑξῆς κοινόν ἐστι τὸ ἐδεύετο.

603. ὁ λόγος· ὥσπερ τῆς εὐωχίας ἐνδεεῖς οὐκ ἦσαν οἱ θεοί, οὕτως οὐδὲ τῆς Ἀπόλλωνος μουσικῆς, ὁμοίως δὲ οὐδὲ τῆς τῶν Μουσῶν ᾠδῆς, αἵτινες καὶ αὐταὶ Ἀπόλλωνος κιθαρίζοντος ἐκ διαδοχῆς καὶ παρὰ μέρος ᾖδον.

606. οἱ μὲν κακκείοντες ἔβαν] ὅτι οἱ θεοὶ καὶ οἱ ἄνθρωποι κατὰ τὸν ποιητὴν ἀναλύουσιν οἴκαδε καὶ κοιμῶνται. πρῶτος δὲ Ὅμηρος ἀφορμὴν ἔδωκε τοῖς ἀπὸ τῶν μαθημάτων εἰρηκόσιν ἕκαστον τῶν θεῶν ἴδιον οἶκον ἔχειν.

1. *ἤτοι—βαίνειν] om.
3. Ὀλύμπου Cobetus] Ὄλυμπον
8. πειρατάς] πειραστάς.
15. In lemmate ὠινοχόει. Inter οἰνοχόει et ᾠνοχόει variant libri Od. 15, 141. ᾠνοχόει probavit Herodianus: vid. schol. Il. 4, 3.
20. Lemma δαίνυντ', οὐδέ τι θυμός.
21. *κοινόν ἐστι] κοινὸν εἶναι
22. *οὕτως οὐδὲ τῆς] οὐ τῆς
23. *ὁμοίως δὲ οὐδὲ] ὁμοίως οὔτε
26. καὶ οἱ] ὡς οἱ Cobetus.
28. *ἀφορμὴν] om.
*μαθημάτων εἰρηκόσιν] μαθητὴ εἰρηκὼς

607. *ἦχι] Ἀρίσταρχος τὸ ἦχι χωρὶς τοῦ ι γράφει, καὶ Διονύσιος. παρατίθεται δὲ ὁ Διονύσιος τοὺς Δωριεῖς λέγοντας ἄχι.

ὁ ἀμφιγυήεις τοῦ ἀμφιγυήεντος, διότι τὰ εἰς εις λήγοντα ἀρσενικὰ διὰ τοῦ εντος κλίνεται, οἷον τολμήεις τολμήεντος, τελήεις τελήεντος. οὕτως καὶ ἀμφιγυήεις ἀμφιγυήεντος.

[608. γράφεται ποίησ' εἰδυίῃσι πραπίδεσσι.]

609. πρὸς ὃν λέχος] ὅτι Ζηνόδοτος χωρὶς τοῦ ν, πρὸς ὃ λέχος, οὐ νοῶν ὅτι κοινόν ἐστι τὸ ὅν ἀρσενικοῦ καὶ οὐδετέρου.

Κρόνου καὶ Ῥέας ἐγένοντο υἱοὶ ἄρρενες τρεῖς, Ζεὺς Ποσειδῶν καὶ Ἀιδης, θυγατέρες δὲ τρεῖς, Ἑστία Δημήτηρ Ἥρα. τούτων, φασίν, ἐπὶ τῆς Κρόνου δυναστείας ἠράσθησαν. τὸν δὲ Δία καὶ Ἥραν ἐπὶ ἐνιαυτοὺς τριακοσίους, ὥς φησι Καλλίμαχος ἐν δευτέρῳ αἰτίων "ὥς τε Ζεὺς ἐράτιζε τριηκοσίους ἐνιαυτούς." λάθρα δὲ τῶν γονέων ἀλλήλοις συνερχόμενοι ἔσχον υἱὸν Ἥφαιστον οὐχ ὁλόκληρον, ἑκατέρους δὲ τοὺς πόδας χωλόν, ὥς φησιν αὐτὸν ἀμφιγυήεντα ὁ ποιητής. ὅτι δὲ λάθρα τῶν γονέων συνήρχοντο ἀλλήλοις μαρτυρεῖ καὶ ὁ ποιητὴς λέγων "εἰς εὐνὴν φοιτῶντε φίλους λήθοντο τοκῆας" (Il. 14, 296). μετὰ δὲ τὴν τῶν Τιτάνων ὑπὸ Διὸς καθαίρεσιν καταταρωθέντος Κρόνου Ζεὺς καὶ Ἥρα διαδεξάμενοι τὴν ἐν οὐρανῷ βασιλείαν μέχρι τοῦ νῦν θεῶν τε καὶ ἀνθρώπων βασιλεύουσιν, ἀλλήλοις ἡρμοσμένοι, τῆς Ἥρας τελείας καὶ συζυγίας προσαγορευομένης, παρ' ὅσον ἀδελφὴ μόνη ἀνδρὸς ἔτυχε τοιούτου. ἔσχε δὲ Ἥβην θυγατέρα, ἣν οἰνοχόον θεῶν παρίστησιν ὁ ποιητής.

βραχὺ διασταλτέον ἐπὶ τὸ ἀστεροπητής· τὸ γὰρ ἐπιφερόμενον ἔνθα τόπον σημαίνει. ἐν δὲ τῷ ἑξῆς στιγμὴν τελείαν θετέον ἐπὶ τὸ ἱκάνοι· πρεπωδέστερον γὰρ ἐκεῖ ἐκ τοῦ ἔνθα τὸ ἐνταῦθα σημαίνεσθαι.

611. ὅτι Ζηνόδοτος γράφει ἔνθ' ἐκάθευδ' ἀναβάς. τὸ δὲ καθεῦδε προπερισπᾶται, ὅτι τὰ ἀπὸ φύσει μακρᾶς ἀρχόμενα ῥήματα κατὰ τοὺς παρῳχημένους χρόνους ἐν ὁριστικοῖς, ἀπαθῆ ὄντα, φυλάσσει τὸν

6. Scholion m. rec. extra seriem in marg. exteriore.
πραπίδεσσι om.
7. λέχος om. Zenodoti scripturam πρὸς ὃ λέχος memorat etiam Apollon. de pronom. p. 400 (140).
9. *τρεῖς] om.
10. *φασὶν] φησὶν
11. Post ἠράσθησαν aliqua excidisse videri monet Schneiderus ad Callimachi fragm. 20 p. 230.1
Ἥραν] ἀλλήλων ἐρᾶν addit Schneiderus, deleto ὡς ante φησί.
25. τόπον] τὸ ὅπου Friedl.

τόνον ἐν τῇ συνθέσει, εἶχον κατεῖχον· ὅθεν εἰ "εὗδε δ' ἀνακλινθεῖσα" (Od. 4, 794), δῆλον ὅτι καθεῦδεν ὁμοτόνως ὀφείλομεν προφέρεσθαι.

χρυσόθρονος] ἡ χρυσοῦν θρόνον ἔχουσα βασιλίς. μᾶλλον δὲ ἐπειδὴ τὰ πρὸς τῷ αἰθέρι μέρη τοῦ ἀέρος, γειτνιῶντα τῷ ἡλίῳ, πυρώδη ἐστίν. ὁ γὰρ ποιητὴς ἀλληγορῶν τὸν χρυσὸν λαμβάνει ἐπὶ τοῦ πυρός.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα, καὶ τὰ Διδύμου περὶ τῆς Ἀρισταρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας καὶ Νικάνορος περὶ στιγμῆς.

ΕΙΣ ΤΗΝ Β.

1. Ἄλλοι] ὅτι Ζηνόδοτος γράφει ὦλλοι. ὁ δὲ ποιητὴς ἀσυνάρθρως ἐκφέρει. διδάσκει δὲ ὅτι καὶ θεοῖς πρὸς σκέψιν εὔθετον νὺξ, τούς τε ἄρχοντας ὅτι παννυχίζειν δεῖ καὶ παντὶ τρόπῳ τὰς ὑποσχέσεις πληροῦν.

2. Δία δ' οὐκ ἔχε νήδυμος ὕπνος] ὅτι τὸ νήδυμος μετὰ τοῦ ν̄, καὶ οὐχὶ ἥδυμος, ὡς ἔνιοι, παρὰ τὸ ἡδὺς, ὡς δῆλον ἐκ τοῦ "νήδυμος ἀμφιχυθείς" (Il. 14, 253). οἱ δὲ μεθ' Ὅμηρον καὶ χωρὶς τοῦ ν̄ λέγουσι· καὶ Ἀντίμαχος "ἐπεί ῥά οἱ ἥδυμος ἐλθών," καὶ Σιμωνίδης "οὗτος δέ τοι ἥδυμον ὕπνον ἔχων." ἴσως οὖν ἐνόμισαν ἀπὸ τοῦ ἡδὺς εἶναι παραγωγὸν τὸ ἥδυμος, ὡς ἔτυμος ἐτήτυμος. ὁ δὲ ποιητὴς ἐπὶ τοῦ ἀνεκδύτου τίθησι τὴν λέξιν. καὶ δῆλον ὅτι παρὰ τὸ δύω ἢ δύνω ἐξέπιπτε ῥηματικὸν τὸ δύμος, καὶ κατὰ στέρησιν τοῦ νη ὁ νήδυμος ἐγίνετο· ὅθεν καὶ οἱ δίδυμοι δύο ἐκ μιᾶς καταδύσεως τῆς γαστρός. καὶ οὐ παρὰ τὸ ἡδύς· λέξει γὰρ δασυνομένῃ οὐ συντίθησι τὸ νη. οἱ δὲ, ὃν οὐ δυνατὸν ἀποδύσασθαι, ἢ ὁ βαθὺς, παρὰ τὴν νηδύν. ἢ ὁ ἀνώδυνος.

*ὕπνος] ἀπὸ κοινοῦ τὸ παννύχιοι.

Πῶς ἐν τῇ Α εἰπὼν τὸν Δία καθεύδειν νῦν φησὶ "Δία δ' οὐκ ἔχε νήδυμος ὕπνος;" λέγομεν δὲ ἡμεῖς ὅτι ἐκάθευδε μὲν, ἀλλ' ἐπ' ὀλίγον ἐκαθεύδησε, καὶ οὐ διὰ πάσης τῆς νυκτὸς, ὡς οἱ ἄλλοι, μεριμνῶν.

3, 4. *κατὰ φρένα ὡς Ἀχιλῆα τιμήσῃ] βραχὺ διασταλτέον μετὰ τὸ φρένα καὶ τιμήσῃ.

1. ἀνακλινθεῖσα] ἀνακλιθείς
4. *ἐστίν] εἰσίν
12. ὅτι Cobetus] οὗς (* κοὺ)
20. δῆλον] *δῆλον, φησὶν Ἀρίσταρχος.
23. λέξει γὰρ δασυνομένῃ Bekkerus] λέξις γὰρ δασυνομένη

4. *τιμήσῃ, ὀλέσῃ δέ*] *τιμήσει· τοῦτο εὐκτικὸν, τὸ δὲ ὀλέσῃ ὑποτακτικὸν, ὡς τὸ "λόχον τελέσει Ἀγαμέμνων"* (Il. 4, 178). *στικτέον δὲ ἐν τῷ νηυσὶν Ἀχαιῶν· μόνους γὰρ τούτους ἀνελεῖν ἤθελεν. διό φησιν "ὑπὲρ αἶσαν Ἀχαιοὶ φέρτεροι ἦσαν"* (Il. 16, 780) *ὥστε διωχθῆναι μέχρι νηῶν.*

πολέας] *ὅτι Ζηνόδοτος γράφει πολῦς· μόνα δὲ τὰ εἰς ῡς μονογενῆ δύναται παρὰ τὴν ἔκτασιν ἢ συστολὴν ἑνικὰ καὶ πληθυντικὰ γίνεσθαι, οἷον βότρῡς καὶ βότρῡς.*

πολέας] *ὡς ταχέας.*

5. **ἀρίστη φαίνετο βουλή*] *βραχὺ διασταλτέον κατὰ τὸ τέλος· μέρος γὰρ καὶ τὸ ἐπιφερόμενον τῆς περιόδου.*

πολλὰ προσκεψάμενος ταύτην εὗρε χρειώδη βουλήν. ἔστι δὲ ὡς τὸ "ἕτερος δέ με θυμὸς ἀνῆκεν" (Od. 9, 302) *"αἱ δεύτεραί πως φροντίδες σοφώτεραι."* (Eurip. Hipp. 436.)

6. *ἐπ' Ἀτρείδῃ*] *οὐκ ἀναστρέφεται ἡ πρόθεσις· αἱ γὰρ συναλειφόμεναι οὐκ ἀναστρέφονται, εἰς μονοσυλλαβίαν περιστάμεναι.*

**ὅτι οὐ τὸν μαλακὸν, ἀλλὰ τὸν ὀλέθριον· πέμπεται γὰρ ἐπ' ἀπίστῳ καὶ κακῷ.*

οὖλον ὄνειρον] *δηλοῖ ἡ λέξις καὶ τὸν προσηνῆ, καὶ τὸν ὁλόκληρον, ὡς ἐν Ὀδυσσείᾳ* (17, 343) *φησὶν "οὖλον ἄρτον ἑλών" καὶ τὸν μαλακὸν, ὡς τὸ "οὔλων τε ταπήτων"* (Il. 16, 224)· *δηλοῖ δὲ καὶ τὴν τῶν τριχῶν δασύτητα ἢ διαστροφήν. οὖλον δὲ ὄνειρον οὐκ αὐτὸν ὀλέθριον ὄντα, ἀλλ' ἐπ' ὀλέθρῳ πεμπόμενον. ἢ οὖλον τὸν ὑγιῆ, ὥσπερ λέγεται οὐλὴ τραύματος. σημαίνει δὲ ἡ λέξις καὶ τὸ ὑγίαινε· "οὖλέ τε καὶ μέγα χαῖρε, θεοὶ δέ τε ὄλβια δοῖεν"* (Od. 24, 403).

8. *βάσκ' ἴθι*] *Τυραννίων ὑφ' ἕν, ὡς ἄπιθι. παραιτητέον δέ· τὰ γὰρ εἰς μι λήγοντα μετὰ προθέσεως φιλεῖ συντίθεσθαι, μετ' ἄλλων δὲ λέξεων οὐκέτι. καὶ πάλιν τὰ διὰ τοῦ κ παραχθέντα κατ' ἀρχὴν οὐ θέλει συντίθεσθαι. καὶ ἄμεινον ταυτολογίαν εἶναι, ἐμφαίνουσαν τὴν ἔπειξιν. καὶ ἀλλαχοῦ "ἔλθοι καὶ ἵκοιτο·" "ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν,"* καὶ *Ἡρωδιανὸς μέν φησι τὸ ἴθι ἐνεστῶτα νῦν, Ἐπα-*

1. *τιμήσει'* Cobetus] *τιμήσει.* In textu *τιμήσῃ*, superscripto *ει*.
3. **Ἀχαιῶν*] om.
8. *βότρῡς καὶ βοτρῦς* Cobetus] *βότρυσι βότρυς*
13. *ἀνῆκεν*] *ἔρυκεν.* Conf. p. 30, 9.
18. *ἀπίστῳ*] *ἀπάτῃ* Lehrsius.
30. **ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε*] Haec verba in A leguntur infra post *ἀορίστου*, *ὡς* pro *ἔπος τ'* scripto.
31. *νῦν*] * *εἶναι.*

φρόδιτος δὲ ἀόριστον. δύναται δὲ καὶ ἴθ' ἐπίρρημα παρακελεύσεως εἶναι, ἀντὶ τοῦ ἄγε, ὡς τὸ "ἴθ' ἐκκάλυψον, ὡς ἴδω τὸ πᾶν κακόν" (Soph. Ai. 1003).

βάσκ' ἴθι] στικτέον κατὰ τὸ τέλος τοῦ στίχου· περίοδον γὰρ αἰτοτελῆ ὁ στίχος ἔχει, καὶ τὸ πρέπον τῆς ἐγκελεύσεως διὰ τοῦ ἀσυνδέτου φαίνεται.

*ὅτι παραλλήλως βάσκε καὶ ἴθι. ἰσοδυναμοῦσι γὰρ αἱ λέξεις.

10. *ἀγορενέμεν] ὅτι ἀπαρεμφάτῳ χρῆται ἀντὶ προστακτικοῦ. ἀγορενέμεν ἀντὶ τοῦ ἀγόρευε.

11. τῶν Ἑλλήνων τὸ παλαιὸν ἀρετῆς ἕνεκα καὶ ἀνδρείας κομώντων τὰς κεφαλάς, λόγος πρῶτον Θησέα ἀποκειράμενον τὴν ἐμπροσθίαν κόμην εἰς Δῆλον ἀναθεῖναι τῷ Ἀπόλλωνι.

12. νῦν] τὸ νῦν τοὺς τρεῖς δηλοῖ χρόνους, ἐνεστῶτα "νῦν γὰρ δὴ γένος ἐστί" καὶ παρεληλυθότα "νῦν ἄλετο πᾶσα περὶ χθών" καὶ μέλλοντα "νῦν δὲ δὴ Αἰνείαο βίῃ Τρῶεσσιν ἀνάξει" (Il. 20, 307).

ἕλοις] ὅτι Ζηνόδοτος χωρὶς τοῦ σ. ἕλοι. ἀπέστρεφε δὲ τὸν λόγον σχηματίσας, ὡς ἂν αὐτὸς ὁ ὄνειρος εἴποι πρὸς τὸν Ἀγαμέμνονα.

οὕτως δὲ διὰ τοῦ ν τὸ παυσυδίη ὁ Ἀρίσταρχος, καὶ τὰ παραπλήσια τούτοις "ἄνστησον" (Il. 10, 176) καὶ "τάχα δ' ἀνστήσεσθαι ἔμελλεν" (Il. 2, 694). κἂν ταῖς πλείοσι δὲ καὶ χαριεστέραις τῶν ἐκδόσεων [πάντῃ κατὰ στρατόν] εὕτως εἶχον.

13, 14. οὐ γὰρ ἔτ' ἀμφὶς—φράζονται] διχογνωμοῦσι περὶ τῆς Ἰλίου· τουτέστιν οὐκέτι γὰρ οἱ τὸν Ὄλυμπον κατοικοῦντες θεοὶ διαφορα φρονοῦσιν, οἱ μὲν τὰ ὑπὲρ Τρώων, οἱ δὲ τὰ ὑπὲρ Ἑλλήνων.

20. στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς] ὑπὲρ κεφαλῆς ἵσταται ὡς τῶν αἰσθήσεων φθεγγόμενος πλησιον· αἱ δὲ αἰσθήσεις ἀπὸ τῆς βάσεως τοῦ ἐγκεφάλου τὴν ἀρχὴν ἔχουσιν. τῷ δὲ Νέστορι ὁμοίωται· τῶν γὰρ ἐντίμων οὗτος, ἐν οἷς καὶ Διομήδης καὶ Λαέρτης.

21. *Νέστορι] μετὰ τὸ Νέστορι βραχὺ διασταλτέον, μετὰ δὲ τὸ τέλος τοῦ στίχου τελεῖαν θετέον.

2. *εἶναι—ἄγε] om.
4. *τὸ ἐπ τοῦ στίχου] om.
13. *ἐνεστῶτα—καὶ παρεληλυθότα—καὶ μέλλοντα] om.
20. κἂν ταῖς—εἶχον] Similiter p. 94, 1, κἂν ταῖς Ἀριστάρχου ἐκδόσεσι διϊκῶς εἶχε τὸ τό. Usitatius cum nominativo, ut p. 86, 28. 20.
21. πάντῃ κατὰ στρατόν delet Cobetus.
20. *πλησίον] πλεον
28. ἐντιμων Bekkerus] ἐννεα τιμίων

23. τελεία στιγμὴ κατὰ τὸ τέλος, ἐπεὶ ἀσύνδετος ὁ λόγος. τέσσαρας δὲ αὕτη χρόνους σιωπᾶν δύναται.

26. *ἄγγελος] τὴν λῆξ ὀξυτονητέον διὰ τὸ εἰμί.

27. σεῦ] ὀρθοτονητέον τὴν σεῦ· ἀντιδιίστανται γὰρ πρὸς τὸν Ἀχιλλέα. ἢ ὅτι πρόκειται τοῦ ῥήματος ἡ ἀντωνυμία.

ὃς σεῦ ἄνευθεν ἰών] ὅτι τοῦτο ὀρθῶς πρὸς Πρίαμον Ἶρις λέγει (Il. 24, 174)· ἐπεὶ καὶ τίνος χάριν ἐλεεῖν αὐτὸν μέλλει;

28. *θωρῆξαί σε] τοῦ θωρῆξαι τὴν τελευταίαν ὀξυτονητέον· ἀπολελυμένη γάρ ἐστιν ἡ σέ.

35. *ἀπεβήσετο] εἰ μὲν ἀντὶ τοῦ ἀπέβαινε παρατατικοῦ, διὰ τοῦ ε γραπτέον, εἰ δὲ ἀντὶ τοῦ ἀπέβη ἀορίστου, διὰ τοῦ ᾱ γραπτέον. οὕτως Ἐπαφρόδιτος.

*δὲ λίπ'] οὕτως Ἰωνικῶς τὸ λίπε.

36. *ἃ ῥ'] βασυντέον τὸ ἅ· ἄρθρον γάρ ἐστι· καὶ δύο μέρη λόγου, ἃ ῥα, ἃ δή.

ἔμελλον] ἡ διπλῆ πρὸς τὸ σχῆμα, ὅτι ἔμελλον· ἡμεῖς δὲ ἐροῦμεν ἔμελλον ἑνικῶς. καὶ ὅτι τὸ ἔμελλον ἀντὶ τοῦ ἐμέλησαν.

41. θεία δέ μιν ἀμφέχυτ' ὀμφή] ὅτι ὀμφὴ ἡ θεία κληδών, οὐ πᾶσα φήμη· διὸ καὶ ὁ Ζεὺς πανομφαῖος, ὁ κληδόνιος. ὀμφὴ δὲ ἡ τὸ ὂν φαίνουσα. λέγει δὲ ὅτι ἔνυπνον εἶχε τὴν τοῦ ὀνείρου φωνήν. ἐμφαντικὸν δὲ τὸ ἀμφέχυτο πρὸς τὸ μηδὲν αὐτῆς ἐπιλελῆσθαι.

42. χιτῶνα] χιτὼν τὸ λεπτότερον ἱμάτιον, ὃ προφέρεται παρὰ τὸ οἱονεὶ περιχεῖσθαι αὐτὸ τῷ σώματι. ἱστέον δὲ ὅτι ἐπὶ μὲν ἀνδρὸς χιτῶνα λέγει, ἐπὶ δὲ γυναικὸς πέπλον.

43. νηγάτεον] ἡ ἀγίννητον, ἢ λεπτὸν, ἢ τὸ νεωστὶ γεγενὸς, νεαγάτεόν τε ὄν. ἢ ὥσπερ παρὰ τὸ τείνω τατός, οὕτως γείνομαι γατός, νεήγατος, καὶ ὑπερθέσει τοῦ ε νηγάτεος.

5. *ἡ] om.

6. ὅτι—] Praescriptus est asteriscus cum obelo.

9. ἡ σέ] εἰσε

10. διὰ τοῦ ε—ἀπέβη ἀορίστου] Verba in codice omissa supplevit Cobetus.

13. Ἰωνικῶς] Ἰακῶς Schmidt. Did. p. 120.

16. ἡ διπλῆ scholio praefixa.

18. οὐ πᾶσα φήμη] θεία φήμη, οὐ πᾶσα φωνή Lehrsius Arist. p. 88.

21. πρὸς τὸ μηδὲν αὐτῆς ἐπιλελῆσθαι] Similis annotatio supra textum legitur, θείη δὲ αὐτὸν εἶχε κληδών, ὅ ἐστιν ἐμνήσθη τὸν ὄνειρον, ubi τὸν ὄνειρον scripsi pro τὸν ὕμνον.

25. *τὸ νεωστὶ γεγονὸς] τῷ νέωστὶ γεγονὸς

27. καὶ ὑπερθέσει Vill.] ὑπέρθεσις, omisso καὶ.

φᾶρος] παρὰ τὸ φέρεσθαι, καὶ ἐπὶ γυναικὸς δὲ τάσσεται αὐτό· "αὐτὴ δ' ἀργύφεον φᾶρος" (Od. 5. 230). καὶ τὸ ἔσθος δὲ καὶ ἡ λώπη ἐν διαφόροις εἰσὶ γλώσσαις.

44. πέδιλα] παρὰ τὸ περιειλεῖσθαι αὐτὰ τοῖς ποσὶν, ὅ ἐστι περιτίθεσθαι. ἢ παρὰ τὴν ἕλην, τὰ τοὺς πόδας θερμαίνοντα.

45. ξίφος ἀργυρόηλον] ὅτι τὸ Ἀγαμέμνονος ξίφος νῦν μὲν ἀργυρόηλον, ἐν ἄλλοις δὲ (Il. 11, 29) χρυσόηλον. καὶ Εὐριπίδης σφυρῶν σιδηρᾶ κέντρα εἰπὼν, ἐν ἄλλοις φησὶ χρυσοδέτοις πἑρόναις (Phoen. 26, 812). τὰ τοιαῦτα δὲ κυρίως οὐ λέγεται, ἀλλὰ κατ' ἐπιφοράν ἐστι ποιητικῆς ἀρεσκείας. ὥσπερ δὲ τὰ περὶ τὸν θώρακα καὶ τὴν ἀσπίδα διαφορώτερον φράζει, οὕτω καὶ τὸ ξίφος κοσμεῖ.

46. ἄφθιτον αἰεί] τὸ μηδέπω φθαρέν· οὕπω γὰρ ἦν ὑπὸ τῶν Ἡρακλειδῶν ῥηρμένον. ἢ ὅτι ἡφαιστότευκτον. οὐκ ἀκριβολογεῖται δὲ νῦν περὶ αὐτοῦ, ἀλλ' ἐξῆς.

48. *τὸ δέξατο. ὅτι οἱ πρὸς ἠῶ ὄνειροι ἀληθεῖς, πεπτομένων τῶν σιτίων.

πρὸς τὸν τῶν ἡμερῶν ἀριθμὸν, ὅτι τρίτη καὶ εἰκοστή· δέκα μὲν μέχρι τῆς μήνιδος, δώδεκα τῶν θεῶν ἐν Αἰθιοπίᾳ ὄντων. ἡ δὲ ἀνατολὴ αὕτη τρίτη καὶ εἰκοστή ἐστιν. καὶ ὅτι ὄρος ὁ Ὄλυμπος· διὸ καὶ μακρός.

49. *ἐρέουσα] ὅτι μεταφορικῶς τὸ ἐρέουσα ἀντὶ τοῦ σημαίνουσα.

52. *ἐκήρυσσον] ἐπὶ τὸ κήρυσσον ἄνω πρώτη στιγμὴ, ἥτις δύο δύναται χρόνους σιωπῆς.

βουλήν] αἱ πλείους καὶ χαριέσταται δίχα τοῦ ν̄, βουλή· καὶ ἡ Ἀριστοφάνους. ἐν δὲ ταῖς κοιναῖς ἐγέγραπτο καὶ τῇ Ζηνοδοτείῳ βουλήν. ἀστειοτέρα δὲ ἡ χωρὶς τοῦ ν̄ καὶ Ἀριστάρχειος.

53. *ἴζε] συσταλτέον τοῦ ἴζε τὴν ἄρχουσαν.

ἴζε] ἡ κοινὴ τὸ ἴζει συστέλλει. φθάνει δὲ τὴν Λακώνων πολιτείαν βουλὴν γερόντων καὶ δύο βασιλεῖς λέγων.

2. *ἡ] om.

5. τὴν] τὸ τὴν A: v. Bast. ad Greg. p. 830.

6. ξίφος addidit Vill.

7. σφυρῶν] σφυρὸν.

12. Supra ἄφθιτον scriptum est ἀδιάφθαρτον, tum alia, ut videtur, manu αἰώνιον, ὅτι οὐκ ἐδόθη ἐκ τοῦ γένους ἑτέρῳ, idque partim supra αἰεὶ, partim inter textum et scholia marginalia.

17. τὸν Vill.] om.

19. ὅτι ὄρος ὁ Ὄλυμπος· διὸ καὶ μακρός. (Intermarg.?)

28. συσταλτέον τοῦ Cobetus] διασταλτέον τὸ

γερόντων] γέροντας ὁ ποιητὴς τοὺς γερασμίους φησὶ, διδάσκων ὅτι δεῖ τοὺς ἡγεμόνας οὐ μόνον καθ' ἡλικίαν, ἀλλὰ καὶ πρὸ ἡλικίας φαίνεσθαι γέροντας τοῖς ἤθεσιν.

55. τοὺς—βουλήν] ὅτι Ζηνόδοτος γράφει "αὐτὰρ ἐπεί ῥ' ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο, τοῖσι δ' ἀνιστάμενος μετέφη κρείων Ἀγαμέμνων." ἀπίθανον δὲ ἐν ἑπτὰ ὀρθὸν δημηγορεῖν.

56. *κλῦτε φίλοι] τελεία στιγμὴ ἐπὶ τὸ φίλοι· αὐτοτελὴς γὰρ ὁ λόγος.

θεῖός μοι ἐνύπνιον] ὅτι Ζηνόδοτος γράφει θεῖόν μοι ἐνύπνιον. οὐ λέγει δὲ ὡς ἡμεῖς, ἀλλ' ἀντὶ τοῦ κατὰ τοὺς ὕπνους, ἐνυπνίως. ὁ δὲ ἀστερίσκος, ὅτι ἐν τῇ Ξ τῆς Ὀδυσσείας (495) κακῶς φέρεται.

60–70. ὅτι Ζηνόδοτος συντέτμηκεν, οὕτως εἰπὼν "ἠνώγει σε πατὴρ ὑψίζυγος, αἰθέρι ναίων, Τρωσὶ μαχήσασθαι προτὶ Ἴλιον. ὡς ὁ μὲν εἰπὼν ᾤχετ' ἀποπτάμενος." τὰ δὲ ἀπαγγελτικὰ ἐξ ἀνάγκης δὶς καὶ τρὶς ἀναπολεῖται ταῖς αὐταῖς λέξεσι. καὶ οὐ δυσωπητέον· ἀναγκαῖον γὰρ καὶ τοῖς συγκεκλημένοις βουλευταῖς διηγήσασθαι.

64. *ὃς σεῦ] ὅτι ὑπὸ τῆς Ἰριδος πρὸς Πρίαμον δεόντως λέγεται (Il. 24, 174).

65. θωρῆξαί σε κέλευε] γράφεται θωρῆξαί σ' ἐκέλευε. m. rec. in marg.

70. *σῇσιν ἔχε φρεσίν] ὅτι οὐ λέγει μηδενὶ εἴπῃς, ἀλλ' οἷον φύλαξον ταῖς φρεσὶ καὶ διαμνημόνευσον.

72. *θωρήξομεν] ὅτι συνεσταλμένως θωρήξομεν ἀντὶ τοῦ θωρήξωμεν.

73. πειρήσομαι] ἀπόπειραν τοῦ πλήθους λαμβάνει ὁ βασιλεὺς Ἀγαμέμνων κατά τι παλαιὸν ἔθος, βουλόμενος μαθεῖν πότερον γνώμῃ οἰκείᾳ πολεμοῦσιν ἢ ἀνάγκῃ· ὃ τὸ πλῆθος μὴ νενοηκὸς πρὸς φυγὴν ηὐτομόλησεν.

πρῶτα δ' ἐγών] οἶδεν αὐτοὺς ἀποκαμόντας τῷ χρόνῳ καὶ τῷ λοιμῷ καὶ τῇ ἀποστάσει Ἀχιλλέως. παρακαλεῖν δ' οὐκ ἐνῆν τὸν πρώην λέγοντα "στυγέῃ δὲ καὶ ἄλλος ἴσον ἐμοὶ φάσθαι" (Il. 1, 186). ἀλλ' οὔτε ἐπιτάσσειν, μή πως ἀντιλεγόντων δευτέρα στάσις γένηται.

12. *ἠνώγει Eustathius] ἀνώγει.
17. ὅτι] Praescriptus asteriscus cum obelo.
27. *ὃ τὸ—ηὐτομόλησεν] om.
31. στυγέῃ] στυγέει
32. *ἐπιτάσσειν] ἐπιτάσσει

ἄλλως τε τῇ παραδόξῳ καὶ χαρᾷ καὶ λύπῃ τὴν ποίησιν ἐκτραγῳδεῖ, φίλτρον τε πορίζεται ἑαυτῷ· μισεῖ γὰρ τοὺς ῥιψοκινδύνους στρατηγοὺς ὁ στρατός. καὶ εἰ μὲν κατεδέξαντο φυγεῖν, εἶργε διὰ τῶν βασιλέων, εἰ δὲ μὴ, ἐλάνθανε τὸ βούλημα.

ἦ θέμις ἐστί] τὸ ἦ δασυντέον· οὐ γάρ ἐστι σύνδεσμος, ἀλλ' ἰσοδυναμοῦν τῷ ὡς ἐπιρρήματι.

74. πολυκλήϊσι] κληΐς παρὰ τὸ κλᾶσθαι ἐπ' αὐτῆς καθεζομένους.

75. ἄλλοθεν] τὸ ἄλλοθεν προπαροξύνεται, ὅτι ἀόριστον τόπον σημαίνει· τὰ γὰρ εἰς θεν λήγοντα ἐπιρρήματα, ἔχοντα πρὸ τοῦ τέλους τὸ ο μόνον, μὴ ὄντος ἑτέρου συμφώνου, παρωξύνετο, Κυπρόθεν Ἀβυδόθεν. ταῦτα δὲ προπαρωξύνετο, λέγω δὲ τὸ ἄλλοθεν πάντοθεν οἴκοθεν, καθότι ἀόριστον καὶ κοινὴν τόπου σημασίαν ἀναδέχεται.

76. ἤτοι ὅγ' ὣς] ἀπὸ τούτου ἕως τοῦ ἀλλ' ἄγετ' αἴ κέν πως (83) ἀθετοῦνται στίχοι ὀκτὼ, ὅτι οὐκ ὀρθοῦ εἰρηκότος τοῦ Ἀγαμέμνονος λέγει "ἤτοι ὅγ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο," ὅπερ ἀπίθανον, καὶ ὅτι οὐδὲν περισσὸν λέγει ὁ Νέστωρ, ἀλλὰ καὶ εὔηθες τὸ εἰπεῖν "εἰ μέν τις τὸν ὄνειρον Ἀχαιῶν ἄλλος ἔνισπε, ψεῦδός κεν φαῖμεν." οὐ γὰρ κατὰ διαφορὰν οἱ δυνατώτεροι ἀληθεῖς ὀνείρους ὁρῶσιν. αἱρομένων δὲ αὐτῶν ὀρθῶς ἐπὶ τοῦ Ἀγαμέμνονος ἐπενεχθήσεται "πείθοντο δὲ ποιμένι λαῶν" (85). μὴ παρόντος γὰρ τοῦ Ἀγαμέμνονος τὸν Νέστορα λέγει ποιμένα λαῶν. ἄτοπον γὰρ τούτῳ ἕπεσθαι τοὺς ἄλλους.

77. *μετὰ τὸ ὄνομα βραχὺ διασταλτέον, μετὰ δὲ τὸ τέλος τοῦ στίχου τελείαν στιγμὴν θετέον.

80. *ὑποστιγμὴ ἐπὶ τὸ ἔνισπε διὰ τὸν ει σύνδεσμον.

82. νῦν δ' ἴδεν ὃς μέγ' ἄριστος] οἷς οἰκεῖον τὸ μεριμνᾶν, τούτοις ἀληθεῖς αἱ ἐμφάσεις· καὶ ᾧ ἡ ἀποτυχία κίνδυνον φέρει, οὐκ ἂν ψεύσαιτο.

85. διαστολὴ ἐπὶ τὸ ἀνέστησαν καὶ λαῶν. κοινὸν δὲ τὸ σκηπτοῦχοι βασιλῆες κατ' ἀμφοτέρων.

86.* στικτέον κατὰ τὸ λαοί, ἵνα ἀπ' ἄλλης ἀρχῆς ἡ παραβολὴ

1. *καὶ χαρᾷ] καὶ om.
4. *βούλημα] βούλευμα
11. τὸ ο] τὸ οὖ.
15. ὅτι Pluygers] ὅτι καὶ
16. ἕζετο"] καὶ ὅτι ἱστάμενον ποιεῖ λέγοντα addit Lehrsius Herod. p. 457.
22. λέγει Bekkerus] λέγειν
λαῶν] πῶς δὲ καὶ ὁ Νέστωρ λύει τὴν βουλὴν ἀπιών; addit Lehrsius.
29. διαστολὴ] διαστολαὶ Friedl.

γενομένη ὑποστίζηται μέχρι τοῦ αἱ δέ τε ἔνθα (90)· οὕτως γὰρ βέλτιον.

87. ἔθνεα] πρὸς τοὺς εἰκαζομένους Ἕλληνας, ἐπεὶ σμήνεα ἔδει εἰπεῖν. πρώτη δὲ αὕτη παραβολὴ τῷ ποιητῇ. συγγενὲς δὲ ποιητικῇ τὸ ζῶον διὰ τὸν μόχθον καὶ τὸ γλυκὺ καὶ τὴν σύνθεσιν τοῦ κηρίου. ἡ μὲν οὖν φαλαγγηδὸν γινομένη πρόοδος εὖ ἔχει· ὡπλισμέναι δέ εἰσι κέντροις, ὑπήκοοί τε καὶ αὐταί εἰσι καὶ ἐπ' ἔργον ἐξίασιν, οὐχ ὡς αἱ γέρανοι. φιλάλληλοί τέ εἰσι, μεταβαίνουσαί τε πολλὰς ἀρχὰς πτήσεως ποιοῦνται.

*ἀδινάων] δασυντέον τὸ ἀδινάων· ἀπὸ γὰρ τοῦ ἄδην καὶ ἀδινός ἡ κίνησις.

88. αἰεὶ νέον ἐρχομενάων] οἱ μὲν πρὸς τὸ πλῆθος τοῦτο εἰρῆσθαι θέλουσιν, ὅτι συνεχῶς οὕτω προΐασι πολλαὶ ὡς νεωστὶ δοκεῖν αὐτὰς ἄρχεσθαι τῆς ἐξόδου· οἱ δὲ νέον τὸ ἔαρ φασίν. ἄμεινον δὲ λέγειν ὅτι τοῖς μὲν ἄλλοις ζώοις αἱ πτήσεις ἀποτεταμέναι γίνονται, αἱ δὲ μέλισσαι βραχεῖαν τὴν κίνησιν ποιησάμεναι ἐφιζάνουσι τοῖς ἄνθεσι, καὶ ἐπαρθεῖσαι πέτονται πάλιν, καὶ πάλιν ἐφίζουσι. κατ' ὀλίγον οὖν ἡ πτῆσις αὐτῶν ὥσπερ ἄρτι ἀρχομένων γίνεται. συμβέβηκε δὲ καὶ ἄλλο ταῖς μελίτταις, ὁμότονον ἀεὶ τὴν πτῆσιν ποιεῖσθαι, ἀπ' ἀρχῆς ἕως πέρατος οὐκ ἀπολῃγούσαις κατ' ὀλίγον, ὥσπερ καὶ τὰ ἄλλα πτηνὰ καὶ χερσαῖα ζῶα. πάντα οὖν τὸν καιρὸν αὐτῶν τῆς πτήσεως ἐπισημαίνεται ὡς ἄρτι γινομένης.

89. *βοτρυδὸν] πυκναὶ καὶ ἐξηρτημέναι ἀλλήλων ὡς ῥάγες. οὕτως δὲ ἵπτανται σκιάζειν θέλουσαι ἀλλήλας αἱ μέλισσαι, ὀχλούμεναι ὑπὸ τοῦ ἡλίου.

*ἐπ' ἄνθεσιν εἰαρινοῖσιν] ὅτι ἀντὶ τοῦ ἐπ' ἄνθη εἰαρινά, ὡς ἐν τῇ Δ (251) "ἦλθε δ' ἐπὶ Κρήτεσσιν" ἀντὶ τοῦ ἐπὶ τοὺς Κρῆτας.

92. *ὅσσα] ὅτι ὅσσα ἡ θεία κληδὼν, οἱ δὲ νεώτεροι ψιλῶς ἐπὶ πάσης φωνῆς.

95. *ἤτοι στικτέον ἐπὶ τὸ ἀγορή, ἢ διασταλτέον καὶ ἐπ' αὐτὸ καὶ ἐπὶ τὸ γαῖα, ἵν' ᾖ κοινὸν τὸ λαῶν ἰζόντων.

96. ὅμαδος] πιθανῶς ἐν μὲν ταύτῃ τῇ ἐκκλησίᾳ κήρυκές εἰσιν οἱ

4. *ποιητικῇ] ποιητικῆς
6. *πρόοδος—δέ εἰσι] πρόσοδος —τέ εἰσι
7. *καὶ ἐπ'] καὶ om.
10. ἀδινός Lehrsius] ἀδηνός
14. *ἄρχεσθαι τῆς ἐξόδου] ἔρχεσθαι ἐπὶ τῆς ὁδοῦ
*οἱ δὲ—φασίν] om.
16. *ἐφιζάνουσι] ἐφίζουσι
18. συμβέβηκε] συμβέβη (sic)

τὴν βοὴν παύοντες, ἐν δὲ τοῖς ἑξῆς τὴν Ἀθηνᾶν τῷ Ὀδυσσεῖ παρέστησε· πλείων γὰρ ἦν ὁ θόρυβος.

*ἐννέα] τὸ ἐννέα ψιλοῦται, ὅτι πᾶν φωνῆεν καταλῆγον ἢ εἰς ῑ̆ ἢ εἰς ῡ̆, τῆς ἑξῆς συλλαβῆς ἀρχομένης ἀπὸ συμφώνου, ψιλοῦται, ἀντίος ἔγχος, τοῦ ἀνδάνω ὑπεξαιρουμένου.

99. *ὅτι σπουδῇ λέγει οὐχ οἷον ἐν τάχει, ἀλλὰ μόγις καὶ δυσχερῶς, ὡς τὸ "ὣς ἄρ' ἄτερ σπουδῆς τάνυσεν μέγα τόξον Ὀδυσσεύς" (Od. 21, 409).

ἤτοι στικτέον ἐπὶ τὸ λαός, καὶ τὰ ἑξῆς συναπτέον ἕως κλαγγῆς· ἢ ὡς διὰ μέσου κειμένου τοῦ ἐρήτυθεν δὲ καθ' ἕδρας ἀνυποκρίτως ὑποστικτέον ἐπὶ τὸ καθ' ἕδρας, ὅτε ἐστὶ διαστολὴ ἐπὶ τὸ λαός, ἵν' ᾖ τὸ ἑξῆς, σπουδῇ δ' ἕζετο λαὸς παυσάμενοι κλαγγῆς. καὶ τὸ σχῆμα Ὁμηρικὸν, καὶ ἡ διὰ μέσου ἀναφώνησις ὁμοίως. ὁ δὲ νοῦς τοῦ ἡμιστιχίου οὗτος, ἐρήτυθεν δὲ κατὰ τὰς ἕδρας, οἷον ἠρέμησαν καθίσαντες.

102. Ἥφαιστος μέν] ὁ μὲν Ἥφαιστος κατεσκεύασε τῷ Διὶ ὡς χειρῶναξ κελευόμενος· ὁ δὲ Ἑρμῆς εἴληφε παρὰ Διὸς κομίσαι κατὰ διακονίαν Πέλοπι· Πέλοψ δὲ κατέλιπεν Ἀτρεῖ πρεσβυτάτῳ ὄντι τῶν υἱῶν· Ἀτρεὺς δὲ ἐπὶ μικροῖς τελευτῶν τοῖς παισὶ διαδόχῳ χρῆται τῷ ἀδελφῷ· ὁ δὲ οὐδὲ τῷ ἑαυτοῦ παιδὶ ζῶντι, τῷ Αἰγίσθῳ, τὴν ἀρχὴν ἐνεχείρισεν, ἀλλ' ὥσπερ ἀγαθὸς ἐπίτροπος διαφυλάξας ἀπέδωκεν Ἀγαμέμνονι. ἄχρι δὲ τοῦ "αὐτὰρ ὁ αὖτε Θυέστ' Ἀγαμέμνονι δῶκε φορῆναι" καλεῖται κλῖμαξ. δίδωσι δὲ Ἥφαιστος τῷ μὲν Διὶ τὸ σκῆπτρον ὡς βασιλικὸν, τῷ δὲ Ἑρμῇ πάλιν δίδωσιν ὡς κηρυκικόν.

*ὁ τρόπος κλῖμαξ. τὸ λῆγον γὰρ τῆς διανοίας ἀρχὴ γίνεται τῷ ἑξῆς.

103. ἀργειφόντῃ] ἀργῷ καὶ καθαρῷ φόνου, ἢ ὥς τινες κατ' ἐπωνυμίαν, ὅ ἐστιν ἐξ αἰτίας τοιαύτης. Ἰοῦς τῆς Ἰνάχου θυγατρὸς, τοῦ Ἀργείων βασιλέως, Ζεὺς ἐρασθεὶς, καὶ γνοὺς αὐτὴν, μετέβαλεν εἰς βοῦν διὰ τὸν τῆς Ἥρας ζῆλον. Ἥρα δὲ αἰτησαμένη αὐτὴν παρὰ Διὸς καὶ λαβοῦσα, ἐπέστησεν αὐτῇ φύλακα Ἄργον, τὸν πανόπτην καλούμενον, ἐπειδὴ κατὰ παντὸς τοῦ σώματος εἶχεν ὀφθαλμούς.

5. ὑπεξαιρουμένου Bast. ad Greg. p. 21] ὑπέξ.
17. *κελευόμενος· ὁ δὲ] κελευόμενος δὲ ὁ
*κομίσαι — Πέλοψ] κομίσαι διακονίαν τινὰ Πέλοψ.
18. *Ἀτρεῖ] post υἱῶν collocat.
28. Ἰοῦς] ἠοῦς et infra ἠοὶ pro Ἰοῖ.
*τῆς] om.

κελευσθεὶς δὲ ὁ Ἑρμῆς ὑπὸ τοῦ Διὸς κλέψαι τὴν βοῦν, ἐπειδὴ λαθεῖν οὐκ ἠδύνατο τὸν Ἄργον, λίθῳ βαλὼν ἀπέκτεινε· καὶ ἐντεῦθεν Ἀργειφόντης ἐκλήθη. τῇ δὲ Ἰοῖ ἡ Ἥρα ὠσανεὶ βοὶ οἶστρον ἐμβάλλει. ἡ δὲ ἐκ τῆς ὀδύνης πρῶτον ἦλθεν ἐπὶ τὸν ἀπ' ἐκείνης Ἰόνιον κόλπον κληθέντα· ἔπειτα διὰ τοῦ καλουμένου πρότερον Θρᾳκίου πόρου, νῦν δὲ ἀπ' ἐκείνης Βοσπόρου, ἐλθοῦσα, καὶ ἄλλους δὲ διαφόρους τόπους πλανηθεῖσα, ἦλθεν εἰς Αἴγυπτον, ὅπου τὴν ἀρχαίαν μορφὴν ἀπολαβοῦσα τίκτει παρὰ τῷ Νείλῳ ποταμῷ παῖδα Ἔπαφον. ἡ δὲ ἱστορία πλατύτερον κεῖται παρὰ Ἀπολλοδώρῳ ἐν δευτέρῳ.

104. Ἱπποδάμεια ἡ Οἰνομάου θυγάτηρ, ἐρασθεῖσα Πέλοπος, Μύρτιλλον τὸν Ἑρμοῦ μὲν υἱὸν ἡνίοχον δὲ τοῦ ἑαυτῆς πατρὸς ἔπεισε τῇ κατὰ τοῦ πατρὸς νίκῃ συνεργῆσαι καὶ τοὺς ἵππους τῆς εἰς τὸ τρέχειν ὁρμῆς κατασχεῖν, βουλομένη τὸν Πέλοπα καὶ τοὺς ἵππους λαβεῖν καὶ τὸν ἑαυτῆς γάμον· ἔκειτο γὰρ τῷ νικήσαντι ἔπαθλον ὁ ταύτης γάμος, νικηθέντι δὲ θάνατος. ἀγωνιζομένων δὲ αὐτῶν ὁ Οἰνόμαος ἐκπίπτει τοῦ ἅρματος· οὐ γὰρ αἱ χοινικίδες τοὺς ἐμβόλους κατέσχον, τοῦτο πανουργήσαντος τοῦ Μυρτίλλου. γνοὺς δὲ τὴν ἐπιβουλὴν ὁ Οἰνόμαος ἀρὰς ἔθετο κατὰ Μυρτίλλου, ὅπως ἀπόληται ὑπὸ Πέλοπος· ὃ καὶ ἐγένετο. διαβαινόντων γὰρ αὐτῶν διὰ τοῦ Αἰγαίου πόντου, καὶ διψησάσης τῆς Ἱπποδαμείας, καταβὰς ἐκ τοῦ ἅρματος ὁ Πέλοψ ἐζήτει ὕδωρ κατὰ τῆς ἐρήμου. κατ' ἐκεῖνο δὲ καιροῦ ἡ Ἱπποδάμεια ἐρασθεῖσα Μυρτίλλου ἐδεῖτο μὴ ὑπεριδεῖν· ἀντειπόντος δὲ αὐτοῦ, καὶ τοῦ Πέλοπος παραγενομένου, φθάνει ἡ Ἱπποδάμεια κατηγορήσασα τοῦ Μυρτίλλου ὡς βιασαμένου αὐτήν. καὶ Μύρτιλλον Πέλοψ ἀπὸ τοῦ ἅρματος ὠθεῖ εἰς τὸ πέλαγος, αὐτὸς δὲ αὐτῇ ἡνιόχει· ὅθεν τὸ μὲν πέλαγος Μυρτῷον ἀπὸ Μυρτίλλου, ὁ Πέλοψ δὲ πλήξιππος διὰ τὴν τῶν ἵππων αὐτουργίαν.

105. Πέλοψ δῶκ' Ἀτρεί] Πέλοψ ἐκ προτέρας γυναικὸς ἔχων παῖδα Χρύσιππον ἔγημεν Ἱπποδάμειαν τὴν Οἰνομάου, ἐξ ἧς ἱκανοὺς ἐπαιδοποίησεν. ἀγαπωμένου δὲ ὑπ' αὐτοῦ σφόδρα τοῦ Χρυσίππου, ἐπιφθονήσαντες ἥ τε μητρυιὰ καὶ οἱ παῖδες, μή πως καὶ τὰ σκῆπτρα αὐτῷ καταλείψῃ, θάνατον ἐπεβούλευσαν, Ἀτρέα καὶ Θυέστην τοὺς πρεσβυτάτους τῶν παίδων εἰς τοῦτο προστησάμενοι. ἀναιρεθέντος οὖν τοῦ Χρυσίππου Πέλοψ ἐπιγνοὺς ἐφυγάδευσε τοὺς αὐτόχειρας

1. * ὁ Ἑρμῆς] ὁ om.
8. * παῖδα] om.
10. Μύρτιλλον] Vitiose pro Μυρτίλον.
11. * ἑαυτῆς] ἑαυτοῦ

αὐτοῦ γενομένους παῖδας, ἐπαρασάμενος αὐτοῖς καὶ τῷ γένει δι' αὐτῶν ἀναιρεθῆναι. οἱ μὲν οὖν ἄλλοι ἀλλαχῇ ἐκπίπτουσι τῆς Πίσης· τελευτήσαντος δὲ τοῦ Πέλοπος Ἀτρεὺς κατὰ τὸ πρεσβύτερον σὺν στρατῷ πολλῷ ἐλθὼν ἐκράτησε τῶν τόπων. ἱστορεῖ Ἑλλάνικος.

Ἀτρεὺς ὁ Πέλοπος, βασιλεύων τῆς Πελοποννήσου, ἠύξατό ποτε ὅ τι ἂν κάλλιστον ἐν τοῖς ποιμνίοις αὐτοῦ γεννηθῇ, τοῦτο Ἀρτέμιδι θῦσαι. γεννηθείσης δὲ αὐτῷ χρυσῆς ἀρνὸς τῆς εὐχῆς μετεμελήθη, καθείρξας δὲ εἰς λάρνακα φυλάττει. μέγα δέ τι φρονοῦντα ἐπὶ τῷ κτήματι κομπάζειν κατὰ τὴν ἀγοράν. ἀνιώμενον δ' ἐπὶ τούτῳ Θυέστην, ὑπελθόντα ὡς ἐρῶντα, πεῖσαι τὴν Ἀερόπην ἐκδοῦναι αὐτῷ τὸ κτῆμα· λαβόντα δὲ ἀντειπεῖν τῷ ἀδελφῷ ὡς οὐ δεόντως περὶ τοῦ τοιούτου κομπάζει. αὐτὸς δὲ ἔλεγεν ἐν τῷ πλήθει δεῖν τὴν βασιλείαν ἔχειν τὸν τὴν χρυσῆν ἄρνα ἔχοντα. τοῦτο δὲ ὁμολογοῦντος καὶ τοῦ Ἀτρέως, Ζεὺς Ἑρμῆν πέμπει πρὸς Ἀτρέα, συνθέσθαι λέγων περὶ τῆς βασιλείας, καὶ δηλοῖ περὶ τῆς ἀνατολῆς, διότι μέλλει ποιεῖσθαι τὴν ἐναντίαν ὁδὸν ὁ ἥλιος. συνθεμένου δὲ περὶ τούτων, ὁ ἥλιος τὴν δύσιν εἰς ἀνατολὰς ἐποιήσατο· ὅθεν ἐκμαρτυρήσαντος τοῦ δαιμονίου τὴν Θυέστου πλεονεξίαν, τὴν βασιλείαν Ἀτρεὺς παρέλαβε καὶ Θυέστην ἐφυγάδευσεν.

107. Θυέστ' Ἀγαμέμνονι] ἡ διπλῆ ὅτι οὐ γινώσκει τὴν ἔχθραν Ἀτρέως καὶ Θυέστου. αὐτῷ γοῦν παραδίδωσι τὸ σκῆπτρον, οὐ τοῖς υἱοῖς ὁ Ἀτρεύς.

αὐτὰρ ὁ αὖτε Θυέστ'] ὅτι συμφωνοῦντας αὐτοὺς συνίστησι. καὶ γὰρ ὁ Θυέστης οὐ τῷ υἱῷ αὐτοῦ Αἰγίσθῳ καταλείπει τὸ σκῆπτρον, ἀλλ' Ἀγαμέμνονι. καὶ ὅτι κλητικὴ ἀντὶ τῆς ὀρθῆς, Θυέστα ἀντὶ τοῦ Θυέστης.

109. *ἔπε' Ἀργείοισι μετηύδα] ὅτι τὸ ἑξῆς ἐστὶ μετ' Ἀργείοισιν ἔπεα ηὔδα.

110. *ἥρωες Δαναοί] ὅτι πρὸς πάντας ἀποτεινόμενος τὸν λόγον ἥρωας λέγει. ἡ δὲ ἀναφορὰ πρὸς Ἴστρον λέγοντα μόνους τοὺς βασιλεῖς ἥρωας λέγεσθαι. στικτέον δὲ κατὰ τὸ τέλος· προσαγορευτικὴ γὰρ ἡ περίοδος.

1. * δι' om.
2. αὐτῶν] αὐτῶν
3. * πρεσβύτερον] πρεσβυτέριον
8. * καθείρξας — φυλάττει] καθείρξαντα—φυλάττειν
20. οὐ addidit Vill.
21. οὐ τοῖς Lehrsius] ἢ
22. ὁ Ἀτρεύς] Sequitur in A scholion superius Ἀτρεὺς ὁ Πέλοπος —ἐφυγάδευσεν.

111. Ζεύς με μέγα Κρονίδης] ὅτι Ζηνόδοτος γράφει Ζεύς με μέγας Κρονίδης· καὶ ὅτι ἀπὸ τούτου ἕως τοῦ αἰσχρὸν γὰρ τόδε γ' ἐστί (119) οὕτως συντέμνει "ὦ φίλοι, ἥρωες Δαναοί, θεράποντες Ἄρηος· λώβη γὰρ τάδε γ' ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι, μὰψ οὕτω."

μέγα] σχολικὸν ἀγνόημα τὸ δοκεῖν Ζηνοδότειον εἶναι τὴν μετὰ τοῦ σ̄ γραφήν, καὶ δόξειεν ἂν ὑπὸ Διονυσίου τοῦ Θρᾳκὸς ταῦτα δεδόσθαι· ἐν γὰρ τῷ περὶ ποσοτήτων καθάπτεται Ζηνοδότου ὡς ἠγνοηκότος ὅτι τῷ μέγα ἀντὶ τοῦ μεγάλως Ὅμηρος ἀποχρῆται· παρ' ὃ δὴ καὶ κατά τινα τῶν ὑπομνημάτων μετειλῆφθαι τὸ μέγα ἀντὶ τοῦ μεγάλως. τὸ δὲ οὐκ ἔχει τἀκριβὲς οὕτως. εἰ γὰρ τὰ συγγράμματα τῶν ὑπομνημάτων προτάττοιμεν, ἕνεκα γοῦν τἀκριβοῦς γράφομεν κατὰ Ἀρίσταρχον Ζεύς με μέγας. ἐν γοῦν τῷ πρὸς Φιλητᾶν συγγράμματι τῇ γραφῇ κέχρηται, δύο λέγων τὸ μέγας σημαίνειν, τοτὲ μὲν τὸ καθ' αὑτό, καθάπερ νῦν "Ζεύς με μέγας Κρονίδης" καὶ "κεῖτο μέγας μεγαλωστὶ, λελασμένος ἱπποσυνάων" (Il. 16, 776)· τοτὲ δὲ αὖ τὸ πρὸς τὴν κατὰ τὸν Αἴαντα τὸν ἕτερον διάκρισιν "Αἴας δ' ὁ μέγας," κἀν ταῖς Λιταῖς ἐξηγούμενος "αὐτὰρ ἔπειτ' Αἴας τε μέγας" (Il. 9, 169) ἔν τινι τῶν ἠκριβωμένων ὑπομνημάτων γράφει ταῦτα κατὰ λέξιν· οὐ κατ' ἐπίθετον λέγει μέγας, ἀλλὰ πρὸς ἀντιδιαστολὴν τοῦ ἑτέρου Αἴαντος. ὅταν δὲ λέγῃ Ζεύς με μέγας Κρονίδης, οὐκέτι ὅτι καὶ ἕτερος μικρός ἐστιν. καὶ τοὺς ἀπ' αὐτοῦ δὲ χρωμένους ἔστιν εὑρεῖν τῇ γραφῇ, Διονυσόδωρον τὸν Ἀλεξανδρέα καὶ Ἀμμώνιον. ἐπιλέγουσι δὲ οὐδέν· διὸ καὶ τὰς μαρτυρίας αὐτῶν οὐκ ἐγράψαμεν. καὶ Καλλίστρατος δὲ ἐν τῷ περὶ Ἰλιάδος οὕτως προφέρεται, ὥστε ὅμοιον εἶναι τῷ "ἐπεὶ μέγας ὠδύσατο Ζεύς" (Il. 18, 292). οὐδὲ ὁ ἐπιθέτης δὲ Πτολεμαῖος, τὰς Ζηνοδότου γραφὰς ἐκτιθέμενος, ταύτην ὡμολόγει Ζηνοδότου εἶναι. ταῦτα ὁ Δίδυμος.

112. σχέτλιος] τοῦτο καθ' ἑαυτὸ προενεκτέον, ὡς ἐν τοῖς ἄνω τὸ νήπιος· μᾶλλον γὰρ, κομματικῶς λεγόμενον, ἐμφαίνει.

113. *Ἴλιον] Ἴλιον μὲν λέγει Ὅμηρος, Ἰλιεῖς δὲ οὐκέτι φησί· καὶ Εὔβοιαν, ἀλλ' οὐκ Εὐβοεῖς.

2. τοῦ addidit Bekkerus.
5. τὸ Bekkerus] τῷ
6. δόξειεν ἂν] Sic p. 44, 13.
12. γράφομεν Lehrsius] γράφοιμεν
13. Φιλητᾶν] Φιλιτ
16. αὖ τὸ Lehrsius Arist. p. 17] αὐτὸ.
19. ὑπομνημάτων Lehrsius Arist. p. 17] ποιημάτων

114. *κακὴν ἀπάτην*] *ἔστι γὰρ καὶ δικαία, ὡς καὶ Αἰσχύλος "ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός." καὶ τίς πείθοιτο θεὸν ἐναντία ἑαυτῷ βουλεύεσθαι;*

115. *δυσκλέα Ἄργος*] *ὅτι κατὰ συστολὴν Ὅμηρος τὰ τοιαῦτα ἐκφέρει, δυσκλέα καὶ ἀκλέα, Ἰωνικῶς· οἱ δὲ Ἀττικοὶ ἐκτείνουσιν.*

συσταλτέον τὴν τελευταίαν τοῦ δυσκλέα ὡς ἀμφηρεφέα, ὁμοίως τῷ "ἄειδε δ' ἄρα κλέα ἀνδρῶν," (Il. 9, 189.) "ἀκλέα ἐκ μεγάρων," (Od. 4, 728.)

116. *πρὸς τὸ μέλλει, ὅτι ἀντὶ τοῦ ἔοικεν· ὁ δὲ ἀστερίσκος, ὅτι εἰς τὰς Λιτὰς (Il. 9, 23) οὐκ ὀρθῶς μετάκεινται οἱ τρεῖς.*

**ὑπερμενέϊ*] *συσταλτέον τὸ ῑ τοῦ ὑπερμενέϊ.*

117. *ὃς δὴ πολλάων πολίων*] *ἄδηλον εἴτε καθολικῶς αὐτὸ λέγει, εἴτε περὶ τῶν εἰκοσιτριῶν, ὑπόνοιαν διδοὺς καὶ περὶ Ἰλίου.*

** τὸ πολλάων ἐπέκτασις, καὶ ἴδιον Ἰώνων.*

118. *τοῦ γὰρ κράτος*] *πιθανὸν γὰρ ἐκ τῶν ὑποκειμένων τὴν δύναμιν δεῖξαι τοῦ θεοῦ.*

τοῦ γὰρ κράτος] *Πυθαγόρας φησὶ τί ἐστι θεός; τὸ πάντων κρατοῦν, ὅς γε καὶ πολέμων ἐξουσίαν ἔχει. τίς οὖν ἂν εἴην ἐγώ;*

119. ** ὅτι τὸ πυθέσθαι ἀντὶ τοῦ ἀκοῦσαι τίθησιν.*

122. ** ὅτι ἥσσονες κατὰ τὸν ἀριθμὸν οἱ βάρβαροι.*

οἱ μὲν Τρῶες, χωρὶς τῶν ἐπικούρων, ἦσαν ἀριθμῷ μυριάδες ε' (Il. 8, 558)· τὸ δὲ τῶν Ἑλλήνων πλῆθος τινὲς μέν φασι μυριάδας ιβ', ἄλλοι δὲ ιδ'.

123. *εἴπερ γάρ κ' ἐθέλοιμεν*] *ἕως τοῦ οἰνοχοεύειν (127) ὑποστιγμαί εἰσιν ἐν ὑποκρίσει πᾶσαι, ἄμφω, καὶ ἔασιν, καὶ Ἀχαιοὶ, καὶ οἰνοχοεύειν. τῆς δὲ ἀναρτήσεως ὁ εἷ σύνδεσμος αἴτιος.*

**ὅτι περισσὸς ὁ κε σύνδεσμος.*

124. *ἀθετεῖται· οὐ γὰρ ἐπ' ἀληθείας λέγεται, ἀλλ' ὑπερβολικῶς τὰ τῶν δεκάδων· πρὸς τί οὖν ὅρκια;*

1. * *ὡς καὶ*] om.
2. * *θεὸν*] *θεῶν*
4. *Ὅμηρος—καὶ ἀκλέα* Lobeck. Pathol. El. vol. 1 p. 263] *ὁμηρικὴν —καὶ ἀγακλέα.*
7. *τῷ ἄειδε δ' ἄρα κλέα* Cobetus] *τῷ ἀκλέα*
ἐκ μεγάρων] *ἐν μεγάρῳ*
10. *οἱ τρεῖς* (116–118) Lehrsius] *δίς.*
17. *Πυθαγόρας—εἴην ἐγώ*] * *Πυθαγόρας ἐρωτηθεὶς τί ἐστὶ θεὸς, φησὶ τὸ πάντων κρατοῦν, ὅς γε—ἐγὼ, φησὶν, Ἀγαμέμνων, πρὸς τὸ κράτος ἐκείνου.*
22. * *μέν*] om.
26. *ἀναρτήσεως* Friedl.] *ἀρνήσεως.*

125. *Τρῶας μὲν λέξασθαι ἐφέστιοι ὅσσοι ἔασιν] ἐσχημάτισεν οὐχ ὁμοίως τῷ Τρῶας τὸ ἡμεῖς ἐπιφέρων.

Ἀριστάρχου λέξεις ἐκ τῶν ὑπομνημάτων. ἐὰν καὶ τὰ παιδία καὶ τοὺς πρεσβύτας ἀριθμήσωσιν, οὐ μὴ γένωνται ὅσοι ἡμεῖς. τοῦτο δέ ἐστι κατοικίδιοι καὶ ἔναυλοι. καὶ ἐν Ὀδυσσείᾳ (6, 265) "πᾶσιν γὰρ ἐπ' ἴστιόν ἐστιν ἑκάστῳ," ὡσεὶ κατάλυμα παρὰ τῇ νηΐ. ἡ διπλῆ δὲ, ὅτι τὸ λέξασθαι νῦν οὔτε ἐπὶ τοῦ κοιμηθῆναι οὔτε ἐπὶ τοῦ καταριθμηθῆναι κεῖται, ἀλλ' ἐπὶ τοῦ συλλεγῆναι καὶ ἀθροισθῆναι ἐν ταὐτῷ· καὶ ὅτι ἐφέστιοι, ὅσοι ἑστίας (τουτέστιν οἰκίας) αὐτόθι διαμένουσιν.

τὸ λέξασθαι δηλοῖ τὸ κοιμᾶσθαι, λέξασθαι εἰς εὐνήν (Od. 17, 102), τὸ ἐπελέξατο, λέξατο κούρους (Il. 21, 27), τὸ ἀριθμεῖν, λέγε κήτεσσιν (Od. 4, 452).

127. *ὁ Ἰξίων διὰ τοῦ ν ἕκαστον.

129. *πλέας] τὸ πλέας ἀπὸ τοῦ πλέονας συγκέκοπται.

130. Τρώων οἳ ναίουσι] ἕως τοῦ Ἰλίου ἐκπέρσαι (133) ἀθετοῦνται στίχοι τέτταρες, ὅτι καθόλου πάντας τοὺς βαρβάρους σὺν τοῖς ἐπικούροις ἥσσονας τῶν Ἑλλήνων διὰ παντός φησιν εἶναι.

131. ἐν τῇ ἑτέρᾳ τῶν Ἀρισταρχείων εὕρομεν ἔνεισιν· καὶ Καλλίστρατος οὕτως ἐν τῷ περὶ Ἰλιάδος γράφει, καθάπερ καὶ τὸ "ἡμεῖς δὲ μαχόμεθ' οἵπερ τ' ἐπίκουροι ἔνειμεν" (Il. 5, 477)· παρ' ὃ καὶ διχῇ γράφομεν. ἐγχέσπαλοι δὲ ὅτι ἔσειον τὰ δόρατα, πρὸ τῆς ἀφέσεως, μήποτ' ἄρα εἶεν κλασθέντα.

132. *οἵ με μέγα πλάζουσι] πλανῶσι καὶ ἀπείργουσι τῆς πολλῆς προθυμίας. καλὸν δὲ τὸ οἰκειοῦσθαι τὴν ἧτταν καὶ μὴ λέγειν τὸ κοινόν.

τὸ οἵ ἤτοι ἄρθρον ὑποτακτικόν ἐστιν, ἢ ἀντὶ τῆς οὗτοι ἀντωνυμίας. πάλιν οὖν ἤτοι τελείαν στιγμὴν ἢ διαστολὴν θήσομεν ἐπὶ τὸ ἄνδρες ἔασιν· ἐπὶ δὲ τὸ πλάζουσι θετέον τὴν ἄνω δευτέραν στιγμήν, ἤτις ἕνα χρόνον δύναται σιωπῆς.

133. Ἰλίου] ἐν τοῖς κατ' Ἀριστοφάνην ὑπομνήμασιν Ἀριστάρχου Ἴλιον ἐγέγραπτο, οὐκ Ἰλίου· καὶ μήποτε ἄμεινον ἔχει.

3. λέξεις] Vid. ad p. 53, 24.
5. κατοικίδιοι] κατοικητίδιοι
10. διαμένουσιν] ἔχοντες διαμένουσιν Cobetus, διανέμουσιν Bekk.
12. ἐπελέξατο] ἐπιλέξατο
31. ἐν τοῖς κατ' Ἀριστοφάνην ὑπομνήμασιν Ἀριστάρχου] Vid. annot. ad schol. Od. 13, 152.

135. *δοῦρα σέσηπε νεῶν καὶ σπάρτα λέλυνται] ὅτι κατὰ τὸν αὐτὸν στίχον καὶ ἑαυτῷ καὶ ἡμῖν συνήθως ἐξενήνοχε τὸ λέλυνται καὶ σέσηπε.

136. αἱ δέ που] συναπτέον ἕως τοῦ ποτιδέγμεναι· μία γὰρ ἡ περίοδος. εἰ δέ τις ἐπὶ τὸ ἄλοχοι διαστέλλοι, ἀπρεπῆ τὸν νοῦν τίθησιν.

137. γρ. εἶατ' ἐνὶ μεγάροις ποτιδέγμεναι. manus rec.

139. ὑποστικτέον ἐν ὑποκρίσει μετὰ τὸ εἶπω, διὰ τὸ ὡς μόριον· ᾧ λόγῳ καὶ τῶν παραβολῶν αἱ πλεῖσται ἀνήρτηνται μέχρι τῆς ἀντ-αποδόσεως.

143. *ἀθετεῖται, ὅτι κενῶς ἐπεξηγεῖται· τὸ γὰρ νοούμενον τὸ αὐτό.

144. ὡς κύματα] ὅτι Ζηνόδοτος γράφει φὴ κύματα. οὐδέποτε δὲ Ὅμηρος τὸ φή ἀντὶ τοῦ ὡς τέταχεν.

κύματα μακρά] ὑψηλά, τὰ ἐκ βάθους κινούμενα· συνωθοῦνται γὰρ ἄλλα ἐπ' ἄλλοις, ὡς ὅλης ἐκ βυθοῦ ταρασσομένης τῆς θαλάττης.

145. πόντου Ἰκαρίοιο] τοῦ Ἰκαρίου πελάγους, κεκλημένου οὕτως ἀπὸ Ἰκάρου τοῦ Δαιδάλου παιδὸς, πεσόντος εἰς αὐτὸ καὶ ἀπολομένου οὕτως. μετὰ τὴν τῆς Πασιφάης πρὸς τὸν ταῦρον μιξιν Δαίδαλος εὐλαβούμενος τὴν Μίνωος ὀργὴν, πτερωτὸς σὺν Ἰκάρῳ τῷ υἱεῖ ἐφέρετο· καταπεσόντος δὲ τοῦ παιδὸς τὸ ὑποκείμενον πέλαγος Ἰκάριον μετωνομάσθη. ὁ μέντοι Δαίδαλος διαπτὰς εἰς Κάμικον τῆς Σικελίας καὶ τὸν υἱὸν αὐτοῦ ἐκδεχόμενος ἔμεινε παρὰ ταῖς Κωκάλου θυγατράσιν, ὑφ' ὧν ὁ Μίνως, ἥκων εἰς ἐπαναζήτησιν τοῦ Δαιδάλου, ἀποθνήσκει καταχεθέντος αὐτοῦ ζεστοῦ ὕδατος. ἱστορεῖ Φιλοστέφανος καὶ Καλλίμαχος ἐν Αἰτίοις.

*ἐπὶ τὸ Ἰκαρίοιο στιγμή· βραχὺ δὲ διαστελοῦμεν ἐπὶ τὸ ἀγορή.

146. *ὥρορ'] ἀπὸ τοῦ ὄρωρε ὑπέρθεσις χρόνου.

147. ὡς δ' ὅτε κινήσῃ Ζέφυρος] ἠπειρωτικὴ ἡ παραβολὴ, ὅπερ ἄμεινον· ἡ πρώτη μὲν τὸν τάραχον, ἡ δὲ δευτέρα τὴν ὁμοθυμαδὸν ὁρμὴν παρίστησιν. πρὸς συμπλήρωσιν τῶν σταχύων οἱ ζέφυροι πνέουσιν.

7. ἐνὶ] In textu codicis est ἐν.
13. De φή (codex φῆ) v. ad 14, 449.
20. *Ἰκάρῳ] ἰκαρίῳ
25. καταχεθέντος] *καταχυθέντος
* αὐτοῦ] αὐτῷ.
29. *ἠπειρωτικὴ] ἠπειρώταις
30. *δευτέρα] om.
31. παρίστησιν] om.
* οἱ ζέφυροι πνέουσιν] πνέουσι ζέφυροι

148. ὅτι χωρὶς προθέσεως εἴρηκεν, ἀντὶ τοῦ ἐπικαταιγίζων· αἰγίδας γὰρ ἔλεγον ἃς ἡμεῖς καταιγίδας. καὶ ὅτι πτῶσις ἥλλακται· ἀντὶ τοῦ ἐπιμύει δὲ τοὺς ἀστάχυας, οἷον ἐπικλίνει.

ἠμύει] ἠμύει τὸ λήϊον τοῖς στάχυσιν, ὡς "ἔφριξεν δὲ μάχη ἐγχείῃσιν" (Il. 13, 339)· ἢ οἱ στάχυες τῷ ἀνέμῳ ἠμύουσιν.

* ὑποστιγμαὶ ἐν ὑποκρίσει ἐπὶ τὸ ἐπαιγίζων καὶ ἀσταχύεσσιν.

150. *νῆας ἐπ' ἐσσεύοντο] οὕτως, νῆας ἐπ' ἐσσεύοντο.

οὐκ ἀναστρέφεται ἡ πρόθεσις, ὅτι συνήλειπται. διὸ καὶ ἐλέγομεν ἕνεκα ἑτέρου σημαινομένου τὸν Ἀρίσταρχον κατὰ ἀναστροφὴν ἀνεγνωκέναι τὸ "στεῦτο γὰρ Ἡφαίστοιο πάρ' οἰσέμεναι" (Il. 16, 191).

οὐκ ἀναστρέφονται γάρ, εἰ μὴ ἐπὶ τέλους κέωνται ῥῆμα δηλῶσι.

152. *ἅπτεσθαι—δῖαν] ἐπιλαμβάνεσθαι, ὡς τὸ "ἑανοῦ ἁπτομένη" (Il. 16, 9).

153. οὐρούς] ψιλοῦται· ἐν πλεονασμῷ γὰρ τοῦ ῡ ἐγένετο, ὡς καὶ ὅλος οὖλος. ἀνεγνώσθη δὲ κατ' ὀξεῖαν τάσιν· οὕτω γὰρ Ἀρίσταρχος παρήγγελλεν. ἴσως δὲ σημειώδης ὁ τόνος· τὰ γὰρ εἰς ρος λήγοντα δισύλλαβα ἁπλᾶ ἔχοντα τὴν ου δίφθογγον ἐβαρύνετο, κοῦρος θοῦρος οὖρος· καὶ γὰρ ταῦτα περισσὸν ἔχει τὸ ῡ. ἴσως οὖν εἰς ἀποφυγὴν τοῦ ἐπὶ τοῦ ἀνέμου. καὶ γὰρ καὶ ἐπ' ἄλλων τὸ τοιοῦτο ποιεῖ ὁ ἀνήρ.

αὐτὴ δ' οὐρανὸν ἷκεν] μεγαλοφυῶς ἡ λέξις ηὔξησε τὴν ταραχήν, ἣν κατελεπτολόγησε καὶ Ἀριστοφάνης ἐν Ἀχαρνεῦσιν.

154. ᾖρεον] δασυντέον τὸ ᾖρεον· ἀπὸ γὰρ τοῦ αἴρω περισπωμένου καὶ δασυνομένου γέγονεν.

*παραλόγως δασύνεται τὸ αἴρω.

155. ἀσύνδετος ὁ λόγος πρὸς τὰ ἐπάνω· διὸ πρὸ αὐτοῦ στικτέον τελείᾳ. βραχὺ δὲ διασταλτέον ἐπὶ τὸ ἐτύχθη διὰ τὸν εἴ σύνδεσμον, εἰ μὴ Ἀθηναίην.

ὑπέρμορα] οὕτως ὑφ' ἓν τὸ ὑπέρμορα· οὐ γάρ, ὥς τινες, κατὰ διάστασιν. ἔστιν οὖν τι μόρος, ὃ συντεθὲν γίνεται ὑπέρμορος ὡς ὠκύμορος, οὗ οὐδέτερον τὸ ὑπέρμορον, καὶ πληθυντικὸν τὸ ὑπέρμορα.

6. ἐπὶ τὸ et καὶ addidit Vill.
8. συνήλειπται] συνείληπται
11. ἢ ῥῆμα δηλῶσι Lehrsius] ῥῆμα δηλοῦσι
15. οὕτω γὰρ Cobetus] ὁ γὰρ
22. * ἐν Ἀχαρνεῦσιν] om. In Nub. 357 est οὐρανομήκη φωνήν.
26. πρὸ αὐτοῦ στικτέον Friedl.] προϋποστικτέον.
30. ὃ Bekkerus] ᾧ

ὡς οὖν τὸ καλά καὶ ὄνομα, ἀλλὰ καὶ ἐπίρρημα ("ἦν μευ καλὰ πατὴρ ὧς κήδεαι υἱός" Od. 17, 397, καὶ "πυκνὰ μάλα στενάχων" Il. 18, 318), οὕτως καὶ "ὑπέρμορα νόστος ἐτύχθη."

156–159. *Ζηνόδοτος οὕτως ἐπισυντέτμηκεν "εἰ μὴ Ἀθηναίη λαοσσόος ἦλθ' ἀπ' Ὀλύμπου. -εὗρεν ἔπειτ' Ὀδυσῆα," καθόλου τὸν τῆς Ἥρας λόγον περιγράψας, Ὁμηρικῶς ἔχοντα· καὶ γὰρ καὶ τῆς ξιφουλκίας αὕτη ἀφίστησιν. ἡ δὲ Ἀθηνᾶ ὑπηρετεῖ κατὰ διαφορὰν τῆς ἀξίας τηρουμένης τῶν προσώπων.

αἰγιόχοιο] αἰγίς ἐστιν ὅπλον Διὸς Ἡφαιστότευκτον. Ζεὺς Κρόνου καὶ Ῥέας γενόμενος ἐν Κρήτῃ ἐπεκλήθη αἰγίοχος διὰ τὸ αὐτόθι ὑπὸ αἰγὸς τραφῆναι, ἢ ὥς τινές φασι, διὰ τὸ αἶγα ἀνελόντα τὴν μὲν δορὰν ἀμφιάσασθαι, τοῖς δὲ κέρασιν εἰς τόξον χρήσασθαι· ὅθεν καὶ αἰγιδόκον τόπον τινὰ ἐν Κρήτῃ καλεῖσθαι. ἱστορεῖ Εὐφορίων.

159. *νῶτα θαλάσσης] οὐδετέρως τὸ νῶτον καὶ τὰ νῶτα λέγει ὁ ποιητὴς πανταχοῦ, καὶ Ἡσίοδος· καὶ οὐκ ἀρσενικῶς τὸν νῶτον.

160. ἀπὸ τούτου ἕως τοῦ ἐν Τροίῃ ἀπόλοντο (162) ἀθετοῦνται στίχοι τρεῖς, καὶ ἀστερίσκοι παράκεινται, ὅτι οἰκειότερον ἐν τῷ τῆς Ἀθηνᾶς λόγῳ ἐξῆς εἰσὶ τεταγμένοι (176), νῦν δὲ κοινότερον λέγονται.

161. Ἀργείην Ἑλένην] ὅτι Ζηνόδοτος γράφει Ἀργείην θ' Ἑλένην, σὺν τῷ συνδέσμῳ, ὥστε εἶναι χωρὶς καύχημα, καὶ σὺν τούτῳ τὴν Ἑλένην. οὐ λέγει δὲ οὕτως, ἀλλ' αὐτὴν τὴν Ἑλένην καύχημα.

*Ἀργείην] ἡ Λακωνικὴ πέμπτον τῆς ὅλης Πελοποννήσου.

162. φίλης ἀπὸ πατρίδος αἴης] οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν, ὡς Τυραννίων καὶ Πτολεμαῖος· ὁπότε γὰρ γενικῇ συντάττεται ἡ ἀπό, τηρεῖ τὸν τόνον· "καὶ γάρ τίς θ' ἕνα μῆνα μένων ἀπὸ ἧς ἀλόχοιο" (292).

163. *οὕτω κατὰ λαὸν συμφώνως εἶχον ἅπασαι.

164. σοῖς δ' ἀγανοῖς] χωρὶς τοῦ δ εἶχον αἱ χαριέσταται, σοῖς ἀγανοῖς· καὶ ἡ Ἀριστοφάνους οὕτως εἶχεν. ἀγανοῖς δὲ, ἄγαν προσηνέσι, πράοις, ὑπάγεσθαι δυναμένοις· οὕτω γὰρ ἔδει μαλάσσειν τὸν θυμὸν ζέοντα. ἀθετεῖται δὲ καὶ ἀστερίσκος παράκειται, ὅτι καὶ οὗτος πρὸς Ἀθηνᾶς οἰκείως πρὸς Ὀδυσσέα λέγεται (180), καὶ ψεῦδος

2. κήδεαι] κήδεται
7. ἀφίστησιν Vill.] ἐφίστησιν
8. ἀξίας Bekkerus] δεξιᾶς
10. *ἐπεκλήθη] δὲ ἐπικληθεὶς
*ὑπὸ αἰγὸς] om.
18. κοινότερον] ἀνοικειότερον Lehrsius.
24. ἡ ἀπό] μὴ μεταξὺ πιπτουσῶν λέξεων καὶ σημαίνῃ τὸ ἄποθεν addit Lehrsius.

περιέχει νῦν. οὐ γὰρ ἡ Ἀθηνᾶ παρίσταται ἑκάστῳ, ἀλλ' ὁ Ὀδυσσεύς.

*ψιλωτέον τὸ ἀγανός· τοιοῦτο γὰρ τὸ ᾱ πρὸ τοῦ γ̄.

167. *τελεία ἐπὶ τὸ αἴξασα· ἀσύνδετον γὰρ τὸ ἐξῆς πρὸς τὰ ἐπάνω.

*Οὐλύμποιο] ὅτι ὄρος ὁ Ὄλυμπος.

173. *διογενὲς Λαερτιάδη] προσαγορευτικὴ ἡ περίοδος· διὸ τελείαν στικτέον.

175. πολυκλήϊσι] τινὲς προπερισπῶσιν, ὡς καὶ τὸ ἁπλοῦν "ἐπὶ κλῆϊσι κάθιζον" (Od. 2, 419)· ὡς γὰρ πλοκαμίς—"εὐπλοκαμῖδες Ἀχαιαί" (ib. 119), οὕτως καὶ κληΐς καὶ πολυκληΐς. οὐκ ἔχει δὲ οὕτως ἡ ἀνάγνωσις. ἔστιν οὖν λόγος ὑπὲρ τῆς βαρυνομένης λέξεως οὗτος. τὰ εἰς ις̄ λήγοντα θηλυκὰ ὀξυνόμενα εἰ μὲν ἐν τῇ συνθέσει φυλάσσοι μόνον τὸ θηλυκὸν γένος, καὶ τὸν αὐτὸν τόνον φυλάσσει, εἰ δὲ μεταληπτικὰ γίνοιτο καὶ ἀρσενικοῦ, μεθίσταται καὶ εἰς βαρεῖαν τάσιν ἀναγκαίως. τοῦ μὲν προτέρου, φυλάσσοντος τὸ αὐτὸ γένος καὶ τὸν αὐτὸν τόνον, περισκελίς, τοῦ δὲ δευτέρου δύσελπις. ταύτῃ οὖν τὸ μὲν καταιγὶς ὀξύνεται, τὸ δὲ μελάναιγις βαρύνεται. οὕτως οὖν καὶ τὸ εὐκλήϊς καὶ πολυκλήϊς βαρυνθήσεται· τίθεται γὰρ καὶ ἐπὶ ἀρσενικοῦ, ὡς καὶ ἐκ τοῦ ἐναντίου τὸ λεύκασπις· καὶ γὰρ ἐπὶ Ἀμαζόνος ταγείη ἄν. καὶ τὸ εὐκνήμις ἀμέλει ἐπὶ τῆς Ἀθηνᾶς τέτακται παρὰ Ῥιανῷ ἐν Θεσσαλικοῖς "τοὶ δ' ἤδη ἐπὶ νηὸν εὐκνήμιδος Ἰτώνης."

*πεσόντες] πεσόντες, οὐκ ἐμβάντες, ὅ ἐστι σύμβολον ἀτάκτου φυγῆς.

176, 177, 178. *ὅτι ἐνταῦθα τάξιν ἐπέχουσιν.

179. *κατὰ λαόν] ἐνταῦθα καὶ τὸν λόγον ὑποτέθεικεν Ἀρίσταρχος οὕτως ὥστε νοεῖσθαι, ἴθι κατὰ λαόν.

180. *ὅτι ἐνταῦθα οἰκείως τέτακται. καθὰ καὶ ἄνω χωρὶς τοῦ δε̄ συνδέσμου.

183. βῆ δὲ θέειν] ἀφείλετο τὴν ἀπόκρισιν ἡ ἔπειξις τοῦ καιροῦ.

15. μεταληπτικὰ Lehrsius] μεταληπτικόν.

19. εὐκλήϊς καὶ πολυκλήϊς Lehrsius] εὔκληις καὶ πολύκληϊς.

21. εὐκνήμις Lehrsius] εὔκνημις.

22. νηὸν ex Etym. M.] νηῶν

24. *πεσόντες, οὐκ] πεσόντες om. *ὅ ἐστι] ὅτι

26. ὅτι] Refertur ad ἀστερίσκους tribus his versibus praescriptos, pariterque v. 180.

29. ἄνω] Vide ad v. 164.

ἔστι δὲ, ὥρμησεν ἐπὶ τὸ θέειν. ἢ Ἀττικῶς λείπει τὸ ὥστε. ἢ τὸ ἀπαρέμφατον ἀντὶ μετοχῆς.

*ἀπὸ δὲ χλαῖναν βάλε] χλαῖνα ἡ τετράγωνος χλαμὺς, ἡ εἰς ὀξὺ λήγουσα.

184. *κῆρυξ Εὐρυβάτης] ὅτι καὶ ἕτερος Εὐρυβάτης ὁμώνυμος (Il. 1, 320; 9, 170).

186. δέξατό οἱ σκῆπτρον] ὅτι ἀρχαϊκώτερον δέξατο αὐτῷ τὸ σκῆπτρον ἀντὶ τοῦ παρ' αὐτοῦ.

Ὀδυσσεὺς, φησὶ, παρὰ τοῦ Ἀγαμέμνονος λαμβάνει τὸ σκῆπτρον. οὐχ ἁπλῶς δὲ τοῦτο ποιεῖ, ἀλλ' ἵνα δοκῇ σὺν τῇ τοῦ βασιλέως γνώμῃ κρατεῖν αὐτούς.

*ἄφθιτον αἰεὶ] τὸ ἀθάνατον ἐπὶ τῶν ἐμψύχων οἱ φιλόσοφοι τάσσουσι, τὸ δὲ ἄφθιτον ἐπὶ ἀψύχων.

187. *ὅτι Ζηνόδοτος γράφει σὺν τῷ βὰς κατὰ νῆας.

188. *πρὸς τὴν τάξιν τῶν ἑξῆς τὸ ἀντίσιγμα.

189. *τὸν δ'] ὅτι οὐκ ἐγκλιτέον τὸν δέ σύνδεσμον, ὡς ἄν τις εἴποι ὑφ' ἓν τόνδε· χρῆται γὰρ συνήθως αὐτῷ περισσῷ.

190. δαιμόνι'] αὕτη ἡ λέξις τῶν μέσων ἐστὶ, καὶ δηλοῖ ἀμφότερα, ὁτὲ μὲν ἐπὶ ἐπαίνῳ λεγομένη, οἷον θεῖε, μακάριε, μέγιστε, ἀγαθέ, ὁτὲ δὲ ἐπὶ ψόγῳ, ἄφρον καὶ μάταιε, ἢ χείριστε καὶ φαῦλε. ὅτε μὲν οὖν, φησὶ, θεῷ προσφέρει, ἥσσονα λέγει ἢ κατὰ θεὸν, ὅτε δὲ ἀνθρώπῳ, ὑπερέχοντα ἀνθρώπου, ὡς δηλοῦσθαι ἥσσονα μὲν θεοῦ, ὑπερέχοντα δὲ ἀνθρώπου.

192. οὐ γάρ πω σάφα οἶσθ'] ὅτι ὑπὸ τοῦτον ἔδει τετάχθαι τοὺς ἑξῆς παρεστιγμένους τρεῖς στίχους (203–5)· εἰσὶ γὰρ πρὸς βασιλεῖς ἁρμόζοντες, οὐ πρὸς δημότας· "οὐ μέν πως πάντες βασιλεύσομεν ἐνθάδ' Ἀχαιοὶ, οὐκ ἀγαθὸν πολυκοιρανίη" καὶ τὰ ἑξῆς.

οἷος νόος Ἀτρεΐδαο: οἷος νόος Ἀτρείωνος] κἀν ταῖς διορθώσεσι καὶ

20. ἐπὶ] ἐν.
21. *ὅτε δὲ] δὲ om.
22. ἀνθρώπου] ἀνὸν
24. οὐ γὰρ] Ὃοὐ (i. e. ἀντίσιγμα) γάρ

28. Duplex huic scholio lemma praescriptum est, prius οἷος νόος Ἀτρείδαο, alterum οἷος νόος Ἀτρείωνος. Prius recentioris librarii lemma est, ad textum Venetum accommodatum, in quo Ἀτρείδαο legitur, alterum ex codice sumtum est in quo Ἀτρείωνος legebatur. Ex quo sequitur antiquam scholii formam fuisse, quam restituit Pluygersius p. 4, οἷος νόος Ἀτρείωνος: κἀν ταῖς διορθώσεσι καὶ ἐν τοῖς ὑπομνήμασιν οὕτως ἐγέγραπτο· καὶ αἱ πλείους cet., sublato quod post ἐγέγραπτο perspicuitatis causa addidit

ἐν τοῖς ὑπομνήμασιν οὕτως ἐγέγραπτο, Ἀτρείωνος. καὶ αἱ πλείους δὲ τῶν χαριεστάτων οὕτως εἶχον, καὶ ἡ Ἀριστοφάνειος. καὶ ὁ Σιδώνιος δὲ καὶ ὁ Ἰξίων οὕτως γράφουσιν.

193. ἀπὸ τούτου ἕως τοῦ "τιμὴ δ' ἐκ Διός ἐστι" (197) ἀθετοῦνται στίχοι ε', ὅτι ἀπεοικότες οἱ λόγοι καὶ οὐ προτρεπτικοὶ εἰς καταστολήν.

194. ἐν βουλῇ δ' οὐ πάντες] μετρίως τοῦτό φησιν, ἵνα μὴ καταισχύνῃ τοὺς ἄλλους. τινὲς δὲ ἐν ἐρωτήσει· μὴ οὐκ ἠκούσαμεν πάντες οἱ βασιλεῖς τί εἶπεν ἐν τῇ βουλῇ ὁ Ἀγαμέμνων; manus rec.

195. καθ' ἑαυτὸν ὁ στίχος λέγεται· βούλεται γὰρ λέγειν, εὐλαβοῦμαι μή τι χολωσάμενος ῥέξῃ κακόν.

196. διοτρεφέος βασιλῆος] ὅτι Ζηνόδοτος γράφει διοτρεφέων βασιλήων. ἐπὶ δὲ τὸν Ἀγαμέμνονα ἀναφέρεται ὁ λόγος· διό φησι "φιλεῖ δέ ἑ μητίετα Ζεύς."

διοτρεφέος βασιλῆος] οὕτως ἐνικῶς αἱ Ἀριστάρχου. καὶ Πτολεμαῖος δὲ ὁ ἐπιθέτης ἐν τῷ πρώτῳ περὶ Ἰλιάδος Ἀριστάρχειον ὁμολογεῖ τὴν γραφήν. εἶχον δὲ καὶ αἱ χαριέσταται οὕτως, ἄνευ τῆς Ζηνοδότου.

196, 197. ὅτι καλῶς καὶ ταῦτα προστέθειται, ἵνα δεδοίκωσι μὲν ὡς μεγαλόφρονα, σέβωσι δὲ ὡς θεοφιλῆ τὸν βασιλέα, καὶ θεῷ πειθαρχεῖν δοκῶσιν ὑποκείμενοι βασιλεῖ. manus rec.

198. *ἐπὶ τὸ ἐφεύροι ὑποστικτέον διὰ τὸ ὂν ἄρθρον ὑποτακτικόν.

199. τὸν σκήπτρῳ ἐλάσασκε] οἱ γὰρ θρασεῖς κολακευόμενοι. ἐπαίρονται, εἴκουσι δὲ πληγαῖς μᾶλλον. πῶς οὖν δημοχαριστὴς κατὰ τοὺς τραγικοὺς Ὀδυσσεύς;

201. *οἳ σέο] οὕτως ὀρθοτονητέον τὴν σέο· ἀντιδιασταλτικὴ γάρ ἐστιν.

203. οὐ μέν πως πάντες βασιλεύσομεν] οὐκ ἔσται δημοκρατία

librarius Ἀτρείωνος. Talia enim addebant ubi videbant illud οὕτως non respondere ad lectionem quae exstaret in codice ad quem scholia adscriberent. Eadem aliorum scholiorum plurimorum ratio est ubi οὕτως ad diversam ab codicis lectione scripturam refertur, de quo satis erit hic in universum monuisse.

6. καταστολήν Bekkerus] κατάστασιν

7. *τοῦτό φησιν] om.

19. *προστέθειται] om.

25. τραγικοὺς] Eurip. Hec. 143.

26. ἀντιδιασταλτικὴ γάρ Vill.] ἀντι γαρ διασταλτικὴ (sic)

φησίν. εἰ δὲ τοῖς μείζοσι ταῦτα ἔλεγεν, ἐξῆπτε τὴν στάσιν, σπουδαρχιδῶν ἀνδρῶν ἐν τοσούτῳ θορύβῳ καθαπτόμενος. manus rec.

*τούτῳ καὶ τοῖς μετ' αὐτὸν δύο ἡ στιγμὴ παράκειται.

204. οὐκ ἀγαθόν] οὕτως ἡ Περσῶν ἀρχὴ διὰ τῆς μοναρχίας μεγάλη ἐστί· καὶ οἱ Ἀθηναῖοι δὲ, ὁπότε πλείονας παρεῖχον τῷ στρατεύματι ἡγεμόνας, ὡς ἐν Αἰγὸς ποταμοῖς τοὺς ἐννέα, ἠττῶντο, ὁπότε δὲ δι' ἑνὸς ἐποιοῦντο τοὺς ἀγῶνας, ἐνίκων, ὥσπερ ἐν τῇ Κυίδῳ ὁ Κόνων τὸ Πελοποννησίων στρατόπεδον, ὅπου γε καὶ αὐτὰ τὰ σώματα ἡμῶν, εἰ ἦσαν ἐξ ἑνὸς στοιχείου, οὐδέποτε ἂν ἤλγουν. οὐδὲ γὰρ ἦν ὑφ' οὗ ἀλγήσειαν ἓν ὄντα, ὥς φησιν ὁ θεῖος Ἱπποκράτης. καὶ ἐν ἑτέρῳ δὲ πάλιν ὁ αὐτὸς ἀνὴρ "πᾶν τὸ πολὺ τῇ φύσει πολέμιον· τὰ γὰρ πολλὰ ἀλλήλοις ἀνθιστάμενα πόλεμον ἐπιφέρει, ἀφ' οὗ φθορά."

τελεία στιγμὴ ἐπὶ τὸ πολυκοιρανίη, ἐπὶ δὲ τὸ ἔστω διαστολὴ, καὶ ὁμοίως ἐπὶ τὸ βασιλεύς. καὶ καθόλου τὰς ἐπαναλήψεις τῶν λέξεων οὕτως κατορθοῦμεν.

205. ᾧ ἔδωκε Κρόνου παῖς] εἰ μὴ γὰρ ἦν καλὸν, οὐδ' ἂν οἱ θεοὶ αὐτῷ ἐχρῶντο. ἅμα δὲ σημαίνει ὅτι θεόσδοτόν ἐστι τὸ τῆς βασιλείας γέρας. manus rec.

*τὸ δῶκε Ἰακῶς· οὕτως Ἀρίσταρχος.

ἀγκυλομήτεω] ἀγκυλομήτης ὁ Κρόνος ἐκλήθη ἤτοι ἀγκύλα καὶ σκολιὰ βουλευσάμενος κατὰ τοῦ πατρὸς καὶ τῶν παίδων, ὥς φησιν ὁ Ἡσίοδος (τοῦ μὲν γὰρ τὰ αἰδοῖα τῇ ἅρπῃ ἀπέτεμε, τοὺς δὲ κατέπινεν), ἢ ὁ τὰ ἀγκύλα καὶ σκολιὰ καὶ δυσχερῆ πράγματα τῇ μήτιδι περιλαμβάνων, κορόνους τις ὢν καὶ τέλειος νοῦς, ὥς φησι καὶ ἡ Δημώ.

207. κοιρανέων] βασιλικὰ διαπραττόμενος ἔργα. manus rec.

δίεπε] διὰ τοῦ στρατοῦ ἐνήργει. manus rec.

*δασυντέον τὸ ἔπω· πρόδηλον κἀκ τῆς συναλοιφῆς, "ὣς ἔφεπε κλονέων." (Il. 11, 496.)

208, 209. οἱ δ'—ἠχῇ] συναπτέον ἕως τοῦ ἠχῇ, ἐφ' ὃ διασταλ-

8. *Πελοποννησίων] περσῶν
9. οὐδὲ scripsi pro οὔτε.
11. *καὶ ἐν—ἀνὴρ] om.
17. *οὐδ' ἂν οἱ] οὐδὲ οἱ
26. *ἡ Δημώ] ἠδημῶ. In cod. Vat. 915 (Philol. vol. 11 p. 168) est τέλειος νοῦς καὶ εἰδήμων τῶν σκολίων πραγμάτων καὶ εὐμήχανος. δηλοῖ δὲ et quae sequuntur in scholio ed. Romanae et Aldinae.
31. τοῦ addidit Bekkerus.
ἐφ' ὃ Friedl.] ἐφ' οὗ

τέον βραχύ· ἀντέστραπται γὰρ ἡ παραβολὴ καὶ ἡ ἀνταπόδοσις προτερεῖ. εἰ οὖν τεταγμένη ἦν ἡ παραβολὴ προτέρα καὶ ἡ ἀνταπόδοσις δευτέρα, πάντως ἂν πρὸ τῆς παραβολῆς ἐστίξαμεν τὸν τρόπον τοῦτον· ὡς ὅτε κῦμα πολυφλοίσβοιο θαλάσσης αἰγιαλῷ βρέμεται, οὕτως ἐκεῖνοι ἀγορήνδε αὖτις ἐπεσσεύοντο· καὶ ἐγίνοντο αἱ συνήθεις ταῖς ἀνταποδοτικαῖς περιόδοις ὀρθαὶ ὑποστιγμαί. ἐπεὶ δὲ ἀντέστραπται καὶ ἡ ἀνταπόδοσις πρώτη ἐστίν, ἀδύνατον πρὸ τῆς παραβολῆς στίζειν.

208. κῦμα] τοῦτο τὸ εἰκόνισμα ἔλαβε πρὸς τὴν κίνησιν, τὸν δὲ βρόμον πρὸς τὴν ἀπήχησιν. manus rec.

210. αἰγιαλῷ μεγάλῳ βρέμεται] συμφυῶς τῷ ὑποκειμένῳ τετράχυνται τὸ ἔπος ταῖς ὀνοματοποιίαις. καλῶς δὲ καὶ τὸ μεγάλῳ, ἐμφῆναι θέλων τὴν παράτασιν τῶν κυμάτων. manus rec.

212. Θερσίτης] ὠνοματοπεποίηται τὸ ὄνομα παρὰ τὸ θέρσος Αἰολικόν. manus rec.

Οἰνεὺς καὶ Ἄγριος ἀδελφοί, ὡς λέγει ὁ ποιητὴς ἐν τῇ Θ. ἀλλ' ὁ μὲν Οἰνεὺς ἦν πατὴρ Μελεάγρου, ὁ δὲ Ἄγριος Θερσίτου. μήτηρ δὲ Θερσίτου Δῖα.

Οἰνεῖ ἀμελήσαντι τῆς Ἀρτέμιδος θυσιῶν ἕνεκα ἡ θεὸς ὀργισθεῖσα ἔπεμψε τῇ πόλει σῦν ἄγριον, ἐφ' ὃν ἦλθε στρατεία τῶν ἀριστέων τῆς Ἑλλάδος, ἐπειδὴ ἐλυμαίνετο τὴν χώραν, ὥς φησιν αὐτὸς ὁ ποιητὴς ἐν τῇ I (533). μεθ' ὧν ἦν καὶ ὁ Θερσίτης, ὃς δειλωθεὶς κατέλειψε τὴν παραφυλακὴν ἐφ' ἧς ἦν, καὶ ἀπῆλθεν ἐπί τινα τόπον ὑψηλόν, τὴν σωτηρίαν θηρώμενος. ὀνειδιζόμενος δὲ ὑπὸ Μελεάγρου ἐδιώκετο, καὶ κατὰ κρημνοῦ πεσὼν τοιοῦτος ἐγένετο οἷον ὁ Ὅμηρος αὐτὸν παρίστησιν. ἱστορεῖ Εὐφορίων. ἐζήτηται δὲ διὰ ποίαν αἰτίαν ὁ Θερσίτης ἐστράτευσεν εἰς Τροίαν τοιοῦτος ὤν. ῥητέον οὖν ὅτι ἦτοι στασιώδης ὢν οὐκ ἀπελείφθη ἐπὶ τῆς πατρίδος, ἢ ὅτι κατ' ἐπεισόδιον παρῆκται πρὸς τὸ ἐκ τοῦ σκυθρωποῦ πρὸς ἱλαρότητα τὰς ψυχὰς ἀνακαλέσασθαι τῶν Ἑλλήνων, ὥσπερ εἴληπται καὶ Ἥφαιστος γέλωτος χάριν παρὰ τοῖς θεοῖς ἐν τῇ A. λαμβάνεται δὲ πᾶν ἐπεισόδιον τῷ ποιητῇ ἢ πιθανότητος ἕνεκεν, ἢ χρείας, ὥσπερ τοῦτο νῦν, ἢ κόσμου καὶ ὑψώσεως χάριν.

1 et 6. ἀντέστραπται Vill.] ἀνέστραπται
* καὶ ἡ] ἡ om.
9. * τὸ εἰκόνισμα ἔλαβε] om.
12. * ταῖς ὀνοματοποιίαις] τῆς ὀνοματοποιίας
16. Praescriptum σχόλ.
22. δειλωθεὶς] δηλωθεὶς
31. ἢ πιθανότητος] πειθανότητος sine ἢ

ἐπίτροπον τοῦ ποιητοῦ φασὶν αὐτὸν, σφετερισάμενον τὴν οὐσίαν, ὃν κακῶς λέγει. τῶν ἀκόσμων δὲ εἰδὼς τὴν ὀργὴν ἐπιπλήξεσιν ἢ γέλωτι παυομένην, πρὸς μὲν τὸ ἐπιπλήσσειν Ὀδυσσέα, πρὸς δὲ τὸ γελᾶν Θερσίτην ἔλαβεν, ὡς καὶ ἐπὶ τῶν θεῶν ἐν τῇ Α τὴν Ἥραν καταστέλλει Ζεὺς μὲν ἀπειλῶν, Ἥφαιστος δὲ γελοῖος φανείς. καὶ νῦν οὖν τὸν Θερσίτην ὁ ποιητὴς παρέλαβε πρὸς τὸ διαλῦσαι τὸ στυγνὸν τῆς ἐκκλησίας καὶ ὑβρισθῆναι τὸν Ἀγαμέμνονα· ἀλλ' οὐ λυπεῖ ἀνάξιος ὤν. ἤδη δὲ οὐ Ξενοφάνει ἀλλ' Ὁμήρῳ πρώτῳ σιλλοὶ πεποίηνται, ἐν οἷς αὐτόν τε τὸν Θερσίτην σιλλαίνει, καὶ ὁ Θερσίτης τοὺς ἀρίστους. οὐκέτι δὲ μέμνηται αὐτοῦ, ἐπεὶ σεσωφρόνισται τοῦ λοιποῦ νεικείειν βασιλῆας.

γιγνώσκειν χρὴ ὅτι αἱ τῶν διχρόνων ἐπενθέσεις τὰ μὲν ψιλούμενα οὐ μεταβάλλουσιν εἰς δασέα, τὰ δὲ δασυνόμενα ψιλοῦσιν.

212–215. Θερσίτης—ἔμμεναι] ἕως τοῦ ἔμμεναι στιγμὴ οὐδεμία ἐστὶν, ἀλλὰ πᾶσαι διαστολαὶ, ἐκολφα, ἤδη, μάψ, βασιλεῦσιν. ἐπὶ δὲ τὸ ἔμμεναι στιγμή. ὁ δὲ λόγος· Θερσίτης δ' ἔτι μοῦνος ἐθορύβει, ὃς πολλά τε καὶ ἄτακτα λέγειν ἠπίστατο, ὥστε μάτην καὶ οὐ πρὸς λόγον φιλονεικεῖν τοῖς βασιλεῦσιν, ἀλλ' ὅ τι ἂν αὐτῷ ἔδοξε γέλωτος ἄξιον φανήσεσθαι τοῖς Ἕλλησιν. τινὲς δὲ ὑποστίζουσιν εἰς τὸ εἴσαιτο, καὶ ἀφ' ἑτέρας γελοίου Ἀργείοισιν ἔμμεναι, τελεία, ἵν' ᾖ ὁ λόγος τοιοῦτος, πᾶν τὸ παραστὰν αὐτῷ, καὶ εἰ μετὰ σπουδῆς παρέστη, τοῦτο γελοῖον ἦν· τὸ γὰρ ἔμμεναι ἀντὶ τοῦ ἦν κεῖται. πιθανώτερον δὲ τὸ πρότερον τὸ καὶ ἐκ προνοίας αὐτὸν καὶ ἑκόντα ἁμαρτάνειν. οὕτως Νικάνωρ.

215. *ὅ τι] εἴσαιτο εὐκτικὸν ἀντὶ τοῦ ὁριστικοῦ τοῦ ἐδόκει, ὡς τὸ "καί νύ κεν ἔνθ' ἀπόλοιτο Ἄρης" (Il. 5, 311).

217. φολκός] ὡς ἀνδριαντοπλάστης ἀπὸ τοῦ καλλίστου ἄρχεται, ὡς "ὄμματα καὶ κεφαλήν" (478)· "καρηκομόωντες." manus rec.

*ὅτι ἅπαξ εἴρηται. ἔστι δὲ φολκὸς ὁ τὰ φάη εἱλκυσμένος, ὅ ἐστιν ἐστραμμένος.

2. ὃν κακῶς λέγει in margine additum.

4. ὡς καὶ—ἐν τῇ a manu rec.

4–11. ὡς καὶ—βασιλῆας] Haec ab alia manu recentiore.

7. ἀλλ'] *δίκαιον γάρ· ἀλλ'

20. ἑτέρας—ἵν'] ἑτέρας ἀρχῆς ἀναγινώσκουσι τὸ "ἀλλ' ὅ τι οἱ εἴσαιτο," ἀνταπόδοσιν δὲ ἀξιοῦσιν εἶναι τὸ "γελοίιον Ἀργείοισιν ἔμμεναι," μεθ' ὃ ὑποτελεία τεθήσεται, ἵν' Friedl. Nican. p. 156.

ἕτερον πόδα] οἰκείως, ἐπεὶ δύο, ἢ τὸν ἀριστερὸν ἢ τὸν δεξιόν. τοῦτο δὲ πρὸς τὸ γελωτοποιεῖν ἄμεινον. ἧττον γὰρ ἂν ἐγελᾶτο, εἰ ἄμφω τὼ πόδε.

219. φοξός] φοξός εἴρηται ἀπὸ τῶν κεραμικῶν ἀγγείων τῶν ἐν τῇ καμίνῳ ἀπὸ τοῦ φωτὸς ἀπωξυμμένων, καθά φησι καὶ Σιμωνίδης· "αὕτη δέ" φησι "φοξίχειλος Ἀργείη κύλιξ." ἔνιοι δὲ κυρίως τὸν ἐπὶ τὰ φάη, τουτέστι τὰ ὄμματα, ἀπωξυμμένην ἔχοντα τὴν κεφαλήν. ἄμεινον τὸ πρότερον.

φοξὰ κυρίως εἰσὶ τὰ πυρίρραγῆ ὄστρακα, φαοξά τινα ὄντα. manus rec.

ψεδνή] πιθανῶς, ὅπως μὴ λανθάνῃ τὸ φοξὸν τῇ κόμῃ καλυπτόμενον. manus rec.

ἐπενήνοθεν ἀπὸ τοῦ ἔθω ἐνέθω, ἤνοθα καὶ ἐπενήνοθα· ὅθεν καὶ ἔνοσις. ἢ ἀπὸ τοῦ θέω ὑπερβιβασμὸς ἔθω, ὡς ῥέω ἔρω· ἐν συνθέσει ἐνέθω, ἤνοθα, καὶ Ἀττικῶς ἐνήνοθα.

220. τοῦτο τὸ ἔπος δηλοῖ ὅτι ἐν τῷ πρώτῳ ζυγῷ τῶν ἀριστέων ἐτέτακτο μετ' Ὀδυσσέως. ἄκρως δὲ ὑπογράφει τὸ μισοπόνηρον αὐτῶν, ὡς οὐκ ἠνείχοντο ἐπιγελᾶν ἀνθρώπων πονηρίᾳ, καὶ τὸ παροιμιῶδες "ζητεῖ τοι συνετὸς συνετὸν φίλον, ἄφρονα δ' ἄφρων." τοῖς οὖν καλλίστοις ἐναντίος ὁ αἴσχιστος. manus rec.

ἔχθιστος δ' Ἀχιλῆι] ὅτι Ζηνόδοτος τοῦτον καὶ τοὺς μετ' αὐτὸν τρεῖς ἠθέτηκεν. πρὸς ὑπόθεσιν δέ τινα λέγονται. ἐπίτηδες γὰρ τούτων τῶν ἀγαθῶν ἐπεσβόλον παραγήοχεν. ἱστέον δὲ ὅτι Ἀχιλλεὺς αὐτὸν ἀναιρεῖ, ὡς ἱστορεῖ Κόϊντος ὁ ποιητὴς ἐν τοῖς μεθ' Ὅμηρον (1, 765). φησὶ γὰρ ὅτι ἐν τῇ Ἀμαζονομαχίᾳ ἀνελὼν ὁ Ἀχιλλεὺς Πενθεσίλειαν τὴν τῶν Ἀμαζόνων βασίλισσαν, ὕστερον προσχὼν τὸ σῶμα αὐτῆς εὐπρεπὲς πάνυ, εἰς ἔρωτα ἦλθε τῆς προειρημένης, βαρέως τε ἔφερεν ἐπὶ τῷ θανάτῳ αὐτῆς· ὁρῶν δὲ δυσφοροῦντα αὐτὸν Θερσίτης συνήθως ἐλοιδόρει· ἐφ' ᾧ ὀργισθεὶς ὁ ἥρως γρόνθῳ παίσας αὐτὸν ἀναιρεῖ παραυτὰ, τῶν ὀδόντων αὐτοῦ ἐνεχθέντων χαμαί.

1. *ἢ τὸν δεξιόν] om.
2. *ἄμεινον] om.
*ἂν] om.
4. κεραμικῶν Vill.] κεραμεικῶν
8. ἄμεινον Bekk.] ἀμφοτέρων
9. φαοξὰ] φλοξά. Correxi ex Athen. 11 p. 480 d. Ὅμηρος ἐπὶ τοῦ Θερσίτου "φοξὸς ἦεν κεφαλήν" καὶ ἔστιν οἷον φαοξὸς, ὁ πρὸς τὰ φάη ὀξὺ ὁρώμενος.
17. μετ' Ὀδυσσέως] *Ὀδυσσεύς
18. παροιμιῶδες] *παροιμιῶδες δὲ συνᾴδει τούτοις
20. αἴσχιστος Cobetus] ἔχθιστος
23. παραγήοχεν Bekker.] παραγείοχεν

221. τώ] κἀν ταῖς Ἀριστάρχου ἐκδόσεσι δυϊκῶς εἶχε τὸ τώ· κἄν τισι δὲ τῶν παλαιῶν ὑπομνημάτων οὕτως ἐφέρετο.

τότ' αὖτ' Ἀγαμέμνονι] γνώμη· αἱ τῶν μεγάλων ἀτυχίαι ὑψοῦσι τοὺς ταπεινούς.

223. *νεμέσσηθέν τ'] ὁ τέ σύνδεσμος ἐγκλιτικὸς ὢν τὴν πρὸ ἑαυτοῦ συλλαβὴν ὀξύνει.

225. Ἀτρεΐδη, τέο δ' αὖτ' ἐπιμέμφεαι] τὸν ἀμετροεπῆ δείκνυσιν· ἃ γὰρ ἔδει ἐπὶ τῆς προτέρας ἐκκλησίας λέγεσθαι, ὅτε ἔλεγεν Ἀγαμέμνων "ἀγέραστος ἔω" (Il. 1, 119) καὶ "ἦσθαι δευόμενον" (ib. 134), νῦν προβάλλεται, ἴσως τότε τῷ πρὸς Ἀχιλλέα φθόνῳ νικώμενος. manus rec.

τοιαῦτα ἦν καὶ τὰ παρὰ Ἀχιλλέως "ἀτὰρ ἦν ποτε δασμὸς ἵκηται, σοὶ τὸ γέρας πολὺ μεῖζον" (ib. 166)· τοῦτον δὲ τὸ ἄκαιρον μετὰ τῆς πηρώσεως εἰς καταφρόνησιν ἄγει.

226. πολλαὶ δὲ γυναῖκες] ὅτι Ζηνόδοτος γράφει πλεῖαι δὲ γυναικῶν καὶ τοὺς ἑξῆς δύο ἠθέτηκεν, ἐν οἷς μάλιστα ὁ Θερσίτης γελοιοποιός.

227. ὅτι τοῦτον καὶ τὸν ἑξῆς Ζηνόδοτος ἠθέτηκεν. ἡ δὲ αἰτία προείρηται.

229. *ὅν κέ τις οἴσει] ὅτι περισσὸς ὁ κε.

231. ὅν κεν ἐγώ] ὅτι Ζηνόδοτος τοὺς τέσσαρας ἠθέτηκεν, ἐν οἷς πάλιν ἐστὶ τὰ γελοιότατα.

232. *γυναῖκα] ἀντὶ τοῦ γυναικός.

235. ἡ μὲν τελευταία τοῦ στίχου τελεία, αἱ δὲ μεταξὺ βραχεῖαι διαστολαί, πέπονες, ἐλέγχεα, Ἀχαιΐδες. τὸ δὲ πέπον κοινόν, ὁ πέπων καὶ ἡ πέπων, καὶ τὰ πέπονα. γέλωτα δὲ κινεῖ κάκ' ἐλέγχεα καλῶν τοὺς Ἀχαιοὺς ὁ ἐπονείδιστος καὶ σῶμα καὶ ψυχὴν Θερσίτης.

236. σὺν νηυσὶ νεώμεθα] σὺν τῷ στόλῳ. κακοήθως δὲ τοὺς Ἕλληνας ὑπέμνησε τοῦ νόστου, ἐφ' ὅπερ ὁρμήσαντες κατεσχέθησαν· καὶ τὸ φεύγωμεν διὰ τοῦ νεώμεθα ἰάσατο.

237. γέρα πεσσέμεν] τὰ γέρα, ὅ ἐστι τὰς τιμάς, κατέχειν. ἡ μεταφορὰ ἀπὸ τῶν ἐν γαστρὶ σιτίων. καὶ γὰρ αὐτὰ, ἂν μὴ κρατηθῇ τὸν ὡρισμένον χρόνον, ἀσθενούσης τῆς καθεκτικῆς δυνάμεως, οὐ πέπτεται.

20. κε Cobetus] καί
22. γελοιότατα] γελοιῶ
29. κατεσχέθησαν] *ἐπεσχέθησαν
30. διὰ τοῦ νεώμεθα] om.

238. * ἠὲ καὶ οὐκί] ὅτι τὴν ἀπόφασιν διὰ τοῦ κ̄, οὐ διὰ τοῦ χ̄.

239. ἔο] ὅτι Ζηνόδοτος γράφει ἑοῦ. τοῦτο δὲ ἀσύναρθρον καὶ οὐχ ἁρμόζον τῷ λόγῳ.

242. λωβήσαιο] πρὸς τὸ σχῆμα, ἀντὶ τοῦ ἐλωβήσω ἄν, ἔβλαψας, ἢ λωβητὸς ἐγένου.

243. Ἀγαμέμνονα—Θερσίτης] μεθ' ὑποκρίσεως ἀντιπαρέθηκε πρὸς ἀγανάκτησιν τὰ ὀνόματα, ἐμφαίνων ὅτι τὸν ἄριστον ὁ αἴσχιστος ὠνείδιζεν. ἠθικὴ οὖν ἔσται ἡ ἀνάγνωσις.

246. ἀκριτόμυθε] μετὰ εἰρωνείας, ὡς καὶ τὸ λιγύς. οἱ δὲ ἀκριτόμυθε ἀντὶ τοῦ ἀμετροεπές πρὸς κατάγνωσιν τῶν εἰρημένων.

247. μηδ' ἔθελ'] ὅτι ἔθελε κατὰ συναλοιφήν.

249. Ἀτρεΐδῃσ'] οὗτοι ἦσαν κατὰ μὲν τὸ σύνηθες Ἀερόπης καὶ Ἀτρέως παῖδες τοῦ Πέλοπος, τῇ δ' ἀληθείᾳ Πλεισθένους, ὥς φασιν ἄλλοι τε πολλοὶ καὶ Πορφύριος ἐν τοῖς ζητήμασιν. ἀλλ' ἐπειδὴ Πλεισθένης νέος τελευτᾷ μηδὲν καταλείψας μνήμης ἄξιον, νέοι ἀνατραφέντες ὑπὸ Ἀτρέως αὐτοῦ παῖδες ἐκλήθησαν.

252. ἀπὸ τούτου ἕως τοῦ ἥρωες Δαναοί (256) ἀθετοῦνται στίχοι ε', ὅτι πεζότεροι τῇ συνθέσει, καὶ ἐν τῷ ἦσαι ὀνειδίζων τὸ ἦσαι οὐ κυρίως ἔστι δέξασθαι· οὐ γὰρ κάθηται· οὐδ' ὡς ὁ Διομήδης λέγει "τέττα, σιωπῇ ἧσο" (Il. 4, 412) ἀντὶ τοῦ ἡσύχαζε. διασταλτέον δὲ κατὰ τὸ τέλος τοῦ στίχου· τὸ γὰρ ἐπιφερόμενον τοιοῦτον, πότερον εὖ ἢ κακῶς· διὰ καὶ περισπᾶται.

255. τὸ ὅτι οἱ ἐν μιᾷ ὀξείᾳ προενεκτέον· πᾶσα γὰρ δίβραχυς λέξις πρὸ ἐγκλιτικοῦ οὐκ ἐπιδέχεται ἐπάλληλον ὀξεῖαν, εἰ μὴ ἐπιφέροιτο ἀντωνυμία διὰ τοῦ σφ̄, σεσημειωμένου τοῦ "ἔνθ' ἔσαν οἱ πέπλοι" (Od. 15, 105).

* διδοῦσιν] οὕτως περισπωμένως τὸ διδοῦσιν· τὸ γὰρ ῥῆμα διδῶ.

258. εἴ κ' ἔτι σ' ἀφραίνοντα] ὅτι περισσὸς ὁ κε, καὶ ὅτι συνεκδοχῇ,

2. ἀσύναρθρον] σύναρθρον Bekk.

7. * ἐμφαίνων] om.

12. * τὸ σύνηθες—φασιν] τὸ σύνηθες πλησθένους καὶ ἀερόπης τῆς ἀτρέως παῖδες τοῦ πέλοπος, ὡς φησὶν

15. * ἄξιον] om.

24. εἰ μὴ ἐπιφέροιτο ἀντωνυμία διὰ τοῦ σφ̄. Fuit haec Herodiani doctrina, de qua v. Lehrs. Quaest. Ep. p. 106.

28. ὅτι—ἐν δὲ τῇ] Collato scholio integriore codicis Veneti haec B sic restituit Ios. Kraussius in Ritschelii Museo Rhen. vol. 28 p. 488 ὅτι περισσὸς ὁ κε καὶ— ἀφραίνοντα κιχήσομαι. ἡ δὲ Σινωπικὴ εἶχεν "ἀφραίνοντα κιχήσομαι ὡς τὸ πάρος περ," ἡ δὲ Μασσαλιωτικὴ "κιχήσομαι ὕστερον αὖτις." ἐν δὲ τῇ—.

εἴ σε ἀφραίνοντα κιχήσομαι ὕστερον αὖτις. ἐν δὲ τῇ κατὰ Φιλήμονα τὸν κριτικὸν κιχήσομαι ἐν Δαναοῖσιν. δύναιτο δ' ἂν τὸ ὥς νύ περ ὧδε ἀκούεσθαι ἁπλούστερον ἀντὶ τοῦ οὕτως, ὡσαύτως. ταῦτα ὁ Δίδυμος.

*κατὰ τὸ τέλος τοῦ στίχου ὑποστικτέον.

260. μηδ' ἔτι Τηλεμάχοιο πατὴρ κεκλημένος εἴην] οὐχ ἑαυτῷ νῦν ἀρᾶται, ἀλλὰ τῷ παιδί. καὶ ἔστιν ἡ μὲν πρώτη κατάρα κατὰ τοῦ Ὀδυσσέως, ἡ δὲ δευτέρα κατὰ τοῦ Τηλεμάχου· εἰ γὰρ ἀπόλοιτο ὁ παῖς, οὐκέτι πατήρ ἐστιν Ὀδυσσεύς. ἡ διπλῆ δὲ ὅτι προδιασυνίστησιν τὰ κατὰ τὴν Ὀδύσσειαν μέλλοντα λόγου τυχεῖν πλείονος.

262. *διαστολαὶ χιτῶνα, ἀμφικαλύπτει.

αἰδῶ] Ἀρίσταρχος περισπωμένως ἀναγινώσκει, ὁμοίως καὶ τὸ "ἠῶ δῖαν ἔμιμνε" (Π. 9, 662). καὶ ἡμεῖς δὲ αὐτῷ συγκατατιθέμεθα. Διονύσιος δὲ ὁ Σιδώνιος ὀξύνει. Πάμφιλος δὲ πάσας τὰς τοιαύτας αἰτιατικὰς περισπᾷ· "Λητῶ γὰρ ἥλκησε" (Od. 11, 580) καὶ "Πυθῶδ' ἐρχομένην" (ib. 581), ἐπεί, φησί, Λητόα ἐστὶ καὶ Πυθόα. Διονύσιος δὲ ὁ Θρᾷξ φησι κακῶς ἀνεγνωκέναι τὸν Ἀρίσταρχον κατὰ τὸν περισπώμενον τόνον τὸ μὲν αἰδῶ καὶ ἠῶ, τὰ δὲ ἄλλα κατ' ὀξεῖαν τάσιν, Πυθώ Λητώ· ἐχρῆν γὰρ, φησὶν, ὁμοίως ἀνεγνωκέναι. οὐκ εὖ δὲ μέμφεται τῷ Ἀριστάρχῳ, εἴ γε ἤδη διάφοροι αἱ εὐθεῖαι, ἠώς αἰδώς, Λητώ δὲ καὶ Πυθώ. ἔστιν οὖν λόγος ὑπὲρ τῆς Ἀρισταρχείου ἀναγνώσεως καὶ τῆς κατεγνωσμένης προσῳδίας οὗτος, ὅτι ἐχρῆν μὲν τὸ Πυθώ περισπᾶσθαι, ἐπειδήπερ Πυθόα ἐστὶ, καὶ τοῦτο ἀπῄτει ἡ συναλοιφή· ἀλλὰ πάλιν τὸ πτωτικὸν ὦ ἀπέστραπται τὸν περισπώμενον τόνον· κατὰ τοῦτο ὠξύνετο. ταύτῃ γοῦν καὶ τοῦ χρυσοῦς περισπωμένου τὸ δυϊκὸν ὀξυνοῦμεν. οὕτως ἀποδείκνυται ὅτι καὶ ἡ καλῷ δοτικὴ εἰς ῑ λήγει καὶ οὐκ εἰς ῳ̄. δεύτερος δὲ λόγος ἀληθής ἐστιν, ὡς εὐθεῖα καὶ αἰτιατικὴ ὁμόφωνος οὖσα κατὰ φωνὴν ἐν τῷ αὐτῷ ἀριθμῷ πάντως καὶ τὸν αὐτὸν τόνον ἀποφέρεται, οἱ ταχεῖς——τοὺς ταχεῖς. εἰ δὲ ἡ εὐθεῖα ὀξύνεται, πάντως καὶ ἡ αἰτιατική. διὰ τοῦτο οὖν ἡ μὲν αἰδῶ αἰτιατικὴ καὶ ἠῶ, μὴ κρατούμεναι ὑπὸ τῆς συνεμπτώσεως κατὰ τὴν εὐθεῖαν, περισπῶνται, κατεχόμεναι τῷ λόγῳ τῆς συναλοιφῆς, οὐχ

1. αὖτις Vill.] αὐτῆς
2. κριτικὸν Vill. Proleg. p. xxiii.] κρητικὸν
9. *οὐκέτι] οὐκάν
ἡ διπλῆ δὲ ὅτι προδιασυνίστησιν Lehrsius] ἡ διπλῆ δὲ προδιασύγκρισιν
20. διάφοροι] διάφοραι
29. ἀποφέρεται Lehrsius] ἐπιφέρεται

ὑπὸ τοῦ πτωτικοῦ χαρακτῆρος. ἡ δὲ Λητὼ καὶ Πυθώ, καθάπερ κατεχόμεναι ὑπὸ τῆς συνεμπτώσεως τῆς φωνῆς, κατέχονται καὶ τῷ τόνῳ.

264. *πεπληγώς] ὅτι ἀντὶ τοῦ πλήσσων τὸ παθητικὸν παρείληφεν.

266. ἔκπεσε] οὕτως αἱ Ἀριστάρχου, ἔκφυγε. καὶ ἔστιν ἡ χρῆσις Ὁμηρικὴ τῆς λέξεως· παρίστησι γὰρ ἐνίοτε τάχος· "φύγεν ἠνία" (Il. 23, 465) καὶ "ἔκφυγε χειρός" (Il. 5, 18).

267. ἐξυπανέστη] ἀνέστη ἀπὸ τῆς πληγῆς τῆς χρυσῆς ῥάβδου, ἐμφατικῶς, ὡς τὸ ὑπεξαναδύς. διὰ τῆς ὑπό τὴν κατ᾽ ὀλίγον, διὰ τῆς ἐξ τὴν εἰς εὐθύ, διὰ τῆς ἀνά τὴν εἰς ὕψος σχέσιν.

269. ἀχρεῖον] Διονύσιος καὶ Τυραννίων τὴν πρώτην ὀξύνουσιν, ὥσπερ καὶ παρὰ τοῖς Ἀττικοῖς, καὶ ἀναλόγως· παρὰ γὰρ τὸ χρεία τὸ κατὰ στέρησιν ἄχρειος, ὡς μοῦσα ἄμουσος. ἡ μέντοι παρὰ τῷ ποιητῇ ἀνάγνωσις, ἀφορμῆς ἐχομένη τῆς κατὰ τὴν συνεκδρομὴν, προπεριεσπάσθη. τὰ γὰρ ἐν τῇ πρώτῃ συλλαβῇ ἔχοντα τὸ ᾰ μὴ καθαρὸν ἐπιφερομένων δύο συμφώνων μετὰ τῆς ῑ διφθόγγου, μὴ σημαίνοντα μέρος σωματικὸν, προπερισπᾶται, ἀνδρεῖος Ἀργεῖος. οὕτως καὶ ἀχρεῖος.

χρῶ ἐστὶ ῥῆμα δηλοῦν τὸ ἅπτομαι καὶ πλησιάζω, οὗ παραγωγὸν χραύω· "χραύσῃ μέν τ᾽ αὐλῆς ὑπεράλμενον" (Il. 5, 138). ἀφ᾽ οὗ ἔχραε τὸ βαρύνειν, καὶ μετὰ τοῦ ἄλφα τοῦ στερητικοῦ ἄχρης καὶ ἀχρεῖον τὸ ἀσθενὲς καὶ βάρους μὴ μετέχον· "ἀλγήσας δ᾽ ἀχρεῖον ἰδών." ἐπὶ δὲ τῆς Πηνελόπης "ἀχρεῖον δὲ γέλασσεν" (Od. 18, 163), ἐπίπλαστον καὶ ὑποκεκριμένον, μέχρι τοῦ τὰ χείλη μόνον διανοίγειν. τοῦ δὲ ἄχρης κτητικῷ τύπῳ ἀχρήϊον. οὕτως Φιλόξενος ἐν τῷ περὶ μονοσυλλάβων ῥημάτων.

ἰδών] ὅτι Φιλητᾶς τὸ ἰδών περισπᾷ, οἷον τῶν ὀφθαλμῶν, ἰδεῶν. οὐδέποτε δὲ Ὅμηρος ἰδέας τοὺς ὀφθαλμοὺς εἶπεν. ἔστιν οὖν τὸ ἀχρεῖον ἰδών ἐντελῶς σχηματίσας.

270. στικτέον μετὰ τὸ ἀχνύμενοί περ, ἔπειτα ἀπ᾽ ἄλλης ἀρχῆς ἀναγνωστέον, ἵν᾽ ᾖ, οἱ δὲ Ἕλληνες, καίτοι λυπούμενοι διὰ τὴν ἀναβολὴν τῆς ἐπὶ τὸν οἶκον ἀνακομιδῆς, ἡδὺ ἐγέλασαν ἐπὶ τῇ ὄψει

1. καθάπερ Lehrsius] καίπερ
10. κατ᾽ ὀλίγον] * κάτωθεν
14. ἡ Bekkerus] καὶ
16. προπεριεσπάσθη Bekkerus] περιεσπάσθη
22, 26. ἄχρης] * ἀχρής
28. Φιλητᾶς Vill.] φιλιτᾶς.

τοῦ Θερσίτου. στασιάζον πλῆθος πληγαῖς ἢ γέλωτι παύεται, οἷς ἀμφοῖν ἐχρήσατο ὁ ποιητής.

271. ὧδε] κατὰ Ἀρίσταρχον οὐδέποτε τοπικῶς, ἀλλ' ἀντὶ τοῦ οὕτως τάσσει· "ὧδε δέ τις εἶπεσκεν ἰδών." ἐπὶ δὲ τοῦ "Ἥφαιστε πρόμολ' ὧδε" (Il. 18, 392) οὕτως ἀκούει, πρόελθε οὕτως ὡς ἔχεις, ἐκ προχείρου.

272. ἦ] τὸν ἦ περισπαστέον· παραλλήλως γὰρ κεῖται τῷ δή, βεβαιωτικὸς ὢν, ὁμοίως τῷ "ἦ δὴ λοίγια ἔργα" (Il. 1, 573).

275. ἔσχ' ἀγοράων] κολάζεται ὁ μὲν εὐφυὴς νουθεσίᾳ, ὁ δὲ ἄκοσμος βασάνοις καὶ εἰσφοραῖς, ὁ δὲ λελωβημένος βραχείᾳ πληγῇ καὶ μεθ' ὅρκων ἀπειλῇ.

276. *ὅτι τὸ μὲν πάλιν, εἰς τοὐπίσω, τὸ δὲ αὖτις χρονικὸν ἐξ ὑστέρου.

278. ὡς φάσαν ἡ πληθύς· ἀνὰ δ' ὁ πτολίπορθος Ὀδυσσεύς] πρὸς τὸ σχῆμα, ὅτι πρὸς τὸ νοητὸν ἀνὰ δ' ἔστη· τὸ γὰρ ἔννοιαν ἔχον τοῦ πλήθους ὄνομα πρὸς τὸ πληθυντικὸν ἐπισυνέζευξε τὸ φάσαν· ᾧ εἴη ἂν ὅμοιον "δερκόμενοι πᾶς δῆμος." καὶ πρὸς τὸ πτολίπορθον, ὅτι διὰ τῆς Ὀδυσσείας δέδεικται τὰ κατὰ τὸν δούρειον ἵππον.

*οὕτως Ἀρίσταρχος· ἄλλοι δὲ διὰ τοῦ ε̄, οὐκ ὀρθῶς.

ἀνὰ δ' ὁ πτολίπορθος] ἀνέστη ὁ τὰς πόλεις πορθῶν, ὁ πολεμικὸς Ὀδυσσεύς, ἵν' ᾖ ὑπερβατὸν ὁ τρόπος. προκατεσκεύασε δὲ αὐτῷ ὁ ποιητὴς τὴν τῆς Ἰλίου πόρθησιν, τὴν τοῦ δουρείου ἵππου κατασκευήν, οὗ εἰσαχθέντος ἐπορθήθη ἡ Ἴλιος, ὡς καὶ ἀλλαχόσε τῆς ποιήσεώς φησι "σῇ δ' ἥλω βουλῇ πόλις Πριάμοιο ἄνακτος" (Il. 22, 230).

283. ὅ σφιν] τρία ῥητορικῆς εἴδη, συμβουλευτικὸν, ὅ ἐστιν ἐκ προτροπῆς καὶ ἀποτροπῆς, ὡς νῦν· δικανικὸν, ἐκ κατηγορίας καὶ ἀπολογίας, ὡς "δύο δ' ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς" (Il. 18, 498)· πανηγυρικὸν, ἐξ ἐγκωμίου καὶ ψόγου, ὡς "ὦ μάκαρ Ἀτρεΐδη" (Il. 3, 182) καὶ "οἰνοβαρὲς κυνὸς ὄμματ' ἔχων" (Il. 1, 225).

284. Ἀτρεΐδη, νῦν γάρ σε] ὅτι αὕτη ἡ γραφὴ ἡ διὰ τοῦ γάρ μετὰ

1. πλῆθος] *δὲ τὸ πλῆθος

16. πρὸς τὸ Lehrsius] τὸ om.

17. δερκόμενοι] Immo ἀγρόμενοι, ut Il. 20, 166.

19. οὕτως] Id est δ' ὁ, non δὲ sine articulo.

Ἀρίσταρχος] Delevi quod additum in A est πτολίπορθος, per errorem ex lemmate pleniore ἀνὰ δ' ὁ πτολίπορθος illatum. Recta scholii scriptura est in Veneto B ὁ μὲν Ἀρίσταρχος μετὰ τοῦ ἄρθρου, τινὲς δὲ χωρὶς τοῦ ἄρθρου κακῶς.

22. τὴν (κατὰ addit A) τοῦ] *ὡς ὀψέποτε τοῦ Ὀδυσσέως ἐπινοήσαντος τὴν τοῦ

τῆς προσηγορίας, καὶ λόγον ἔχει. ἔθος δὲ αὐτῷ ἀπὸ τοῦ γάρ ἄρχεσθαι "ὦ πόποι, ἦ γὰρ δίω εὐκνήμιδας Ἀχαιούς."

286. *ἐκτελέουσιν] πρὸς τὴν ἐναλλαγὴν τοῦ χρόνου, ὅτι ἀντὶ τοῦ ἐκτελέσουσιν.

289. ἦ παῖδες νεαροὶ χῆραί τε γυναῖκες] ἄμφω παρέτεινε, τὸ μὲν τῷ νεαροί, τὸ δὲ τῷ χῆραι. οἱ μὲν γὰρ εὐθὺς κόρον τῆς ἀγορᾶς λαβόντες ἵενται οἴκαδε, αἱ δὲ τὸν οἶκον φυλάσσονται μὴ κεκτημέναι. κωμῳδεῖ δὲ τὸ ἀσύνετον καὶ ἀγεννὲς, ὡς οὐ διὰ τὴν ὑπερτέλειαν τῶν πολεμίων, διὰ δὲ τὸ ἰδίᾳ μαλακὸν αὐτῶν θελόντων τοῦτο ποιεῖν.

291. *ἦ] ὁμοίως τὸν ἦ περισπαστέον.

*πόνος ἐστίν] πρὸς τὸν πόνον, ὅτι ἀντὶ τοῦ ἔργον· οὐδέποτε γὰρ οὕτως εἶπε τὴν ἀλγηδόνα.

292. *ἀπὸ ἧς] τῇ γενικῇ δεῖ συντάττειν.

τινὲς ἀνέγνωσαν ἄπο ἧς ἀλόχοιο κατὰ ἀναστροφὴν, ἵνα σημαίνηται τὸ ἄπωθεν. ἄμεινον δὲ πείθεσθαι τῇ κατειθισμένῃ ἀναγνώσει· συντέτακται γὰρ τῇ γενικῇ.

293. ἀσχαλάᾳ σὺν νηῒ πολυζύγῳ] διασταλτέον· τὸ γὰρ ἑξῆς ἐστὶ, καὶ γὰρ τίς θ' ἕνα μῆνα μένων σὺν νηῒ πολυζύγῳ ἀπὸ ἧς ἀλόχοιο ἀσχαλάᾳ. γελοίως δὲ οἱ πλεῖστοι ἐπὶ τὸ ἀσχαλάᾳ διιστᾶσιν.

297. ἀσχαλάαν παρὰ νηυσί] ὅτι Ζηνόδοτος γράφει ἀσχαλάαν μίμνοντ' ἐπὶ νήεσσ', τὰ πληθυντικὰ δυϊκῶς ἐκφέρων. περιττεύει δὲ ὁ καί σύνδεσμος.

299. ἐπὶ χρόνον] ὅτι Ζηνόδοτος γράφει ἔτι χρόνον, ἀπιθάνως· ἔμφασις γὰρ γίνεται πολλοῦ χρόνου διὰ τοῦ ἔτι.

300. *ἐτεὸν—οὐκί] οτι διὰ τοῦ κ γραπτέον, οὐ διὰ τοῦ χ. καὶ τὸ ἦ ἐτεόν διὰ τοῦ η Ἀρίσταρχος.

ὅτι Ζηνόδοτος γράφει μάρτυρες. ὁ δ' Ὅμηρος οὕτως ἐσχημάτικεν· "Ζεὺς δ' ἄμμ' ἐπιμάρτυρος ἔστω" (Il. 7, 76), οὗ τὸ πληθυντικὸν μάρτυροί ἐστε.

303. χθιζά τε καὶ πρώϊζ'] κατεσμίκρυνε τὸν ἐνναετῆ χρόνον, ἵνα μὴ διὰ τῆς ἀναμνήσεως πλέον ποιήσῃ ἀγανακτῆσαι τοὺς Ἕλληνας.

1. λόγον Lehrsius] τὸν λόγον
2. ὦ πόποι, ἦ γάρ] Immo ὦ γύναι, οὐ γὰρ
6. *εὐθὺς] εὐθὺ
7. *οἶκον φυλάσσονται] οἶκοι φυλάσσοντα
20. ἀσχαλάαν παρὰ νηυσί] In A lemma ἀσχαλάαν σὺν νηὶ (ex v. 293).
21. μίμνοντ' ἐπὶ νήεσσ' Bekkerus] μιμνόντεσσι
28. ἄμμ'] ἄμ'
30. πρώϊζ'] Rectus accentus est πρωΐζ' et πρωϊζά.

Αὐλίδα] Αὐλὶς οὕτως ἐκλήθη ἀπὸ τοῦ αὐτόθι αὐλισθῆναι τὸν Ἑλληνικὸν στρατόν.

305. ἕως τοῦ ἀγλαὸν ὕδωρ (307) ὑποστικτέον, καὶ τὸ ἔνθα, ἵν' ᾖ τοπικὸν διὰ τὴν πλατάνιστον, χρονικὸν διὰ τὸ χθιζά τε καὶ πρώϊζα. ἐνδέχεται δὲ καὶ τεληέσσας ἑκατόμβας ὑποστίζειν, ἵνα συνάπτηται καλῇ ὑπὸ πλατανίστῳ ἕως τοῦ σμερδαλέος. δύναται δὲ καὶ τοῖς ἄνω συνάπτεσθαι τὸ χθιζά τε καὶ πρώϊζ', ἵνα πάντα συνημμένα ᾖ ἐκ τοῦ εὖ γὰρ δὴ τόδε ἴδμεν (301).

307. πλατανίστῳ] τῇ τάσει ἀναγνωστέον ὡς κυπαρίσσῳ. διυδατίζεσθαι δὲ θέλει ἡ πλάτανος, καὶ ἔστιν ἐπιτηδεία πρὸς γένεσιν στρουθῶν.

308. δράκων] τούτῳ τὸ ὄνομα ὁ Πορφύριος ἐν τοῖς ζητήμασί φησι Σθενίος· οὕτως γὰρ ἱστόρηται Διονυσίῳ ἐν τῷ ε' τῶν ἀπόρων.

ὁ δράκων Ἀθηνᾶς ἱερὸς, οἱ στρουθοὶ Ἀφροδίτης, χρόνον τε δηλοῦσιν, ἐπεὶ πτηνὸς ὁ χρόνος. ὁ δὲ λίθος, ἐπεὶ οὐκέτι κίνησιν ἔλαβεν ὁ πόλεμος. καὶ τὸ μὲν ἐφ' ὕψους κεῖσθαι τὴν νεοττιὰν τὴν ἠνεμόεσσαν Ἴλιον, οἱ δὲ ὑποπετάλιοι νεοσσοὶ τὸ ὀλιγοχρόνιον τῶν Τρώων· μαραινομένων γὰρ ὅσον οὐδέπω τῶν φύλλων ἀποπεσοῦνται. ἡ δὲ ἐνάτη μήτηρ τῆς ἐνναετηρίδος τὸν ἔσχατον ἀγῶνα ἐσήμανεν, ἡ δὲ διὰ τοῦ ὕδατος πορεία τοῦ δράκοντος τὴν δι' ὕδατος ἄφιξιν τῶν Ἑλλήνων, τὸ δὲ περιλειφθῆναι τὴν νοσσιὰν τὸ μὴ παντελῶς ἠφανίσθαι τὸν τόπον· οἰκεῖται γὰρ ἕως τοῦ νῦν· ἡ δὲ ἀπολίθωσις τὸ δυσδιεξόδευτον τῶν νόστων, καὶ ὅτι εἰς λίθους περιστήσεται τὸ τέλος τοῦ πολέμου.

ἔστι δὲ σῆμα μὲν τὸ παρὰ τόπον γινόμενον, ὡς μέλισσαι ἢ πτηνοὶ μύρμηκες ἐν οἴκῳ, τέρας δὲ τὸ παρὰ φύσιν. τοῦτο οὖν ἄμφω εἶχε, σῆμα μὲν τὸ ἐπ' ἄκρῳ τῷ φυτῷ εἶναι τὴν νοσσιὰν, τέρας δὲ τὸ ὀκτὼ τετοκέναι· ἑπτὰ γὰρ τίκτει, ὧν τὸ ἓν οὔριον ἐᾷ εἶναι.

310. βωμοῦ] ἀφ' ἑτέρας ἀρχῆς· ἀσύνδετος γὰρ ὁ λόγος. διὸ καὶ τελείαν στικτέον ἐπὶ τὸ φόωσδε.

311. στρουθοῖο] ὡς ἀπὸ ὀξυτόνου εὐθείας ἡ ἀνάγνωσις· Χαίριδι δὲ ἤρεσκε βαρύνειν, καὶ ἴσως ἐπεὶ τὰ εἰς θος λήγοντα δισύλλαβα

3 et 6. τοῦ] om.
ἔνθα] ἀντὶ τοῦ ἐνταῦθα παραληπτέον addit Friedl.
5. ἐνδέχεται Friedl.] περιέχεται
12. *τούτῳ] τοῦτο
17. ὑποπετάλιοι] *ὑπὸ τοῖς πετάλοις
19. *τὸν ἔσχατον ἀγῶνα] τοῦ πολέμου τὸ ἐναγώνιον
25. *μύρμηκες] ἢ μύρμηκες
29. φόωσδε] φόωσδέ

μονογενῆ, φύσει μακρᾷ παραληγόμενα, ἐβαρύνετο, Ξοῦθος Ζῆθος καὶ μῦθος· ἔχει δὲ ἡ τετριμμένη ἀνάγνωσις ἀφορμὴν τὸ ἐγκεῖσθαι τὸ θέειν· ἐτυμολογοῦσι γὰρ τὸ ζῶον παρὰ τὸ μετὰ οἴστρου θέειν· τὰ δὲ παρὰ τοῦτο τὸ ῥῆμα ἑωρῶμεν ὀξυνόμενα, ὥσπερ τὸ ἀγαθός καὶ βοηθός.

312. ὄζῳ ἐπ'] δύναται καὶ ἀναστρέφεσθαι. πιθανώτερον δὲ συντάσσειν τῇ μετοχῇ τὴν πρόθεσιν διὰ τὴν ἔμφασιν.

ὑποπεπτηῶτες] ὑφ' ἓν τοῦτο. εἴρηται δὲ διὰ τὴν ἀσθένειαν τῶν νεοσσῶν.

314. τετριγῶτας] ὅτι Ζηνόδοτος γράφει τιτίζοντας. εὐτελὴς δὲ ἡ λέξις· κατὰ φύσιν γὰρ φθεγγόμενοι οἱ νεοσσοὶ τιτίζουσιν, οἱ δὲ κατεσθιόμενοι τρίζουσιν.

316. πτερύγος] παροξυτόνως. καὶ ὁ μὲν κανὼν θέλει προπαροξυτόνως, ὡς δοίδυκος· ἀλλ' ἐπειδὴ οὕτως δοκεῖ τονίζειν τῷ Ἀριστάρχῳ, πειθόμεθα αὐτῷ ὡς πάνυ ἀρίστῳ γραμματικῷ.

ἀμφιαχυῖαν] μετοχή ἐστι· διὸ προπερισπαστέον. σημειωτέον δὲ τὸν ἐν ἀρχῇ χρόνον, ὅτι συνεστάλη τὸ ᾱ.

318. ἀρίζηλον] ὅτι Ζηνόδοτος γράφει ἀρίδηλον, καὶ τὸν ἐχόμενον προσέθηκεν. τὸ γὰρ ἀρίδηλον ἄγαν ἐμφανὲς, ὅπερ ἀπίθανον. ὃ γὰρ ἐὰν πλάσῃ, τοῦτο ἀναιρεῖ. λέγει μέντοι γε ὅτι ὁ φήνας αὐτὸν θεὸς καὶ ἄδηλον ἐποίησεν.

319. *ἀθετεῖται· προείρηται δὲ ἡ αἰτία.

320. θαυμάζομεν] ὅτι ἀντὶ τοῦ ἐξεπλῃττόμεθα οὐχ ὡς ἐνίοτε τίθησιν ἀντὶ ψιλοῦ τοῦ θεάσασθαι.

323. τίπτ' ἄνεῳ ἐγένεσθε] κατὰ στέρησιν τῆς ἰωῆς, ὅ ἐστι φωνῆς· ὧδε δὲ μετὰ τοῦ ῑ, οἷον οἱ ἄνεῳ, ἐπὶ δὲ τοῦ "ἡ δ' ἄνεω δὴν ἧστο" (Od. 23, 93) δίχα τοῦ ῑ.

328. αὖθι] ὅτι τὸν τοῦ Κάλχαντος λόγον μεταλαβὼν ἐποίησεν ἐπὶ τῆς Αὐλίδος, αὐτὸς ὢν ἐπὶ τῆς Τροίας. διὸ κέχρηται τῷ αὖθι τοπικῷ ἀντὶ τοῦ αὐτόθι ὅπου νῦν ἐσμέν.

329. τῷ δεκάτῳ] διὰ τί οὐχὶ ἐνάτῳ ἔφη ἐνιαυτῷ ἔσεσθαι τὴν

8. *εἴρηται δὲ] om.

14. *τονίζειν] στίζειν

19. προσέθηκεν] ἔδει δὲ αἴζηλον addit Lehrsius.

ἀπίθανον] μάχεται οὖν ὁ ἐχόμενος addit Lehrsius.

ὃ γὰρ ἐὰν πλάσῃ, τοῦτο] ὃν γὰρ ἀναπλάσῃ, τοῦτον οὐκ Lehrsius.

28. ἐποίησεν] Id est ἐποίησεν ἄν: vid. Friedl. p. 67.

πόρθησιν, καίτοι τῆς ἀκολουθίας τῶν σημείων τοῦτο ἐχούσης "ὀκτὼ, ἀτὰρ μήτηρ ἐνάτη ἦν;" ἢ ὅτι τῶν ἐννέα πληρωθέντων ἀνάγκη νοεῖν τὸν ἐπέκεινα δέκατον· ἢ καὶ τὸν δράκοντα αὐτὸν δεῖ συναριθμεῖν, ὅς ἐστι δέκατος, ὡς ὅλου τοῦ ἀγῶνος ἐν τούτῳ μέλλοντος παύεσθαι.

330. *κεῖνός θ' ὧς] οὕτως Ἡρωδιανὸς διὰ τοῦ θ. Ἀρίσταρχος διὰ τοῦ τ.

333–335. ἐπὶ τὸ ἴαχον διαστολὴ, καὶ ἐπὶ τὸ Ἀχαιῶν ὑποστιγμή· διὰ μέσου δὲ τὸ ἀμφὶ δὲ νῆες καὶ τὰ ἑξῆς ἕως τοῦ Ἀχαιῶν. καὶ τὸ ἑξῆς ἐστὶν, ἴαχον μῦθον ἐπαινήσαντες. ἐὰν δὲ στίζωμεν, γίνεται σολοικισμὸς, ἀϋσάντων ὑπ' Ἀχαιῶν μῦθον ἐπαινήσαντες.

ἱππότα] ἀντὶ τοῦ ἱππικὸς, νῦν δὲ φυγάς. ὁ γὰρ ποιητὴς τῷ ἱππότης νῦν ἀντὶ τοῦ φυγάς κέχρηται. Ἡρακλῆς γὰρ ἐπιστρατεύσας τῇ Πύλῳ διὰ τὸ μὴ καθαρθῆναι αὐτὸν ὑπὸ Νηλέως τὸν Ἰφίτου φόνον, καὶ διὰ τὴν τῶν Νηλειδῶν δὲ ἀφροσύνην, πολὺς ἦν πορθῶν τὴν πόλιν. καὶ ἐφ' ὅσον μὲν Περικλύμενος ὁ Νηλέως ἔζη, δυσάλωτος ἦν ἡ πόλις. ἀμφίβιος γὰρ ἐγένετο ἐκεῖνος. καὶ δὴ γενόμενον αὐτὸν μέλισσαν, καὶ στάντα ἐπὶ τοῦ Ἡρακλέους ἅρματος, Ἀθηνᾶ εἰκάσασα Ἡρακλεῖ ἐποίησεν ἀναιρεθῆναι. τότε Νέστωρ ἐν Γερήνοις τρεφόμενος, πορθηθείσης τῆς Πύλου καὶ τῶν ἱα' ἀδελφῶν αὐτοῦ ἀναιρεθέντων μόνος περιελείφθη· διὸ καὶ Γερήνιος ὠνομάσθη. ἱστορεῖ Ἡσίοδος ἐν καταλόγοις.

337. ὦ πόποι] στικτέον ἐπὶ τὸ ὦ πόποι· κομματικὸν γὰρ, καὶ μᾶλλον ἐμφαίνει καθ' ἑαυτὸ λεγόμενον.

339. πῆ δή] τινὲς ἐλεγκτικῶς ὅλα προφέρονται· ποῦ ἀπῆλθον αἱ συνθῆκαι καὶ αἱ σπονδαὶ καὶ αἱ δεξιαὶ καὶ οἱ ὅρκοι; ἵν' ᾖ καὶ τὸ βήσεται ἀντὶ τοῦ ἔβησαν, καὶ τὸ γενοίατο ἀντὶ τοῦ ἐγένοντο, καὶ τὸ ἐριδαίνομεν ἀντὶ παρῳχημένου, ἵν' ᾖ μάτην ἐφιλονεικοῦμεν λόγοις μόνον ὑπισχνούμενοι, καὶ τὸ ἀγοράασθε ἀντὶ τοῦ ἠγοράασθε τότε ὅτε συνετίθεσθε τῷ Ἀγαμέμνονι.

7. διὰ τοῦ τ] Id est τώς
9. τοῦ] om.
18. *Ἀθηνᾶ εἰκάσασα Ἡρακλεῖ] ἀθηνᾶ εἰκάσασα ἀθηνᾶ (sic). Ἀθηνᾶ δείξασα Ἡρακλεῖ Ruhnk. Ep. c. 1. p. 111.
23. Idem fere in marg. int. διασταλτέον ἐπὶ τὸ πόποι—λεγόμενον
25. *ποῦ] τοῦ
26. *καὶ αἱ σπονδαὶ—ὅρκοι] καὶ τὰ ὅρκια σπονδαί τε καὶ δεξιαὶ
27. *ἐγένοντο] γένοιτο
28. ἐφιλονεικοῦμεν] ἐφιλονείκουν μὲν ἐν

οὕτως συνθεσίαι τε ὡς θυσίαι τε. ὅσοι δὲ προπαροξύνουσι, πταίουσι· τῆς γὰρ μεταγενεστέρας Ἀτθίδος ἡ τοιάδε ἀνάγνωσις.

τῶν ἐκ τῆς Ἑλλάδος ἀρίστων ἐπὶ μνηστείαν τῆς Ἑλένης παρόντων διὰ τὸ γένος καὶ τὸ κάλλος, Τυνδάρεως ὁ πατὴρ αὐτῆς, ὥς τινές φασι, φυλασσόμενος μή ποτε ἕνα αὐτῶν προκρίνας τοὺς ἄλλους ἐχθροὺς ποιήσηται, κοινὸν αὐτῶν ἔλαβεν ὅρκον, ἢ μὴν τῷ ληψομένῳ τὴν παῖδα ἀδικουμένῳ περὶ αὐτὴν σφόδρα πάντας ἐπαμυνεῖν. διόπερ Μενελάῳ αὐτὴν ἐκδίδωσιν. καὶ μετ' οὐ πολὺ ἁρπασθείσης αὐτῆς ὑπὸ Ἀλεξάνδρου, ἐκοινώνησαν τῇ στρατείᾳ διὰ τοὺς γενομένους ὅρκους. ἡ ἱστορία παρὰ Στησιχόρῳ.

341. σπονδαί τ' ἄκρητοι] ὅτι ὅταν λέγῃ ἐν ἄλλοις "κρητῆρι δὲ οἶνον ἔμισγον" (Il. 3, 269), οὐ σημαίνει τὸ ὕδατι κίρνασθαι, ἀλλ' ὅτι τὸν τῶν Τρώων καὶ τῶν Ἀχαιῶν οἶνον ἔμισγον.

344. Ἀτρείδη] ἐναντίως τῷ Ὀδυσσεῖ ἀπὸ τοῦ πλήθους εἰς τὸν βασιλέα μετῆλθεν.

346. *τούσδε] ἓν ἐστι τὸ τοῦσδε· διὸ προπερισπαστέον.

ἕνα καὶ δύο] εὐφυέστερον αἰνίττεται Ἀχιλλέα καὶ Πάτροκλον. ἕτεροι δὲ ἕνα καὶ δύο ἀντὶ τοῦ Θερσίτην καὶ ἕτερον τοιοῦτον.

347. *βουλεύωσ'] οὕτω βουλεύωσ' αἱ Ἀριστάρχου.

ἄνυσις δ' οὐκ ἔσσεται αὐτῶν] ἐντελὴς δὲ πρᾶξις οὐ γενήσεται αὐτῶν, ὥστε πρὸ τοῦ δέοντος χρόνου πορευθῆναι ἡμᾶς εἰς τὴν Πελοπόννησον, πρὶν γνῶμεν τὴν Διὸς γνώμην. τὸ δὲ ᾱ πρὸ τοῦ ῡ ψιλοῦται, πλὴν τοῦ ἀνδάνω.

ἀμφίβολος ὁ λόγος διαστελλόντων ἡμῶν ἐπὶ τὸ αὐτῶν, ἢ συναπτόντων μέχρι τοῦ ἰέναι. ἤτοι γὰρ ἃ λέγει τοῦτό ἐστιν, οὐδὲν ἐπινοήσουσιν ὥστε ὑποστρέψαι αὐτοὺς πρὶν τέλος ποιήσασθαι τοῦ πολέμου· ἢ τοῦτο, ἀνύσουσι δὲ οὐδὲν πρὶν ὑποστρέψαι τε ἡμᾶς καὶ πρὶν τέλος εὑρέσθαι τοῦ πολέμου, ἀντεστραμμένου τοῦ λόγου.

349. ψεῦδος] ταῦτα παρὰ τοῖς Στωϊκοῖς λεκτὰ καλεῖται, τὰ πρὸς τὴν σημασίαν φερόμενα· ψεῦδος τὸ ἐπάγγελμα.

οὐκί] ὅτι διὰ τοῦ κ καὶ οὐ διὰ τοῦ χ.

350. *διασταλτέον ἐπὶ τὸ Κρονίωνα· ἐπὶ δὲ τὸ φέροντες ὑποστιγμή.

4. *διὰ τὸ γένος] διαγενόμενος
7. *ἐπαμυνεῖν] ἐπαμύνειν
12. *ἀλλ' ὅτι τὸν] ἀλλὰ τὸν
13. *οἶνον ἔμισγον] μίσγον, sine οἶνον.
19. οὕτω βουλεύωσ' Cobetus] ὅτι βουλεύωσιν.
24. ἤτοι διαστελλόντων Friedl.

353. ἀστράπτων] ὅτι ἀκαταλλήλως εἴρηται (ἔδει γὰρ κατανεῦσαι ἀστράπτοντα καὶ φαίνοντα).

διασταλτέον δὲ βραχὺ εἰς τὸ ἐπιδέξι· ἀσύνδετος γὰρ ὁ λόγος, λείποντος τοῦ καί, καὶ ἀστράπτων καὶ φαίνων.

355. πρίν τινα περ Τρώων] οὕτως Ἀρίστarχος διὰ τοῦ ε̄ καὶ τὰ ὑπομνήματα.

356. Ἑλένης ὁρμήματα] πρὸς τοὺς χωρίζοντας· ἔφασαν γὰρ τὸν μὲν τῆς Ἰλιάδος ποιητὴν δυσανασχετοῦσαν συνιστάνειν καὶ στένουσαν διὰ τὸ βίᾳ ἀπῆχθαι ὑπὸ τοῦ Ἀλεξάνδρου, τὸν δὲ τῆς Ὀδυσσείας ἐκοῦσαν, οὐ νοοῦντες ὅτι οὐκ ἔστιν ἐπ' αὐτῆς ὁ λόγος, ἀλλ' ἔξωθεν πρόθεσιν τὴν περὶ δεῖ λαβεῖν, ἵν' ᾖ περὶ Ἑλένης. καὶ ἔστιν ὁ λόγος, τιμωρίαν λαβεῖν ἀνθ' ὧν ἐστενάξαμεν καὶ ἐμεριμνήσαμεν περὶ Ἑλένης· παραλειπτικὸς γὰρ προθέσεών ἐστιν ὁ ποιητής.

ὁρμήματα] μεριμνήματα, ὡς αὐτῆς ἀκουσίως παρὰ τοῖς πολεμίοις οὔσης, ἵνα ἀξιόχρεως ᾖ βοηθεῖσθαι.

359. πρόσθ' ἄλλων θάνατον καὶ πότμον ἐπίσπῃ] εὐθὺς πρὸ πάντων ἐκεῖνος ἐπὶ θάνατον ἔλθῃ καὶ ἀναπληρώσῃ τὴν εἱμαρμένην.

360. ἀλλὰ ἄναξ] ἀποστρέφει τὸν λόγον ἀπὸ τῶν Ἑλλήνων πρὸς τὸν Ἀγαμέμνονα, καὶ καλεῖται τὸ σχῆμα ἀποστροφή.

362. ἐζήτηται διὰ τί ταύτην τὴν τάξιν πρὸ πολλοῦ μὴ ὑπετίθετο ὁ Νέστωρ. ἤτοι ὅτι πάλαι μὲν Ἀχιλλεὺς φίλος ὢν τῶν Ἑλλήνων ἤρκει πρὸς τὸ συνέχειν τοὺς βαρβάρους, καὶ καλῶς ἐκείνῳ θαρρῶν οὐκ ἐποίει τοῦτο· νῦν δὲ αὐτοῦ μηνίοντος εἰκότως ἀσφαλεστέραν διάταξιν εἰσάγει.

368. ἦ] Πτολεμαῖος περισπᾷ τὸν η̄, διαπορητικὸν ἐκδεχόμενος· εἰσὶ δὲ οἳ ὀξύνουσιν, ὥσπερ καὶ οἱ περὶ τὸν Ἀλεξίωνα, ἐκδεχόμενοι παραδιαζευκτικὸν τὸν ἤ.

ἐζήτηται διὰ τί Ὀδυσσέως κατασχόντος διὰ λόγων τοὺς ὄχλους, καὶ τοιοῦτον πρᾶγμα συνετὸν καὶ σπουδαῖον ποιήσαντος, ὁ βασιλεὺς νῦν δύναμιν ἐν τῷ λέγειν Νέστορι προσμαρτυρεῖ· ἤτοι ὅτι ὡς δυναμικωτέρῳ· προκατειλημμένων γὰρ τῶν ἐπιχειρημάτων Ἀθηνᾷ τε καὶ Ὀδυσσεῖ ὅμως εὐπόρησε λόγων· ἢ ὅτι ὁ μὲν μόνον ὠνείδισε, Νέστωρ

1. * εἴρηται] om.
* ἔδει] θέλει
3. * εἰς τὸ] om.
5. διὰ τοῦ ε̄] Id est περ, non πάρ ut alii.
19. Iterum in marg. inter. τὸ σχῆμα ἀποστροφή.
21. * φίλος] φιλόσοφος
28. * λόγων] λόγον
31. * γὰρ] om.
32. * εὐπόρησε λόγων] εὐπορῆσαι λόγον

δὲ σὺν τῇ διατάξει καὶ συμβουλίᾳ καὶ τὰς ἀστραπὰς εἶπεν· βεβαιότερον γὰρ νίκης φῶς.

371. αἰ γάρ] ἐντεῦθέν τινες νομίζουσιν Ἀθηναῖον γεγονέναι τὸν ποιητήν· τὸ γὰρ Ἀθηναίη Ἀττικὸν καὶ ἴδιον εἶναι τὸν ὅρκον φασὶ τῶν Ἀθηναίων.

373. τῶ] τὸ τῶ πολλὰ σημαίνει. ἐπὶ μὲν τοῦ τοιούτου περισπᾶται καὶ τὸ ι οὐκ ἔχει.

*ἠμύσειε] ἀπὸ τῶν ὀφθαλμῶν ἡ μεταφορὰ, οἳ σὺν τῷ μύειν τοῦ φωτὸς στερίσκονται.

377. *μαχεσσάμεθ'] διὰ τοῦ η αἱ Ἀριστάρχου. καὶ ἔστιν ὅμοιον τῷ "μαχήσονται περὶ σεῖο" (Il. 3, 137).

380. οὐδ' ἠβαιόν] οἱ μὲν τὸ πλῆρές φασι βαιόν, οἱ δὲ ἠβαιόν. ἔστι δὲ εἰπεῖν ὅτι παρὰ μὲν τῷ ποιητῇ ἀπὸ τοῦ η ποιεῖ τὴν ἀρχὴν ἀεί "ἐλθόντες δ' ἠβαιόν" (Od. 9, 462), παρὰ μέντοι τοῖς νεωτέροις διττὴ ἡ χρῆσις· "βαιὸν ὑπὲρ ποταμοῦ" (Aratus 358). καὶ Καλλίμαχος δὲ (fr. 540) "ἠβαιὴν οὔτι κατὰ πρόφασιν."

381. ὅτι δεῖπνον τὸ ἑωθινὸν ἄριστον, ὃ δι' ἀνάγκην πρὸ τοῦ δέοντος ποιοῦνται· δόρπον δὲ τὸ ἑσπερινὸν, δόροπόν τι ὂν, τὸ μετὰ τὴν παῦσιν τῶν δοράτων διδόμενον. τὸ δὲ δεῖπνον ἔσθ' ὅτε πᾶσαν τροφήν. Αἰσχύλος δὲ (fr. 181) κακῶς· "ἄριστα δεῖπνα δόρπα θ' αἱρεῖσθαι."

382. εὖ μέν τις δόρυ] δύο συνέπλεξε σχήματα, ὁμοιοτέλευτον καὶ ἐπαναφοράν, ἐπανιὼν μὲν εἰς τὴν αὐτὴν λέξιν, καταλήγων δὲ εἰς τὸ ὁμοιοτελὲς τῶν ῥημάτων.

πανημέριοι] ὅτι προεληλυθυίας λέγει τῆς ἡμέρας ἤδη τὸ πανημέριοι ἐπὶ τοῦ ἀπολείποντος αὐτῆς μέρους, καὶ οὐ πάντως τὸ ἀπ' ἀνατολῆς μέχρι δύσεως λέγει πρόπαν ἦμαρ.

385. Ἄρηι] τούτῳ τῷ ὀνόματι τετραχῶς κέχρηται ὁ ποιητής. ἐπὶ μὲν τοῦ πολέμου, ὡς ἐνταῦθα. ἐπὶ δὲ τοῦ σιδήρου "αἵματος ἆσαι Ἄρηα, ταλαύρινον πολεμιστήν" (Il. 5, 289) καὶ "ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης" (Il. 13, 444). ἐπὶ δὲ αὐτοῦ τοῦ θεοῦ οὕτως "καὶ δ' αὖθ' ἡ κυνάμυια ἄγει βροτολοιγὸν Ἄρηα" (Il. 21, 421) καὶ πάλιν "ἐς δὲ Τρῶας Ἄρης κορυθαίολος" (Il. 20, 38). ἐπὶ δὲ

3. *νομίζουσιν] ὀνομάζουσιν
6. πολλὰ] πὸ
8. *ἡ μεταφορὰ] om.
15. ποταμοῦ ex Arato] ποταμοῖο
17. ὅτι addidit Cobetus. Refertur ad διπλῆν huic scholio praescriptam.
24. προεληλυθυίας—αὐτῆς Lehrsius] παρεληλυθυίας—αὐτοῦ
32. κορυθαίολος] πόλεμον δέ addit.

τῆς πληγῆς "ἔνθα μάλιστα γίνετ' Ἄρης ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσιν" (Il. 13, 568).

388. *τελαμών] ὅτι ἐκ τελαμώνων ἀνῆπτον τὰς ἀσπίδας. τελαμὼν ὁ ἀναφορεὺς τῆς ἀσπίδος, ὅ ἐστι πλατὺς ἱμὰς, ἀφ' οὗ ἡ ἀσπὶς ἤρτηται. ἔστι δὲ καὶ ἕτερος τελαμὼν τοῦ ξίφους.

389. *ἀμφιβρότης] ὅτι περιφερεῖς καὶ ἀνδρομήκεις αἱ ἀσπίδες. ἐν τῇ συνθέσει προσλαμβάνει τὸ βροτός ὡς κεχρεωστημένον τὸ μ̄. τοῦτο δὲ οὐχ οὕτως.

393. προπεριισπαστέον τὸ ἐσσεῖται· οὐ γὰρ προπαροξυντέον, ὥς τινες, ἐπεὶ Δώριον· ἤδη γὰρ πολλὴ χρῆσις τῶν τοιούτων παρὰ Ἀττικοῖς. ὁ λόγος, τῷ θέλοντι φυγεῖν τὸν πόλεμον οὐχ ἱκανὸν οὐδὲ αὔταρκες γενήσεται πρὸς τὸ μὴ ὑπὸ κυνῶν καὶ σαρκοφάγων ὀρνέων διασπασθῆναι.

397. ὅτι οὐ γραπτέον, ως τινες, γένηται· ὁμηρικώτερον γὰρ οὕτως λέγειν, γένωνται τὰ κύματα, ὡς σπάρτα λέλυνται. οὕτως γένωνται αἱ Ἀριστάρχου. τοῦτο δὲ καὶ ὁ ἐκ τῶν ὑπομνημάτων λόγος ὑπόκειται ἔχων τῇδε· ἐπὶ τῶν κυμάτων λέγει τὸ γένωνται· τῷ τοιούτῳ πλεονάκις κέχρηται, ὥστε καὶ ἐπὶ τῶν οὐδετέρων τὰ πληθυντικὰ παραλαμβάνει. μεταποιοῦσι δέ τινες γένηται, οὐκ ὀρθῶς. ταῦτα ὁ Δίδυμος.

404–407. αἱ κατὰ τὰ τέλη τῶν τεσσάρων στίχων στιγμαὶ ἐν αἰτήματι· ὁ γὰρ λόγος συνάπτει καὶ τοὺς ἑξῆς ἕως τοῦ ἀτάλαντον· κοινὸν γὰρ αὐτοτελὲς ῥῆμα τὸ κίκλησκεν κατὰ πάντων· τὸ δὲ πρέπον διίστησιν.

408. βοὴν ἀγαθός] ἡ γὰρ δειλία θραύουσα τὸ πνεῦμα βραχεῖαν ἀπεργάζεται τὴν φωνήν.

412. Ζεῦ κύδιστε μέγιστε] ὅτι ἔν τισι γέγραπται Ζεῦ πάτερ Ἰδηθεν μεδέων. οὐχ ἁρμόζει δὲ τὸν ἐγχώριον Δία προσκαλεῖσθαι ἐπὶ τῆς πορθήσεως, ἀλλὰ βέλτιον κοινοτέραν.

415. πρῆσαι] ἐν ταῖς πλείσταις διὰ τοῦ λ̄, πλῆσαι· καὶ αἱ

7. *τὸ μ̄ cum Eustathio p. 243, 42] om.

9. προπαροξυντέον Lehrsius] παροξυντέον. Idem error in scholio ad 13, 317, de quo dixit Lehrsius ad Herod. p. 208.

16. τοῦτο—λόγος ὑπόκειται] Eadem structura infra ad v. 420 τοῦτο καὶ λέξις (λόγος Schmidtius Did. p. 122) ὑπόκειται, nisi utrobique τούτῳ scribendum cum Cobeto. Aliter ad 3, 57 ἐν ἐνίοις (ὑπομνήμασιν) λόγος ὑπέκειτο.

22. τοῦ] om.

Ἀριστάρχου. δύναιτο δ' ἂν καὶ διὰ τοῦ πρῆσαι ταυτὸν δηλοῦσθαι ὡς ἐκεῖ "ἐν δ' ἄνεμος πρῆσεν μέσον ἱστίον" (Il. 1, 481).

417. χαλκῷ ῥωγαλέον] ὅτι οὕτως εἴρηκεν ἀντὶ τοῦ χαλκῷ ῥηγέντα, καὶ ἐκ παρεπομένου ἐν μέρει τὸ ἀνελεῖν.

420. πόνον δ' ἀλίαστον ὄφελλεν] τοῦτο καὶ λέξις ὑπόκειται διὰ τοῦ α' τῶν ὑπομνημάτων, καὶ ἔστιν ἐμφατικωτέρα. οὐ χεῖρον δ' ἂν εἴη τὴν ἐκλογὴν ἐκθεῖναι· ἀλλ' ὄγε δέκτο μὲν ἱρὰ, πόνον δ' ἀλίαστον ὄφελλεν, οἷον αἴσια ἐσήμαινεν, ὥστε λέγειν τοὺς μάντεις ὅτι δέδεκται, τοιοῦτον μέντοι πόνον αὐτὸς ηὔξεν, ὃν οὐκ ἂν ἐκκλίνειεν. γελοῖον γὰρ ἂν ἦν, εἰ μὴ ἐποίει τοῦτο.

422. αὖ ἔρυσαν] ὅτι τὸ αὖ ἔρυσαν ἀντὶ τοῦ εἰς τοὐπίσω ἀνέκλασαν, ὃ ποιοῦσιν οἱ σφάζοντες.

424. πρὸς τὸ ὠμοθέτησαν, ὅτι ἐστὶν ἀπὸ τῶν μελῶν τῶν ὠμῶν ἀπάρξασθαι καὶ εἰς τὸν ἐπίπλουν ἐνθέντας ἱερεῦσαι.

427. μῆρ' ἐκάη] Πτολεμαῖος ἀπὸ τοῦ κ̄ τὴν ἀρχὴν ποιεῖται, μῆρε παραλαμβάνων, εἶτα κάη, ἵνα, φησὶν, ἰωνικώτερον γένηται. τοῦτο δὲ οὐ συνεκτικὸν, ὥσπερ εἶπον ἐντελῶς, ὁπότε διέλαβον ἐπὶ τοῦ "ἦ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί' ἔκηα" (Il. 1, 40), εἴ γε ἤδη οἶδε καὶ τὰ μῆρα. "μῆρα δὲ κείαντες" (Od. 13, 26).

*ἐπάσαντο] Ἀρίσταρχος Ἰακῶς πάσαντο.

435. μηκέτι νῦν δήθ' αὖθι λεγώμεθα] οὕτως αἱ Ἀριστάρχου λέξεις ἐκ τοῦ β' τῆς Ἰλιάδος· δηθά πολὺν χρόνον, αὖθι αὐτοῦ, λεγώμεθα συναθροιζώμεθα. ὁ δὲ λόγος τοιοῦτος· μηκέτι νῦν ἐπὶ πολὺν χρόνον αὐτοῦ συνηθροισμένοι μένωμεν. Ζηνόδοτος δὲ ποιεῖ μηκέτι νῦν ταῦτα λεγώμεθα. Καλλίστρατος δὲ ἐν τῷ α' περὶ Ἰλιάδος οὕτως προφέρεται, μηκέτι δὴ νῦν αὖθι λεγώμεθα· καὶ ἔστιν εὐφραδὴς μᾶλλον, ἀλλ' οὐκ Ἀριστάρχειος, ταῦτα ὁ Δίδυμος.

*λεγώμεθα ἀντὶ τοῦ ἀναλεγώμεθα.

ὅτι Ζηνόδοτος γράφει ταῦτα λεγώμεθα. ὁ δὲ Ὅμηρος εἴωθε λέγειν, ὅταν πολλὰ προειρήμενα ᾖ, ὡς ἐπ' Αἰνείου καὶ Ἀχιλλέως "ἀλλ' ἄγε μηκέτι ταῦτα λεγώμεθα" (Il. 20, 244).

4. ἐν μέρει] σημαίνει Friedl.
5. Lemma ἀλλ' ἄγε δέκτο μὲν ἱρὰ, πόνον δ' ἀλίαστον.
τοῦτο] Vid. ad 2, 397.
13. ὠμῶν] ὤμων
18. οἶδε καὶ Lehrsius] οἱ δ' ἀκάη
25. νῦν ταῦτα] νῦν δὴ ταῦτα scripserat Zenodotus, νῦν δήθ' αὖθι Aristarchus.
27. Ἀριστάρχειος] ἀριστοφ.

στρατηγικὴ ἡ παραγγελία, χρόνου φείδεσθαι· οὔτε γὰρ παρελθόντα ἀνακαλεῖσθαι οὔτε αἰτήσαντες λαβεῖν αὐτὸν δυνάμεθα. ἐρωτηθεὶς γοῦν Ἀλέξανδρος πῶς τῆς Ἑλλάδος ἐκράτησε, μηδὲν ἀναβαλλόμενος, εἶπεν.

διὰ τοῦ ζ τὸ ἐγγυαλίζει αἱ Ἀριστάρχειοι, καὶ Ἀπολλώνιος δὲ ὁ Ῥόδιος ὁμοίως προφέρεται, καὶ ἡ Ἀριστοφάνους.

437, 438. ἀδιάφορον εἴτε ἐπὶ τὸν μέν σύνδεσμον διαστέλλοιμεν, ἵν' ᾖ Ἀχαιῶν λαὸν, εἴτε ἐπὶ τὸ χαλκοχιτώνων, ἵν ᾖ κήρυκες Ἀχαιῶν.

438. *ἀγειρόντων] ἀντὶ τοῦ ἀγειρέτωσαν.

439. *δασύνειν δεῖ καὶ παροξύνειν τὸ ἀθρόοι ἐνθάδε.

440. *ἐγείρομεν] ἀντὶ τοῦ ἐγείρωμεν.

446. μετὰ δέ] λείπει τὸ ἦν αὐτοτελὲς ῥῆμα, διὸ καὶ στικτέον ἐπὶ τὸ κρίνοντες. εἰ δέ τις κοινὸν λαμβάνοι τὸ ἔθυνεν ἀπὸ τοῦ θῦνον, συναπτέον τοῖς ἐπάνω.

ἵνα μὴ ἀπιστοῖτο τὸ τάχος, τὴν θεὸν παρέλαβεν, καὶ ὡς ἄξια τῆς θεοῦ μελλόντων αὐτῶν κατορθοῦν.

447. διὰ τοῦ ων ἀγήρων ἡ Ἀριστάρχειος, καὶ ἔστι παραπλήσιον τὸ σχῆμα τῷ "ὑμεῖς δ' ἐστὸν ἀγήρω τ' ἀθανάτω τε" (Il. 17, 444). οὕτως καὶ ἡ Ἀριστοφάνειος. a m. rec.

448. ἑκατόν] ἀντὶ τοῦ πολλοί, ἢ τῷ ἀριθμῷ πίστιν πεπόρισται. a m. rec.

ἠερέθονται] αἰωροῦνται. παραγωγὸν δέ ἐστι τοῦ ἀείρω, ὡς τοῦ ἀγείρω τὸ ἠγερέθονται. Ζηνόδοτος δὲ γράφει παρατατικῶς ἠερέθοντο, ὅπερ οὐχ ἁρμόζει ἐπὶ ἀθανάτων.

449. ἑκατόμβοιος] ἑκατὸν βοῶν τιμῆς ἄξιος, ἢ ἑκατὸν χρυσῶν νομισμάτων. οἱ γὰρ ἀρχαῖοι ὑπερτιμῶντες τὸ ζῷον, τὸν βοῦν, διὰ πολλὰ μὲν καὶ ὅτι ἱερόν ἐστιν, ἐνεχάραττον τῷ μὲν ἑνὶ μέρει τοῦ νομίσματος βοῦν, τῷ δὲ ἑτέρῳ τὸ τοῦ βασιλέως πρόσωπον.

450. *παιφάσσουσα] πάντη τὰ φάη ἀΐσσουσα.

φῶ τὸ φαίνω· ἀναδιπλασιασμὸς παφάσσω, καὶ πλεονασμὸς παιφάσσω, οἱονεὶ φανερῶ, ὡς πταίνω παπταίνων, πάσσω πάλη παιπάλη. a m. rec.

1. *ἡ] om.
* φείδεσθαι] μὴ φείδεσθαι
9, 11. Quum versui 438 διπλῆ, versui 440 διπλῆ περιεστιγμένη sit praescripta, utrobique ὅτι ante ἀντί addit Cobetus.
10. δεῖ Cobetus] δὲ
ἐνθάδε] Est glossema vocabuli ὧδε.
30. παφάσσω Bekk.] πεφάσσω

λαὸν Ἀχαιῶν] ἑκατέρῳ δύναται προσδίδοσθαι, καὶ λόγον ἔχει ἀμφότερα.

452. ἐπὶ τὸ καρδίῃ βραχὺ διασταλτέον· ἔχει δὲ λόγον καὶ ἐπὶ τὸ ἄλληκτον διαστέλλειν, ἵν' ᾖ σθένος ἄλληκτον.

453, 454. ὅτι πρὸ τῆς Ἀγαμέμνονος ἀριστείας (Il. 11, 13) οὐκ ὀρθῶς φέρονται. διαστολὴ δὲ βραχεῖα ἐπὶ τὸ γένετ', ἐπεὶ μέρος ἐστὶ περιόδου.

455. ἠΰτε πῦρ] νῦν μάλιστα ἡ δύναμις τοῦ ποιητοῦ, ὅτε καθ' ἕκαστον πρᾶγμα διαφόρων εἰκόνων εὐπορεῖ. πρώτη γὰρ εἰκὼν ἡ ἀπὸ τῆς τῶν ὅπλων λαμπηδόνος· μεγεθύνεται δὲ τῇ ἀσπέτῳ ὕλῃ, καὶ τῷ ὄρει ἔνθα καταιγίδες εἰσί, καὶ τῇ κορυφῇ. διὸ θαρρῶν ἐπάγει "ἔκαθεν δέ τε φαίνεται αὐγή."

458. δι' αἰθέρος] ὅτι καθ' Ὅμηρον πρῶτος ἀπὸ γῆς ἐστὶν ὁ ἀήρ, εἶτα μετὰ τὰ νέφη αἰθήρ, ὃν καὶ ὁμωνύμως τῷ στερεμνίῳ οὐρανὸν καλεῖ.

461. Ἀσίῳ] Ἰωνικὴ γενικὴ παθοῦσα· τὸ γὰρ ὑγιές ἐστιν Ἀσίεω ὡς Ἀτρείδεω. διὸ χωρὶς τοῦ ῑ.

Ἄσιος υἱὸς Κότυος καὶ Μυιοῦς, Λυδῶν βασιλεύς, ὥς φησι Χριστόδωρος ἐν τοῖς Λυδιακοῖς "Κότυς λευκώλενον ἄλλην ἤγετο κουριδίην ὁμοδέμνιον, οὔνομα Μυιοῦν· ἡ δ' Ἀσίην τέκε κοῦρον."

ἀπὸ τοῦ Ἀσίου τοῦ Κότυος βασιλέως Λυδίας Κάϋστρος υἱὸς Πενθεσιλείας τῆς Ἀμαζόνος, ὃς ἐν Ἀσκάλωνι ἔγημεν τὴν Δερκετὼ καὶ ἐξ αὐτῆς ἔσχε τὴν Σεμίραμιν. ἡ δὲ Δερκετὼ παρὰ Σύροις καλεῖται Ἀταργατῖς.

462. ἀγαλλόμενα] οὕτως χωρὶς τοῦ ῑ, ἀγαλλόμενα, Ἀρίσταρχος, ἵν' ᾖ τὰ ἔθνη ἀγαλλόμενα. ἔνιοι δὲ προστιθέασι τὸ ῑ, πρὸς τὸ ὀρνίθων ἀνάγοντες τὸ ἀγαλλόμεναι· καὶ λόγου τινὸς ἔχονται.

463. τὰ συναγελαστικὰ τῶν ὀρνέων, ὅταν προλάβῃ τῇ πτήσει, ἀναμένειν εἴωθε τὰ ὑστεροῦντα.

ὑποστιγμὴ ἐπὶ τὸ προκαθιζόντων διὰ τὸ ὡς μόριον, καὶ ἐπὶ τὸ λειμών· μακρὰ γὰρ ἡ περίοδος, πέντε ἔπη περιέχουσα. τὸ δὲ ἑξῆς, ὀρνίθων πετεηνῶν ἔθνεα πολλὰ, κλαγγηδὸν προκαθιζόντων, ἔνθα

5. ὅτι—] Refertur ad ἀστερίσκον recte versibus 453, 454, male versui 455 praescriptum.

17. Μυιοῦς] μιοῦς et infra μιάν. V. Bast. ad Greg. Cor. p. 428.

19. Ἀσίην] Ἄσιον Mueller. Fragm. Hist. vol. 4 p. 360.

23. Ἀταργατῖς] ἀτάρκατις. V. Thes. vol. 1. 2 p. 2362.

30. Post λειμών lacunam indicavit Friedl.

καὶ ἔνθα ποτῶνται ἀγαλλόμενα πτερύγεσσι, σμαραγεῖ δέ τε λειμών. τὰ δὲ ἄλλα διὰ μέσου. τὸ δὲ σμαραγεῖ λάμπει· ὅθεν καὶ σμάραγδος ὁ λαμπρὸς λίθος.

467. Σκαμανδρίῳ] τὸ τῷ Σκαμάνδρῳ ποταμῷ παρακείμενον πεδίον. ὁ δὲ Σκάμανδρος καταφερόμενος ἀπὸ τῆς Ἴδης καὶ μέσον τέμνων τὸ ὑποκείμενον τῇ Ἰλίῳ πεδίον, καὶ ἐπὶ τὰ ἀριστερὰ ἐκδιδοὺς εἰς θάλασσαν. καλεῖται δὲ οὗτος καὶ Ξάνθος.

469. ἠΰτε μυιάων] ἀπ' ἄλλης ἀρχῆς τὴν παραβολὴν προοιστέον, ἵνα ὑποστίζωμεν ἐπὶ τὸ δεύει, τῆς ἀνταποδιδομένης τῷ ἠΰτε λέξεως ἀνακολούθως ἐχούσης, ὡς ἐν τῇ Θ (555) "ὡς δ' ὅτ' ἐν οὐρανῷ ἄστρα, τόσσα μεσηγὺ νεῶν."

471. *ὥρῃ ἐν εἰαρινῇ] κατ' ἐξοχὴν τῶν ἄλλων ὡρῶν.

474. αἰπόλια] αἰπόλιον τὸ τῶν αἰγῶν, ποίμνιον δὲ τὸ τῶν προβάτων, συβόσιον δὲ τὸ τῶν χοίρων, βουκόλιον δὲ τὸ τῶν βοῶν, ἱπποφόρβιον δὲ τὸ τῶν ἵππων.

*πλατέα] μεγάλα, ἢ ὅτι ἐν διαστήματι καὶ πλάτει νέμονται αἱ αἶγες.

478. ὄμματα καὶ κεφαλὴν ἴκελος Διὶ τερπικεραύνῳ] συγγραφεῖς μὲν τὸ ἀληθὲς μεταδιώκουσι, τραγικοὶ δὲ τὸ σεμνότερον, κωμικοὶ δὲ τὸ ἔλασσον, ἅπερ ἅπαντα παρὰ τῷ ποιητῇ ἐστὶν, κωμῳδία μὲν ὡς ἐπὶ Θερσίτου, συγγραφικὴ δὲ ὡς ἐπὶ τοῦ "τῷ δ' ἔχεν Αὐτομέδων" (Il. 9, 209). καὶ ἐπὶ Ἀγαμέμνονος νῦν καλλίων τῆς ἀληθινῆς καὶ μεγαλοπρεπεστέρα ἡ ὄψις ἀναπέπλασται. καὶ ἱκανὸν ἦν ἑνὶ θεῷ εἰκάζειν αὐτὸν, ὁ δὲ τρεῖς παρέλαβεν, ἑκάστου τὸ διαπρεπὲς ἐκλεξάμενος, τοῦ Διὸς μὲν τὸ ἡγεμονικὸν καὶ ἐποπτικὸν, ἐννοσιγαίου δὲ τὸ ἰσχυρὸν, οἷς τὰ βάρη κατέχομεν, Ἄρεως δὲ τὰ μάλιστα ἐν πολέμῳ φαινόμενα. οἱ δὲ τὸ ἀξιωματικὸν, τὸ γεραρὸν, τὸ πολεμικόν.

*ἴκελος Διΐ] τὸ ὅμοιος καὶ ἴσος καὶ τὸ ἴκελος δοτικῇ συντάσσεται.

484. ἔσπετε νῦν μου, Μοῦσαι] ὡς ἐπὶ ἐργώδη καὶ θαυμασίαν περιπέτειαν τὰς Μούσας παρακαλεῖ, ὥστε τὸν ἀκροατὴν διὰ τὸ μέ-

5. τέμνων — ἐκδιδοὺς] τέμνει — ἐκδίδωσιν Bekk.
18. *συγγραφεῖς] γραφεῖς
19. τραγικοὶ δὲ τὸ σεμνότερον] *ῥήτορες δὲ τὸ δεινὸν, τραγικοὶ δὲ τὸ σεμνὸν
20. *κωμῳδία μὲν et συγγραφικὴ δὲ ὡς ἐπὶ τοῦ] om.
21. *τῷ] καὶ τῷ
22. *καλλίων—ἀναπέπλασται] om.
23. *ἦν] om.
24. *παρέλαβεν—Διὸς] εἴκασεν—βασιλέως

γεθος ὄρεξιν ἔχειν καὶ συγγινώσκειν τοῖς ἐνδεέστερον λεγομένοις. εὐτελίζων δὲ τὴν ἰδίαν φύσιν τὴν ἀπὸ τῶν ἀκουόντων ἐπεσπάσατο εὔνοιαν. ὁ δὲ λόγος, ἔσπετε νῦν μοι, Μοῦσαι, οἵτινες ἡγεμόνες· ἀρχοὺς γὰρ νηῶν ἐρέω, πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι, οὐδ' εἰ δεκαπλασίων ἐμαυτοῦ γένωμαι· ὑμῶν γάρ ἐστι τὸ ἔργον.

ζητοῦσί τινες διὰ ποίαν αἰτίαν τῆς μὲν ὅλης πραγματείας ἀρχόμενος ὁ ποιητὴς μίαν ἐπεκαλέσατο τῶν Μουσῶν, ἐπὶ δὲ τοῦ καταλόγου τὰς πάσας. λέγουσί δέ τινες τῶν γραμματικῶν ἐπὶ τοῦ μῆνιν ἄειδε τὸν τρόπον εἶναι συνεκδοχὴν, ὡς ἀπὸ μιᾶς τῆς κυριωτέρας τῶν Μουσῶν νοεῖσθαι τὰς πάσας. ἄλλοι δὲ λέγουσιν ὅτι περὶ ἑνὸς μὲν προσώπου καὶ τῆς ὀργῆς τῆς τούτου τὸν λόγον ποιούμενος δεόντως πρὸς μίαν τῶν Μουσῶν ἐποιήσατο τὸν λόγον, μέλλων δὲ κατάλογον ἐρεῖν νεῶν καὶ βασιλέων ἐθνῶν τε καὶ τόπων πλήθους τε πραγμάτων εὐλόγως πρὸς ἁπάσας τὰς Μούσας τὸν λόγον ἀπερείδεται.

τὸ ἑξῆς ἐστὶν, ἔσπετε οἵ τινες, τὰ δὲ λοιπὰ διὰ μέσου· καὶ διασταλτέον μὲν ἐπὶ τὸ ἔχουσαι, ἀνυποκρίτως δὲ στίζεται ἐπὶ τὸ ἐστέ καὶ πάρεστε καὶ πάντα καὶ ἀκούομεν καὶ ἴδμεν. δύναται δὲ καὶ στίζεσθαι κατὰ τὸ τέλος ὁ πρῶτος στίχος καὶ ὁ δεύτερος, ἵνα ἕκαστον ᾖ καθ' ἑαυτὸ καὶ συνάπτηται. οὐδέ τι ἴδμεν οἵτινες ἡγεμόνες, περισσεύοντος οὗ τι μορίου. πρότερον γὰρ ἐπεῖχέ τινα χώραν.

Ὀλύμπια δώματ' ἔχουσαι] ὅτι Ζηνόδοτος γράφει Ὀλυμπιάδες βαθύκολποι. οὐδέποτε δὲ τὰς Ἑλληνίδας γυναῖκας βαθυκόλπους εἴρηκεν, ὥστε οὐδὲ τὰς Μούσας.

ψιλωτέον δὲ τὸ ἔσπετε· ἀπὸ γὰρ τοῦ ἔπω ἐστὶ τοῦ σημαντικοῦ τοῦ λέγω, ἐν πλεονασμῷ τοῦ σ.

485. πάρεστε] ὅτι τινὲς γράφουσι παρῆστε, οἷον κατ' ἐκεῖνον τὸν χρόνον. βέλτιον δὲ καθολικῶς ἐπὶ πάντων.

εἶ φησιν ἀγνοεῖν τοὺς ἡγεμόνας, πῶς ὑποκατιών (493) φησιν "ἀρχοὺς αὖ νηῶν ἐρέω;" στικτέον οὖν εἰς τὸ ἴδμεν, καὶ τὸν λόγον οὕτως ἐκδεκτέον· δύο ὑποτίθεται, ὧν τὸ μὲν μηδὲ ὅλως δύνασθαι διὰ τὸ πλῆθος εἰπεῖν, τὸ δὲ δύνασθαι μὲν, χρῄζειν δὲ τῆς τῶν Μουσῶν συμμαχίας. ἔστιν οὖν τὸ πᾶν, ἔσπετε νῦν μοι Μοῦσαι οἵτινες

4. * οὐδ'] om.

5. ἔργον] * ἔργον τοῦτο. Post ἔργον sequitur scholion versus 490.

11. προσώπου] * προσώπου τοῦ Ἀχιλλέως

21. Lemma ἔσπετε νῦν μοι Μοῦσαι. Legitur hoc scholion supra ante scholion ab verbis ὡς ἐπὶ ἐργώδη incipiens.

ἡγεμόνες· ἀρχοὺς δ' αὖ νηῶν ἐρέω νῆάς τε προπάσας, πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι, εἰ μὴ αὐταὶ αἱ Μοῦσαι δι' ἑαυτῶν εἴποιεν· τὸ δὲ ὑμεῖς γὰρ θεαί ἐστε ἐμεσολάβησε τοῦ ἔσπετε νῦν μοι Μοῦσαι οἵτινες ἡγεμόνες, ὥσπερ αἰτίαν ἐπαγαγὼν τοῦ πρὸς τὰς Μούσας ἀπερεῖσαι τὸν λόγον.

488. πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι] ἤτοι ὅτι περισσὸς ὁ ἄν, ἢ ὅτι μυθήσομαι εἴρηκεν ἀντὶ τοῦ μυθησαίμην. πάλιν δὲ διὰ μέσου τὸ διστίχιον. τὸ γὰρ ἑξῆς, πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι, εἰ μὴ Ὀλυμπιάδες· τὰ δὲ λοιπὰ διὰ μέσου, ὡς ἔθος. διὸ στίζομεν ἀνυποκρίτως ἐπὶ τὸ Μοῦσαι. διασταλτέον δὲ καὶ θυγατέρες.

489. οὐδ' εἴ μοι δέκα] ὅτι ἡ ἰδιότης τῆς ὑπερβολῆς Ὁμηρική. καὶ ἐν Ὀδυσσείᾳ "οὐδ' εἴ οἱ χεῖρές τε ἐείκοσι καὶ πόδες εἶεν" (12, 78). ἡ δὲ ἀναφορὰ πρὸς τοὺς περιγράφοντας τούτους τοὺς στίχους.

490. διὰ δὲ τοῦ εἰπεῖν "φωνὴ δ' ἄρρηκτος" δηλοῖ ὅτι σῶμά ἐστιν ἡ φωνή.

493. *προπάσας] ὅτι περισσὴ ἡ πρό πρόθεσις.

494. ἄρξασθαί φασί τινες ἀπὸ Βοιωτῶν τὸν Ὅμηρον τοῦ καταλόγου ὡς κεχαρισμένον ταῖς Μούσαις ἃς ἐπεκαλέσατο· αὐτόθι γὰρ ἐν Βοιωτίᾳ εἶναι τὸν Ἑλικῶνα τὸ ὄρος, ὅπου σύνηθες αὐταῖς διατρίβειν. ἀντιλέγουσι δέ τινες τούτοις, φάσκοντες οὐ τῆς Βοιωτίας, ἀλλὰ τῆς Φωκίδος εἶναι τὸν Ἑλικῶνα· μὴ οὖν ἀπὸ Βοιωτῶν τὴν ἀρχὴν διὰ τοῦτο γεγενῆσθαι. τινὲς δὲ ὅτι ἀνθ' ὧν οὗτοι μόνοι πέντε εἶχον ἡγεμόνας. ἄλλοι δέ φασιν οὐ διὰ τοῦτο, ἀλλ' ἐπεὶ πολλὰς πόλεις εἶχεν ἡ Βοιωτία, διὰ τοῦτο ἐντεῦθεν ἄρξασθαι αὐτὸν τοῦ καταλόγου. οὐκ ἔστι δὲ οὐδὲ τοῦτο ὑγιές· οὐ γὰρ ἀπὸ πλήθους πόλεων ὁ κατάλογος παραμετρεῖται· ἤρξατο γὰρ ἂν μᾶλλον ἀπὸ Κρητῶν ἐχόντων ἑκατὸν πόλεις. βέλτιον δὲ λέγειν αὐτὸν ἀπὸ Βοιωτῶν ἤρχθαι ἐπειδήπερ ἐν Αὐλίδι πόλει τῆς Βοιωτίας συνήχθη ἅπαν τὸ πλῆθος τῶν ἐπὶ τὴν Ἴλιον μελλόντων στρατεύειν· ἔχει δὲ αὕτη ἡ πόλις λιμένας

1. δ'] om.

6. περισσὸς ὁ ἄν, ἢ ὅτι μυθήσομαι Friedlaenderus] περισσ̣ὸ̣ς εἰ μυθήσομαι

7. πάλιν] Novi scholii initium.

10. Μοῦσαι:—cum signo scholii finiti. διὸ στίζομεν ἀνυποκρίτως ἐπὶ τὸ ἐνείη, διασταλτέον δὲ Μοῦσαι καὶ θυγατέρες Friedl.

13. τούτους τοὺς στίχους] τοῦτον τὸν στίχον (i. e. versum Odysseae) Cobetus.

15. διὰ δὲ] δὲ additum quia hoc scholion in A adiunctum est scholio versus 484 post ὑμῶν γάρ ἐστι τὸ ἔργον.

τοὺς μὲν βλέποντας ἐπὶ τὴν Ἴλιον, τοὺς δὲ καταγωγοὺς ἀπὸ τῆς Ἑλλάδος ἁπάσης, δι' ἣν αἰτίαν συνηθροίσθησαν αὐτόθι καὶ ἐντεῦθεν ἀπέπλευσαν. ὁ δὲ Ἀρίσταρχός φησι κατὰ ἐπιφορὰν αὐτὸν τὴν ἀρχὴν ποιήσασθαι· εἰ γὰρ καὶ ἀπ' ἄλλου ἔθνους ἤρξατο, ἐζητοῦμεν ἂν τὴν αἰτίαν τῆς ἀρχῆς.

ἡ Βοιωτία τὸ πρότερον Ἀονία ἐκαλεῖτο ἀπὸ τῶν κατοικούντων ἐν αὐτῇ Ἀόνων. μετωνομάσθη δὲ Βοιωτία κατὰ μέν τινας ἀπὸ Βοιωτοῦ τοῦ Ποσειδῶνος καὶ Ἄρνης, καθ' ἑτέρους δὲ ἀπὸ τῆς ἐλαθείσης κατὰ τὸ πυθόχρηστον ὑπὸ Κάδμου βοός. Εὐρώπης γὰρ τῆς Φοίκινος θυγατρὸς ἐκ Σιδῶνος ὑπὸ Διὸς ἁρπαγείσης, Κάδμος ὁ ἀδελφὸς αὐτῆς κατὰ ζήτησιν πεμφθεὶς ὑπὸ τοῦ πατρὸς, ὡς οὐχ εὗρεν αὐτὴν, ἦλθεν εἰς Δελφοὺς ἐρωτήσων τὸν θεόν. ὁ δὲ θεὸς εἶπεν αὐτῷ περὶ μὲν Εὐρώπης μὴ πολυπραγμονεῖν, χρῆσθαι δὲ καθοδηγῷ βοΐ, καὶ πόλιν ἐκεῖ κτίζειν ἔνθα ἂν αὕτη εἰς τὰ δεξιὰ πέσῃ καμοῦσα. τοιοῦτον λαβὼν χρησμὸν διὰ Φωκέων ἐπορεύετο· εἶτα βοῒ συντυχὼν παρὰ τοῖς Πελάγονος βουκολίοις ταύτῃ πορευομένῃ κατόπιν εἵπετο. ἡ δὲ διεξιοῦσα πᾶσαν Βοιωτίαν ὀκνήσασα ἀνεκλίθη ἔνθα νῦν εἰσὶν αἱ Θῆβαι. βουλόμενος δὲ Ἀθηνᾷ τὴν βοῦν καταθῦσαι πέμπει τινὰς τῶν μεθ' ἑαυτοῦ ληψομένους χέρνιβα ἀπὸ τῆς Ἀρητιάδος κρήνης. ὁ δὲ φρουρῶν τὴν κρήνην δράκων, ὃν Ἄρεως ἔλεγον εἶναι, τοὺς πλείονας τῶν πεμφθέντων διέφθειρεν. ἀγανακτήσας δὲ Κάδμος κτείνει τὸν δράκοντα, καὶ τῆς Ἀθηνᾶς αὐτῷ ὑποθεμένης τοὺς τούτου ὀδόντας σπείρει· ἀφ' ὧν ἐγένοντο οἱ γηγενεῖς. ὀργισθέντος δὲ Ἄρεως καὶ μέλλοντος Κάδμον ἀναιρεῖν ἐκώλυσεν ὁ Ζεὺς, καὶ Ἁρμονίαν αὐτῷ συνῴκισε τὴν Ἄρεως καὶ Ἀφροδίτης. πρότερον δὲ ἐκέλευσεν αὐτὸν ἀντὶ τῆς ἀναιρέσεως τοῦ δράκοντος ἐνιαυτὸν θητεῦσαι, ἐν δὲ τῷ γάμῳ Μούσας ᾆσαι καὶ τῶν θεῶν ἕκαστον Ἁρμονίᾳ δῶρον δοῦναι. ἱστορεῖ Ἑλλάνικος ἐν Βοιωτιακοῖς καὶ Ἀπολλόδωρος ἐν τῷ γ'.

Πηνέλεως καὶ Λήϊτος] ἰστέον ὅτι ἐτίθεσαν οἱ πλεῖστοι τῶν παλαιῶν προληπτικῶς τὰς ὀνομασίας τοῖς παισὶν ἀφ' ὧν ἔμελλον οἱ παῖδες ἐπιτηδεύειν πραγμάτων. σφόδρα δὲ αὐτοῖς ἔμελε τὰ τοῦ

15. *Φωκέων] φωκείων
16. Πελάγονος] Πελάγοντος Apollod.
17. αἱ Θῆβαι] αἱ θῆβαι
18. *τινὰς — ληψομένους] τινὰ ληψόμενον
23. *σπείρει· ἀφ' ὧν] σπείρειν, ἀφ' οὗ.
28. ἐν τῷ γ'] Cap. 4. 1 cuius verba partim servavit scholiasta.
31. *ἔμελε] ἔμελλεν
*τοῦ] om.

πολέμου. διὸ Πηνέλεως μὲν ὠνομάσθη ἀπὸ τοῦ πένεσθαι περὶ τὸν λεὼν, ὅ ἐστι πονεῖν καὶ ἐργάζεσθαι κατὰ τὸν ὄχλον· Λήϊτος δὲ ἀπὸ τοῦ λείαν ἄγειν (λεία δὲ ἡ ἀπὸ πολέμου κτῆσις)· Ἀρκεσίλαος δὲ ἀπὸ τοῦ ἐπαρκεῖν καὶ βοηθεῖν τοῖς λαοῖς, τουτέστι τοῖς ὄχλοις· Προθοήνωρ δὲ ὁ προθέων ἠνορέῃ, τουτέστιν ἀνδρείᾳ· Κλονίος δὲ ὁ γενναῖος καὶ μάχιμος γενησόμενος· κλόνος γὰρ ἡ μάχη.

495. Κλονίος] παροξύνεται, ἐπεὶ τὰ εἰς ος λήγοντα, τῷ ι παραληγόμενα, τριβράχεα ἐπὶ κυρίων παροξύνεται, Σχεδίος Χρομίος Δολίος. ἀντιπίπτει τὸ Ἄλιος κατὰ τὴν παράδοσιν, καὶ τὸ Ἄνιος καὶ Κρόνιος καὶ Ξένιος.

496. οἵ θ' Ὑρίην] οὐ παρέλαβον σύνδεσμον τὸν τέ, ἀλλ' ὄντως παρέλαβον Θυρίαν τὴν πόλιν, οὐκ εὖ δέ· ἀπὸ γὰρ Ὑριέως καὶ ἡ Ὑρία οὕτως ὀφείλει ἔχειν τὸν τοῦ υ φθόγγον. μαρτυρεῖ καὶ Ἡσίοδος λέγων "ἣ οἵην Ὑρίη Βοιωτίη ἔτρεφε κούρην."

Αὐλίδα] ὡς ἀπὸ ὀξυτόνου εὐθείας ἡ ἀνάγνωσις, καὶ εἰ μέντοι παρὰ τῷ Εὐφορίωνι "Αὖλίν τέ σφ' ἄγον" αἰτιατικὴ ἀπὸ εὐθείας βαρυνομένης γέγονεν. ἡ γὰρ εἰς ιν κατάληξις ἀπὸ βαρυτόνων ἐστὶν, ἡ δὲ εἰς δα καὶ ἀπὸ βαρυτόνων καὶ ὀξυτόνων.

497. Σχοῖνόν τε Σκῶλόν τε πολύκνημόν τ' Ἐτεωνόν] καθ' ἕκαστον ὄνομα ἐκ φύσεως καὶ λόγου διαστολή ἐστι βραχυτάτη διὰ τὴν ἐπανάληψιν τῶν ὀνοματικῶν, ἣν ἐν τοῖς ἀντιγράφοις τιθέναι οὐκ ἐπείγει, κατὰ δὲ τὴν προφορὰν σώζειν.

498. Θέσπιαν] ἐκτετάσθαι φασὶ διὰ τὸ μέτρον· τὸ γὰρ τῆς ἱστορίας ἐν συστολῇ τέ ἐστι πληθυντικῶς τε λεγόμενον. ἴσως οὖν ὅλον ποιητικόν ἐστιν· σύνηθες γὰρ αὐτῷ πολλάκις τὰ πληθυντικῶς λεγόμενα καὶ ἑνικῶς προφέρεσθαι, "καὶ εὐρυάγυιαν Ἀθήνην" (Od. 7, 80), "πολυχρύσοιο Μυκήνης" (Il. 7, 180), καὶ ἐκ τοῦ ἐναντίου τὰ ἑνικὰ πληθυντικῶς· "ἐκ μὲν Κρητάων γένος εὔχομαι" (Od. 14, 199). ταῦτα ἐν τῇ προσῳδίᾳ ὁ Ἡρωδιανός. ἐν μέντοι τῷ ιά τῆς καθολικῆς προσῳδίας ἐν τοῖς προπαροξυτόνοις καὶ ἔχουσι πρὸ τέλους τὴν ει δίφθογγον αὐτὸ καταριθμεῖ, καὶ τοῦτο αὐτὸ τὸ Ὁμηρικὸν παρατίθησι,

3. * ἄγειν] ἀζειν (sic)
11. οὐ Bekk.] ποῦ A. ὅτι οὐ Cobetus.
14. * ἣ οἵην Ὑρίη Βοιωτίη ἔτρεφε] ἣ δίη ὑρίη βοιωτίης τρέφε
16. τέ σφ' ἄγον Meinekius fr. 12] τ' ἔσφαγον
21. ὀνοματικῶν] ὑποτακτικῶν Friedl.
22. σώζειν Vill.] σώζει
23. In textu est θέσπῖαν, in marg. ει a m. rec.

καὶ ἀλλαχοῦ λέγει τὴν ει ἔχειν αὐτὸ φανερῶς, καὶ ἐπιφέρει ὅτι καὶ Θεσπιά ὀξυτόνως λέγεται.

499. Ὕλην] ὅτι νῦν μὲν ἐκτεταμένως Ὕλην εἴρηκεν, ἐν ἄλλοις δὲ συνεσταλμένως "Ὑλῃ ἔνι οἰκία ναίων" (Il. 7, 221). νῦν δὲ καλοῦνται Ὕλαι πληθυντικῶς.

502. Θίσβην] ὅτι Ζηνόδοτος γράφει Μέσσην. ἔστι δὲ ἡ Μέσση τῆς Λακωνικῆς, ἣν ἐν ἄλλοις Μεσσήνην καλεῖ.

507. ὅτι Ζηνόδοτος γράφει Ἄσκρην ἔχον. οὐ δύναται δὲ πολυστάφυλος ἡ Ἄσκρη λέγεσθαι. ἀξιοπιστότερος γάρ ἐστιν Ἡσίοδος λέγων "Ἄσκρῃ χεῖμα κακῇ, θέρει ἀργαλέῃ" (O. 638)· ὥστε οὐδὲ πολύκαρπος λέγοιτο ἄν.

511. Ὀρχομενὸν Μινύειον] ἡ διπλῆ ὅτι καὶ ἕτερος Ὀρχομενός ἐστιν Ἀρκαδικός. ἀλλ' ὁ μὲν Βοιωτιακὸς Μινύειος καλεῖται, ὁ δὲ Ἀρκαδικὸς πολύμηλος· καὶ τοῖς ἐπιθέτοις διαστέλλεται ἡ ὁμωνυμία.

514. ὑπερῴϊον εἰς ἀναβᾶσα] εἰς τὸ δίστεγον ἀνελθοῦσα· οἱ γὰρ ἀρχαῖοι ταῖς γυναιξὶν ὑπερῴους τοὺς θαλάμους κατεσκεύαζον ὑπὲρ τοῦ δυσεντεύκτους αὐτὰς εἶναι.

τὴν εἰς πρόθεσιν χωριστέον τοῦ ἀναβᾶσα· ἀναστροφὴ γὰρ, εἰς ὑπερῴϊον ἀναβᾶσα. τὸ δὲ διάστημα οὐ πάνυ τι αἰσθητόν.

516. τῶν δέ] κατὰ δοτικὴν τοῖς δέ αἱ Ἀριστάρχου. καὶ ἔστιν ὅμοιον τῷ "τοῖσι δ' ἅμ' ὀγδώκοντα" (568). καὶ τὸ ἑνικὸν "τῷ δ' ἅμα τεσσαράκοντα" (534).

517. Φωκήων] τὰ τοιαῦτα διχῶς ἐν ταῖς Ἀριστάρχου εὑρίσκομεν, καὶ διὰ τοῦ ει Φωκείων, καὶ διὰ τοῦ η Φωκήων. τοὺς δὲ Φωκεῖς οἱ μὲν ἀπὸ Φώκου τοῦ Ψαμάθης καὶ Αἰακοῦ, οἱ δὲ τοῦ Ποσειδῶνος καὶ Προνόης τῆς Ἀσωποῦ.

ὅτι καὶ ἕτερος Σχεδίος ἐστὶ Φωκεὺς, τῶν ἐπὶ μέρους ἡγεμὼν, καὶ ἀμφότεροι ὑφ' Ἕκτορος ἀναιροῦνται· "ἔνθ' Ἕκτωρ μὲν ἕλε Σχεδίον ἀρχὸν Φωκήων" (Il. 15, 515). ἡ δὲ ἀναφορὰ πρὸς τὰ περὶ Πυλαιμένους.

518. Ἰφίτου] τὴν μέσην συλλαβὴν ἐκτείνομεν τοῦ Ἰφίτου διὰ τὸ μέτρον. ἐν ἑτέροις γοῦν φυλάσσομεν τὸν χρόνον· "Ἴφιτος Εὐρυτίδης" (Od. 21, 14).

519. ὠνομάσθη Κυπάρισσος ἀπὸ Κυπαρίσσου τοῦ Ὀρχομενοῦ ἀδελφοῦ, ἢ ἀπὸ τῶν ἐν αὐτῇ φυομένων κυπαρίσσων. ὁμωνύμως δὲ τῷ δένδρῳ ἀνεγνώσθη.

19. πάνυ τι Friedl.] παντὶ 25. *οἱ δὲ] om.
29. περὶ] om. Vid. ad p. 133, 11.

Πυθῶνα] καὶ αὕτη πόλις Φωκίδος. τὸ πρότερον δὲ ἐκαλεῖτο Παρνασσία νάπη ὡς ἀπὸ τοῦ παρακειμένου ὄρους, ἔπειτα Πυθὼν, ὕστερον δὲ Δελφοί· καὶ Πυθὼ μὲν, ἐπεὶ κατεσάπη αὐτόθι ὁ δράκων ὁ τὸ μαντεῖον πρότερον φυλάττων, ὃν ἀπέκτεινε τοξεύσας ὁ Ἀπόλλων· πύθεσθαι γὰρ τὸ σήπεσθαι, ὡς τὸ "σέο δ' ὀστέα πύσει ἄρουρα" (Il. 4, 174). ἢ ὡς ἔνιοί φασι, διὰ τὸ παραγινομένους αὐτόθι πυνθάνεσθαι τοὺς ἀνθρώπους περὶ ὧν ἐθέλουσιν.

520. Κρῖσαν] Κρῖσα πεδίον ἐν Λοκρίδι ἢ ὡς οἱ πλείονές φασιν ἐν Δελφοῖς, ὀνομασθὲν ἀπὸ Κρίσου τοῦ Τυράννου καὶ Ἀστεροδείας τῆς Δηϊονέως. Δαυλὶς δὲ πόλις Φωκίδος, ἀπὸ Δαυλιέως ὀνομασθεῖσα τοῦ τυράννου καὶ Χρηστώνης, ἢ διὰ τὸ σύμφυτον· δαυλὸν γὰρ τὸ δασὺ ἔλεγον οἱ ἀρχαῖοι.

Πανοπῆα] πόλις Φωκίδος, ῥηθεῖσα ἀπὸ Πανοπέως τοῦ Φώκου.

ὅτι Ζηνόδοτος γράφει καὶ Πανοπτέων, ἄμετρον ποιῶν τὸν στίχον καὶ οὐ καθ' Ὅμηρον σχηματίζων τὸ ὄνομα. ἔστι γὰρ Πανοπεύς ὡς Ἀχιλλεύς· "ὃς ἐν κλειτῷ Πανοπῆϊ" (Il. 17, 307).

521. Ἀνεμώρειαν] αὕτη μεταξὺ κεῖται Φωκίδος καὶ Δελφῶν, ἐφ' ὑψηλοῦ τόπου, ὅθεν καὶ οὕτως ὠνομάσθη παρὰ τὸ καταπνεῖσθαι αὐτὴν σφοδρῶς.

Ὑάμπολιν] οὕτως ἀνεγνώσθη ὡς φιλόπολις· ἓν γάρ ἐστιν. ἱστοροῦσι δὲ τοὺς ἐγχωρίους καὶ σὺν τῷ σ̄ λέγειν Ὑσάμπολιν.

522. οἵ τ' ἄρα πὰρ ποταμὸν Κηφισόν] οὗτοι Ἐπικηφίσιοι λέγονται, ὑπὸ δέ τινων παραποτάμιοι. ὁ δὲ Κηφισὸς ποταμός ἐστι τῆς Φωκίδος, ἔχων τὰς πηγὰς ἐκ Λιλαίας, ὥς φησιν Ἡσίοδος "ὅστε Λιλαίηνσι προΐει καλλίρροον ὕδωρ."

523. πηγῇς ἔπι] Πτολεμαῖος ἀναστρέφει καὶ Πάμφιλος. Ἀλεξίων συντάσσει τῇ γενικῇ τὴν πρόθεσιν, καὶ οὐκ ἀναστρέφει. Ἀρίσταρχος δὲ τοῖς κυριωτέροις συνέτασσε τὰς προθέσεις.

527. Λοκρῶν] Λοκρῶν νῦν μέμνηται τῶν Ἐπικνημιδίων καλουμένων· οὗτοι γὰρ ἀντικρὺ τῆς Εὐβοίας τὴν οἴκησιν πεποίηνται, οἱ ὑπὸ τῷ Αἴαντι ὄντες. εἰσὶ δὲ καὶ ἕτεροι Λοκροὶ, ἐπικαλούμενοι

1. *Παρνασσία] παρνασσεία
5. ὀστέα] ὀστᾶ
9. Ἀστεροδείας] ἀστεροδίας
10. Δηϊονέως] διονος
11. Χρηστώνης] *Κρηστώνης
14. καὶ Πανοπτέων] καὶ Πανόπεων apud Eustathium, quod non minus ἄμετρον. ἠδὲ Πανοπτέων Duentzer.
21. Ὑσάμπολιν] Συάμπολιν Lobeckius ad Soph. Ai. p. 367.
24. ὅστε] ὥστε. Apud Hom. h. in Apoll. 242. ὅστε Λιλαίηθεν προχέει.

Ὀζόλαι, περὶ τὴν Αἰτωλίαν ἐπὶ τῆς ἑτέρας πλευρᾶς οἰκοῦντες κατὰ τὸ Κρισαῖον πεδίον, κεκλημένοι οὕτως ἀπὸ τοῦ αὐτόθι ῥέοντος Ὄζοντος ποταμοῦ, ὃν ἐποίησαν δυσώδη οἱ ἰχῶρες τοῦ Κενταύρου τοῦ ὑπὸ Ἡρακλέους τρωθέντος, ὁπηνίκα διάγων Δηϊάνειραν τὴν Οἰνέως κατὰ τὸν Εὐηνὸν ποταμὸν ἐπεχείρει βιάζεσθαι. ἢ ὅτι εἰσὶν αἰγονόμοι, καὶ τὰς δορὰς τῶν βοσκημάτων δυσώδεις οὔσας καὶ ἀβυρσεύτους ἀμφιέννυνται. τούτων δὲ ἄποικοί εἰσιν ἕτεροι Λοκροί, οἱ Ἐπιζεφύριοι καλούμενοι διὰ τὸ ἐπὶ Ζεφυρίῳ ὄρει τῆς Ἰταλίας παροικεῖν.

Ὀϊλῆος] ἡ διπλῆ, ὅτι τινὲς τῶν νεωτέρων ἀνέγνωσαν χωρὶς τοῦ ō, ὡς ἄρθρου ὄντος, εἶτα Ἰλῆος. ὁ δὲ Ὅμηρος σὺν τῷ ō λέγει τὸν Ὀϊλῆα. τὸ δὲ ἑξῆς ἐστὶ Λοκρῶν οἳ Κῦνον· τὰ δὲ λοιπὰ διὰ μέσου, ὧν ἡ διόρθωσις προείρηται.

528. ὅτι Ζηνόδοτος ἠθέτηκεν αὐτόν. ἀναγκαῖος δέ ἐστι. προδιασυνίστησι γὰρ ὅτι ἥττων ἐστὶ κατὰ τὸ μέγεθος τοῦ Τελαμωνίου. ἐκεῖνον μέντοι γε μέγαν λέγει.

529, 530. ἀθετοῦνται ἀμφότεροι, ὅτι προείρηκε "μείων, οὔτι τόσος γε," καὶ πρὸς οὐδὲν διλογεῖ "ἀλλὰ πολὺ μείων." καὶ οὐδὲ πολὺ λείπεται τοῦ ἑτέρου. κακῶς δὲ καὶ τὸ λινοθώρηξ· οἱ γὰρ Ἕλληνες οὐκ ἐχρῶντο λινοῖς θώραξι. διὰ παντὸς γὰρ χαλκοχίτωνας αὐτοὺς λέγει. καὶ Ἕλληνας οὐδέποτε εἴρηκεν, ἀλλ' Ἀργείους ἢ Δαναούς· καὶ οὐδὲ Ἑλλάδα τὴν οἰκουμένην ὑπὸ Ἑλλήνων, ἀλλὰ μίαν πόλιν Θεσσαλίας, ἧς τοὺς οἰκήτορας Ἕλληνας λέγει· "Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί" (648).

532. ὅτι Ζηνόδοτος γράφει Βῆσαν ἐν τῷ ἑνὶ σ̄, διὰ τὸ βήσσας λέγεσθαι τῶν ὀρῶν τοὺς καθύγρους τόπους. ἔστι μέντοι προσηγορικὰ ἅ τινων κύρια γίνεται, οἷον Κυπάρισσος, καὶ πόλεως ὄνομα.

Αὐγειὰς ὡς καλιάς· συνήθης γὰρ ἡ τοιαύτη ἀνάγνωσις τῷ ποιητῇ, Ἰωνικωτέρα οὖσα.

535. Εὐβοίης] Εὔβοια νῆσος παρακειμένη τῇ Ἀττικῇ καὶ Βοιωτίᾳ καὶ Φωκίδι καὶ Λοκρίδι, ἥτις καὶ Μάκρις ἐκαλεῖτο ἤτοι διὰ τὸ εἰς μῆκος κεῖσθαι ἢ ἀπὸ Μάκριδος νύμφης, τῆς τροφοῦ Ἥρας. ὠνομάσθη δὲ Εὔβοια ἀπὸ Εὐβοίας τῆς Ἀσωποῦ.

5. Εὐηνὸν] εὐῖνον
9. In fine scholii Vat. 915 (Philol. vol. 9 p. 385) addit Κενταύρου δὲ τοῦ Πυλήνορος λέγει: de quo Centauro v. Pausan. 5, 10.
18. καὶ τὸ Bekk.] καὶ ὁ
24. βήσσας] βήσας
27. καλιάς] παρειάς Lehrs.
* τῷ] παρὰ τῷ
30. * Βοιωτίᾳ] εὐβοίᾳ

540, 541. Ἐλεφήνωρ—Χαλκωδοντιάδης] Χαλκώδοντος παῖς Ἐλεφήνωρ. εἰ δὲ, ὡς προείρηται, προληπτικῶς τὰ ὀνόματα ἐτίθουν οἱ παλαιοὶ τοῖς παισὶ, πεποίηται παρὰ τὸ ἐλεφαίρεσθαι αὐτὸν τοὺς πολεμίους βλάπτοντα.

542, 543. βραχὺ διασταλτέον θοοί, κομόωντες, αἰχμηταί· μᾶλλον γὰρ ἐμφαίνει ἕκαστον συμβεβηκὸς ἰδίᾳ λεγόμενον.

542. ὄπιθεν κομόωντες] τὰ ὀπίσω μέρη τῆς κεφαλῆς κομῶντες ἀνδρείας χάριν. ἴδιον δὲ τοῦτο τῆς τῶν Εὐβοέων κουρᾶς, τὸ ὄπισθεν τὰς τρίχας βαθείας ἔχειν.

543. αἰχμηταί] καὶ ὁ χρησμὸς περὶ αὐτῶν οὕτως "ἄνδρες οἳ ναίουσιν ὕδωρ καλῆς Ἀρεθούσης." ἦν δὲ παρ' αὐτοῖς αἰσχρὸν τὸ τοξεύειν.

ὀρεκτῇσι μελίῃσι] τοῖς ἐκ χειρῶν δόρασιν, οἷς ὀρέγδην ἐχρῶντο συνιστάμενοι καὶ ἐκτείνοντες αὐτά· ἐξ οὗ θαρσαλέοι· ὀρέξασθαι γάρ ἐστι τὸ ἐκ χειρὸς πατάξαι.

546. Ἀθήνας] Ἀθήνας νῦν κέκληκε τὴν πόλιν· τοὺς δὲ δήμους παρέλιπε διὰ τὸ πλῆθος, ἢ διὰ τὸ μὴ δύνασθαι πάντας εἰς μετροποιίαν καταταγῆναι.

547. Ἐρεχθῆος] Ἐρεχθέως τοῦ βασιλέως Ἀθηναίων, τοῦ καὶ Ἐριχθονίου καλουμένου, γεννηθέντος δὲ ἐκ τοῦ Ἡφαίστου. οὗτος γὰρ ἐδίωκεν Ἀθηνᾶν ἐρῶν αὐτῆς, ἡ δὲ ἔφυγεν· ὡς δὲ ἐγγὺς αὐτῆς ἐγένετο πολλῇ ἀνάγκῃ (ἦν γὰρ χωλὸς), ἐπειρᾶτο συνελθεῖν· ἡ δὲ ὡς σώφρων καὶ παρθένος οὖσα οὐκ ἀνέσχετο. οὕτως ἀπεσπέρμηνεν εἰς τὸ σκέλος τῆς θεᾶς. ἡ δὲ μυσαχθεῖσα, ἐρίῳ ἀπομάξασα τὸν γόνον, ἔρριψεν εἰς γῆν· ὅθεν Ἐριχθόνιος ὁ ἐκ τῆς γῆς ἀναδοθεὶς παῖς ἐκλήθη, ἀπὸ τοῦ ἐρίου καὶ τῆς χθονός. ἱστορεῖ Καλλίμαχος ἐν Ἑκάλῃ.

548. ζείδωρος ἄρουρα] τοῦτο ὡς κύριον ἔλαβεν ἐπὶ τῆς Ἀττικῆς· ἐκεῖ γὰρ πρῶτον ἀνεδόθη καρπός· διὸ νῦν πρῶτον τῷ ἐπιθέτῳ ἐχρήσατο.

553. ὅτι Ζηνόδοτος ἀπὸ τούτου τρεῖς στίχους ἠθέτηκεν, μήποτε διότι διὰ τῶν ἐπὶ μέρους οὐδέποτε αὐτὸν διατάσσοντα συνέστησεν. πολλὰ μέντοι Ὅμηρος κεφαλαιωδῶς συνίστησιν, αὐτὰ τὰ ἔργα

10. χρησμὸς] Apud Strabonem p. 449 et schol. Theocr. 14, 48.
23. * οὕτως] ὃς
27. * ἐν Ἑκάλῃ] om.
32. διότι Bekk.] δὲ

παραλιπὼν, ὡς τὴν Μαχάονος ἀριστείαν· "παῦσεν ἀριστεύοντα μάχας" (Il. 11, 506).

557. δυοκαίδεκα] Πάμφιλος τρία ποιεῖ καὶ κατὰ παράθεσιν ἀναγινώσκει. ἀφορμὴν δὲ ἔχει ἡ κατὰ σύνθεσιν ἀνάγνωσις τὴν ποιητικὴν χρῆσιν, ἥτις τὰ κατὰ παράθεσιν πολλάκις ἑνοῖ, ὡς τὸ πασιμέλουσα (Od. 12, 70) καὶ τὰ τοιαῦτα.

565. φώς] τὸ φὼς ὀξυτονούμενον τὸν ἄνθρωπον δηλοῖ, ὡς νῦν καὶ "φῶτ' Ἀσκληπιοῦ υἱόν" (Il. 4, 194), περισπώμενον δὲ τὸ φέγγος καὶ τροπικῶς τὴν σωτηρίαν, συνῳρημένον ἐκ τοῦ φάος. εἰκότως οὖν περισπᾶται· "φόως δ' ἑτάροισιν ἔθηκεν" (Il. 6, 6) καὶ "χρύσεον λύχνον ἔχουσα φόως περικαλλές" (Od. 19, 34). ἐπεὶ τὸ πῶς καὶ τὸ ποῦ ἐπιρρήματά ἐστι πευστικὰ, οἷον "πῶς θάνεν Ἀτρείδης; ποῦ Μενέλαος ἔην;" (Od. 3, 248) ὀξυτονούμενα δὲ καὶ ἐγκλιτικά ἐστιν, ὡς τὸ "ἀλλ' οὕπως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισιν" (Il. 4, 320), "ἀλλά που ἐν μεγάροισι Λυκάονος ἔνδεκα δίφροι" (Il. 5, 193).

570. ἀφνειόν τε Κόρινθον] ἐμπόριον γὰρ τῆς Ἑλλάδος κατὰ Θουκυδίδην ἡ Κόρινθος. ἡ διπλῆ δὲ, ὅτι ἐκ τοῦ ἰδίου προσώπου Κόρινθον· ὅταν δὲ ἡρωϊκῷ προσώπῳ περιτιθῇ τὸν λόγον, Ἔφυραν λέγει· "ἔστι πόλις Ἐφύρη" (Il. 6, 152).

Ἀραιθυρέην] ὅτι Ζηνόδοτος γράφει Παραιθυρέην. οὐκ ἐπίσταται δὲ ταύτην τὴν πόλιν οὕτως ὀνομαζομένην.

574. Πελλήνην] διαφέρει Πελλήνη Παλλήνης· Πελλήνη μὲν γὰρ πόλις Θρᾴκης, Παλλῆναι δὲ δῆμος τῆς Ἀττικῆς, Πελλήνη δὲ πολίχνιον τῆς Ἀχαΐας, ᾗ ἐστι Πελοπόννησος.

575. αἰγιαλόν] οὕτως ἐκαλεῖτο ἡ παραθαλασσία χώρα ἤτοι πλευρὰ τῆς Πελοποννήσου, ἡ παρατείνουσα ἀπὸ Σικυῶνος μέχρι Ἤλιδος.

576. τῶν] ὅτι τὸ τῶν οὐχ ὡς ἄρθρον παρείληπται, ἀλλ' ἀντὶ ἀντωνυμίας τῆς τούτων, καὶ παραλέλειπται ἡ ἐκ πρόθεσις, ἵν' ᾖ, ἐκ τούτων τῶν πόλεων ἑκατὸν νηῶν ἦρχεν.

579. οὕτως ἡ ἑτέρα τῶν Ἀρισταρχείων, καὶ ἔστι χαριέστερον· "ἐν δ' αὐτὸς ἐδύσετο νώροπα χαλκὸν κυδιόων· πᾶσιν δὲ μετέπρεπεν ἡρώεσσιν, οὕνεκ' ἄριστος ἔην, πολὺ δὲ πλείστους ἄγε λαούς." ἡ γὰρ

5. παράθεσιν Bekk.] σύνθεσιν
9. φάος Bekk.] φάους
21. δὲ] δὲ οὐδεὶς Friedl., aut οὐκ ἐπίσταται δὲ (Zenodotus) τὴν Φλιοῦντα πάλαι οὕτως ὀνομαζομένην.
22. *Πελλήνη μὲν γὰρ πόλις] πελλήνη γὰρ δημόπολις
31. χαριέστερον Bekk.] χαριεστέρα

αἰτία τοῦ διαπρέπειν διὰ τοῦ ἑξῆς ἀποδίδοται, οὕνεκ' ἄριστος ἦεν, πολὺ δὲ πλείστους ἄγε λαούς. ὁμοίως δὲ καὶ Ζηνόδοτος γράφει.

579, 580. ὅτι Ζηνόδοτος ἀμφοτέρους ἠθέτηκεν, ἐπεὶ διὰ τῶν ἑξῆς ἄριστος ὁ Αἴας λέγεται. ἐν διαφόροις δὲ πράγμασίν εἰσιν οὗτοι ἄριστοι, ὁ μὲν πλούτῳ καὶ εὐγενείᾳ, ὁ δὲ τῇ κατὰ πόλεμον ἀρετῇ.

581. κοίλην Λακεδαίμονα] τὴν ὑπὸ ὀρῶν περιεχομένην, διὰ τὸ περικεῖσθαι αὐτῇ κύκλῳ τὸ Ταΰγετον ὄρος· διὸ καὶ ἀτείχιστον αὐτὴν ᾤκησαν. Λακεδαίμονα δὲ τὴν χώραν λέγουσι, τὴν δὲ πόλιν Σπάρτην καλοῦσιν.

κητώεσσαν] μεγάλην, παρὰ τὸ κῆτος, ὅπερ δοκεῖ πάντων μεῖζον εἶναι τῶν ἐνύδρων ζώων.

582. Μέσσην] ὅτι Μέσσην τὴν ἐπὶ τῆς Λακωνικῆς Μεσσήνην λέγει, συγκόψας τοὔνομα. ὅτι γὰρ ὑπὸ Λακεδαιμονίους αὐτὴν οἶδε δῆλον ἐξ ὧν φησὶ "δῶρα τά οἱ ξεῖνος Λακεδαίμονι δῶκε· τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιιν" (Od. 21, 15).

585. Λάαν] ὁ ποιητὴς διεῖλεν· μονοσυλλάβως γὰρ λέγεται Λᾶς. Οἴτυλον δὲ ὡς δάκτυλον· ἄρχεται γὰρ τὸ ὄνομα ἀπὸ τῆς οι διφθόγγου. κακῶς δὲ Τυραννίων, οἰόμενος ἄρθρον εἶναι τὸ οι, καὶ παρὰ τὴν συνήθειαν τοῦ ποιητοῦ ἁμαρτάνων καὶ παρὰ τὴν ἱστορίαν, εἴ γε οὕτως φησὶ καὶ Φερεκύδης "τοῦ δὲ γίνεται Ἀμφιάναξ· τοῦ δ' Οἴτυλος, ἀφ' οὗ ἡ πόλις ἡ ἐν Σπάρτῃ καλεῖται." τὸ δὲ κεφάλαιον ἐκτέταται ἐν τῇ προσῳδίᾳ τῷ Ἡρωδιανῷ περὶ τῆς ἀναγνώσεως τῆς Τυραννίωνος.

592. Θρύον] ὅτι Θρύον εἶπε τὴν ἐν ἄλλοις Θρυόεσσαν. "ἔστι δέ τις Θρυόεσσα πόλις" (Il. 11, 710).

ἐΰκτιτον Αἰπύ] Ἀρίσταρχος ὡς ὀξύ· συγκατατίθεται δὲ αὐτῷ καὶ Ἀπολλόδωρος. Φερεκύδης δὲ ὁ Ἀθηναῖος τὸ μὲν ἐΰκτιτον κύριον ὄνομα παρέλαβε, τὸ δὲ αἰπύ ἐπίθετον. ἐκ δὲ τοῦ ἐναντίου τινὲς τὸ μὲν ἐΰκτιτον ἐπίθετον, τὸ δὲ αἰπύ κύριον, ἐπεὶ καὶ ἐν ἄλλοις (Il. 11, 711) εἴρηκεν "ἔστι δέ τις Θρυόεσσα πόλις, αἰπεῖα κολώνη," ὃ νῦν εἴρηκεν αἰπὺ, καὶ ὡς ἴδιον γενόμενον βούλονται βαρυτονεῖν. Πτολεμαῖος δέ φησι μὲν κύριον εἶναι τὸ αἰπύ, οὐ μὴν συγκατατίθεται τῷ τόνῳ, φάσκων ὡς ὅτι πολλαὶ πόλεις ὁμοφωνοῦσι προσηγορικοῖς, Ἕλος, Αἰγιαλός. χρὴ μέντοι γινώσκειν ὅτι ἀναλογωτέρα ἀνάγνωσις ἦν ἡ βαρεῖα· τὰ γὰρ εἰς υ μονογενῆ οὐδέτερα βαρύνεται,

15. ξυμβλήτην ἀλλήλοιιν] om. 20. Ἀμφιάναξ] ἀμφάναξ

πῶϋ, μέθυ. ταῦτα ἐν τῇ προσῳδίᾳ. καὶ ἐν τῇ καθόλου δὲ ὁμοίως ἀμφίβολον αὐτὸ ἐᾷ. ἐν μέντοι τῇ Z (422) τῆς Ἰλιάδος διαλαμβάνων περὶ τοῦ ἰῷ "οἳ μὲν πάντες ἰῷ κίον ἤματι," φανερῶς λέγει ὅτι Ἀρίσταρχος ὀξύνει τὸ αἰπύ, καὶ ἐπείσθη αὐτῷ ἡ πλείων χρῆσις.

595. Θάμυριν] οὗτος παῖς ἦν Φιλάμμονος καὶ Ἀργιόπης νύμφης, τὸ γένος Θρᾷξ, ὃς ἔσχεν αἰσχρὸν ἔρωτα, πρῶτος ἀρξάμενος ἐρᾶν ἀρρένων. οὗτος κάλλει πολλῶν διενεγκὼν καὶ κιθαρῳδίᾳ, περὶ μουσικῆς ἐρίσας ταῖς Μούσαις συνέθετο, ἂν μὲν κρείττων εὑρεθῇ, πλησιάσαι πάσαις, ἐὰν δὲ ἡττηθῇ, στερηθῆναι οὗ ἂν ἐκεῖναι θέλωσιν. καθυπέρτεραι δὲ αἱ Μοῦσαι γενόμεναι τῶν ὀμμάτων αὐτὸν καὶ τῆς κιθαρῳδίας καὶ τοῦ νοῦ ἐστέρησαν.

596. Οἰχαλίηθεν] ὅτι Θεσσαλίας ἡ Οἰχαλία καθ' Ὅμηρον. οἱ δὲ νεώτεροι ἐπ' Εὐβοίας πεποιήκασιν.

597. ὅτι τὸ στεῦτο κατὰ διάνοιαν ὡρίζετο, οὐκ ἐπὶ τῆς τῶν ποδῶν στάσεως, ὡς ἐν τοῖς κατὰ τὴν νεκυίαν ἠθετημένοις "στεῦτο δὲ διψάων" (Od. 11, 583). καὶ ὅτι εἴπερ ἂν αὐταί ἀντὶ τοῦ εἰ καὶ αὐταί.

599. ὅτι πηρόν οὐ τυφλὸν, ὡς ἀπεδέξαντο οἱ νεώτεροι, ἀλλὰ τῆς ᾠδῆς πηρόν. τί γὰρ ἦν αὐτῷ βλαβερὸν κιθαρῳδῷ ὄντι, εἰ τῶν ὀφθαλμῶν ἐστερήθη; μᾶλλον γὰρ προσεκτικὸς ἂν ἐγένετο τῇ φωνασκίᾳ. τόν γε δή τοι Δημόδοκον ἡ Μοῦσα "ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ' ἡδεῖαν ἀοιδήν" (Od. 8, 64).

πηρόν ὡς χρηστόν κατ' ὀξεῖαν τάσιν παρὰ τῷ ποιητῇ· παρὰ δὲ τοῖς Ἀττικοῖς πῆρον ὡς λῆρον. ὑγιεστέρα δὲ ἡ παρὰ τῷ ποιητῇ ἀνάγνωσις, ἐπεὶ τὰ εἰς ος λήγοντα δισύλλαβα, εἰ ἔχοι τὴν πρώτην συλλαβὴν ἔχουσαν τὸ π καὶ τὸ η, ὀξύνονται, οἷον πηός πηλός. οὕτως καὶ πηρός.

600. ἀφέλοντο καὶ ἐκλέλαθον] ἐπὶ μὲν τοῦ φυσικοῦ ἀφέλοντο, ἐπὶ δὲ τοῦ διδακτοῦ ἐκλέλαθον· ὃ γὰρ ἔμαθέ τις, οὐκ ἀπόλλυσιν ἐπιλήθεται δέ.

6. Φιλάμμονος] φιλάμωνος
Ἀργιόπης Heynius] ἀρσίου τῆς A. ἄρσιος τῆς Vat. 915 (Philol. vol. 9 p. 387).
8. * οὗτος — συνέθετο] οὕτως — συνθέμενος
9. * πλησιάσαι] πλειάσαι
15. ὅτι τὸ στεῦτο—] V. annot. ad schol. 18, 191.
19. ὡς addidit Lehrsius.
22. ὀφθαλμῶν] ὀφθαλμ

603. Ἀρκαδίην] Ἀρκαδία ἀπὸ Ἀρκάδος τοῦ Διὸς, οὗ Ἀμφιδάμας, οὗ Ἀλεὸς, οὗ Ἀγκαῖος, οὗ Ἀγαπήνωρ.

Κυλλήνης] Κυλλήνη ὄρος ὑψηλὸν τῆς Ἀρκαδίας, καὶ πόλις οὖσα παρ' αὐτῷ ὁμώνυμος, ἐν ᾧ ὄρει δοκεῖ Ἑρμῆς γεγενῆσθαι ἐκ Μαίας τῆς Ἄτλαντος θυγατρὸς καὶ Διός· ὅθεν καὶ Κυλλήνιον τὸν θεόν φασιν.

605. πρὸς τὴν ὁμωνυμίαν τοῦ Ὀρχομενοῦ, ὅτι τῷ ἐπιθέτῳ διέσταλκεν.

608. *Στύμφηλον] ὡς Εὔμηλον· ἴδιον γάρ.

612. ἀπὸ τούτου ἕως τοῦ "Ἀτρείδης ἐπεὶ οὔ σφι" (614) Ζηνόδοτος ἠθέτηκε τρεῖς στίχους. ἀναγκαῖοι δέ εἰσιν· παριστόρηται γὰρ δι' αὐτῶν ὅτι παρέσχεν αὐτοῖς ναῦς ὁ Ἀγαμέμνων, ἐπεὶ οὔ σφι θαλάσσια ἔργα μεμήλει.

ἐπεὶ μεσογείους ὄντας εἰς Ἴλιον ἐπήγαγεν, λύει τὸ ζήτημα πόθεν εἶχον ναῦς.

615. Βουπράσιον] πόλις, ἡ δὲ χώρα Ἦλις. ὁρίοις δὲ αὐτοὺς περιγράφει, μὴ θέλων πάλιν λεπτολογεῖν τὰ κατὰ μέρος.

616, 617. ὅσσον—ἔέργει] ἐφ' ὅσον ἥ τε Τρμίνη καὶ ὁ Μύρσινος καὶ τὸ Ἀλείσιον καὶ ἡ Ὠλενία πέτρα ἐντὸς συνεῖχον, τοῦ παντὸς οἱ Ἠλεῖοι ἐβασίλευον. ἡ διπλῆ δὲ, ὅτι Ζηνόδοτος σὺν τῷ ῑ γράφει. γίνεται δὲ ἀκατάλληλος ὁ λόγος.

621. ὁ μὲν Κτεάτου, ὁ δ' ἄρ' Εὐρύτου Ἀκτορίωνε] ὅτι παρὰ τὸ εἰθισμένον πρὸς τὸ πρότερον ἀπήντηκεν· ἔστι γὰρ ὁ προκατειρημένος Ἀμφίμαχος Κτεάτου υἱὸς, ὁ δὲ Θάλπιος Εὐρύτου. καὶ ὅτι οὕτως εἴρηκεν, Ἀκτορίωνε, δέον Ἀκτοριώνων.

625. ὅτι οὐχ ὡς κεχωρισμένου Δουλιχίου τῶν Ἐχινάδων οὕτως εἴρηκεν, ἀλλ' ἀντὶ τοῦ ἐκ Δουλιχίου καὶ τῶν ἄλλων Ἐχινάδων. καὶ ὅτι ἀπὸ τοῦ Ἐχῖνα εἴρηκεν Ἐχινάων.

Δουλίχιον νῆσος πρὸ τῆς Κεφαλληνίας· αἱ δὲ Ἐχινάδες νῆσοί εἰσι τῆς Ἀκαρνανίας, παρὰ ταῖς ἐκβολαῖς τοῦ Ἀχελῴου ποταμοῦ, ἐν αἷς οἱ κατοικοῦντες καλοῦνται Ἐπειοί.

5. *καὶ K.] καὶ om.

15. Versui proximo (613) versuique 631 in A obelus est appictus errore librarii, qui παραγράφου signum supra hos versus ponere debebat. Monuit Pluygersius p. 4.

23. εἰθισμένον] ἠθισμένον, ut κατηθισμένη p. 99, 15.

28. *Ἐχῖνα] Ἐχῖναι Lobeckius Pathol. Proleg. p. 221.

29. Κεφαλληνίας] κεφαληνίας

31. *Ἐπειοί] ἰοί

626. *αἳ ναίουσι] ὅτι Ζηνόδοτος γράφει οἳ ναίουσι, ἐπὶ τῶν ἀνδρῶν. οὐ νοεῖ δὲ ὅτι ἀντὶ τοῦ ναίονται.

629. ὅς ποτε] ὃς εἰς τὸ Δουλίχιόν ποτε ἀπῳκίσθη διὰ τὸ καταμαρτυρῆσαι τοῦ πατρὸς Αὐγείου πρὸς Ἡρακλέα περὶ τοῦ μισθοῦ, ὃν ὑπέσχετο παρέξειν τῷ Ἡρακλεῖ ὁ Αὐγείας, εἰ καθαίροι αὐτοῦ τὰς ἐπαύλεις μεστὰς οὔσας τῆς κόπρου τῶν βοῶν. ἡ ἱστορία καὶ παρὰ Καλλιμάχῳ.

πρὸς τὴν ἀμφιβολίαν, πότερον ὁ Μέγης ἀπῴκησεν ἢ ὁ Φυλεύς, ὃ καὶ ὁμηρικώτερον· Ὅμηρος γὰρ ἀεὶ πρὸς τὸ δεύτερον πρότερον ἀπαντᾷ.

634. ἠδ' οἱ Σάμον] ὅτι Ζηνόδοτος γράφει ἠδ' οἱ Σάμην, καὶ ἄμετρον ποιῶν, καὶ ἀγνοῶν ὅτι κατὰ τὸ ἀρσενικὸν ἐνίοτε ἐκφέρεται τὰ εἰς η̄ λήγοντα· "μεσσηγὺς Τενέδοιο Σάμοιό τε" (Od. 4, 845)· οὐ γὰρ εἶπε Σάμης τε. φρούριον δὲ τῆς Κεφαλληνίας μέχρι νῦν Σάμος, ὅπερ φασὶ Ῥωμαῖοι Κάστρον.

637. μιλτοπάρῃον] ὅτι ἤδη ἡ ἐκ χρωμάτων μίξις ἦν ἐπιπολάσασα πρὸς τὴν ζωγραφικήν. ἐξηλλαγμέναι δὲ αἱ Ὀδυσσέως νῆες, ὅπως, εἰ καὶ ὀλίγαι, ἀλλ' οὖν διὰ τῆς χρίσεως ἐπίσημοι εἶεν, καὶ ὅτε δέοι πλεῖν, μὴ σκορπίζοιντο. ἀμέλει καὶ μέσας αὐτὰς πρὸς κόσμον τῶν ἄλλων ἔταξαν, καὶ τὴν ἀγορὴν ἐκεῖσε ἐποίησαν (Il. 11, 805).

641. ὅτι Ζηνόδοτος τοῦτον καὶ τὸν ἑξῆς ἠθέτηκεν, ἴσως ὑποπτεύσας τὸν Μελέαγρον κεχωρίσθαι τῶν Οἰνέως παίδων. εἴρηται δὲ ἐξ ὀνόματος κατ' ἐξοχήν, καθάπερ ἐπὶ τοῦ "Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα" (Il. 13, 1)· καὶ γὰρ ὁ Ἕκτωρ Τρὼς ἦν.

642. ἐὰν στίζωμεν ἐπὶ τὸ ἔην, ἔσται τὸ αὐτός ἐπὶ τοῦ Οἰνέως· ἐὰν δὲ βραχὺ διαστέλλωμεν, ὅλος ὁ στίχος ἐπὶ τοῦ Μελεάγρου, καὶ τὸ ἑξῆς, οὐδ' ἄρ' ἔτ' αὐτὸς ἔην ξανθὸς Μελέαγρος, θάνε δέ.

644. *τῷ] ἐπὶ τοῦ Θόαντος, ἵν' ᾖ τούτῳ.

648. Φαιστόν] ὡς πιστόν ὀξυτόνως· βαρυνόμενον γὰρ ἐπὶ τοῦ ἥρωος τίθεται "Ἰδομενεὺς δ' ἄρα Φαῖστον" (Il. 5, 43).

Ῥύτιον] προπαροξυτόνως ὡς στάδιον. οὐκ εὖ δὲ Τυραννίων παρ-

2. νοεῖ] νοει
6. *μεστὰς οὔσας] μεταστήσας
11. *Σάμην — Σάμης τε] σάμῆν (i. e. σάμιν) — σάμιστε
13. εἰς η̄ Friedlaenderus] εἰς ο̄ς Τενέδοιο memoriae errore scripsit pro Ἰθάκης τε, ad Il. 13, 33 aberrans μεσσηγὺς Τενέδοιο καὶ Ἴμβρου.
16. *ἐκ χρωμάτων] om.
17. *ἐξηλλαγμέναι] ἐξηλειμέναι
19. *πρὸς κόσμον τῶν ἄλλων] om.

οξύνει αὐτὸ ὡς πεδίον· οὔτε γὰρ ὑποκοριστικὸν, οὔτε, εἰ ἦν ὑποκοριστικὸν, παρωξύνετο, καθότι τρίβραχυ. τοῦτο δὲ εἴπομεν καὶ ἐπὶ τοῦ Θρόνιον.

649. πρὸς τοὺς χωρίζοντας, ὅτι νῦν μὲν ἑκατόμπολιν τὴν Κρήτην, ἐν Ὀδυσσείᾳ δὲ ἐνενηκοντάπολιν. ἤτοι οὖν ἑκατόμπολιν ἀντὶ τοῦ πολύπολιν· ἢ ἐπὶ τὸν σύνεγγυς καὶ ἀπαρτίζοντα ἀριθμὸν κατενήνεκται νῦν, ἐν Ὀδυσσείᾳ δὲ τὸ ἀκριβὲς ἐξενήνοχεν, ὡς παρὰ Σοφοκλεῖ. τινὲς δέ φασι Πυλαιμένη τὸν Λακεδαιμόνιον δεκάπολιν κτίσαι.

655. τρίχα] τὸ τρίχα βαρύνεται, ὅτι τὰ εἰς ω̄ς λήγοντα ἐπιρρήματα, εἰ ἔχοι παρακείμενα εἰς ᾱ λήγοντα, μὴ συνεμπίπτοντα ὀνόμασι, πάντως βαρυνόμενα ἔχει, οἷον σαφῶς σάφα· ὅθεν εἰ τριχῶς, τρίχα.

658. ὅτι Ζηνόδοτος γράφει Ἡρακλείῃ, καὶ ἄμετρον ποιῶν καὶ οὐχ Ὁμηρικὸν τὸ σχῆμα· ἀπὸ γὰρ τοῦ Ἡρακλῆος Ἡρακληείη ἐκπίπτει.

659. ὅτι ἡ Ἔφυρα αὕτη ἑτέρα ἐστὶ τῆς Κορίνθου, τῆς Θεσπρωτίας οὖσα· καὶ ὅτι σὺν τῷ σ̄ Σελλήεντα τὸν ποταμὸν λέγει, ἀφ' οὗ τὸ παροικοῦν ἔθνος Σελλοὺς καλεῖ. οἱ δὲ νεώτεροι Ἕλλους λέγουσι πλανηθέντες.

662. κατέκτα] Πτολεμαῖός φησιν ὁ Ἀσκαλωνίτης Ἀρίσταρχον ἀνεγνωκέναι ὁμοίως τῷ "ἔκτα σὺν οὐλομένῃ ἀλόχῳ" (Od. 11, 410) κατὰ συστολήν. Τυραννίων δὲ κατ' ἔκτασιν. οἶμαι δὲ ἀκόλουθον εἶναι ἐκείνῃ τῇ γραφῇ τῇ κομιζομένῃ ὑπ' Ἀριστάρχου "ὣς ἔμεν ὡς ὅτε δῖον Ἐρευθαλίωνα κατέκτα" (Il. 4, 319). ἡ μέντοι κοινὴ ἀνάγνωσις ἡ κατὰ συστολὴν ἀφορμὴν ἔσχε τὴν τῆς ἀποκοπῆς, ὁμοίως τῷ "οὗτα κατὰ λαπάρην" (Il. 6, 64).

ἱστόρηται ὅτι Τληπόλεμος θεασάμενος Λικύμνιον τὸν μήτρωα, ἤδη γεραιὸν ὑπάρχοντα, ὑπό τινος τῶν οἰκετῶν ἀμελῶς χειραγωγούμενον, ἀφῆκε τὴν βακτηρίαν ἐπὶ τὸν οἰκέτην, καὶ τούτου μὲν ἥμαρτε, πλήξας δὲ τὸν Λικύμνιον ἀκουσίως ἀπέκτεινεν· διὸ ἠναγκάσθη γενέσθαι φυγὰς τῆς πατρίδος.

665. βῆ φεύγων] τὸ μὲν Ὁμηρικὸν ἔθος βῆ φεύγειν προφέρεται.

7. Σοφοκλεῖ] Ad δυοκαιδεκάμηνον χρόνον Tr. 648 refert Lehrsius.
15. Ἡρακληείη] ἡρακλείη
24. ὣς ἔμεν ὡς ὅτε—κατέκταν] ὡς ἔμεν ὅτε—κατέκτα
26. ἀφορμὴν Vill.] ἀφορμῆς
29. * οἰκετῶν] οἰκείων

ἀλλ᾽ ὅ γε Ἀρίσταρχος οὐ μετέθηκεν, ἀλλ᾽ οὕτως γράφει, βῆ φεύγων.

γάρ οἱ] ὁ γάρ ὀξύνεται, ἵνα ἀντωνυμία γένηται ἐγκλιτικὴ δοτικῆς πτώσεως τὸ οἱ, καὶ μὴ ἄρθρον· καὶ γὰρ ἔθος μᾶλλον τῷ ποιητῇ παραλείπειν τὰ ἄρθρα.

667. αὐτὰρ ὅ γ᾽ ἐς Ῥόδον] ὅτι Ζηνόδοτος γράφει αἶψα δ᾽ ὅ γ᾽ ἐς Ῥόδον. οὐ δύναται δὲ ταχέως ἐληλυθέναι ἐπὶ τὴν Ῥόδον ὁ πρότερον μὲν ναῦς πεπηχὼς, εἶτα ἀλώμενος καὶ οὐκ εὐπλοηκώς.

668. σεσημείωται πρὸς τὸν ἑξῆς ἀθετούμενον· οὐ γὰρ νοήσας τις ὅτι τὸ σημαινόμενον τοιοῦτόν ἐστι, καίπερ οὐκ ἐπὶ τῆς αὐτῆς οἰκοῦντες πόλεως, ἀλλὰ τριχῆ διασπαρέντες ἐφιλήθησαν ὑπὸ ἀλλήλων καὶ οὐ διήχθρευσαν, ἐζήτησεν ὑπὸ τίνος ἐφιλήθησαν. διὸ προσέθηκε τὸν "ἐκ Διὸς, ὅστε θεοῖσι καὶ ἀνθρώποισιν ἀνάσσει."

669. *ἀθετεῖται· ἡ δὲ αἰτία προείρηται.

670. πλοῦτον κατέχευε Κρονίων] ὅτι Πίνδαρος (Ol. 7, 91) κυρίως δέδεκται χρυσὸν ὗσαι τὸν Δία, Ὁμήρου μεταφορᾷ κεχρημένου διὰ τοῦ κατέχευε πρὸς ἔμφασιν τοῦ πλούτου.

671. Νιρεύς] ἐνταῦθα τρὶς ὀνομάσας τὸν Νιρέα οὐκέτι αὐτοῦ ἐμνήσθη. καὶ τούτου αὐτὸς τὴν αἰτίαν παραδίδωσι, λέγων "ἀλαπαδνὸς ἔην, παῦρος δέ οἱ εἵπετο λαός."

ἄγε] χωρὶς τοῦ ν τὸ ἄγε. καὶ ὅλως ἐφ᾽ ὧν τὰ ἐπιφερόμενα σύμφωνά ἐστι, τὸ ἐκ τῆς προτέρας λέξεως σύμφωνον περιαιρετέον.

672. Χαρόποιο] ὡς Μενάνδροιο· καὶ γὰρ ἀπὸ γενικῆς εὐθεῖά ἐστι παρειλημμένη ὡς τὸ υἱὸς Τροιζήνοιο (847), καὶ εἰς ἰδιότητα ὀφείλει ἡ βαρεῖα τάσις παραλαμβάνεσθαι.

673, 674, 675. τρισὶ στίχοις παράκεινται διπλαῖ περιεστιγμέναι, ὅτι ἐκ τῶν τριῶν τοὺς δύο ἠθέτηκε Ζηνόδοτος, τὸν δὲ μέσον οὐδὲ ἔγραφεν, τοῦ Ὁμήρου φιλοτιμουμένου ἐν πᾶσι τὸν Ἀχιλλέα προτεροῦντα παραστῆσαι.

676. Κράπαθον] ὡς λάπαθον, οὕτως Κράπαθον· καὶ γὰρ ὁ τοιοῦτος χαρακτὴρ ὀφείλει βαρύνεσθαι ἐπὶ θηλυκῶν, λέγω δὲ ὁ εἰς θος λήγων ὑπὲρ δύο συλλαβὰς, τῷ ᾱ παραληγόμενος, ἄμαθος ψάμαθος.

677. *Καλύδνας] ὡς καλύβας ἀναγνωστέον.

6. αὐτὰρ] διπλῆ περιεστιγμένη πλοϊκῶς praefixa. 8. εὐπλοηκώς Cobetus] εὐθυ- 33. καλύβας] καλάθας. Correxi ex Etym. M. et Suida.

681. ὅτι Ζηνόδοτος μετέγραφεν οὕτως "οἱ δ' Ἄργος τ' εἶχον τὸ Πελασγικὸν, οὖθαρ ἀρούρης," τοῦ Ὁμήρου φιλοτέχνως ὥσπερ προοιμιαζομένου διὰ τὸ μεταβαίνειν ἀπὸ τῶν νήσων καὶ τῆς Πελοποννήσου ἐπὶ τὰ κατὰ Θεσσαλίαν, οὐκ ὄντα συναφῆ τοῖς προειρημένοις.

τούς] μακρόθεν ὑπακούεται τὸ ἔσπετε ἢ τὸ ἐρέω· καὶ τὰ τοιαῦτα τοῖς αἰτήμασιν ὑποπίπτει. στικτέον δὲ ἐπὶ τὸ ἔναιον, ἵν' ᾖ τὸ ἐπιφερόμενον, οἵ τ' Ἄλον τε καὶ Ἀλόπην ἐνέμοντο· τὸ γὰρ οἵ κατ' ἐπανάληψιν περισσεύει. δύναται δὲ καὶ ὑποστίζεσθαι ἕκαστος στίχος ἕως τοῦ Ἀχαιοί κατὰ τέλος. ἡ δὲ συνήθεια συνάπτουσα τὰ τοιαῦτα τοῖς ἐπάνω οὐ κατορθοῖ· οὐ γὰρ μόνοι τὸ Πελασγικὸν Ἄργος κατοικοῦσιν οἱ ὑπ' Ἀχιλλεῖ τεταγμένοι. τὸ δὲ τούς ἀντωνυμία ἐστί. διὸ περισπαστέον τὸ νῦν καὶ τὸ αὖ.

682. *Τρηχῖν' ἐνέμοντο] Ἰακῶς τὸ νέμοντο Ἀρίσταρχος.

684. ὅτι μόνους τοὺς ὑπ' Ἀχιλλεῖ τεταγμένους Ἕλληνας καλεῖ.

686. ὅτι Ζηνόδοτος ἀθετεῖ ἀπὸ τούτου ἕως τοῦ τῆς ὄγε κεῖτ' ἀχέων (694) στίχους ἐννέα. ἀναγκαῖοι δέ εἰσιν· δι' αὐτῶν γὰρ δηλοῦται ὅτι ἐφ' ἑαυτῶν ἔμενον οἱ Μυρμιδόνες.

689. *κούρης χωόμενος] ὅτι ἐλλείπει ἡ περί πρόθεσις.

690. τὴν ἐκ Λυρνησσοῦ] ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος γράφει τὴν ἐν Λυρνησσῷ. οὐκ ἔλαβε δὲ αὐτὴν ἐν Λυρνησσῷ, ἀλλὰ πρότερον κατάξας τῷ Ἀγαμέμνονι ἐξαίρετον ἔλαβεν αὐτὴν γέρας.

694. ἀνστήσεσθαι ἔμελλεν] ὅτι Ζηνόδοτος γράφει ἀστήσεσθαι ἔμελλεν, διὰ τοῦ καταπροηγουμένως λόγου αἰολίζοντος, ἀλλ' οὐχὶ σπανίως δι' εὐφωνίαν. οὐδ' οἱ Αἰολεῖς δὲ οὕτως λέγουσιν.

695. βαρυτονητέον τὸ Φυλάκην πρὸς ἀντιδιαστολὴν τοῦ ὀξυνομένου.

696. Δήμητρος τέμενος] ὅτι οὐ τὸν Πύρασον λέγει Δήμητρος τέμενος, ἀλλὰ πόλις ἐστὶ Δημήτριον καλουμένη.

τοῦτο καὶ τῶν ἐπάνω καὶ τῶν ἑξῆς χωριστέον· ἡ Δημήτριον γὰρ πόλις καθ' ἑαυτήν ἐστιν. ἀσυνδέτως δὲ ἐξενήνεκται, ὡς καὶ ἐπάνω

6. ἵν' ᾖ—] ἵν' ᾖ καθ' ἑαυτὸ τὸ ἐπιφερόμενον, ὑπακουομένου καὶ ἐνταῦθα ἔσπετε, οἵ τ' Ἄλον—Friedl.

10. οὐ γὰρ μόνοι] καὶ γὰρ μόνον Friedl.

13. Lemma om.

νέμοντο] ἐνέμοντο. Aristarchus Τρηχῖνα νέμοντο scripserat.

22. ἀστήσεσθαι Bekk.] ἀνατάσασθαι (sic). V. Duentzer. Zenod. p. 60 et La Roche *Textkr.* p. 345. Proxima (in quibus μὴ ante καταπροηγουμένως inseruit Duentzerus) corrupta vel defecta. In fine Lehrsius ἀλλ' οὐχὶ Ὅμηρος, εἰ μὴ σπανίως.

Ἑρμιόνην Ἀσίνην τε (560), Τροιζῆνα Ἠιόνας τε (561)· ἡ γὰρ Ἑρμιόνη καὶ ἡ Τροιζὴν ἀσύνδετα. οἱ δὲ πρὸς τὰ ἐπάνω συνάπτουσιν, ἵν' ὁ Πύρασος λέγηται Δήμητρος τέμενος δι' εὐκαρπίαν, κακῶς.

697. ἀγχίαλόν τ' Ἀντρῶνα] ὅτι Ζηνόδοτος γράφει ἀγχιάλην τ' Ἀντρῶνα. καὶ εἰ θηλυκῶς δὲ λέγεται ἡ Ἀντρών, κοινόν ἐστι τὸ ὄνομα, ὁ ἀγχίαλος καὶ ἡ ἀγχίαλος.

699. ἔχεν κάτα] εἰ συντάσσεται τῷ ἔχεν, δῆλον ὅτι καὶ ἀναστρέφεται· προδηλον δὲ ὅτι συντάσσεται, ἐν οἷς φησὶν ἐν ἄλλοις "τοὺς δ' ἤδη κάτεχεν φυσίζοος αἶα" (Il. 3, 243).

701. δόμος ἡμιτελής] ἤτοι ἄτεκνος, ἢ ἀφῃρημένος τοῦ ἑτέρου τῶν δεσποτῶν, ἢ ἀτελείωτος· ἔθος γὰρ ἦν τοῖς γήμασι θάλαμον οἰκοδομεῖσθαι. διὸ οἱ πολλοί φασιν ὅτι οἰκοδομῶν θάλαμον ἑαυτῷ ὁ Πρωτεσίλαος ἀπέπλευσεν ἐπὶ τὸν πόλεμον. βέλτιον δὲ εἰρῆσθαι ἡμιτελῆ διὰ τὸ μὴ γεγεννηκότα παῖδας πλεῦσαι. οἱ δὲ, ὅτι νεωστὶ γήμας οὐδέπω τελείως τὰ κατὰ τὸν γεγαμηκότος οἶκον διεπράξατο, ἀλλὰ πρότερον ἐστράτευσεν.

Δάρδανος ἀνήρ] οἱ μὲν τὸν Αἰνείαν ἀπέδοσαν, ὅτι βασιλεὺς ἦν Δαρδανίων, οἱ δὲ τὸν Εὔφορβον, ἕτεροι Ἕκτορα· τινὲς δὲ Ἀχάτην, ἑταῖρον τοῦ Αἰνείου, φονέα Πρωτεσιλάου. δύναται δὲ καὶ ἀνωνύμως ἕνα τινὰ τῶν Δαρδανίων λέγειν.

707. *ὁ δ' ἅμα] οὕτως αἱ Ἀριστάρχου, ἅμα, οὐ διὰ τοῦ ρ̄ ἄρα.

717. Ὀλιζῶνα] προπερισπωμένως ὡς Μεδεῶνα. Νικίας δὲ οὐκ εὖ ὡς περίζωμα.

718. τῶν—εἰδώς] ὅτι Ζηνόδοτος γράφει τῶν αὖ ἡγεμόνευε Φιλοκτήτης ἀγὸς ἀνδρῶν. ὁ δὲ ποιητὴς προδιασυνίστησιν ἐν τῷ καταλόγῳ τὴν ἑκάστου ἀρετήν.

721. *ἄλγεα] καὶ ἐπὶ τῶν ψυχικῶν ὀδυνῶν ἔλαβεν.

722. Λήμνῳ ἐν] ὅτι ἐν Λήμνῳ ἔμενε καταλελειμμένος ὁ Φιλοκτήτης· οἱ δὲ νεώτεροι ἐν νησιδίῳ ἐρήμῳ.

ἱστόρηται ὅτι Φιλοκτήτης ἐν Λήμνῳ καθαίρων τὸν βωμὸν τῆς Χρυσῆς καλουμένης Ἀθηνᾶς ἐδήχθη ὑπὸ ὕδρου, καὶ ἀνιαρῷ τραύματι

1. Τροιζῆνα—Τροιζὴν] τροίζηνα—τροίζην
2. οἱ δὲ Bekk.] om.
19. *ἑταῖρον τοῦ—Πρωτεσιλάου] ἕτερον τοῦ—πρωτεσίλαον
22. οὐκ εὖ] γράφει Ὀλίζωνα addit Vill.
26. τὴν Friedl.] τὴν περὶ
27. ὀδυνῶν] ὃ
29. νησιδίῳ Bekk.] τῆι σιδίωι

περιπεσὼν κατελείφθη αὐτόθι ὑπὸ τῶν Ἑλλήνων· ᾔδεισαν γὰρ τοὺς Ἡφαίστου ἱερεῖς θεραπεύειν τοὺς ὀφιοδήκτους.

724. ὅτι Ζηνόδοτος τοῦτον καὶ τὸν ἑξῆς ἠθέτηκεν. ἀναγκαῖον δέ ἐστι γνῶναι ὅτι ὕστερον ἀνεκομίσθη ἐκ Λήμνου ὁ Φιλοκτήτης.

τάχα δὲ μνήσεσθαι ἔμελλον] ταχέως δὲ οἱ Ἕλληνες ἔμελλον μνημονεύειν καὶ χρήζειν τοῦ Φιλοκτήτου, ἐπειδὴ εἵμαρτο χωρὶς τῶν Ἡρακλέους τόξων μὴ ἁλῶναι τὴν Ἴλιον. εἶχε δὲ ταῦτα ὁ Φιλοκτήτης, ἐαθέντα αὐτῷ ὑπὸ Ἡρακλέους, καθὸ μηδενὸς θελήσαντος ἄλλου ὑφάψαι ἐν τῇ Οἴτῃ τὴν Ἡρακλέους πυρὰν ἐν τῇ τελευτῇ αὐτοῦ τοῦτο ἐποίησεν ὁ Φιλοκτήτης.

727. ἀλλὰ Μέδων κόσμησεν] ὅτι Ζηνόδοτος γράφει τοὺς δὲ Μέδων κόσμησεν, ἵνα συνδήσῃ τὴν φράσιν, ἠθετηκὼς τοὺς προειρημένους στίχους.

730. Οἰχαλίην] ὅτι οὐ τῆς Εὐβοίας ἡ Οἰχαλία καθ' Ὅμηρον, ὡς παρὰ τοῖς νεωτέροις, ἀλλὰ τῆς Θεσσαλίας.

731. *Ἀσκληπιοῦ] οὕτως ἐκτατέον διὰ τὸ μέτρον τὸ Ἀσκληπιοῦ.

733. *τοῖς δέ] οὕτως κατὰ δοτικὴν πτῶσιν τοῖς δέ Ἀρίσταρχος, ὡς πρόκειται.

735. Ἀστέριον Τιτάνοιό τε λευκὰ κάρηνα] Ἀστέριον, ὅτι ἐφ' ὑψηλοῦ ἐστὶ τόπου· διὰ δὲ τὸ διαφανὲς οὕτω κέκληται. Τιτάνοιο δὲ διὰ τὸ λευκόν (τίτανος γὰρ ἡ κονία), καὶ διὰ τὸ τιτάνῳ κεχρῖσθαι τὰς οἰκίας.

Ἀστέριον] διαφανὴς καὶ ἐφ' ὕψους κειμένη πόλις.

739. Ὄρθην] οὕτως ὡς Σπάρτην, ἵν' ᾖ ἴδιον.

Ἠλώνην τε] ὡς κορώνην. ταύτην δὲ Ἡρακλῆς κτίζει ἐπὶ τῷ θανάτῳ Κενταύρου.

Ὀλοοσσόνα λευκήν] οὕτως ὀξυτόνως· ἐπιθετικῶς γὰρ τέτακται. Ὀλοοσσόνα δὲ οὕτως παροξυτόνως φησὶν ἐν τῇ καθόλου.

740. ὁ Πολυποίτης ἦν τοῦ Πειριθόου παῖς, ὃν φασιν οὕτως ὠνομάσθαι ὑπὸ τοῦ πατρὸς διὰ τὸ πολλοῖς ἐπιθεῖναι ποινὴν, ὅ ἐστι τιμωρίαν, τῶν Κενταύρων, ὁπότε εἰς τοὺς γάμους τῆς μητρὸς αὐτοῦ Μελανίππης ὑβρίσαι ἐπεχείρησαν.

7. *τόξων—ὑπὸ Ἡρακλέους] om.
22. *κεχρῖσθαι] χρῆσθαι
*τὰς οἰκίας] ταῖς οἰκείαις
27. Κενταύρου] *Κενταύρων

28. Addidi lemma Ὀλοοσσόνα λευκήν: nam scholiastae annotatio pertinet ad λευκήν, sic, non Λεύκην ut nomen proprium scribendum.

741. τὸν ἀθάνατος τέκετο Ζεύς] ὅτι Ζηνόδοτος γράφει τὸν ἀθάνατον τέκετο Ζεύς· ὅπερ ψεῦδος.

742. * κλυτὸς Ἱπποδάμεια] ὅτι ἀντὶ τοῦ κλυτή κλυτός εἶπεν.

744. Αἰθίκεσσι] Δημοκρίνης ἀγνοήσας Αἰθιόπεσσιν ἔγραφε κακῶς.

745. οὐκ οἷος, ἅμα τῷ γε] ὅτι διὰ μέσου τὰ περὶ τοὺς Κενταύρους παριστόρηται. τὸ δὲ ἑξῆς ἐστὶ τοῦ λόγου, τῶν αὖθ' ἡγεμόνευε μενεπτόλεμος Πολυποίτης, οὐκ οἷος, ἅμα τῷ γε Λεοντεὺς ὄζος Ἄρηος.

750. Δωδώνην] χωρίον ἐν Ὑπερβορέοις τῆς Θεσπρωτίας, ἱερὸν Διὸς, ἔνθα τὸ ἐκ δρυὸς μαντεῖον τοῦ Δωδωναίου Διός.

751. *ἔργ' ἐνέμοντο] Ἰακῶς τὸ νέμοντο Ἀρίσταρχος.

755. ἀπορρώξ] Ἀρίσταρχος ὀξυτόνως ὡς θυλακοτρώξ. καὶ ἡ σύνθεσις δὲ τοῦτο ἀπαιτεῖ, ὅ τι ἂν σημαίνῃ, εἴτε πάθος εἴτε ἐνέργειαν. ὀξυτόνως ἀπορρώξ ἡ ἀπορροὴ, βαρυτόνως δὲ τὸ ἀπόρρηγμα.

*εἰς αὐτὸν γὰρ ὀμνύουσιν οἱ ἐπιχώριοι.

756. *ἦρχε] χωρὶς τοῦ ν̄ τὸ ἦρχε, διὰ τὸ ἐπιφέρεσθαι δύο σύμφωνα.

763. *ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντηκεν.

764. ποδώκεας] τινὲς ὡς εὐσεβέας· καὶ οὕτως αἱρεῖ ὁ λόγος, εἴ γε καὶ τὸ ποδώκης ὀφείλει ὀξύνεσθαι, καθὸ τὰ εἰς ν̄ς ὀξύτονα, φυλάσσοντα ἐν τῇ συνθέσει τὴν κατάληξιν, ἀναδίδωσι τὸν τόνον, θρασύς ἄθρασυς, οὐχ οὕτως δὲ ἔχοντα, ἀλλὰ τρέποντα τὸ τέλος ἵσταται ἐπὶ τῆς ὀξείας, ἡδύς ἀηδής, βαρύς ἀβαρής, ἠΰς ἐνηής. οὕτως οὖν ὤφειλε καὶ τὸ ποδώκης ὀξυτονεῖσθαι, γενόμενον ἀπὸ τοῦ ὠκύς. ἀλλά φασιν εἰς ἰδιότητα τοῦ Ἀχιλλέως βεβαρυτονῆσθαι τὸ ποδώκης. παρὰ γοῦν τῷ Ἡσιόδῳ ἀνεγνώκασι "ποδωκὴς δῖ' Ἀταλάντη." τί οὖν ἐπὶ τοῦ Δόλωνος; κατὰ βαρεῖαν τάσιν ἀνεγνώκασι καὶ ἐπὶ τούτου "ὃς δή τοι εἶδος μὲν ἔην κακὸς, ἀλλὰ ποδώκης" (Il. 10, 316).

765. οἰέτεας] ὡς Διομήδεας. ἔστι δὲ καὶ ἐπὶ τούτου τοῦ σχηματισμοῦ παράλογος ὁ τόνος· τὰ γὰρ παρὰ τὰ εἰς ος̄ λήγοντα οὐδέτερα

1. Lemma υἱὸς Πειριθόοιο, praefixa διπλῆ περιεστιγμένη.
4. Δημοκρίνης] Suspectum nomen aliunde non cognitum.
6. διπλῆ περιεστιγμένη praefixa.
15. ἀπόρρηγμα Bekk.] ἀπόρρυμα
16. εἰς αὐτὸν—ἐπιχώριοι in marg. inter. sine lemmate.
20. αἱρεῖ Bekkerus] ἐρεῖ
31. λήγοντα οὐδέτερα δισύλλαβα Bastius App. Ep. crit. p. 28] λήγον τ οὐ δ δισύλλ

διςύλλαβα, συντιθέμενα, εἰς ης λήγοντα ἐπιθετικὰ, μὴ ἔχοντα τὸ η̄ πρὸ τέλους, πάντα ὀξύνεται, εὐγενής εὐκλεής εὐειδής· οὕτως δὲ καὶ εὐτειχής. ἐχρῆν μὲν οὖν καὶ τὰ παρὰ τὸ ἔτος τὸ αὐτὸ ἀναδέχεσθαι· νυνὶ δὲ κατὰ βαρεῖαν τάσιν ἀναγινώσκουσιν, ἀλλ' οὐδὲ τοῦτο πάλιν καθολικῶς σώζοντες· ἑξετέα γὰρ ἀδμήτην (Il. 23, 266) ἀναγινώσκουσιν ὡς εὐσεβέα.

σταφύλῃ] οὕτως σταφύλῃ ὡς κοτύλῃ. ἔστι δὲ ἄμφω ἴσας τὸ νῶτον ὡς σταφύλῃ μετρεῖσθαι, ὅ ἐστι λαοξικῷ διαβήτῃ, ὃς ἅμα πλάτος καὶ ὕψος μετρεῖ· ὁ δὲ διαβήτης μόνον πλάτος.

συντόμως πᾶσαν ἵππων ἀρετὴν καὶ ὁμοιότητα περιέλαβεν· διαφέρουσι γὰρ ἀλλήλων ἵπποι ἡλικίᾳ, χρόᾳ, μεγέθει, γένει, δυνάμει. τοῦτο δὲ ἔθος τῷ ποιητῇ πολλάκις ἐν μονοστίχῳ πᾶσαν ἀρετὴν ἐμφαίνειν, ὡς τὸ "καλή τε μεγάλη τε καὶ ἀγλαὰ ἔργ' εἰδυῖα" (Od. 15, 418) καὶ τὸ "οὐ δέμας οὐδὲ φυὴν, οὔτ' ἂρ φρένας, οὔτε τι ἔργα" (Il. 1, 115).

767. φόβον Ἄρηος φορεούσας] ὅτι τὴν ἐν πολέμῳ φυγὴν φόβον Ἄρεως εἴρηκεν· ἀρετὴ γὰρ ἵππων οὐ μόνον διώκειν, ἀλλὰ καὶ ὅτε δέοι ἀταράχως φεύγειν, διωκέμεν ἠδὲ φέβεσθαι (Il. 5, 223).

769. *φέρτατος] οὕτως φέρτατος, οὐ φέρτερος, αἱ Ἀριστάρχου.

776. ἐλεόθρεπτόν τε σέλινον] ἄλλο τοῦτο τὸ ἔλειον σέλινον παρὰ τὸ πετροσέλινον, στραγγουριῶσι δὲ συμβάλλεται· στραγγουρία γὰρ ἀεὶ πολεμεῖ τοὺς ἀργοῦντας τῶν ἵππων. ἠτυμολόγηκε δὲ διὰ τοῦ ἐλεόθρεπτόν τε σέλινον τὸ ἐξ ἕλους σευόμενον· ἐν τοῖς ἕλεσι γὰρ τοῦτο ὡς ἐπὶ τὸ πλεῖστον.

777. ἔστασαν] δασυντέον τὸ ἔστασαν· ὑπερσυντέλικος γάρ ἐστι συγκεκομμένος, ὁ δὲ παρακείμενος δασὺ ἔχει τὸ ε̄ καὶ ὁ ὑπερσυντέλικος· οἱ δὲ ἀόριστοι ψιλὸν, ἐπεὶ καὶ κατὰ ἀποβολὴν τοῦ ε̄ λέγονται· "στὰν δὲ μεταστοιχεί" (Il. 23, 358), καὶ ὁ πρότερος "στῆσαν ἀείραντες" (Od. 2, 425). οὐκέτι δὲ ὁ ἔστασαν στάσαν.

781. *γαῖα δ' ὑπεστενάχιζε] ἐνταῦθα ἡ ἀνταπόδοσις καὶ προλέγεται καὶ ἐπιλέγεται.

783. Τυφωέος] οὕτως Τυφωέος, ὡς Ἀχιλλέως· καὶ γὰρ "Τυφωεῖ

17. Ἄρεως] ἄρεος
21. *ἔλειον] om.
22. *στραγγουρία γὰρ ἀεὶ] om.
23. *πολεμεῖ] ὁ πολεμεῖ
29. μεταστοιχεί] μεταστοιχεῖ hic et ad 23, 358.

γαῖαν ἱμάσσῃ," ἀπ' εὐθείας τῆς Τυφωεύς. συνήθης δὲ αὐτῷ ὁ τοιοῦτος τύπος παρώνυμος.

791. ἀπὸ τούτου ἕως τοῦ τῷ μιν ἐεισαμένη (795) ἀθετοῦνται στίχοι πέντε. εἰ γὰρ ἕνεκα τοῦ προαπαγγεῖλαι ὅτι παραγίνονται οἱ Ἕλληνες, ἤρκει ὁ Πολίτης, εἴπερ ὅλως ἐπετήρει. εἰ δὲ ἕνεκα τοῦ προτρέψασθαι μὴ τολμῶντας προελθεῖν, ἔδει αὐτοπρόσωπον παρεῖναι. ἔθος τέ ἐστι τοῖς μεταμορφουμένοις θεοῖς κατὰ τὴν ἄφοδον ἀπολιπεῖν τεκμήριον εἰς ἐπίγνωσιν. οἵ τε λόγοι οὐχ οὕτως εἰσὶν ἐσχηματισμένοι τοῦ Πολίτου ὡς πρὸς πατέρα, ἀλλ' εἰσὶν ἐπιτεταμένοι καὶ ἐπιπληκτικοί. καὶ τὸ "Ἕκτορ, σοὶ δὲ μάλιστ' ἐπιτέλλομαι" Πολίτῃ ἀνοίκειον· μᾶλλον δὲ Ἰριδι ἁρμόζει ἐπιτάσσειν.

795. προσέφη] γρ. μετέφη.

798. *τὸν ἦ περισπαστέον· ἔστι γὰρ βεβαιωτικός.

ἦ μὲν δή] οὕτως αἱ Ἀριστάρχου, ἤδη μέν, καὶ ἐν τοῖς πρὸς Κωμανὸν ὁμοίως προφέρεται, καὶ μήποτε παραπλήσιόν ἐστι τῷ "ἤδη καὶ Φρυγίην εἰσήλυθον ἀμπελόεσσαν" (Il. 3, 184).

801. προτὶ ἄστυ] οὕτως προτὶ ἄστυ, οὐ περὶ ἄστυ, ἵνα ὦσιν ἐρχόμενοι πρὸς τὴν πόλιν. ὁμοίως καὶ Ζηνόδοτος καὶ Ἀριστοφάνης γράφουσιν.

802. *σοὶ δέ] ὅτι περισσεύει ὁ δέ σύνδεσμος.

805. τοῖσιν ἕκαστος] ἀπ' ἄλλης ἀρχῆς· ἀσύνδετος γὰρ ὁ λόγος. τὸ δὲ ἑξῆς, τοῖσιν ἕκαστος ἀνὴρ σημαινέτω· πολλοὶ γὰρ κατὰ ἄστυ μέγα· τὴν αἰτίαν προλαβόντος τοῦ ποιητοῦ.

807. ἠγνοίησεν] ὅτι τοῦτό ἐστι τὸ πλανῆσαν τὸν τὰ ἐπάνω διασκευάσαντα. οὐ κεῖται δὲ συνήθως ἡμῖν τὸ ἠγνοίησεν, ἀλλ' ἀντὶ τοῦ οὐκ ἀπίθησεν.

808. δ' ἔλυσ'] τινὲς ἀπὸ τοῦ Λ τὴν ἀρχὴν ποιοῦνται καὶ προπερισπῶσιν, ἵνα ποιητικώτερον γένηται, ἔφαμεν δὲ τὸ τοιοῦτο παρὰ τῷ ποιητῇ διαφόρως ὁρᾶσθαι· "ἂν δ' ἄρ' ἔβη Πρίαμος" (Il. 3, 261) "αὐτὰρ ὁ βῆ ῥ' ἰέναι" (Il. 10, 73)· "οὐδ' ἔλαθ' Ἀτρέος υἱόν" (Il. 17, 1) "ἐμὲ δ' οὐ λάθεν" (Od. 9, 281).

2. τύπος Bast. ad Greg. p. 10.] τόπος
3. Lemma εἴσατο δὲ φθογγὴν, praefixo obelo.
6. τολμῶντας Bekk.] τολμῶντος
14. Lemma ἦ μὲν δή, superscripto ἤδη μέν, quae Aristarchi scriptura fuit.
ἤδη μέν, καὶ] ἤδη καὶ
15. τῷ] τὸ

809. πᾶσαι δ' ὠΐγνυντο πύλαι] ὅτι ἔμφασιν ἔχει πολλῶν πυλῶν, μία δέ ἐστι· καὶ ἔστι τὸ πᾶσαι ἀντὶ τοῦ ὅλαι.

811. *οὕτως αἰπεῖα ὡς ὀξεῖα.

813. οὕτως προπαροξυτόνως Βατίειαν, ὡς Ἀλεξάνδρειαν.

814. πολυσκάρθμοιο] πολυκινήτου, ταχείας, διὰ τὸ πολλὰ ἐνεργεῖν αὐτὴν ἐν τῷ πολέμῳ· σκαρθμὸς γὰρ ἡ τῶν ποδῶν κίνησις. Μύρινα δὲ Ἀμαζόνος ὄνομα.

816. κορυθαίολος] ὁ αἰόλλων τὴν περικεφαλαίαν, ὅ ἐστι κινῶν, διὰ τὰς ἐν τῷ πολέμῳ συνεχεῖς καὶ σφοδρὰς ἐνεργείας. ἢ ὁ αἰόλον καὶ ποικίλην ἔχων τὴν περικεφαλαίαν. ἢ ὁ εὐκίνητος ἐν τοῖς πολέμοις.

819. ὅτι τῶν Δαρδάνων ἦρχεν Αἰνείας, καὶ αὐτὸς ὢν Δάρδανος. πρὸς τὸ "τὸν δ' ἔκτανε Δάρδανος ἀνήρ" (701).

820. *ὑπ' Ἀγχίσῃ] ὅτι περιττεύει ἡ ὑπό.

824. οὕτως ὑπαί, ὡς καταί καὶ παραί· αἱ γὰρ προθέσεις ἐπαυξανόμεναι διὰ τοῦ ῑ φυλάσσουσι τὸν αὐτὸν τόνον.

827. ὅτι οὐ τὸ τόξον λέγει, ἀλλὰ τὴν τοξικὴν ἐμπειρίαν· τὸ γοῦν τόξον αὐτῷ ὁ κεραοξόος κατασκευάζει (Il. 4, 110).

828. Ἀπαισοῦ] οὕτως Ἀπαισοῦ ὡς ἀγανοῦ. καὶ ἴσως ἀκολούθως τῷ "ὅς ῥ' ἐνὶ Παισῷ" (Il. 5, 612).

830. *Ἄμφιος λινοθώρηξ] ὅτι καὶ ἕτερος Ἄμφιος, Περκώσιος, Ἐλάτου υἱός (Il. 5. 612).

831. περὶ πάντων] οὕτως φυλακτέον τὸν τόνον τῆς προθέσεως. εἴτε γὰρ πρόθεσίς ἐστιν ἀντὶ προθέσεως παρειλημμένη, ἀντὶ τοῦ ὑπὲρ πάντων, φυλάσσεται ὁ τόνος, καθότι πᾶσα πρόθεσις ἀντὶ ἑτέρας προθέσεως λαμβανομένη φυλάσσει τὸν αὐτὸν τόνον· εἴτε ἀντὶ τοῦ περισσός, φυλάσσει τὸν τόνον, ὡς τὸ "ὃς περὶ μὲν νόον ἐστὶ βροτῶν, περὶ δ' ἱρὰ θεοῖσιν" (Od. 1, 66)· "οὗ περὶ μὲν πρόφρων κραδίη" (Il. 10, 244). καὶ τὸ αἴτιον ἐν ἑτέροις εἴπομεν, ὡς ὅτι πρὸς αὐτοὺς τοὺς τόνους τῶν ἐπιρρημάτων καὶ αὐταὶ ὀρθοτονοῦνται.

832. οὕτως τὸ αὐτοῦ ἔασκε κατὰ συστολήν· οὕτως καὶ πάντες· τὰ γὰρ διὰ τοῦ σκε παρηγμένα Ἰακῶς βραχεῖαν ἔχει τὴν παραλήγουσαν· "ὧδε δέ τις εἴπεσκε" (271), "τὴν αὐτὸς φορέεσκε" (Il. 15, 646).

835. *Πράκτιον] ὅτι ἔνιοι ποταμὸν λέγουσι τὸν Πράκτιον.

20. τῷ Lehrsius] τὸ 23. In textu περι sine accentu.

τινὲς ἐκτείνουσι τὴν πρώτην τοῦ Πράκτιον.

836. Σηστὸν καὶ Ἄβυδον] πόλεις περὶ τὸν Ἑλλήσποντον, καθ' ἃς ὁ Ξέρξης, ἐπιστρατεύων τῇ Ἑλλάδι, συνέδησε ναῦς καὶ ἐπλήρωσεν αὐτὰς γῆς, ὡς ποιῆσαι αὐτὸν τὸ στράτευμα ὅλον, ἄφατον ὄν, πεζὸν παρελθεῖν τὸν στενὸν ἐκεῖνον τῆς θαλάσσης πόρον. Ἑλλήσποντος δὲ λέγεται ὁ διείργων τὴν Θρᾴκην καὶ τὴν Τρῳάδα πορθμός. εἴρηται δὲ Ἑλλήσποντος ἀπὸ τοῦ ἐκεῖσε ποντισθῆναι Ἕλλην τὴν Φρίξου μὲν ἀδελφὴν Ἀθάμαντος δὲ θυγατέρα.

837. Ἄσιος] ὅτι ὁ Ἄσιος οὗτος ὁμώνυμός ἐστι τῷ Ἑκάβης ἀδελφῷ (Il. 16, 719). ἐσημειοῦτο δὲ ὁ Ἀρίσταρχος τὰς ὁμωνυμίας πρὸς τὰ περὶ Πυλαιμένους, καὶ πρὸς τὴν ἐπανάληψιν, ὅτι πλεονάζει ἐν Ἰλιάδι.

839. ποταμοῦ ἀπὸ Σελλήεντος] Πτολεμαῖος ὁ Ἀσκαλωνίτης ἀναστρέφει, πρὸς τὰ προσηγορικώτερα ποιούμενος τὰς συντάξεις. ὁμοίως καὶ Νικίας. οὐκέτι μέντοι ἐπὶ τοῦ "Ξάνθῳ ἐπὶ δινήεντι" (Il. 5, 479), "μάχῃ ἐνὶ κυδιανείρῃ" (Il. 6, 124)· ἐπεφέρετο γὰρ τὰ προσηγορικώτερα. ὁ μέντοι Ἀρίσταρχος τοῖς κυριωτέροις συνέταττε τὰς προθέσεις· διὸ ἀναστρέφων ἀνεγίνωσκε "Ξάνθου ἄπο δινήεντος," φυλάσσων δὲ τὸν τόνον ἐπὶ τοῦ "ποταμοῦ ἀπὸ Σελλήεντος." εἶτα πολλὰ εἰπὼν ὁ Ἡρωδιανός φησιν ὅτι ἐμοὶ μέντοι δοκεῖ τὸ τοιοῦτον ὅλον εἶδος ἀναγινώσκειν κατὰ ἀναστροφήν. εἰ γὰρ δύο ὀνόματά ἐστι καθ' ἑνὸς ὑποκειμένου λαμβανόμενα, καὶ σχεδὸν ἕν ἐστι τὸ ὅλον, καὶ θέλει ἡ πρόθεσις προηγεῖσθαι, μέση δὲ παρείληπται καθ' ὑποταγήν, ὡς ὑποτεταγμένη ἀναστραφήσεται.

ὅτι Σελλήεις ποταμός ἐστιν Ἀσίας, ὁμώνυμος τῇ Θεσπρωτίᾳ.

842. Πύλαιος] τοῦ Πύλαιος τὴν πρώτην ὀξυτονητέον πρὸς ἀντιδιαστολὴν τοῦ τοπικοῦ· καὶ τὸν Ἑρμῆν τὸν Πυλαῖον.

847. Τροιζήνιοι] οὕτως Τροιζήνιοι, ὡς Εὐμήλιος· ἀπὸ γὰρ γενικῆς τῆς Τροιζῆνος ἐγένετο εὐθεῖα ἔθει ποιητικῷ.

851. Πυλαιμένεος] ὅτι οὗτός ἐστι Πυλαιμένης περὶ οὗ πολλοὶ τῶν ἀρχαίων ἐζητήκασιν (Il. 5, 576. 13, 643).

852. * ἐξ Ἐνετῶν] ὅτι Ζηνόδοτος γράφει ἐξ Ἐνετῆς.

2. καθ' ἃς] καθὰ
5. * πόρον] τόπον
11. περὶ hic et p. 115, 29. addidit Cobetus Mnemos. novae vol. 1 p. 29. Conf. schol. ad 1, 320. 13, 658.
25. τῇ Θεσπρωτίᾳ] τῷ Θεσπρωτιακῷ Lehrsius Arist. p. 233.
27. Πυλαῖον] sic A, non Πύλαιον
29. Τροιζῆνος] τροίζηνος
32. Ἐνετῆς] ἐνέτης

παρὰ Ἐνετοῖς· πρῶτον ἡ ὄνων καὶ ἵππων μίξις ἐπενοήθη. ἀγροτεράων δὲ τῶν μάλιστα ἐν ἀγροῖς ἐπιτηδείων. τὸ δὲ Ἐνετῶν ὡς Θεσσαλῶν.

854. Παρθένιον ποταμόν] τοῦτον ἔνιοι λέγουσι διὰ τὴν πραότητα οὕτως προσαγορεύεσθαι· ἢ ἐπειδὴ παρθένος οὖσα ἡ Ἄρτεμις ἐν αὐτῷ ἐλούσατο.

856. Ὀδίος καὶ Ἐπίστροφος] ἡ διπλῆ, ὅτι καὶ ἕτερός ἐστιν Ὀδίος ὁμώνυμος (Il. 9, 170), καὶ παρὰ τοῖς Ἕλλησιν Ἐπίστροφος (517 et 692). Ἀλίζωνες δὲ ἔθνος Πόντου. εἰσὶ δὲ οὗτοι Βοιωτοί, οὕς τινες Οἰνοπάς φασιν, οἱ δὲ ἔθνος Αἰακῶν.

858. Χρόμις] ὅτι νῦν μὲν Χρόμιν, ἐν ἄλλοις δὲ λέγει Χρομίον τὸν αὐτόν (Il. 17, 218).

860, 861. ἀθετοῦνται ἀμφότεροι, ὅτι κατὰ τὴν παραποταμίαν μάχην (Il. 21) οὐχ εὑρίσκεται ἐπ' ὀνόματι πίπτων. εἴωθε δὲ ὁ ποιητὴς τοὺς τῶν ἡγεμόνων θανάτους διαδήλως λέγειν. ἐὰν δὲ μὴ ὁρισθῇ ὁ τόπος καὶ ὁ καιρὸς, δύναται ὁ ἕτερος μένειν.

862. Φρύγας] ὅτι οἱ νεώτεροι τὴν Τροίαν καὶ τὴν Φρυγίαν τὴν αὐτὴν λέγουσιν, ὁ δὲ Ὅμηρος οὐχ οὕτως· Αἰσχύλος δὲ συνέχεεν. οὗτοι δὲ τῆς μικρᾶς εἰσὶ Φρυγίας· ἡ δὲ μεγάλη παρὰ τῷ Σαγγαρίῳ κεῖται, ὅθεν καὶ Ἄσιος, ὃς μήτρως ἦν Ἕκτορος ἱπποδάμοιο.

865. Γυγαίη τέκε λίμνη] ἄνευ τοῦ ῑ, Γυγαίη τέκε λίμνη, ἡ κατὰ Ἀρίσταρχον εἶχε διόρθωσις. οἱ δὲ περὶ Χαῖριν καὶ Διόδωρον καί τινες τῶν καθ' ἡμᾶς προστιθέασι τὸ ῑ, ἵν' ᾖ λίμνη ἔπι Γυγαίη τέκε, κακῶς· μηδέποτε γὰρ Ὅμηρον λιμνῶν τέκνα ἱστορεῖν· βίαιοι δέ εἰσιν.

867. Νάστης αὖ Καρῶν] ὅτι Θουκυδίδης (1, 3) λέγει τὴν ὀνομασίαν τῶν βαρβάρων νεωτερικὴν εἶναι. ἐλέγχεται δὲ ἐντεῦθεν.

868. Φθειρῶν τ' ὄρος] τῆς Καρίας περὶ Μίλητον, διὰ τὸ πολλὰς ἔχειν πίτυς· οἱ γὰρ τόποι τῶν πιτύων φθεῖρες προσαγορεύονται. οἱ δὲ, ὅτι τὰ τῶν πιτύων μικρὰ στροβίλια οὕτως λέγονται, ἃ καὶ πιτυοκάμπας φασίν. ἢ ἀπὸ Φθειρὸς τοῦ Ἐνδυμίωνος.

869. Μαιάνδρου] Μαίανδρος ποταμὸς ἀρχόμενος ἀπὸ Φρυγίας,

1. ἐπενοήθη addidit Bekkerus.
5. * ἡ Ἄρτεμις] om.
8. Ἐπίστροφος] ἕτερος Ἐπίστροφος (517) καὶ τρίτος παρὰ τοῖς βαρβάροις, Εὐήνου υἱός (692) Friedl.
9. Βοιωτοὶ] Βιθυνοὶ Barnesius.
10. Αἰακῶν (* Αἶα)] Θρᾳκῶν Heynius.
23. τινες Bekk.] τισι

ῥέων δὲ διὰ Καρίας εἰς θάλασσαν, πλησίον Μιλήτου. σκολιὸς δέ ἐστι καὶ πολλὰς ἐκροὰς ποιούμενος.

872. ὅτι ἐπὶ τοῦ Ἀμφιμάχου ἐστὶ τὸ ὃς καὶ χρυσὸν ἔχων, ὁ δὲ Σιμωνίδης ἐπὶ τοῦ Νάστου λέγει. καὶ ὅτι οὐ λέγει ὅπλα αὐτὸν ἔχειν χρυσᾶ, ὡς καὶ πάλιν ὁ Σιμωνίδης ἐξέλαβεν, ἀλλὰ κόσμον χρυσοῦν· λέγει γὰρ ἠΰτε κούρη. ἐνεπλέκοντο γὰρ χρυσὸν οἱ βάρβαροι. "πλοχμοί θ' οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο" (Il. 17, 52).

877. Ξάνθου ἄπο δινήεντος] πᾶσα πρόθεσις μεταξὺ κυρίου καὶ ἐπιθετικοῦ τῷ κυρίῳ ἕπεται κατὰ Ἀρίσταρχον, κατὰ δὲ Πτολεμαῖον τῷ προσηγορικῷ. κατὰ δὲ Ἀπολλώνιον πάντως ἀναστρέφεται· τὸ δὲ Ξάνθου πρὸς τοὺς Ζελείτας Λυκίους.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα, καὶ τὰ Διδύμου περὶ τῆς Ἀρισταρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ ἐκ τοῦ Νικάνορος περὶ στιγμῆς.

ΕΙΣ ΤΗΝ Γ.

1. Αὐτὰρ ἐπεί] ἄμφω τὰς στρατιὰς διατυποῖ καὶ μέχρι τέλους οὐκ ἐξίσταται τοῦ ἤθους "ὥστ' ὄϊες πολυπάμονος" (Il. 4, 433) καὶ "ἐς Τρώων ὅμαδον κίεν" (Il. 7, 307). διαφέρει δὲ ὁ αὐτάρ τοῦ δέ, καθὸ ὁ μὲν αὐτάρ προτάσσεται, ὁ δὲ δέ ὑποτάσσεται. ζητεῖται δὲ πῶς δεῖ τὸν αὐτάρ σύνδεσμον προφέρεσθαι, πότερον ὀξυτόνως ἢ βαρυτόνως. οἱ μὲν οὖν ὀξυτόνως ἀνεγνώκασιν, ὡς Καλλίμαχος, οἱ δὲ βαρυτόνως λόγῳ τῷδε· πᾶσα λέξις εἰς ᾰρ λήγουσα βαρύνεται, οἷον ἄφαρ εἶθαρ μάκαρ δάμαρ στέαρ οὖθαρ. ῥητέον δὲ ὅτι οὐδεὶς συμπλεκτικὸς ἢ περισπᾶται ἢ βαρύνεται, πάντες δὲ ὀξύνονται.

κόσμηθεν] ὁ τρόπος μεταφορὰ, ἀπὸ τοῦ κόσμου, ὅθεν καὶ ἡ τῶν ὅλων τάξις κόσμος ὑπὸ Πυθαγόρου εἴρηται· ἡ δὲ διάλεκτος Δωρίς. εὐταξίᾳ δὲ μάλιστα πόλεμος κατορθοῦται.

2. *κλαγγῇ τ' ἐνοπῇ τ'] ὅτι ἀντὶ τοῦ μετὰ κλαγγῆς καὶ ἐνοπῆς. ἄμφω δὲ ἦχου ὀνόματα.

ὄρνιθες ὥς] βραχὺ διασταλτέον ἐπὶ τὸ ὥς· ἡ γὰρ ἀνταπόδοσις πρόκειται, καὶ ἀνεστραμμένη ἡ περίοδός ἐστιν.

3. οὐρανόθι πρό] ὅτι ἀντὶ τοῦ ἐν τῷ ὑπὸ τὰ νέφη τόπῳ. οὐρανὸν γὰρ καλεῖ τὸν ὑπὲρ τὰ νέφη τόπον· διὸ καὶ τὰς τοῦ Ὀλύμπου κορυφὰς ἐπουρανίους νοητέον.

1. *διὰ—ἐκροὰς] τὸ—ἐκροΐ 32. ἐν τῷ addidit Bekkerus.
33. ὑπὲρ Cobetus] ὑπὸ

4. χειμῶνα φύγον] ὅτι χειμῶνα οὐ τὴν χειμερινὴν κατάστασιν λέγει, ἀλλὰ τὸν χειμερινὸν τόπον τῆς Θράκης· οὐ γὰρ ἐνστάντος χειμῶνος τότε ἀπαίρουσιν, ἀλλὰ προσδοκίας οὔσης.

5. κλαγγῇ—πέτονται ἐπ' Ὠκεανοῖο ῥοάων] ἀντὶ τοῦ εἰς ῥοάς. τὸ ἀδιάλειπτον δὲ τοῦ θορύβου δηλῶν πολλάκις ὀνομάζει τὴν κλαγγήν. τὰ δὲ δειλότερα τῶν ζώων φωνητικώτερα μᾶλλον τῶν ἀνδρείων.

6. Πυγμαίων] τῷ ξένῳ τῆς ἱστορίας ψυχαγωγεῖ τὸν ἀκροατήν· ὅθεν καὶ τὸν θροῦν ἐπ' ἄπειρον αὔξει. φησὶ δὲ αὐτοὺς Ἑκάταιος ἐπὶ σχημάτων κριῶν ἐξιόντας ἀλέξασθαι αὐτὰς, τὰς δὲ καταφρονούσας τοῦ μήκους πολεμεῖν πρὸς αὐτούς.

10. *ὅτι τὸ εὖτε οὐκ ἔστι χρονικὸν, ἀλλ' ὁμοιωματικὸν, ἀναλογοῦν τῷ ἠΰτε.

διὰ τοῦ ε αἱ Ἀριστάρχου τὸ εὖτε, καὶ τὸ ἑτέρωθί που λεγόμενον "τῷ δ' εὖτε πτερὰ γίνεται" (Il. 19, 386) ἀντὶ τοῦ ὡς πτερὰ ἐγίνετο ἐλαφρὰ τὰ τοῦ Ἡφαίστου ὅπλα τῷ Ἀχιλλεῖ. ἐν ἐνίαις δὲ τῶν ἐκδόσεων, τῇ τε Χίᾳ καὶ τῇ Μασσαλιωτικῇ καί τισιν ἄλλαις, ἐκ πλήρους ἐγέγραπτο "ηὗτε ὄρεος κορυφῇσι," παρὰ τὸ εἰωθὸς Ὁμήρῳ· ἐκ πλήρους γὰρ παρ' ἕκαστα γράφειν ὄρεος. εἰσὶ δὲ οἳ καὶ ἑτέρως ἀκούουσι τὸ εὖτε, ἀντὶ τοῦ ὅτε, καθάπερ καὶ ἐν ἄλλοις· "εὖτε γὰρ ἠέλιος φαέθων" (Il. 11, 735) καὶ "εὖτ' ἀστὴρ ὑπερέσχε" (Od. 13, 93). λαμβάνουσι δὲ ὑπὸ μίαν περιγραφὴν τὸ ὅλον· "εὖτ' ὄρεος κορυφῇσι νότος κατέχευεν ὁμίχλην ποιμέσιν οὔτι φίλην, κλέπτῃ δέ τε νυκτὸς ἀμείνω, τόσσον τίς τ' ἐπιλεύσσει ὅσον ἐπὶ λᾶαν ἵησιν·" ὁπότε ὁ νότος ταῖς τοῦ ὄρους κορυφαῖς κατέχεεν ὁμίχλην τοῖς μὲν ποιμέσιν οὐ προσφιλῆ, τῷ δὲ κλέπτῃ νυκτὸς κρείσσονα, τότε ἐπὶ τοσοῦτον δύναταί τις βλέπειν ὅσον ἐστὶ λίθου βολῆς διάστημα. ἄμεινον δὲ τὸ πρότερον· τῷ γὰρ ὥσπερ ἀνταποδίδοται τὸ ὡς ἄρα τῶν ὑπὸ ποσσὶ κονίσαλος. ταῦτα ὁ Δίδυμος.

11. ἀμείνω] ἡ διπλῆ, ὅτι τινὲς γράφουσι σὺν τῷ ν, ἀμείνων. εἰ δὲ

8. τῷ ξένῳ] ἡ διπλῆ ὅτι καὶ τῷ ξένῳ Villoisonus, qui non animadverterat διπλῆν versui 6 non a prima, sed ab recentissima manu praescriptam esse. Lemmati Πυγμαίων in A asteriscus est praefixus ※.

*τὸν ἀκροατήν· ὅθεν om.

9. *ἐπ' ἄπειρον] om.

10. σχημάτων (ὀχημάτων Bekkerus) κριῶν] ὀχημάτων μικρῶν Cobetus.

18. ηὗτε] ἠΰτε

30. Lemma ποιμέσιν οὔτι φίλην, praefixo asterisco.

κατ' αἰτιατικήν ἐστι, χωρὶς τοῦ ν̄ γράφεται· ἀνάλογον γάρ ἐστι τῷ ἀμείνονα. ἄλλοι δὲ γράφουσιν ἀντὶ τοῦ νυκτὸς ἀμείνω.

13. *κονίσαλος ὦρνυτ' ἀελλής] ὅτι οὐ λέγει ὑπὸ ποδῶν ἀέλλης, ἀλλὰ κονίσαλος ἀελλής, ἀελλώδης.

16. *Τρωσίν] ἀντὶ τοῦ Τρώων. πτωτικὸν τὸ σχῆμα· ταῖς δοτι- 5
καῖς γὰρ ἀντὶ γενικῶν χρῶνται οἱ ποιηταί.

18. αὐτὰρ ὁ δοῦρε] Ἀρίσταρχος ἄνευ τοῦ ἄρθρου, αὐτὰρ δοῦρε. οὕτως καὶ ἡ Ἀριστοφάνους καὶ ἡ Καλλιστράτου, καὶ σχεδὸν οὕτως καὶ αἱ χαριέσταται· καὶ ὁ Ἰξίων ἐν τῷ πρώτῳ πρὸς τὰς ἐξηγήσεις ὁμοίως προφέρεται. ἔχει δὲ τὸν Ὁμηρικὸν χαρακτῆρα καὶ ἡ σὺν τῷ 10
ἄρθρῳ γραφὴ, καίπερ οὐκ οὖσα Ἀριστάρχειος· σύνηθες γὰρ τῷ ποιητῇ ἐπὶ τῶν αὐτῶν μένοντι ὑπόνοιαν παρέχειν ὡς περὶ ἑτέρου διαλέγοιτο προσθέσει ἄρθρου καὶ μεταλλάξει τοῦ συνδέσμου, ὡς ἐπὶ τοῦ Κύκλωπος "κὰδ δέ μιν ὕπνος ἧρει πανδαμάτωρ, ὁ δ' ἐρεύγετο οἰνοβαρείων" (Od. 9, 372) ἀντὶ τοῦ καὶ ἐρεύγετο. Ζηνόδοτος δὲ 15
συνηθέτηκε τοῖς ἑξῆς. οὐ συναθετουμένου δὲ δεῖ κοινὸν παραλαβεῖν "αὐτὰρ ὁ δοῦρε δύω ἔχων," καὶ νοεῖν τὸ ἄρθρον ἐξ ἐπαναλήψεως παρειλημμένον ἐπὶ τοῦ αὐτοῦ προσώπου.

19, 20. τὸ "πάλλων" καὶ τὸ "ἀντίβιον," ἀθετοῦνται ἀμφότεροι· ὁ γὰρ παρδαλέην ἀνειληφὼς καὶ τοξικὴν στολὴν ἔχων οὐκ ἂν προκα- 20
λοῖτο εἰς μονομαχίαν, ἀλλ' ὕστερον ἐπὶ τοῦτο ἔρχεται ὀνειδισθεὶς ὑφ' Ἕκτορος. ἄτοπον δὲ καὶ τὸ ἅμα πάντας προκαλεῖσθαι.

ἐζήτηται πῶς ὁ Ἀλέξανδρος προεκαλεῖτο πάντας τοὺς ἀρίστους τῶν Ἑλλήνων δειλὸς ὢν τὰ πάντα καὶ οὐδὲ ὁπλίτης, ἀλλὰ τοξότης. ἔνιοι μὲν οὖν φασὶν ἀλαζονεύεσθαι αὐτὸν τὰ ἀδύνατα, φοβεῖσθαι δὲ 25
τὰ τυχόντα· οἱ δὲ, ὅτι συγκεκλεισμένοι ὑπὸ Ἀχιλλέως οἱ Τρῶες τοὺς τῶν Ἑλλήνων ἀρίστους οὐκ ᾔδεισαν. καὶ ἐμοὶ μὲν δοκεῖ ὅτι κωμῳδεῖν ἐπανῃρημένος ὁ ποιητὴς καὶ σχῆμα τῆς ὁπλίσεως καὶ θράσος ἀλλότριον τῶν ὅπλων αὐτῷ προστέθεικεν, ἵν' ἐκ τοῦ μέλλοντος φόβου μείζονα προσοφλήσῃ τὸν γέλωτα. 30

1. τῷ (ut schol. ad 15, 718) Friedlaenderus] τὸ

2. ἀμείνω] πολλὸν ἀμείνω Lehrsius.

14. ὁ δ' ἐρεύγετο] ὁ δ' ἔρευγ'

15. Ζηνόδοτος—κοινὸν Lehrsius Herod. p. 456] Ζηνόδοτος δὲ ἠθέτηκε τοῖς ἑξῆς οὐ συντιθέμενον. δεῖ δὲ κοινὸν

18. παρειλημμένον Lehrsius] παρήμενον

23. Lemma προπάροιθεν ὁμίλου, praefixo asterisco.

20. *οὕτως ὁ Ἀρίσταρχος προπερισπᾷ δηϊοτῆτι, ὡς ἀπὸ ὀξυτόνου εὐθείας. τὸ δὲ κεφάλαιον ἐκτέταται ἐν τῇ Ἰλιακῇ προσῳδίᾳ.

22. τὸ προπάροιθεν ὁμίλου ἤτοι τοῖς ἐπάνω προσδοτέον, ἢ τοῖς ἑξῆς.

*ἐπὶ σώματι κύρσας] μεγάλῳ ζώῳ ἐπιτυχών· νεκροῦ γάρ φασι σώματος μὴ ἅπτεσθαι λέοντα.

κεραόν] εὔκερων ἄρρενα· αἱ γὰρ θήλειαι τῶν ἐλάφων οὐ κερατοφοροῦσιν. ἔλαφος δὲ εἴρηται παρὰ τὸ ἑλεῖν τοὺς ὄφεις, οἱονεὶ ἕλοφός τις οὖσα· τούτους γὰρ ἐσθίουσα καθαίρεται φυσικῶς. ὅτε γοῦν ἀφανεῖς ὦσιν οἱ ὄφεις, αὕτη τὸ κέρας αὐτῆς προστρίβει εἰς πέτραν, ὃ θερμαινόμενον ποιεῖ τινὰ ἀναθυμίασιν, ἧς μεταλαμβανόμενοι οἱ ὄφεις τῶν φωλεῶν ἐξίασιν εὐθέως.

24, 25. *συναπτέον ἕως τοῦ πεινάων· φαῦλοι γὰρ οἱ συνάπτοντες τὸ πεινάων τοῖς ἑπομένοις. ὑποστικτέον δὲ εἰς τὸ αἰζηοί. δύναται ἐπὶ τοῦ πεινάων καὶ στιγμὴ καὶ ὑποστιγμὴ εἶναι· οὐ γὰρ συναπτέον τοῖς ἑξῆς. ὁ μὲν ἐλάφῳ καὶ τεθνειῶτι, ὁ δὲ λέοντι καὶ πεινῶντι παρείκασται. χαλεπὸς δέ ἐστι πεινῶν ὁ λέων, ὅσον ἥμερος βεβρωκώς· τῶν γὰρ ἄλλων ἐστὶ ζώων θερμότερος. ὥσπερ οὖν λέοντα παροξύνει λιμὸς εἰς ἀπερίσκεπτον κίνδυνον, οὕτως καὶ νέον ἄνδρα πολεμίου ζῆλος εἰς ἀνεκλόγιστον ἀγῶνα προτρέπεται.

25. *εἴπερ ἂν αὐτόν] ὅτι τὸ εἴπερ ἂν αὐτόν ἀντὶ τοῦ εἰ καὶ αὐτόν, ὡς ὅταν λέγῃ "εἴπερ ἂν αὐταὶ Μοῦσαι ἀείδοιεν" (Il. 2, 598) ἀντὶ τοῦ εἰ καὶ αὐταί. καὶ ὅτι ὁ τέ σύνδεσμος περισσός.

28. ἀλείτην] ὅτι Ζηνόδοτος γράφει ἀλείτας, τὰς ἁμαρτίας ἐκλαμβάνων. κρεῖττον δὲ αὐτὸν τὸν Ἀλέξανδρον λέγεσθαι ἀλείτην.

29. χαμᾶζε] προπερισπᾶται. ἐχρῆν δὲ πρὸς τὸν χαρακτῆρα τρίτην ἀπὸ τέλους εἶναι τὴν ὀξεῖαν συστελλομένου τοῦ ᾱ, ὥσπερ τὸ Ἀφίδναζε Θήβαζε ἔραζε, χωρὶς εἰ μή ἐστιν ἀφορμὴ ὅτι ταῦτα ἀπὸ ὀνομάτων, τοῦτο δὲ ἀπὸ ἐπιρρήματος τοῦ χαμαί. τὸ δὲ μέταζε χρονικὸν παρὰ πρόθεσιν παρῆκται.

3. ἤτοι delevit Vill. Probabilius Cobetus ἢ τοῖς ἑξῆς post προσδοτέον excidisse coniecit, quod recepi.
8. *ἕλοφος] ἔλαφος
9. *ὅτε—ὄφεις] οὕτως γοῦν οἱ ὄφεις, ὅτε ἀφανισθῶσιν
12. *ἐξίασιν] ἐξίουσιν
*εὐθέως] om.
13. φαῦλοι—] Scholion mutilatum: v. Friedl. Nican. p. 166.
21. τοῦ εἰ καὶ] τοῦ ε καὶ
22. ἀείδοιεν] θέδοιεν (sic)
23. εἰ καὶ] εἰ om.

31. ἡ ὑποστιγμὴ διὰ τὸ ὡς μόριον, τὸν δ' ὡς οὖν. ἡ διπλῆ δὲ, ὅτι ἀντὶ τοῦ κατεπλάγη.

33. ὡς δ' ὅτε τίς τε δράκοντα] ἀνωτέρω περὶ τοῦ λέοντος ἐξειργάσατο, οὐ τοῦ ἐλάφου· τοῦ δρῶντος γὰρ ἦν ἡ εἰκών. καὶ τὰ μὲν ἄλλα τῶν ζώων καὶ πόρρωθεν ὁρᾶται μεγέθει ἢ φωνῇ, ὄφις δὲ ἐγγὺς γεγονότι παραδόξως ὁρᾶται. ὃ συνέβη Ἀλεξάνδρῳ.

35. ὦχρος] οὕτως ὦχρος ὡς ὦμος, εἰς ἀποφυγὴν τοῦ ἐπιθετικοῦ. τάχα δὲ καὶ ἄχροός ἐστιν, ὃ ἐν ὑπερθέσει γίνεται ἄοχρος, καὶ κατὰ συναλοιφὴν ποιεῖ τὸ ὦχρος βαρυνόμενον. ἄλλως τε τὰ εἰς ος λήγοντα δισύλλαβα μονογενῆ, ἀρχόμενα ἀπὸ τοῦ ω, μὴ προσκειμένου τοῦ ι, βαρύνεται, ὦμος. πρόσκειται μὴ ἔχοντα τὸ ι διὰ τὸ ᾠδός τραγῳδός.

παρειά] οὕτως ὀξυτόνως καὶ χωρὶς τοῦ σ γραπτέον, ἵνα ᾖ οὐδέτερον· τὰ γὰρ ἀπὸ τῶν τοιούτων θηλυκῶν μεταποιούμενα εἰς οὐδέτερον γένος, τοῦ αὐτοῦ σημαινομένου μένοντος, τὸν αὐτὸν φυλάσσει τόνον, πλευραί πλευρά, πυραί πυρά. οὐκ ἀντίκειται τὸ νευραί καὶ νεῦρα· διάφορον γὰρ τὸ σημαινόμενον. οὕτως παρειαί παρειά. φασὶ μέντοι Ἀρίσταρχον καὶ Ἀριστοφάνην γράφειν παρειάς σὺν τῷ σ, ἐπειδὴ καὶ παρειάων ἀπαλάων λέγει (Il. 18, 123).

36. Τρώων ἀγερώχων] ἡ διπλῆ, ὅτι ἀγερώχους τοὺς Τρῶας, οὐ μόνον τοὺς Ῥοδίους, ὥς τινες ᾠήθησαν, διὰ τὸ ἀγείρειν τὴν ὀχλην, τουτέστι τὴν τροφήν· ὁ γὰρ Ὅμηρος ἀγερώχους τοὺς ἄγαν γεραωχοὺς καὶ σεμνοὺς λέγει.

39. Δύσπαρι] ἐπὶ κακῷ ὠνομασμένε Πάρι, κακὲ Πάρι. καὶ Ἀλκμάν φησιν "Δύσπαρις, Αἰνόπαρις, κακὸν Ἑλλάδι βωτιανείρᾳ."

40. ἄγονός τ' ἔμεναι] Διονύσιός φησιν ὁ σκυτοβραχίων Δάρδανον ἀπὸ Ἑλένης καὶ Πάριδος γενέσθαι.

41. *στικτέον ἐπὶ τὸ βουλοίμην, τὰ δὲ ἑξῆς συναπτέον ἕως τοῦ ἄλλων.

43. ἦ] περισπαστέον τὸν ἦ· βεβαιωτικὸς γάρ ἐστι, καὶ ἰσοδυναμεῖ τῷ δή.

44. φάντες ἀριστῆα] πότε ὑπέλαβον αὐτὸν ἀριστέα εἶναι; δῆλον ὅτι ὁπότε πάλλων τὰ δόρατα Ἀργείων προκαλίζετο πάντας ἀρίστους.

7. *ὦμος] μῶμος
11. ὦμος bis scriptum in A, alterum fortasse pro ὦρος vel ὦνος.
12. τραγῳδός Cobetus] τρωιδός
17, 19. παρειαί ter, ἀπαλάων bis in A.
29. τοῦ addidi.

πρόμον] ἡ διπλῆ, ὅτι κατὰ συγκοπὴν τὸν πρόμαχον εἴρηκεν, οὐχ ὡς οἱ γλωσσογράφοι τὸν βασιλέα.

45. εἶδος ἔπ'] μετὰ τὸ εἶδος ἔπ' ἐὰν ὑποστίξῃς, ὃ καὶ ἄμεινον, ἀπὸ κοινοῦ τὸ φάντες ὅτι καλὸς μέν ἐστι, δειλὸς δέ.

οὐκ ἔστι βίη φρεσίν] βίη δύναμις, φρεσί δὲ τῇ διανοίᾳ. τουτ- 5
έστιν οὐκ εἶ ἔμψυχος, οὐδὲ τὴν τυχοῦσαν ἔχεις δύναμιν.

46. ἦ τοιόσδε ἐών] τινὲς κατὰ πεῦσιν καὶ θαυμασμόν· τοιοῦτος ὢν δειλός, συναγαγὼν πλῆθος, διελθὼν πέλαγος, γυναῖκα ἀνδρὸς πολεμικοῦ ἤγαγες, τῷ πατρὶ καὶ τοῖς ἄλλοις κακὸν μέγα; εἶτα ἀπὸ ἄλλης ἀρχῆς, οὐκ ἂν δὴ μείνειας Μενέλαον, ἠθικῶς μετὰ πεύσεως ἢ 10
διαβεβαιωτικῶς. τινὲς δὲ τὸ πᾶν οὕτως· τὸν ἢ ἀντὶ τοῦ εἰ· εἰ τοιοῦτος ὢν ἐπηγάγου πλῆθος καὶ ἀπὸ ξένης γῆς γυναῖκα ἀνδρὸς πολεμικοῦ ἤγαγες, οὐκ ἂν ὑπομείνειας τὸν ταύτης ἄνδρα. ὃ καὶ προκρίνει Νικάνωρ ὡς μᾶλλον τὴν δικαιολογίαν ἔχον.

ἐνταῦθα δὲ ἐγκλίνεται ὁ σύνδεσμος, ὁμοίως τῷ "ἦ καὶ Λαέρτῃ 15
αὐτὴν ὁδὸν ἄγγελος ἦλθ" (Od. 16, 138)· καί μοι δοκεῖ ἰσοδυναμεῖν τῷ εἰ. λέγω δὲ τὸ τοιοῦτον· εἰ ᾔδεις σάφα οἵη περίφρων Πενελόπεια.

47. ἐπιπλώσας] ὁ Ἀπολλώνιος σχηματίζει τὸ ἐπιπλώσας οὕτως· πλέω καὶ ἐπιπλώω, οὗ ἀόριστος ἐπέπλωσα, μετοχὴ ἐπιπλώσας, εἶτα 20
ἀποκοπὴ ἐπιπλώς. καὶ τὸ ἐπέπλως δὲ ῥῆμα "τοὔνεκα γὰρ καὶ πόντον ἐπέπλως" (Od. 3, 15) ὁμοίως ἐκ τοῦ ἐπέπλωσας ἀποκοπή. ὅτι γὰρ τὸ ἐπέπλως οὐκ ἔστιν ἀπὸ θέματος τοῦ πλῶμι δῆλον ἐκ τοῦ μηδὲν εἶναι ὡς ἀπὸ τῶν εἰς μι κίνημα, οὐκ ἀπαρέμφατον ἐπιπλῶναι, οὐκ εὐκτικὸν ἐπιπλοίην, οὐ προστακτικὸν ἐπίπλοθι, οὐκ ἄλλο οὐδέν. ἔδει 25
δὲ καὶ τὴν μετοχὴν εἶναι ἐπιπλούς ὡς βιούς καὶ γνούς. ὅτι γὰρ οὐ Δωρικῶς ἐτράπη εἰς τὸ ω ὡς βοῦς βῶς, δῆλον ἐκ τοῦ μὴ προκεῖσθαι αὐτοῦ ἐν χρήσει τὸ κοινόν.

48. ἀνῆγες] ἡ διπλῆ, ὅτι ἀναγωγὴν λέγει τὸν ἐκ Πελοποννήσου εἰς Τροίαν πλοῦν· ἔστι γὰρ ὑψηλότερα τὰ πρὸς ἄρκτους. 30

49. ἐξ ἀπίης γαίης] ὅτι ἀπίαν τὴν πολὺ ἀφεστῶσαν, οὐχ ὡς οἱ νεώτεροι τὴν Πελοπόννησον.

51. κατηφείην] οὕτως κατηφείην σὺν τῷ ν ὡμολόγουν αἱ Ἀρι-

4. καλὸς—δειλὸς Cobetus] κάλλ° —ει δ A.
13. * ἤγαγες] om.
15. τῷ ἢ καὶ] τὸ ἤ κε
23. μηδὲν Cobetus] μηδὲ
30. ἄρκτους Lehrsius] αὐτούς

στάρχου καὶ ἡ Ἀριστοφάνους καὶ ἡ Σωσιγένους καὶ ἡ Ἀργολικὴ, καὶ σχεδὸν ἐν ταῖς χαριεστάταις οὕτως εἶχεν. ἡ δὲ Ζηνοδότου χωρὶς τοῦ ν̄ κατηφείη.

54. ὅτι τινὲς μὴ εὑρίσκοντες κατὰ τὴν ποίησιν τὸν Ἀλέξανδρον κιθαρίζοντα μετέγραψαν κίδαρις· τοῦτο δὲ πίλου γένος εἶναι λέγουσιν. πολλὰ δέ ἐστιν ἅπαξ λεγόμενα παρὰ τῷ ποιητῇ.

56. δειδήμονες] ὅτι Ζηνόδοτος γράφει ἐλεήμονες. οὐκ ἐλεοῦσι δὲ αὐτὸν, ἀλλὰ μισοῦσιν· "οὐ μὲν γὰρ φιλότητί γ' ἐκεύθανον· ἶσον γάρ σφιν πᾶσιν ἀπήχθετο" (453). διὰ δὲ τὸν Πρίαμον καὶ τὸν Ἕκτορα εὐλαβοῦνται αὐτῷ ἀντιπράσσειν.

57. ἔσσο διὰ τῶν δύο σ̄ εἶχον αἱ Ἀριστάρχου· καὶ οὐ μόνον ἐν τοῖς ὑπομνήμασιν εἶχον οὕτως, ἀλλὰ καὶ ἐν ἐνίοις λόγος ὑπέκειτο, ὅτι ἀνάλογον ἦν τῷ "ἔσσω μιν χλαῖνάν τε" (Od. 16, 79) καὶ ἔσσας (Od. 14, 396). καὶ ἡ Ζηνοδότου δὲ οὕτως εἶχε καὶ ἡ Ἀριστοφάνους.

ἐπὶ τὸ ἕνεκα βραχὺ διασταλτέον· ἀνέστραπται γὰρ ὁ λόγος. Σέλευκος δὲ ἀξιοῖ στίζειν, ἵνα γένηται θαυμαστικὸν, ὅσσα ἔοργας, καθ' ἑαυτὸ λεγόμενον· ὅπερ οὐ πάνυ τι δοκεῖ μοι.

59. Ἕκτορ] οὐκ ἠθεῖε οὐδὲ κασίγνητε, ὡς πολλαχοῦ, ἀλλ' Ἕκτορ· πᾶσαν γὰρ εὐνοϊκὴν προσηγορίαν ὁ θυμὸς ἐξέκοψεν.

Ἕκτορ] μετὰ τὴν κλητικὴν στικτέον, κατὰ δὲ τὸ τέλος τοῦ στίχου στικτέον ἐν ὑποκρίσει. ὅλη δὲ ἡ ὁμοίωσις διὰ μέσου· τὸ γὰρ ἑξῆς, ἐπεί με κατ' αἶσαν ἐνείκεσας, μή μοι δῶρ' ἐρατὰ πρόφερε· τὰ δὲ ἄλλα διὰ μέσου. ἐπὶ δὲ τῶν τοιούτων ὑπερβατῶν τὰς παραλλήλους δύο ὀξείας ὑποτίθεμεν ἑκατέρωθεν τῶν διὰ μέσου. ἔστι δὲ καὶ αὕτη ἀνταπόδοσις· αἰεί τοι κραδίη πέλεκυς ὥς. ὁ δὲ λόγος, ἐπεί μοι ἐπέπληξας, σιδήρου τομώτερον εἶναί σέ φημι.

63. ὡς σοί] ἡ σοί ἀντωνυμία ὀρθοτονεῖται νῦν διὰ τὴν ἀντιδιαστολήν.

64. μή μοι δῶρ'] τὸ ἑξῆς ἐπεί με κατ' αἶσαν ἐνείκεσας, μή μοι δῶρα. διὰ μέσου δὲ ἡ παραβολή.

65, 66. πρὸς τὸ ζητούμενον, πῶς, εἰ οὐκ ἔστιν ἀπόβλητα, ἑκὼν οὐκ ἄν τις ἕλοιτο;

2. εἶχεν] εἶχον est infra lin. 12. et supra p. 72, 22.
3. κατηφείη om.
13. τῷ Cobetus] τὸ ἔσσω] ἔσσο
20. * εὐνοϊκὴν] om.
22. γὰρ addidit Vill.
32. Lemma οὕτοι ἀπόβλητ' praefixa διπλῆ.

ἀπόβλητα] τὰ ὑπὸ τῶν θεῶν, φησὶ, διδόμενα δῶρα οὐκ ἔστιν ἀρνήσασθαι οἷα ἄν εἰσιν· μὴ διδόμενα δὲ παρ' αὐτῶν ἀδύνατόν τινα λαβεῖν οἰκείᾳ σπουδῇ.

71. κρείσσων] ὅτι Ζηνόδοτος γράφει χωρὶς τοῦ ν̄ κρείσσω. τὰ δὲ τοιαῦτα συγκριτικὰ ἐπὶ τῆς ὀρθῆς ἔχει τὸ ν̄.

74. ναίοιτε] ὅτι Ζηνόδοτος γράφει ναίοιμεν. γελοῖος δέ ἐστιν ἑαυτὸν καταριθμῶν τοῖς ὕστερον οἰκήσουσι τὴν Τροίαν, ἀδηλότητος οὔσης εἰ νικήσει.

75. ἱππόβοτον] Ἴασος καὶ Πελασγὸς Τριόπα παῖδες· τελευτήσαντος δὲ αὐτοῖς τοῦ πατρὸς διείλοντο τὴν βασιλείαν. λαχὼν δὲ Πελασγὸς μὲν τὰ πρὸς Ἐρασῖνον ποταμὸν ἔκτισε Λάρισαν, Ἴασος δὲ τὰ πρὸς Ἦλιν. τελευτησάντων δὲ αὐτῶν ὁ νεώτατος ἀδελφὸς Ἀγήνωρ ἐπεστράτευσε τῇ χώρᾳ, πολλὴν ἵππον ἐπαγόμενος, ὅθεν ἐκλήθη ἱππόβοτον μὲν τὸ Ἄργος ἀπὸ τῆς Ἀγήνορος ἵππου, ἀπὸ δὲ Ἰάσου Ἴασον. ἱστορεῖ Ἑλλάνικος ἐν Ἀργολικοῖς.

Ἀχαιΐδα καλλιγύναικα] τὴν πᾶσαν Ἑλλήνων γῆν Ἀχαΐδα φησὶ καλλιγύναικα· τῷ δὲ ἔρωτι Ἑλένης τὴν πᾶσαν τοιαύτην εἶναι μαντεύεται.

ἔβαλλον] ὅτι Ὅμηρος τὸ βάλλειν ἐπὶ τοῦ τιτρώσκειν τίθησι· νῦν δὲ ἔμφασιν ἔχει.

82. *ἴσχεσθ'] ἀντὶ τοῦ ἴσχετε ἐνεργητικοῦ.

ὅτι τὸ βάλλετε ἀντὶ τοῦ τιτρώσκετε.

83. ὅτι τὸ στεῦται ἀντὶ τοῦ κατὰ διάνοιαν ὁρίζεται.

90. βραχὺ διασταλτέον· κοινὸν γὰρ τὸ κέλεται ῥῆμα.

92. κρείσσων] ὅτι Ζηνόδοτος γράφει χωρὶς τοῦ ν̄ κρείσσω. τὰ δὲ τοιαῦτα συγκριτικὰ ἐπὶ τῆς ὀρθῆς τὸ ν̄ προσλαμβάνει.

97. νῦν] τὸ νυν̄ περισπαστέον, κἂν παρέλκῃ παρὰ τῷ ποιητῇ.

99. Ἀργείους καὶ Τρῶας] ὅτι Ζηνόδοτος γράφει Ἀργεῖοι καὶ Τρῶες, ὡς ἀποστροφῆς τοῦ λόγου γεγονυίας πρὸς αὐτούς. ἔστι δὲ τὸ διακρινθῆναι διχῶς χωρισθῆναι. ὁ δὲ Ζηνόδοτος συνήθως ἡμῖν τέταχεν.

*πέπασθε] διὰ τοῦ ᾱ τὸ πέπασθε Ἀρίσταρχος.

2. οἷα] *ὅταν
εἰσιν] Soloece pro ὦσιν.
6. Lemma ναίοιτε cum asterisco.
8. νικήσει] οἰκήσει
9, 11, 15. Ἴασος—Ἰάσου] ἰασὸς —ἰασοῦ
11. *Ἐρασῖνον] ερασινὴ
12. *Ἦλιν] ἴλιον
14. *μὲν τὸ Ἄργος] τὸ ἄργος μὲν
16. *καλλιγύναικα utrobique om.
17. τῷ δὲ—μαντεύεται] *τῷ γὰρ— ὑπολαμβάνει

100. ἕνεκ' ἀρχῆς] ὅτι Ζηνόδοτος γράφει ἕνεκ' ἄτης. ἔσται δὲ ἀπολογούμενος Μενέλαος ὅτι ἄτῃ περιέπεσεν ὁ Ἀλέξανδρος. διὰ μέντοι τοῦ ἕνεκ' ἀρχῆς ἐνδείκνυται ὅτι προκατῆρξεν.

102. διακρινθεῖτε] οὕτως προπερισπᾶται· ἔστι γὰρ εὐκτικὸν, κατὰ πάθος γεγονὸς ἐκ τοῦ διακρινθείητε, ὁμοίως τῷ "καὶ εἴ ποθεν ἄλλ' ἐπιθεῖτε" (Od. 22, 62). ὧν πάλιν πρῶτα διακρινθείημεν καὶ διακρινθεῖμεν, ὥσπερ καὶ τὸ "ἡμεῖς δ' ἐς δεκάδας διακοσμηθεῖμεν Ἀχαιοί" (Π. 2, 126).

103. οἴσετε] πρὸς τὸ οἴσετε, ὅτι οὐ μέλλοντός ἐστι χρόνου, ἀλλ' ἀντὶ τοῦ φέρετε, ἀπὸ τοῦ οἶσε, ὅ ἐστι φέρε.

*ἄρν'] ἐπὶ τὸ ἄρνε διαστολὴ βραχεῖα· συλληπτικῶς γὰρ λέγει ἄρνε, εἶτα διαιρεῖ.

ἄρν'] τὰ οἰκεῖα ἑκάστῳ θεῷ ἱερουργούμενα εἰσάγει· τῷ μὲν γὰρ ἡλίῳ λαμπρῷ ὄντι καὶ ἄρρενί φησι καὶ λευκὸν ἱερουργηθῆναι ἄρνα, τῇ δὲ γῇ μέλαιναν καὶ θήλειαν, ἐπεὶ τοιαύτη ἡ θεός. τῷ δὲ Διὶ ἡμεῖς ἄλλον κομίσωμεν ὡς ξένοι, ἐπεὶ καὶ ξένιος Ζεὺς προσαγορεύεται.

γῇ τε καὶ ἠελίῳ] ὅτι Ἑλληνικῶς ἐπὶ μὲν τῶν δύο τὸ ἕτερον τῷ ἑτέρῳ ἀντιδιέσταλκεν, ἐπὶ δὲ τοῦ τρίτου ἄλλον εἴρηκεν.

105. *ἄξετε] ὅτι τὸ ἄξετε οὐ τὸν μέλλοντα σημαίνει, ἀλλ' ἴσον τῷ ἄγετε.

108. αἰεὶ δ' ὁπλοτέρων] ἀπὸ τούτου ἕως τοῦ λεύσσει (110) ἀθετοῦνται στίχοι τρεῖς, ὅτι ἀπολογία ἐστὶν αὕτη ὑπὲρ τῶν παραβάντων Πριαμιδῶν. εἰ γὰρ κατὰ κοινοῦ αἱ φρένες τῶν νέων κρέμανται, οὐδὲν ξένον ἁμάρτημα πεποιήκασιν.

109. οἷς δ' ὁ γέρων μετέῃσιν ἅμα πρόσσω καὶ ὀπίσσω] ὑποστικτέον ἤτοι μετέῃσιν ἢ ὀπίσσω· ἡ μὲν οὖν προτέρα τοιοῦτον ποιεῖ τὸν λόγον· τά τε παρόντα καὶ τὰ ὕστερον προορᾶται, ὅπως ἐν ἀμφοτέροις ἄριστα πραχθῇ· ἡ δὲ δευτέρα οὕτως, οἷς δ' ἂν παρῇ πρεσβύτης εἷς τε τὸ παρὸν καὶ εἰς ὕστερον, οἷον πάντοτε.

117. οὕτως συναπτέον. καρπαλίμως ἄρνας τε φέρειν· ἐνετείλατο γὰρ φέρειν ταχέως, ἐπεὶ παρελκόμενον ἔσται τὸ καρπαλίμως.

1. Lemma cum διπλῇ περιεστιγμένῃ
5. τῷ] τὸ
9. Lemma οἴσετε δ' ἄρνα cum διπλῇ.
17. Lemma γῇ τε καὶ ἠελίῳ cum διπλῇ.
31. καρπαλίμως] ἐὰν τῷ ἔπεμπε συντάττωμεν αὐτό addit Friedl.

122. *διὰ τὸ γαλόῳ.

*γάλως, ὡς Ἄθως· καὶ διαίρεσις γαλόω ὡς "ἐξ Ἀθόω δ' ἐπὶ πόντῳ" (Il. 14. 229).

βαρύνειν δεῖ τὸ γαλόῳ· τὰ γὰρ εἰς ω̄ θηλυκὰ, ὑπὲρ μίαν συλλαβὴν, βραχείᾳ παραληγόμενα, βαρύνεται, ἅλως Κέως ἕως· οὕτω γάλως. τοῦτο δὲ ἀξιοῖ καὶ Τρύφων ἐν τῷ α΄ περὶ ἀρχαίας ἀναγνώσεως.

125. ἐν μεγάρῳ] ἐν θαλάμῳ· οὗτος γὰρ ἐνδιαίτημα γαμηθεισῶν, χηρῶν δὲ καὶ παρθένων ὑπερῷον.

126. δίπλακα μαρμαρέην] καὶ αἱ Ἀριστάρχου καὶ ἡ Ζηνοδότου καὶ ἡ Ἀριστοφάνους πορφυρέην εἶχον, οὐ μαρμαρέην. καὶ ἔστι πρεπωδέστερον· καὶ γὰρ ἐπὶ τῶν νυμφῶν "φάρε' ὑφαίνουσιν ἁλιπόρφυρα" (Od. 13, 108).

ὅτι παραλέλειπται τὸ κύριον, ἡ χλαῖνα. λέγει δὲ δίπλακα χλαῖναν, ἣν ἔστι διπλῆν ἀμφιέσασθαι.

128. οὕς ἑθεν] ἐγκλιτικῶς ἀνεγνώσθη διὰ τὸ μεταλαμβανόμενον, ἐπεὶ εἰς ἁπλῆν ἡ μετάληψις, οὓς αὐτῆς. τοῦτο δὲ ἐπὶ τῆς ἕθεν φασὶν, ὅτι εἰ μὲν εἰς ἁπλῆν μεταλαμβάνοιτο, ἐγκλιτικῶς ἀναγινώσκειν δεῖ, εἰ δὲ εἰς σύνθετον, ὀρθοτονητέον. διὸ κἀκεῖνα οὕτως, ἀνεγνώσθη "ἐπεὶ οὔ ἑθέν ἐστι χερείων" (Il. 1, 114) "οἵ ἑθεν ὀτρύνοντος" (Il. 15, 199)· ἐκεῖνο δὲ κατ' ὀρθὴν τάσιν "ἀπὸ ἕθεν ὥσατο χειρί" (Il. 6, 62). ὅθεν ὁ Σιδώνιος μέμφεται Ἀριστάρχῳ μὴ ἐγκλιτικῶς ἀναγνόντι τὸ "πρόσθεν ἕθεν φεύγοντα" (Il. 5. 80)· ἡ γὰρ διάνοια ἁπλῆν αἰτεῖ τὴν μετάληψιν.

*130. νύμφα] Ἰωνικὰ νύμφα τόλμα.

*θέσκελα] θεοείκελα, ὡς θεόφατα θέσφατα· μετὰ τὴν συγκοπὴν ὁ πλεονασμός.

132. οἳ—Ἄρηα] εἶτα ἀπὸ ἄλλης ἀρχῆς· ἀσύνδετα γὰρ πρὸς τὰ ἐπάνω. διὸ τελείαν στικτέον, ὑποστικτέον δὲ ἐν ὑποκρίσει εἰς τὸ πολέ-

1. διὰ—] Refertur ad διπλῆν.
2. γάλως] ἀνδραδέλφη superscr. a m. rec.
8, 9. Hoc scholion scholio proximo postpositum est in A.
10–13. Haec bis leguntur in A, omissis altero loco verbis οὐ μαρμαρέην.
20. ὀτρύνοντος] ὤτρυνον
26. *θεόφατα] om.
μετὰ] *μετὰ γὰρ
28. εἶτα] συναπτέον μέχρι τοῦ χαλκοχιτώνων, εἶτα Friedl.
29. τελείαν] τελεία
*εἰς τὸ πολέμοιο] om.

μοιο ἀνταποδοτικῆς οὔσης τῆς περιόδου, ὑποτακτικοῦ δὲ τοῦ προτέρου οἵ, τοῦ δὲ δευτέρου οἱ ἀντωνυμίαν δηλοῦντος.

134. *ἕαται] ἀπὸ τοῦ ἧνται, διάλυσις.

πόλεμος δὲ πέπανται] διὰ μέσου τὸ ἡμιστίχιον· διόπερ διαστέλλομεν ἐπὶ τὸ σιγῇ, στίζομεν δὲ ἀνυποκρίτως ἐπὶ τὸ πέπανται.

138. *τῷ δέ κε νικήσαντι] ὅτι περισσὸς ὁ κε, καὶ ὅτι πτῶσις ἐνήλλακται, ἀντὶ τοῦ τοῦ δὲ νικήσαντος.

143. οὐκ οἴη] στικτέον μετὰ τοῦτο τελείαν· τοῖς γὰρ ἄνω συνάπτεται. τὸ δὲ ἑξῆς ἀσύνδετον. εἰ δὲ προστεθῇ ὁ ἀλλά εἰς τὸ πλῆρες, καὶ ὁ λόγος συνδεδεμένος καὶ ἡ στιγμὴ ὑποτείνεται.

144. Αἴθρη, Πιτθῆος θυγάτηρ] εἰ μὲν τὴν Θησέως λέγει μητέρα, ἀθετητέον· ἀπίθανον γάρ ἐστιν Ἑλένης ἀμφίπολον εἶναι τὴν οὕτως ὑπεραρχαίαν, ἣν οὐκ ἐκποιεῖ ζῆν διὰ τὸ μῆκος τοῦ χρόνου. εἰ δὲ ὁμωνυμία ἐστί, καθάπερ καὶ ἐπὶ πλειόνων, δύναται μένειν· καὶ γὰρ ἄλλοι εἰσὶν ὁμώνυμοί τινες κατὰ τὰ Ἰλιακά, Ἄδραστος, Τεύθρας, Οἰνόμαος.

ἑτέρα τῆς Θησέως μητρός ἐστιν αὕτη ἡ Αἴθρα· αἰσχρὸν γὰρ ὑπάρχει θεραπαίνης τρόπῳ ἀκολουθεῖν τῇ Ἑλένῃ τὴν Αἴθραν ἐκυρὰν νομισθεῖσαν. ὡς γὰρ ἱστορεῖ Ἑλλάνικος, Πειρίθους καὶ Θησεύς, ὁ μὲν Διὸς ὤν, ὁ δὲ Ποσειδῶνος, συνέθεντο γαμῆσαι Διὸς θυγατέρας, καὶ ἁρπάσαντες τὴν Ἑλένην κομιδῇ νέαν παρατίθενται εἰς Ἄφιδναν τῆς Ἀττικῆς Αἴθρῃ τῇ Πιτθέως μὲν θυγατρί, μητρὶ δὲ Θησέως. οὗτος εἰς Ἅιδου παραγίνονται ἐπὶ τὴν Περσεφόνην. οἱ δὲ Διόσκουροι, μὴ ἀπολαμβάνοντες τὴν ἀδελφήν, τὴν Ἀττικὴν πορθοῦσιν, Αἴθραν δὲ αἰχμαλωτίζουσιν.

145. Σκαιαὶ πύλαι] Δαρδανίας αὐτὰς ἐνίοτέ φησι, δι' ὧν ἐξῆεσαν εἰς τὸ πεδίον οἱ Τρῶες. Σκαιαὶ δὲ εἴρηνται ἤτοι ἀπὸ Σκαιοῦ τοῦ κατασκευάσαντος αὐτάς, ἢ ὅτι ἐν τοῖς σκαιοῖς καὶ ἀριστεροῖς μέρεσι τῆς πόλεως κεῖνται. οἱ δέ φασιν ὅτι ἀπὸ τοῦ σκαιῶς βουλεύσασθαι τοὺς Τρῶας· τὸν γὰρ δούρειον ἵππον κατὰ ταύτας ἐδέξαντο τὰς πύλας.

150. *γήραϊ] γράφεται καὶ γήρεϊ ὡς οὔδεϊ. ἀσυναλείπτως τῷ γήραϊ ἀναγνωστέον.

2. δευτέρου οἱ Vill.] οἱ om.
3. διάλυσις] διὰ
7. Alterum τοῦ om.
11. Lemma cum obelo.
12. εἶναι addidit Vill.
20. γαμῆσαι] *γαμήσειν
26. ἐξῆεσαν] ἐξίεσαν
29. *βουλεύσασθαι] βουλεύεσθαι
31. ἀσυναλείπτως Cobetus] ἀσυναλήπτως

151. *διασταλτέον βραχὺ ἐπὶ τὸ ἐσθλοί· τὴν γὰρ ἐπίτασιν μᾶλλον ἐμφαίνει.

τεττίγεσσιν] ἀρσενικῶς· οἱ γὰρ ἄρσενες μόνοι τέττιγες ᾄδουσιν. τούτοις δὲ παρείκασε τοὺς γέροντας· ἄναιμον γὰρ καὶ ψυχρὸν τὸ ζῶον, ἐπί τε τείχους κάθηνται.

Τιθωνοῦ τοῦ Λαομέδοντος, Πριάμου δὲ ἀδελφοῦ, ἠράσθη ἡ Ἡμέρα, ἐξ οὗπερ ἐποίησεν υἱὸν Μέμνονα. μακρῷ δὲ βίῳ δαπανηθέντος ἐκείνου, μετέβαλεν αὐτὸν εἰς τέττιγα ἡ θεός. διὸ δὴ αὐτοῦ τοὺς συγγενεῖς δημογέροντας τέττιξιν εἰκάζει ὁ ποιητής. ἱστορεῖ Ἑλλάνικος.

152. δενδρέῳ ἐφεζόμενος] ὅτι Ζηνόδοτος γράφει δένδρει. ὁ μὲν οὖν λέγων δένδρος ὡς κάλλος ἐρεῖ δένδρει ὡς κάλλει, ὁ δὲ δένδρον ὡς βάθρον ἐρεῖ δένδρῳ ὡς βάθρῳ. Ὅμηρος δὲ λέγων "δένδρεον ὑψιπέτηλον" (Il. 13, 437) ὡς χάλκεον ἐρεῖ καὶ δενδρέῳ ὡς χαλκέῳ.

ἰεῖσιν] προπερισπαστέον ὡς τιθεῖσιν· τὰ γὰρ τρίτα πληθυντικὰ ὁριστικὰ ἐνεστῶτος χρόνου τὴν αὐτὴν φωνὴν καὶ τὸν αὐτὸν τόνον ἀποφέρεται ταῖς πληθυντικαῖς δοτικαῖς μετοχαῖς, λέγομεν λέγετε λέγουσι καὶ τοῖς λέγουσιν, ἵσταμεν ἵστατε ἱστᾶσι καὶ τοῖς ἱστᾶσιν· οὕτως ἴεμεν ἵετε ἰεῖσι· καὶ γὰρ ἱέντες ἱέντων ἰεῖσιν. ἀντιπίπτει μόνον διά τι αἴτιον τὸ φασί πρὸς τὸ φᾶσι μετοχικὸν, ὡς στᾶσι.

155. Πτολεμαῖος ὁ Ἀσκαλωνίτης ἐν τῷ περὶ τῆς Κρατητείου αἱρέσεως φησιν "ὦκα γράφει ἀντὶ τοῦ ἦκα·" καὶ ἀπολογούμενός φησιν ὅτι μετ' αὐτὸ διασταλτέον, ἵν' ᾖ Ἑλένην ἐπὶ πύργον ἰοῦσαν ὦκα. πρὸς δὲ τῷ μὴ ἁρμόζειν ἐπὶ τῆς Ἑλένης τὸ δρομαίαν αὐτὴν προσέρχεσθαι, μὴ καὶ ἔτι καταλάβῃ αὐτοὺς ταῦτα διαλεγομένους, καὶ ἡ ἀρετὴ τοῦ πρέποντος ἀφαιρεῖται. τὸ γὰρ ἦκα ἐπὶ πρεσβυτῶν ὡς οὐδὲν ἕτερον ἁρμόζει, καὶ μάλιστα ὅτι κάλλος γυναικὸς θαυμάσαντες τῶν ἰδίων καταφρονοῦσι κινδύνων. τοῦτο οὖν οὐκ ἦν πρέπον ἄλλον ἀκούειν. ἀμφότερα δὲ ὁ ποιητὴς ἐφύλαξε, καὶ τὸ τῆς Ἑλένης ἐγκώμιον καὶ τὸ τοῖς πρεσβύταις πρέπον, προσθεὶς τὸ ἦκα.

ἦκα πρὸς ἀλλήλους] ὅτι Ζηνόδοτος γράφει ὦκα. εἴτε δὲ ἐπὶ τῆς Ἑλένης ἐστὶν, ὅτι ὦκα ἐπορεύετο, ἀπρεπὲς ἔσται· εἴτε ἐπὶ τῶν δημογερόντων, ὅτι ὦκα διελέγοντο, ἀνάρμοστον· βραδυλόγοι γάρ εἰσιν οἱ γέροντες.

7. * υἱὸν] τὸν υἱὸν
10. ὅτι Ζηνόδοτος γρ. δένδρει] Verba in marg. interiore repetita.
20. Κρατητείου] κρατητίου
21. ὦκα] Ζηνόδοτος ὦκα Friedl.
22. αὐτὸ Friedl.] αὐτὸν
πρὸς δὲ τῷ Bekk.] πρὸς δὲ τὸ

156. ἡ στιγμὴ κατὰ τὸ τέλος τοῦ ἑξῆς στίχου ἐπὶ τὸ πάσχειν. εἶτα ἀφ' ἑτέρας ἀρχῆς αἰνῶς ἀθανάτῃσι, τοῦ αἰνῶς ἐν ἴσῳ κειμένου τῷ λίαν, ὡς κἀκεῖ "αἰνῶς γὰρ κεφαλήν τε καὶ ὄμματα καλά" (Od. 1, 208). τινὲς δὲ τῶν καθ' ἡμᾶς τοῖς ἄνω προστιθέασι τὸ αἰνῶς. τρίγωνον δὲ ἐπίγραμμα πρῶτος Ὅμηρος γέγραφε τὸ "οὐ νέμεσις Τρῶας·" ἀφ' οἵου γὰρ στίχου τῶν τριῶν ἀρξώμεθα ἀδιάφορον.

157. *τοιῇδ'] ἓν ἐστι· διὸ περισπαστέον τὸ τοιῇδε.

158. *αἰνῶς ἀθανάτῃσι] ὡς "αἰνῶς γὰρ κεφαλήν τε καὶ ὄμματα" (Od. 1, 208).

*οὐκ ὀρθῶς τινὲς τὸ αἰνῶς τῷ πάσχειν συνάπτουσιν.

159. ὣς] περισπαστέον τὸ ὡς· ἀντὶ γὰρ τοῦ ὅμως.

160. ἡμῖν] ὀρθοτονητέον· ἔστι γὰρ ἐν συμπλοκῇ διασταλτικῶς εἰλημμένη, ἡμῖν καὶ τοῖς τέκνοις.

163. *ἴδῃ] ὅτι χωρὶς τοῦ σ γράφειν ὁμηρικώτερον.

166. ἐζήτηται πῶς ὁ Πρίαμος τῷ δεκάτῳ ἔτει πυνθάνεται περὶ τῶν ἀρίστων. ἐπειδὴ πρότερον περὶ τὰς ἀστυγείτονας πόλεις ἐπλανῶντο, ὥς που καὶ ὁ ποιητής φησιν "κατὰ λῆἴδ' ὅπη ἄρξειεν Ἀχιλλεύς" (Od. 3, 106)· νῦν δὲ προσκάθηνται τῇ Ἰλίῳ. ἢ ὅτι πρότερον μὲν οὐκ ἦγε σχολὴν πυθέσθαι περὶ αὐτῶν, τοῦ Ἀχιλλέως ἰσχυρῶς αὐτοῖς ἐγκειμένου καὶ μόνον ἑαυτὸν ἐπιδεικνύντος καὶ τῷ φόβῳ κατακλείστους ποιοῦντος· ἐφρόντιζε γὰρ τὸ τηνικαῦτα ὁ Πρίαμος οὐ περὶ τούτων, ἀλλὰ περὶ τοῦ σώζεσθαι τὴν πόλιν. νῦν δὲ μηνιῶντος ἐκείνου καὶ ἰσορρόπου τῆς μάχης γεγενημένης, ὡς καὶ τοῦ τείχους χωρὶς πολεμεῖν τοὺς Τρῶας, εἰκότως περὶ αὐτῶν πυνθάνεται. ἕτεροι δέ φασιν ὅτι ἀπὸ τῆς πανοπλίας καὶ τῶν ἵππων αὐτοὺς ἐγνώριζον, ὡς καὶ Πάνδαρος ἐπὶ τοῦ Διομήδους λέγει "ἀσπίδι γινώσκων αὐλώπιδί τε τρυφαλείῃ" (Il. 5, 182)· πρότερον δὲ οὕτω πάντας ἐνόπλους ὡς νῦν.

ὥς μοι καὶ τόνδ' ἄνδρα] ἐὰν τὸ ἵνα ἐκ τοῦ ὡς σημαίνηται, ἔσται τῶν ἄνω ἐχόμενος ὁ λόγος, ὅφρα ἴδῃ πρότερόν τε πόσιν καὶ ὥς μοι τόνδ' ἄνδρα· βέλτιον δὲ, εἴ γε καὶ τὸ ἐξονομήνῃς ἀντὶ τοῦ εὐκτικοῦ παραλαμβάνῃς.

175. παῖδά τε] λέγει τὴν Ἑρμιόνην. ὁ δὲ Πορφύριος ἐν τοῖς

3. ὡς κἀκεῖ Cobetus] ὡς κακή. Sic κακεῖ p. 155, 29.
4. προστιθέασι] προσδιδόασι Friedl.
6. ἀρξώμεθα Vill.] ἀρξόμεθα
21. *ποιοῦντος] ποιῶν
31. βέλτιον δὲ] *τὸ ὥς ἀντὶ τοῦ εἴθε addit Friedl.

Ὁμηρικοῖς ζητήμασιν οὕτως φησίν. Ἑλένης τε καὶ Μενελάου ἱστορεῖ Ἀρίαιθος παῖδα Μαράφιον, ἀφ' οὗ τὸ τῶν Μαραφίων γένος ἐν Πέρσαις. ὡς δὲ Κιναίθων, Νικόστρατον. παρὰ δὲ Λακεδαιμονίοις Ἑλένης δύο παῖδες τιμῶνται, Νικόστρατος καὶ Αἰθιόλας.

τηλυγέτην] καταχρηστικῶς εἶπε· κυρίως δὲ τηλύγετοι καλοῦνται οἱ τηλοῦ τῆς γονῆς ὄντες παῖδες, ὅ ἐστιν οἱ ἐκ γεροντικῆς ἡλικίας σπαρέντες· δοκεῖ γὰρ τὰ μετὰ ἀπόγνωσιν τῆς παιδοποιίας γεννώμενα μᾶλλον ἀγαπᾶσθαι.

176. *διὰ τοῦ κε συνδέσμου συνήλειπται, τά κε· γράφεται δὲ καὶ τά γε.

179. ἀμφότερον] τοῦτο συναπτέον τῷ ἀγαθός, ἵν' ᾖ κατ' ἄμφω ἀγαθός· καὶ τὸν ἰσχυρὸν γὰρ ἀγαθόν φησιν. μέγιστα δὲ πρὸς βασιλείαν ταῦτα, τήν τε τῶν οἰκείων καὶ τὴν τῶν πολεμίων εἰρήνην πραγματευόμενα.

180. ἐμὸς ἔσκε κυνώπιδος] πρὸς τὴν σημασίαν ὑπήντησεν· τὸ γὰρ δαὴρ ἐμός δηλοῖ τὸ δαὴρ ἐμοῦ τῆς κυνώπιδος.

182. *ὦ μάκαρ] σημείωσαι ὡς κατὰ πρόσοδον συλλαβῆς ηὔξηται μετ' ἐπιπλήξεως ὁ ἔπαινος.

ὀλβιόδαιμον] προπαροξυτόνως· ἔστι γὰρ σύνθετον· τὰ δὲ μακρᾷ παραληγόμενα βαρύτονα, ἔχοντα κλητικὴν εἰς ον περατουμένην, προπερισπᾶται ἁπλᾶ ὄντα, Μαχᾶον Ἀρετᾶον, σύνθετα μέντοι ὄντα ἀναδίδωσι τὸν τόνον, κυλλοπόδιον Ποσείδαον ὀβλιοδαιμον. καὶ ἐπὶ τῶν ἄλλων δὲ συνθέτων τὸ αὐτό, λέγω δὲ τὸ Αὐτόμεδον καὶ Ἀγάμεμνον· ταῦτα γὰρ πάλιν τὸν τόνον ἀνεβίβασε κατὰ κλητικήν, ἐπεὶ σύνθετα ἦν. τὰ μέντοι παρὰ τὸ φρήν συντιθέμενα ἐφύλαξε τὸν τόνον, Λυκόφρον δαΐφρον. ὅθεν σημειοῦδες ἐκεῖνο κατὰ κλητικήν "ἰὼ Λακεδαῖμον" Ἀριστοφάνης Ὀλκάσιν (fr. 354)· καὶ σύνθετον τὸ "ψευδόμενοί σε Παλαῖμον."

2. Ἀρίαιθος Prellerus et Hulleman. in Miscell. Philol. Amstel. Fasc. 2 p. 71] δίεθος (*δίαιθος). Vetus vitium Δίαιθος decepit scholiastas alios et Eustathium p. 400, 32.

Μαράφιον—Μαραφίων] μορράφιον — μορραφίων (*μοράφιον — μοραφίων). Correxi collato Herodoto 1, 125. 4, 167, Stephano Byz. s.v. Μαράφιοι, Eustathio, l. c.

συνήλειπται] συνάλειπται

17. πρόσοδον (*πρόσθεσιν) Cobetus] πρόσωδον

27. καὶ Vill.] καὶ εἰ. σημειῶδες esse dicit Παλαῖμον properispomenon, licet nomen sit compositum: de quo v. Choeroboscus in Theodos. p. 438.

183. δεδμήατο] ἡ μεταφορὰ ἀπὸ τῶν ἀλόγων ζώων· δαμάζονται γὰρ κυρίως ταῦτα. τοῦτο δὲ ἔκτασιν ἔχει ποιητικὴν τοῦ ε̄ εἰς τὸ η̄ διὰ τὴν ἐπαλληλίαν τῶν βραχέων· τοιοῦτόν ἐστι καὶ τὸ πεφοβήατο. ἔστι δὲ συγκεκομμένον· παρὰ γὰρ τὸ δαμῶ δεδαμέατο ἦν τὸ ἐντελές. δύο οὖν πάθη ὑπέμεινε, συγκοπὴν τοῦ ᾱ καὶ ἔκτασιν τοῦ ε̄.

184. ἤδη καὶ Φρυγίην] ὅτι διαφέρει ἡ Φρυγία τῆς Τροίας καθ' Ὅμηρον, οἱ δὲ νεώτεροι συγχέουσιν. καὶ ὅτι τὸ ἤδη παρείληπται ἀντὶ χρονικοῦ τοῦ ποτέ· διὸ καὶ παραλλήλως λέγεται τὸ ἤδη τῷ ποτέ· "ἤδη γὰρ καὶ δεῦρό ποτ' ἦλυθεν" (205).

189. Ἀμαζόνες ἀντιάνειραι] αἱ Ἀμαζόνες λέγονται εἶναι Ἄρεως καὶ Ἀφροδίτης θυγατέρες, τραφεῖσαι παρὰ Θερμώδοντι ποταμῷ τῆς Σκυθίας. ἐκλήθησαν δὲ οὕτως διὰ τὸ τὸν δεξιὸν μασθὸν ἐκτέμνεσθαι ὡς ἐμποδίζοντα αὐταῖς ἐν τῷ τοξεύειν.

Μελανίππη καὶ Ἱππολύτη θυγατέρες Ἄρεως, τῶν Ἀμαζονίδων προηγούμεναι τῆς στρατείας. αὗται δὲ πειρώμεναι τὴν Φρυγίαν ὑφ' αὑτὰς ποιῆσαι διὰ τὸ τὴν χώραν ἱπποτρόφον εἶναι καὶ ἀμπελώδη, παντὶ τῷ στρατεύματι παρασκευασθεῖσαι παρέτυχον εἰς τὴν προειρημένην χώραν, καὶ στρατόπεδον ἔθεντο πρὸς τὸν Σαγγάριον ποταμόν. τῶν δὲ Φρυγῶν ὑπὸ τὸν αὐτὸν χρόνον ἡγεμόνες ἦσαν Μύγδων καὶ Ὀτρεύς, οἵτινες τὴν σφῶν αὐτῶν στρατείαν ἐξήνεγκαν καὶ πρὸς τὸν αὐτὸν τόπον παρεγένοντο τῶν Ἀμαζονίδων πρὸς τὸ κωλῦσαι αὐτὰς μὴ ἐπιβῆναι τοῖς ἑαυτῶν ὅροις. καὶ ὁ Πρίαμος τῆς Τροίας βασιλεὺς ἐστρατεύετο κατὰ Ἀμαζόνων σὺν αὐτοῖς, κατ' ἐκεῖνον ἀκμάζων τὸν καιρόν.

193. *κεφαλῇ] Ἀρίσταρχος κεφαλήν. βέλτιον δὲ ἀπ' ἄλλης ἀρχῆς, ἵνα λείπῃ τὸ ἐστίν.

197. πηγεσιμάλλῳ] μελανομάλλῳ· οὗτος γὰρ ἐν λευκῷ ποιμνίῳ διάδηλος ἔσται. τῷ πραϋτάτῳ δὲ εἴκασται διὰ τὸ ἀτάραχον.

198. ὅς τ' οἴων] ὁ μὲν Ἀρίσταρχος οἰῶν ὡς αἰγῶν, ὁ δὲ Ἡρωδιανὸς οἴων ὡς δαΐδων, λέγων ὡς οὐ κλίνει τὸ μονοσύλλαβον ὁ ποιητής, εἰ μὴ μέτρον κωλύσειεν.

Ἀρίσταρχος δισυλλάβως ὡς αἰγῶν, καὶ Πτολεμαῖος ὁ Ἀσκαλωνίτης· Ἀριστόνικος δὲ τρισυλλάβως, ὅς τ' οἴων μέγα πῶϋ. ὁ μέντοι Πτολεμαῖος οὐχ ὑγιὲς αἴτιον ἐπιφέρει τῆς δισυλλάβου

15. *ὑφ' αὑτὰς] ὑπ' αὐτὰς
19. ἡγεμόνες] om.
28. πραϋτάτῳ] *πραοτάτῳ
31. *κωλύσειεν] κωλύσει

ἀναγνώσεως. φησὶ γὰρ ὅτι ἡ εὐθεῖα μονοσύλλαβός ἐστιν, οἷς ὡς αἴξ, διαμαρτάνει δέ· οὐδέποτε γὰρ ὁ ποιητὴς μονοσυλλάβως εἶπε τὴν εὐθεῖαν, δισυλλάβως δέ "τοῖσι δ' ὄϊς λάσιος" (Il. 24, 125). καὶ τὰς πλαγίους δὲ κατὰ διάστασιν τοῦ ι λέγει, εἰ μὴ κωλύοι μέτρον· "ἐν δ' ἄρα νῶτον ἔθηκ' ὄϊος" (Il. 9, 207) καὶ "μῆλ' ὄϊές τε καὶ αἶγες" (Od. 9, 184) καὶ "Τειρεσίῃ δ' ἀπάνευθεν ὄϊν" (Od. 10, 524). ἕνεκα δὲ μέτρου "οἰὸς ἀωτῷ" (Od. 1, 443) καὶ "οἰῶν τε βληχήν" (Od. 12, 266). ὥστε εἰ καὶ ἐνθάδε μέτρον οὐ κωλύει, οὐδὲν ἦν ἐμπεδὼν παραδέξασθαι τὴν τοῦ Ἀριστονίκου ἀνάγνωσιν. καὶ γὰρ ἄλλως τὸ ὄϊς ἀναλογώτερον ἔσται δισύλλαβον ὂν τοῦ μονοσυλλάβου· πολλὰ γὰρ τὰ εἰς ις λήγοντα ἐπ' εὐθείας, οὐδὲν δὲ εἰς οις, ὅ τι μὴ μόνον τὸ οἷς καὶ παρ' Ἀττικοῖς τὸ φθοῖς.

200–202. ἐν βραχεῖ τὸ ἐπίγραμμα πάντα ἔχει. μετὰ ἐπαίνων δὲ περὶ ἑκάστου ἐκτίθεται διὰ τὸ προσπεπονθέναι τῷ Ἑλληνικῷ.

201. ἐν δήμῳ Ἰθάκης] ἔστι νῆσος τῆς Κεφαλληνίας· καὶ τόπος δέ ἐστιν ἐν Ἰθάκῃ Δῆμος καλούμενος. ὁτὲ δὲ ἡ λέξις δηλοῖ τὸ πολὺ σύστημα καὶ πλῆθος τῶν ἀνδρῶν.

205. *ὅτι παραλλήλως τὸ ἤδη τῷ ποτέ.

206. σεῦ ἕνεκ' ἀγγελίης] ὅτι Ζηνόδοτος γράφει σῆς ἕνεκ' ἀγγελίης. οὐ λέγει δὲ συνήθως ἡμῖν, τῆς σῆς ἀγγελίας χάριν, ἀλλ' ἀγγελίης ἀντὶ τοῦ ἄγγελος.

πρὸ τοῦ στρατεῦσαι τοὺς Ἕλληνας εἰς Τροίαν ἦλθον πρέσβεις Ὀδυσσεὺς καὶ Μενέλαος, ἀπαιτοῦντες Ἑλένην, ἐν οἷς τῶν ἄλλων αὐτοὺς μεθ' ὕβρεως διωξάντων μόνος Ἀντήνωρ ξενίζει φιλοφρόνως.

207. *ἐξείνισσα καὶ ἐν μεγάροισι φίλησα] ὅτι παραλλήλως ἐξείνισα καὶ ἐφίλησα· τὸ γὰρ φιλεῖν ἐνίοτε ἀντὶ τοῦ ξενίζειν τίθησιν.

211. ἄμφω δ' ἑζομένω] ὅτι Ζηνόδοτος σὺν τῷ ν γράφει ἑζομένων. τὸ δὲ ἄμφω δύο πτώσεις ἔχει, ἀμφότεροι ἢ ἀμφοτέρους. καὶ νῦν λέγει ἀμφότεροι δὲ καθήμενοι, κατ' ἐναλλαγὴν πτώσεως, ἀντὶ τοῦ καθημένων δὲ ἀμφοτέρων. καὶ ἔστι σύνηθες ὡς ἐπ' ἐκείνου "σὺν δὲ δύ' ἐρχομένω" (Il. 10, 244)· "οἱ δὲ δύο σκόπελοι, ὁ μέν" (Od. 12, 73), ἀντὶ τοῦ τῶν δύο σκοπέλων.

11. *ἐπ'] ἀπ'
15. Κεφαλληνίας] κεφαληνίας
18. ἤδη] Sic A, non δή ut Vill.
24. *ὕβρεως] ὕβρεων
29. ἔχει] ἔχειν
31. *ἀμφοτέρων] προτέρων
*σὺν δὲ δύ' ἐρχομένω] om.
33. τοῦ τῶν] τοῦ om.

212. ἀλλ' ὅτε δὴ μύθους] τρεῖς τρόπους ῥητορείας οἶδεν Ὅμηρος, τὸν ἀπολελυμένον καὶ βραχὺν καὶ ἱκανὸν αὐτὰ τὰ ἀναγκαῖα παραστῆσαι, ὃν Λυσίας ἐζήλωσεν· τὸν δὲ ὑψηλὸν καὶ καταπληκτικὸν καὶ μεστὸν ἐνθυμημάτων, καὶ τούτων ἀθρόως ἐκφερομένων, ὡς νῦν, ὃν Δημοσθένης· τὸν δὲ πιθανὸν καὶ τεχνικὸν καὶ πολλῶν πλήρη δογμάτων, ὃν Ἰσοκράτης, τὸ γνωμικὸν καὶ σαφὲς ἐπιλεγόμενος.

213. ἐπιτροχάδην ἀγόρευεν] βραχυλόγοι γὰρ οἱ Λάκωνες ἀεί. δηλοῖ δὲ εὐφυέστερον ὡς ἀπὸ μὲν Μενελάου τὸν παρὰ τοῖς ῥήτορσι καλούμενον ἄνετον τρόπον, ἀπὸ δὲ Ὀδυσσέως τὸν σύντομον. ἐπ' ἐκείνου μὲν γὰρ εἶπε "παῦρα μέν," ἐπὶ δὲ Ὀδυσσέως προσέθηκε τὸ "καὶ ἔπεα νιφάδεσσιν ἐοικότα," τουτέστι πυκνὰ καὶ πολλά.

215. ἦ καὶ γένει ὕστερος ἦεν] ἐὰν βαρύνωμεν τὸν ἤ σύνδεσμον, διαστελοῦμεν βραχύ· κείσεται γὰρ ἀντὶ τοῦ εἴ συναπτικοῦ· ἐὰν δὲ περισπῶμεν, τελείαν στίξομεν· παραπληρωματικὸς γάρ ἐστι· καίτοι νεώτερος ἦν.

*πιθανώτερον βαρύνειν τὸν ῆ καὶ ἀντὶ τοῦ εἴ παραλαμβάνειν.

217. στάσκεν] οἶδεν ἡ στάσις πολλάκις ὑπόνοιαν εἴς τι κινεῖν. ῥητορικὴ οὖν ἡ στάσις Ὀδυσσέως. ἀφροσύνην δὲ σχηματίζεται πρὸς τὸ μὴ ὑπονοεῖσθαι παρὰ τοῖς ὁρῶσιν, ἢ οἷα εἰκὸς Μενελάου τὰς οἰκείας βλάβας ἐκθεμένου τεταράχθαι τὴν ἀγοράν· τῇ εἰς ἑαυτὸν οὖν ἐπιστροφῇ καταρτίζει τοὺς ὁρῶντας.

*ὑπαὶ] ὡς εἰ καὶ ἐντελὴς ἦν, οὕτως ἀναγνωστέον, φυλάττοντας τῆς προθέσεως τὸν τόνον.

218. *σκῆπτρον] σημειωτέον δὲ ὅτι ἕκαστος τῶν ἡγεμόνων σκῆπτρον εἶχεν ἴδιον, ὡς καὶ Ἀχιλλεὺς ἐν τῇ Α ὄμνυσι κατ' αὐτοῦ.

219. ἀλλ' ἀστεμφές] πρὸς τὸ ἀστεμφές, ὅτι τὸ ἀμετακίνητον. ὁ γὰρ Ἀνακρέων "σὺ γὰρ ἦς ἔμοιγ' ἀστεμφής." καὶ ὅτι τὸ ἀΐδρεϊ κατὰ τὸ βαρὺ προενεκτέον.

ἀΐδρεϊ προπαροξυτόνως ὡς ἀπ' εὐθείας τῆς ἄϊδρις· "χώρου ἄϊδρις ἐών" (Od. 10, 282). ταύτης δὲ τῆς εὐθείας ὀφείλει γενικὴ ἐκπίπτειν

2. *καὶ βραχὺν καὶ] Utrumque καὶ et tria proxima καὶ om.
3. *ὃν Λυσίας ἐζήλωσεν] om.
4. *ἐκφερομένων] λεγομένων
*ὡς νῦν, ὃν] om.
5. *καὶ πολλῶν] καὶ om.
7. *ἀεί] αἰεί
8. *μὲν] om.
11. πυκνὰ καὶ πολλά] *πολλὰ καὶ πυκνά
12. ἦεν] εἶεν
13. τοῦ εἴ] τοῦ ε̄
16. τοῦ εἴ] τοῦ ε̄
παραλαμβάνειν] παραλαμβάνεται

ἀΐδρεος, καὶ ἀΐδρεϊ. οὐ γὰρ δή γε διὰ τοῦ ᾱ· οὐ γάρ ἐστι παρώνυμον μακρᾷ παραληγόμενον· ἀλλ' ὡς τὸ ἔχις πόσις ὄφις, οὕτως ὀφείλει κλίνεσθαι. ὥστε ἐκ τοῦ ἐναντίου ἁμάρτημα τὸ παρὰ τῇ Σαπφοῖ, τὸ πολυΐδριδι, εἰ μὴ ἄρα ὁμοίως τοῖς Ἀττικοῖς ἐκλίθη· ὁ γὰρ Σοφοκλῆς ἴδριδα ἔφη τὴν αἰτιατικήν, ὅ τε Φρύνιχος τὴν εὐθεῖαν ἴδριδες. γένοιτο οὖν ἡ δοτικὴ ἀΐδρεϊ φωτὶ ἐοικώς κατὰ τὸν προκείμενον λόγον. οὐδὲν δὲ θαυμαστὸν εἰ διὰ τοῦ ῑ πολλάκις τῶν τοιούτων γενικῶν τὴν παραλήγουσαν προφέρονται Ἴωνες, τὴν δὲ δοτικὴν διὰ τοῦ ῐ, οὐχὶ δὲ διὰ τοῦ ῑ· τάχα γὰρ διὰ τὸ κακόφωνον. ὁ γοῦν ποιητὴς φησιν "εὐνήν τ' αἰδομένη πόσιος" (Od. 16, 75), τῇ δὲ δοτικῇ "χαριζομένη πόσεϊ ᾧ" (Il. 5, 71).

220. φαίης κεν] ὅτι τὸ φαίης τὴν φαντασίαν ἔχει ὡς πρὸς τὴν Ἑλένην λεγόμενον· κατὰ μέντοι γε Ὁμηρικὴν συνήθειαν ἐκληπτέον ἐν ἴσῳ τῷ ἔφη τις ἄν, ὡς ἔχει τὸ "ἔνθ' οὐκ ἂν βρίζοντα ἴδοις" (Il. 4, 223) ἀντὶ τοῦ ἴδοι τις ἄν.

224. οὐ τότε γ' ὧδ' Ὀδυσῆος] πρὸς τὸ σιωπώμενον, ὅτι συνυπακοῦσαι δεῖ τὸ οὐ τότε οὕτως ἐθαυμάσαμεν τὸ εἶδος ἰδόντες ὡς τὴν κατὰ λόγον δύναμιν.

227. *κεφαλήν τε καὶ εὐρέας ὤμους] οὕτως σὺν τῷ τε ἡ Ἀριστάρχου καὶ ἡ Ἀριστοφάνους. καὶ ἔστιν εὐφραδέστερον.

230. Ἰδομενεὺς δ' ἑτέρωθεν] ὅτι πλησίον ὁ Ἰδομενεὺς Αἴαντος τοῦ Τελαμωνίου ἐτάσσετο κατὰ τὴν ἐπιπώλησιν (Il. 4, 251) συμφώνως. παραιτητέον ἄρα ἐκεῖνον τὸν στίχον τὸν ἐν τῷ καταλόγῳ (Il. 2, 558) ὑπό τινων γραφόμενον "στῆσε δ' ἄγων ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες·" οὐ γὰρ ἦσαν πλησίον Αἴαντος Ἀθηναῖοι.

236. ἰδέειν] οὐκ ἔστιν ἐντελὲς τὸ ἰδέειν, ἀλλὰ τοὐναντίον ἀπὸ τοῦ ἰδεῖν γέγονε κατὰ διάλυσιν, ὥσπερ ἀπὸ τοῦ εὐφρανεῖν τὸ εὐφρανέειν· οἱ γὰρ δεύτεροι μέλλοντες οὐκ ἔχουσι τὴν περισπωμένην ἀπὸ ἐντελείας ὥσπερ οἱ περισπώμενοι ἐνεστῶτες.

237. πὺξ ἀγαθόν] ἐν πυγμῇ ἀνδρεῖον καὶ γενναῖον. οὗτος γὰρ καὶ τὸν ἀφόρητον πύκτην Ἄμυκον ἀναιρεῖ, ὡς Ἀπολλώνιός φησιν ἐν δευτέρῳ Ἀργοναυτικῶν. ἐζήτηται δὲ πῶς τοὺς ἀδελφοὺς πρῶτον οὐκ ἐπεζήτει ἡ Ἑλένη. ῥητέον δὲ ὅτι ἴσως μὲν ἐπεζήτησεν, εὐχερῶς δὲ, ὅτε ἔγραφεν, Ὅμηρος ἐπεμνήσθη.

4. ἐκλίθη] ἐκλήθη
19. τε καὶ] In textu ἠδ' A.
22. κατὰ] καὶ κατὰ Lehrsius Arist. p. 224.

238. δύναται αὕτη ἡ λέξις συνάπτεσθαι.

239, 240. ἣ—ἣ] ὁ μὲν Νικάνωρ ἄμφω ὀξύνει ὡς διαζευκτικούς· ὁ δὲ Ἡρωδιανὸς τὸν δεύτερον περισπᾷ, ὡς διαπορητικοὺς ἄμφω δεχόμενος.

*ὁ μὲν πρῶτος ἣ σύνδεσμος βαρύνεται, ὁ δὲ δεύτερος περισπᾶται, ἵνα τοιαύτη ἡ φράσις γένηται, ἣ οὐκ ἠκολούθησαν, ἣ ἠκολούθησαν μὲν, οὐκ ἐθέλουσι δὲ μάχην καταδύμεναι ἀνδρῶν.

240. νέεσσ' ἐνὶ ποντοπόροισιν] Νικίας ἀναστρέφει· οὐ συμφωνεῖ δὲ τὰ τῆς ἱστορίας αὐτῷ· φασὶ γὰρ Ἀρίσταρχον τοῖς κυριωτέροις συντάσσειν τὰς προθέσεις.

242. αἴσχεα δειδιότες] Ἑλένη ἁρπασθεῖσα ὑπὸ Ἀλεξάνδρου, ἀγνοοῦσα τὸ συμβεβηκὸς μεταξὺ τοῖς ἀδελφοῖς Διοσκούροις κακὸν, ὑπολαμβάνει δι' αἰσχύνης αὐτῆς μὴ πεπορεῦσθαι τούτους εἰς Ἴλιον, ἐπειδὴ προτέρως ὑπὸ Θησέως ἡρπάσθη, καθὼς προείρηται· διὰ γὰρ τὴν τότε γενομένην ἁρπαγὴν Ἀφιδνα πόλις Ἀττικῆς πορθεῖται, καὶ τιτρώσκεται Κάστωρ ὑπὸ Ἀφίδνου τοῦ τότε βασιλέως κατὰ τὸν δεξιὸν μηρόν. οἱ δὲ Διόσκουροι, Θησέως μὴ τυχόντες, λαφυραγωγοῦσι τὰς Ἀφίδνας ἡ ἱστορία παρὰ τοῖς Πολεμωνίοις ἢ τοῖς κυκλικοῖς, καὶ ἀπὸ μέρους παρὰ Ἀλκμᾶνι τῷ λυρικῷ.

ἐπὶ τὸ ὀνείδεα βραχὺ διασταλτέον· ἐπὶ δὲ τὸ πολλά ὁ λόγος μὲν αἱρεῖ, διὰ δὲ τὴν συναλοιφὴν οὐ παραδεκτέα ἡ ἀνάγνωσις.

243. τοὺς δ' ἤδη κάτεχεν φυσίζοος αἶα] οὗτοι δὲ, φησὶν, ἦσαν μεταστάντες ἐξ ἀνθρώπων, καὶ ὑπὸ γῆν διετέλουν ὁτὲ μὲν ζῶντες, ὁτὲ δὲ τεθνηκότες, κατ' αὐτὸν τὸν ποιητὴν λέγοντα "ἄλλοτε μὲν ζώουσ' ἑτερήμεροι, ἄλλοτε δ' αὖτε τεθνᾶσιν, τιμὴν δὲ λελόγχασιν ἶσα θεοῖσιν" (Od. 11, 299). φυσίζοος δὲ ἤτοι ἡ τὰ πρὸς τὸ ζῆν φύουσα καὶ δωρουμένη, ἢ ὅτι τῷ ὄντι λέγεται χώρα ἐν Λακεδαίμονι οὕτω Φυσίζοος, ἐπεὶ ἐκεῖ δοκοῦσιν οἱ Διόσκουροι καταποθέντες πάλιν ἀναδοθῆναι.

1. Fragmentum scholii partim in marg. interiore positum partim super vocem αὐτοκασιγνήτω scriptum. Integrius est in Veneto B.
2. *μὲν et ὁ δὲ] om.
*ὡς] τοὺς
6. ἢ ἠκολούθησαν addidit Lehr.
13. *ὑπολαμβάνει] ὑπολαμβάνειν
14. προτέρως] *πρότερον
16. *Αφίδνου] φίδνου
18. *Ἀφίδνας] ἀθήνας παρὰ τοῖς Πολεμωνίοις (τελαμωνίοις codex Vat. 915) ἢ τοῖς (*ἤτοι) κυκλικοῖς] Error, ut videtur, non librarii, sed epitomatoris, de quo v. Prellerus ad Polem. fragm. p. 15–17. παρὰ Πολέμωνι Fabricius, pro quo in aliis, ut in Leid., ἡ ἱστορία παρὰ τοῖς κυκλικοῖς scriptum fuit.
25. δ' αὖτε] δὲ

Ἴδας καὶ Λυγκεὺς Ἀφαρέως παῖδες, γάμους θύοντες τῶν Λευκίππου θυγατέρων Φοίβης καὶ Ἱλαείρας, ἐκάλεσαν τοὺς Διοσκούρους συγγενεῖς ὄντας· ὁ γὰρ Τυνδάρεως Ἀφαρέως ἀδελφὸς ἦν. λέγεται δὲ τοὺς Διοσκούρους ἐξαρπάσαι τὰς κόρας ἔτι παρθένους οὔσας. μαχομένων δ' αὐτῶν περὶ τοῦ γάμου καρτερῶς ἀναιρεῖται Κάστωρ. ὅθεν ὁ Ζεὺς ὀργισθεὶς κεραυνῷ βάλλει τὸν Ἴδαν, παραμυθεῖται δὲ Πολυδεύκην, καὶ τίθεται αὐτῷ αἵρεσιν πότερον θέλει ἀθάνατος εἶναι, ἢ σὺν τῷ ἀδελφῷ ἐξ μῆνας τελευτᾶν καὶ τοὺς ἴσους ζῆν. ὁ δὲ μᾶλλον αἱρεῖται μετὰ Κάστορος ἀποθανεῖν καὶ ζῆν. ἡ ἱστορία παρὰ Πινδάρῳ.

244. φίλῃ ἐν πατρίδι γαίῃ] ὅτι Ζηνόδοτος γράφει ἐῇ ἐν πατρίδι. εἴτε δὲ ἐπὶ τῶν Διοσκούρων ἔσται τὸ ἐῇ, ἐνικὸν οὐχ ἁρμόσει· εἴτε ἐπὶ τῆς Ἑλένης, ἔκθεσμόν ἐστι τὸ οὕτω λέγειν, τοὺς δ' ἤδη κάτεχεν φυσίζοος αἶα ἐν τῇ ἑαυτῆς πατρίδι.

245. τὸ θεῶν δύναται καὶ τοῖς ἐπάνω συνάπτεσθαι, ἵν' ᾖ κήρυκες θεῶν, καὶ τοῖς ἑξῆς, ὅρκια πιστὰ θεῶν· ὅπερ καὶ βέλτιον.

250. *Λαομεδοντιάδη] τελείαν στικτέον μετὰ τὴν κλητικήν· καὶ γὰρ τὰ ἑξῆς ἀσύνδετα "καλέουσιν ἄριστοι."

Λαομεδοντιάδη] μήτηρ Πριάμου, ὥς φησι Πορφύριος ἐν τῷ περὶ τῶν παραλελειμμένων τῷ ποιητῇ ὀνομάτων, κατὰ μὲν Ἀλκμᾶνα τὸν μελοποιὸν Ζευξίππη, κατὰ δὲ Ἑλλάνικον Στρυμώ.

257. ναίοιμεν] ὅτι νῦν ὀρθῶς ἐν τῷ τοῦ κήρυκος λόγῳ γράφεται ναίοιμεν, ἐν δὲ τοῖς ἐπάνω, ὅτε Ἀλέξανδρος λέγει, οὐκέτι.

259. *ἐκέλευσε δ' ἑταίροις] οὕτως τοῖς ἑταίροις κατὰ δοτικὴν αἱ Ἀριστάρχου. συνεφώνει καὶ ἡ Ζηνοδότου.

261. ἂν δ' ἄρ' ἔβη Πρίαμος] ὅτι δύο ἐπεδέχοντο οἱ δίφροι· διὸ νῦν Πρίαμος ἡνιοχεῖ παραιβατοῦντος τοῦ Ἀντήνορος. καὶ ὅτε οἱ

1. **Ἴδας] εἴδας et infra εἶδαν
7. *αὐτῷ] αὐτῇ
15. τοῖς addidit Friedl. Conf. p. 138, 3.
16. καὶ τοῖς Friedl.] δύναται καὶ τοῖς
17. τελείαν] τελεία, ut p. 144, 29.
18. ἄριστοι] om.
20. *μὲν] om. Scholion hoc etiam aliis in codicibus legitur, nomine Στρυμώ, de quo constat ex Apollodoro 3, 12, 3, in Τρυμῷ vel Τρυμῶ corrupto, et additis in fine verbis, quae in A librarii culpa excidisse videntur, Στάμων (recte Σκάμων Mueller. Fragm. Hist. 4, p. 491.) δὲ ἐν τῷ περὶ Λέσβου φησὶ Θόωσαν τὴν Τεύκρου.
22. ἀστερίσκος huic scholio praescriptus a m. rec. esse videtur, et requiritur, ni fallor, διπλῆ. COBETUS.
24. ἑταίροις] ἑτέροις in textu et in scholio.

ἥρωες πάντες ἔμπειροι καὶ αὐτουργοί· διὸ καὶ ὁ Ὀδυσσεὺς ναυπηγεῖ καὶ κυβερνᾷ.

262. *προκρίνει μὲν τὴν διὰ τοῦ ε̄ γραφήν βήσετο, πλὴν οὐ μετατίθησιν, ἀλλὰ διὰ τοῦ ᾱ γράφει ὁ Ἀρίσταρχος.

263. Σκαιῶν] ὅτι παραλέλοιπε τὸ πυλῶν, καὶ ὅτι ἀδιαιρέτως ἐξενήνοχεν· εἴθισται γὰρ λέγειν Σκαιάων (Il. 22, 6).

270. μίσγον—ἔχευαν] ὅτι οὐχ ὕδατι ἔμισγον τὸν οἶνον, ἀλλὰ τὸν τῶν Τρώων καὶ Ἀχαιῶν· διὸ καὶ ἐν ἄλλοις "σπονδαί τ' ἄκρητοι" (Il. 2, 341).

*ἔχευαν] Ἀρίσταρχος διὰ τοῦ ο̄· καὶ ἀναλογεῖ τῷ μίσγον.

271. μάχαιραν] ὅτι τὴν παραξιφίδα μάχαιραν καλεῖ· διὸ καὶ λέγει αὐτὴν παρηρτῆσθαι τῷ κυλεῷ τοῦ ξίφους. τὸ δὲ πολεμιστήριον ἄορ ξίφος φάσγανον καλοῦσιν· συνώνυμα γάρ.

272. ἄωρτο] ἄρω ἐστὶ τὸ σημαντικὸν τοῦ ἁρμόζω, οὗ μέλλων ἄρσω, ἀόριστος ἦρσα· "θύρας σταθμοῖσιν ἐπῆρσεν" (Il. 14, 167 et 339) ἀντὶ τοῦ ἐφήρμοσεν· "καὶ πώμασιν ἄρσον ἅπαντα" (Od. 2, 353) ἀντὶ τοῦ ἐφάρμοσον. τοῦ ἄρω ὁ παρακείμενος ἦρκα, ὁ παθητικὸς ἦρμαι, ὑπερσυντέλικος ἤρμην, τὸ τρίτον ἦρτο, συστολῇ ἄρτο, ἐπενθέσει τοῦ ω̄ ἄωρτο. οὕτως Ἡρωδιανὸς ἐν τῷ β' ὑπομνήματι τῷ περὶ παθῶν Διδύμου.

273. ἀρνῶν ἐκ κεφαλέων] ὅτι Ζηνόδοτος γράφει ἀρνέων ἐκ κεφαλέων. ἀπὸ δὲ τῶν κατὰ τὴν ὀρθὴν ληγόντων εἰς ες̄ οὐ γίνονται τοιαῦται διαιρέσεις, ἀλλ' ἀπὸ τῶν εἰς αῑ· εἰ δὲ ἄρνες, ἀρνῶν. ἀπὸ δὲ τοῦ κεφαλαί κατὰ λόγον κεφαλέων.

276. *Ἴδηθεν μεδέων] ὅτι ἀντὶ τοῦ Ἴδης μεδέων.

Ζεῦ πάτερ, Ἴδηθεν] καθ' ἑκάστην προσαγόρευσιν διασταλτέον, μέγιστε, ἐπακούεις, ποταμοί, γαῖα. τελεία δὲ ἐπὶ τὸ ὁμόσσῃ· ἀσύνδετον γὰρ πρὸς τὰ ἑξῆς.

277. ἠέλιός θ'] ὅτι ἥλιος ἀντὶ τοῦ ἥλιε, ὡς κἀκεῖ "δὸς φίλος"

10. ἔχευαν] In textu ο super α. τῷ] τὸ
13. καλοῦσιν delet Lehrsius.
15. θύρας σταθμοῖσιν] θέτις ὤμοισιν
19. β'] ω̄, quod α^ω vel β^ω, esse potest, i. e. πρώτῳ vel δευτέρῳ.
ὑπομνήματι Lehrsius Arist. p. 20] ποιήματι
21. Lemmati praescripta διπλῆ περιεστιγμένη
27. ἐπὶ τὸ Friedl.] ἐπὶ τοῦ
29. Versibus 277–280 adscripta est διπλῆ περιεστιγμένη: sed versui 277 et 279 simplex διπλῆ adscribi debebat. Ad versum 278 scholion nullum est.
ἥλιος] om.

(Od. 17, 415) καὶ "ἀλλὰ φίλος θάνε καὶ σύ" (Il. 21, 106). καὶ πρὸς τὴν ἀθέτησεν τῶν ἐν Ὀδυσσείᾳ "ὠκέα δ' ἠελίῳ ὑπερίονι ἄγγελος ἦλθεν" (Od. 12, 374) περὶ τῆς ἀπωλείας τῶν βοῶν τῷ πάντας ἐφορῶντι.

279. ἀνθρώπους τίνυσθον] πρὸς Ζηνόδοτον, ὅτι ἐκ τοῦ δυϊκῶς γράφεσθαι τὸ τίνυσθον ἐλέγχεται ὅτι ἐπὶ Περσεφόνης καὶ Πλούτωνός ἐστιν ὁ λόγος, οὐκ ἐπὶ τῶν νεκρῶν.

ἐπίορκον] οὕτως προπαροξυτόνως· ἓν γάρ ἐστι τὸ ὅλον, ὥσπερ καὶ τὸ πρᾶγμα· "οὐδ' ἐπιορκήσω πρὸς δαίμονα" (Il. 19, 188).

280. μάρτυροι ἔστε] ὅτι Ζηνόδοτος γράφει μάρτυρες. Ὅμηρος δὲ μάρτυρος κατὰ τὸ ἑνικὸν λέγει· "Ζεὺς δ' ἄμμ' ἐπιμάρτυρος ἔστω" (Il. 7, 76), οὗ πληθυντικὸν ἔσται τὸ μάρτυροι. παροξύνεται δὲ τὸ ἔστε, ἵνα προστακτικὸν γένηται ὁμοίως τῷ φυλάσσετε· πιθανωτέρα γὰρ ἡ τοιαύτη ἀνάγνωσις· πολλὰ γάρ ἐστι προστακτικὰ ὡς πρὸς τοὺς θεούς· "Ζεῦ πάτερ, ἀλλὰ σὺ ῥῦσαι, ποίησόν τ' αἴθρην, δὸς δ' ὀφθαλμοῖσιν" (Il. 17, 645). ἀναγκαῖον μέντοι ἐστὶ παραφυλάξαι ἐκεῖνο, ὡς ὅτι τὰ εἰς τε λήγοντα πληθυντικὰ ὁριστικὰ καὶ προστακτικὰ ἀεὶ ὁμοτονεῖ ὑπεσταλμένου τοῦ ἔστε, οἷον λέγετε—ὅτι λέγετε, ἄγετε—ὅτι ἄγετε.

285. *Τρῶας—ἀποδοῦναι] ἀντὶ τοῦ Τρῶες ἀποδότωσαν.

286. τιμήν] ὅτι τιμὴν τὸ ἐπιτίμιον λέγει, ὃ πολλάκις λέγει ποινήν.

290. *οὕτως διὰ τοῦ η̄ τὸ μαχήσομαι Ἀρίσταρχος.

292. ἀπὸ στομάχους] οὕτως αἱ Ἀριστάρχου, ἀπὸ στομάχους. αἱ δὲ πλείους διὰ τοῦ ε̄, ἐπὶ στομάχους· καὶ ἔστιν οὐκ ἄχαρις ἡ γραφή.

295. *ἀφυσσόμενοι] Ἀρίσταρχος ἀφυσσόμενοι διὰ τοῦ ο̄, ἄλλοι δὲ διὰ τοῦ ᾱ.

297. ὧδε] ὅτι τὸ ὧδε οὐδέποτε τοπικῶς, καθάπερ ἡμεῖς, λέγει, ἀλλ' ἀντὶ τοῦ οὕτως τοῦτο παραλαμβάνει.

305. *Ἴλιον ἠνεμόεσσαν] ὅτι θηλυκῶς ἀεὶ τὴν Ἴλιον λέγει.

306. ἄψ, ἐπεί] βραχὺ διασταλτέον ἐπὶ τὸ ἄψ διὰ τὸν ἀνεστραμ-

10. μάρτυροι ἔστε] Hoc accentu in textu, adscripto in margine a m. rec. μάρτυροί ἐστε. Similiter versui 281 in margine exteriore adscriptum est εἰ μέν κεν, correcto pravo, qui in textu est, accentu εἶ μέν κεν.

11. ἄμμ'] ἃμ'

26. ἄλλοι—ᾱ a m. rec.

31. ἀνεστραμμένον addidit Friedl.



μένον λόγον· ὁ γὰρ ἐπεί σύνδεσμος, ὥσπερ τὰ ἐξῆς συνδέων, ὑποστιγμὴν ἀποτελεῖ.

ὅτι σαφῶς ἐνταῦθα βραχεῖαν διαστολὴν τὴν ὑποστιγμὴν εἴρηκεν.

ὁρᾶσθαι] παθητικὸν ἀντὶ ἐνεργητικοῦ. ἀνέστραπται δὲ ἡ περίοδος. ὀρθὴ δ' ἂν ἦν οὕτως, ὁπποτέρῳ θανάτοιο τέλος πεπρωμένον ἐστὶν, Ζεὺς μὲν τοῦτό γε οἶδεν. εἰς δὲ τὴν πόλιν ὁ Πρίαμος τοὺς ἄρνας τεθυμένους ἔχων ἄπεισιν, ἵνα αὐτοὺς περιστείλῃ· ἔθος γὰρ ἦν τὰ ἐπὶ τοῖς ὅρκοις γιγνόμενα ἱερεῖα τοὺς μὲν ἐγχωρίους γῇ περιστέλλειν, τοὺς δὲ ἐπήλυδας εἰς τὴν θάλασσαν ῥίπτειν.

308. Ζεὺς μέν που] βραχὺ διασταλτέον ἐπὶ τὸ ἄλλοι· ἀνέστραπται γὰρ ἡ περίοδος.

310. ἦ ῥα καὶ ἐς δίφρον] τὰ γὰρ ἐν ὅρκοις σφαζόμενα οἱ μὲν ἐγχώριοι ἔκρυπτον τῇ γῇ, οἱ δὲ ξένοι θαλάσσῃ· ἢ δείξων ἀποφέρει τοῖς ἐν ἄστει, πιστωσόμενος κἀκείνοις, ἢ ὡς ἀγνοοῦντας διδάξων. τὰ δὲ θεοῖς ἁπλῶς θυόμενα ἤσθιον· ἡγοῦντο γὰρ ὥσπερ συσσιτεῖσθαι τοῖς θεοῖς.

313. τὼ μὲν ἄρ' ἄψορροι] διὰ τί χωρίζεται ὁ Πρίαμος; καὶ οἱ μέν φασιν ὅτι ἵνα ἀφ' ὕψους κρεῖσσον θεωρήσῃ ἀπὸ τῆς πόλεως τὴν μονομαχίαν, οἱ δὲ, ἵνα φυλάξῃ τὰ τείχη. ἄλλοι δὲ τὴν Ὁμηρικὴν λύσιν προΐσχονται, τὸ οὔπω τλήσομ' ὀφθαλμοῖσιν ὁρᾶσθαι· ὅπερ ἄμεινον.

314. Πριάμοιο πάϊς] Πορφύριος ἐν τοῖς παραλελειμμένοις φησὶν ὅτι τὸν Ἕκτορα Ἀπόλλωνος υἱὸν παραδίδωσιν Ἴβυκος, Ἀλέξανδρος, Εὐφορίων, Λυκόφρων.

315. χῶρον μὲν πρῶτον διεμέτρεον] ἀναγκαίως διεμέτρουν πᾶν τὸ χωρίον ἐν ᾧ ἤμελλον μονομαχήσειν, ὥστε μὴ μόνον τὸν διὰ τῶν ὅπλων ἡττηθέντα νενικῆσθαι, ἀλλὰ καὶ τὸν ἀπολιπόντα τὸ ἀποδεδειγμένον χωρίον, ὥσπερ καὶ ἐπὶ τῶν ἀθλητῶν. ἄλλοι δέ φασιν ὅτι ἵνα μὴ πρὸς τὰ ἑαυτῶν πλήθη χωρισθῶσιν, ἀλλ' ὥσπερ ἐν εἱρκτῇ τῇ περιγραφῇ μένωσιν.

1. συνδέων] τοῖς ἡγουμένοις ἐν λόγῳ ἀνεστραμμένῳ βραχεῖαν διαστολὴν ἀπαιτεῖ πρὸ ἑαυτοῦ, ἐν ὀρθῇ περιόδῳ addit Friedl.

3. Scholion hoc ὅτι σαφῶς—εἴρηκεν ad exteriorem marginem scholiorum marginalium eadem manu qua intermarginalia scriptum est. Signum ※ huic scholio praefixum eidem signo post vocem ἀποτελεῖ scripto respondet.

4. ἀντέστραπται hic et in scholio inferiore in ἀνέστραπται mutavi ut legitur p. 162, 30.

5. ἐστίν] om.

27. *ἀπολιπόντα] ἀπολείποντα

315, 316. αὐτὰρ ἔπειτα κλήρους] μετὰ ταῦτα δεόντως καὶ κλῆρον ἐποιήσαντο περὶ τῆς ἀφέσεως τοῦ δόρατος. ὥστε μὴ θόρυβον ἐμπεσεῖν τοῦ ἑτέρου φθάσαντος διὰ τῆς πρώτης βολῆς ἀνελεῖν τὸν πολέμιον. ψῆφοι δέ τινες ἦσαν οἱ κλῆροι, εἰς οὓς ἐσημειοῦτο ἕκαστος· οὓς οὕτως ὠνόμασαν διὰ τὸ καλεῖσθαι ὑπ' αὐτῶν εἰς τὰς πράξεις.

316. χαλκήρεϊ] προπαροξυτόνως· ἔστι γὰρ παραγωγὴ ἡ διὰ τοῦ ηρης, ἥτις βαρύνεται, ξιφήρης ὀλιγήρης θυμήρης, ἔνθεν τὸ "θυμῆρες κεράσασα" (Od. 10, 362). εἰ μέντοι γε τὸ ἄρω ἔγκειται ἐπὶ τούτου, καὶ διὰ τοῦ ᾱ ἡ σύνθεσις γένοιτο καὶ ὀξεῖα τάσις ἐστίν· "ἔχει δ' ἄλοχον θυμαρέα" (Il. 9, 336).

ἠρήσαντο, θεοῖσι δὲ χεῖρας ἀνέσχον] ἐὰν εἰς τὸ ἠρήσαντο στίξωμεν, φησὶν ὁ Νικάνωρ, ὡς ἑτέροις ἔσονται θεοῖς ἀνατείναντες τὰς χεῖρας· διὸ στίζει εἰς τὸ θεοῖς, καὶ τὸ ἰδὲ ἀντὶ τοῦ καὶ λαμβάνει.

* δύναται καὶ οὕτως, ἠρήσαντο θεοῖς ἰδὲ χεῖρας ἀνέσχον καὶ ὁ ἰδὲ ἀντὶ τοῦ καί.

320. * Ἴδηθεν μεδέων] ἀντὶ τοῦ Ἴδης μεδέων.

323. * ἐὰν στίζωμεν πρὸ τούτου τοῦ στίχου ἐπὶ τὸ εἴσω, ἐλλείπει ῥῆμα εὐκτικὸν τὸ εἴη· ἐὰν δὲ διαστέλλωμεν, κοινὸν ἔσται τὸ δός.

325. ὁρῶ παρὰ τὸ ῥῶ τὸ ὁρμῶ πλεονασμῷ τοῦ ō.

Πάρις ὁ Ἀλέξανδρος ἐκλήθη παρὰ τὸ ἐκτεθῆναι αὐτὸν ἐν τῇ Ἴδῃ εὐθὺς τεχθέντα καὶ αὐξηθέντα παρελθεῖν τὸν μόρον οὕτως. κατὰ γαστρὸς αὐτὸν ἔχουσα ἡ Ἑκάβη ἐνόμισε κατ' ὄναρ καιόμενον δαλὸν τίκτειν, ὅστις κατέφλεξε πᾶσαν τήν τε πόλιν καὶ τὴν ἐν τῇ Ἴδῃ ὕλην ἑστῶσαν. τοῦτο δὲ τὸ ἐνύπνιον ἀκούσαντες οἱ μάντεις καὶ οἱ περὶ τοὺς ὀνείρους δεινοὶ εἶπον τὸ τεχθὲν παιδίον εὐθέως μικρὸν ὂν ῥιφῆναι θηρσὶ βοράν. τεχθέντα δὲ τὸν Ἀλέξανδρον ἐξέθηκαν ἐν τῇ Ἴδῃ· ὃν ποιμὴν ἑορακὼς σφόδρα εὐειδέστατον ἀνελόμενος ἀνέθρεψεν.

Πορφύριός φησιν ἱστορεῖν τὸν γράψαντα τὰ τραγῳδούμενα ὅτι ὁ θρέψας τὸν Πάριν νομεὺς Ἀρχιάλας ἐκαλεῖτο.

326. * τὸ ἦχι χωρὶς τοῦ ῑ ὁ Ἀρίσταρχος.

* ἑκάστῳ] Ἀρίσταρχος κατὰ γενικὴν ἑκάστου.

13. * λαμβάνει] om.
17. τὸ Friedl.] τῷ
27. ἑορακὼς] * ἑωρακὼς
28. Πορφύριος] ἐν τοῖς παραλελειμμένοις, ut in scholio v. 314.
τὸν γράψαντα τὰ τραγῳδούμενα] Asclepiadem Tragilensem.
29. Ἀρχιάλας] Nomen corruptum. Ἀγχίαλος Mueller. in Fragm. Hist. vol. 3 p. 303. Apud Apollod. 3, 12 Ἀγέλαος, addito in edit. veteribus ἢ Ἀρχέλαος.

327. ἀερσίποδες] αἴροντες εἰς ὕψος τοὺς πόδας, ταχεῖς. ζωγραφικῶς δὲ ἐκτετύπωκε τοῦτο· τοιοῦτοι γὰρ οἱ κωλυόμενοι τοῦ τρέχειν ἵπποι. καὶ ἔστιν ἰδίωμα, παρὰ τὸ ἀείρω ἄερω ἀέρσω, ὡς κέρσω.

334, 335. ἀμφὶ δ' ἄρ' ὤμοισιν] ὅτι Ζηνόδοτος ἀμφοτέρους ἠθέτηκε, καὶ μετὰ τὸν "οἷο κασιγνήτοιο" ὑποτάσσει "κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν ἵππουριν, δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν· εἴλετο δ' ἄλκιμον ἔγχος· ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετ' ἀσπίδα τερσανόεσσαν." ὥστε ἐναντίως τῷ Ὁμηρικῷ ὁπλισμῷ (Il. 11, 32. 15, 480) ἔχειν· πρὸ τῆς ἀσπίδος γὰρ φανήσεται ἀναλαμβάνων τὴν περικεφαλαίαν καὶ ξίφος μὴ ἔχων.

335. *χάλκεον] βραχὺ διασταλτέον ἐπὶ τὸ χάλκεον· κοινὸν γὰρ τὸ ἀμφ' ὤμοισιν βάλετο καὶ ἐπὶ τοῦ σάκους.

*ἀπὸ κοινοῦ τὸ ὤμοισιν βάλετο, ἀναγκαίως διὰ τοὺς τελαμῶνας.

338. *ὅ οἱ παλάμηφιν ἀρήρει] ἐν ἄλλῳ, ἀκάχμενον ὀξέϊ χαλκῷ.

339. ὣς δ' αὖτως Μενέλαος] ὅτι οὗτος ξίφος ἔχει· εἰ δὲ ὡσαύτως τῷ Ἀλεξάνδρῳ καθώπλισται, πάντως κἀκεῖνος εἶχε ξίφος. ἡ δὲ ἀναφορὰ πρὸς Ζηνόδοτον.

ἔντε'] ὅπλα. εἴρηται δὲ ἀπὸ τοῦ ἐντὸς περιέχειν καὶ σκέπειν τὸ σῶμα. λέγεται δὲ καὶ τὰ πρὸς τὴν εὐωχίαν σκεύη ἔντεα, ὡς ἐκεῖ "μνηστῆρες δ' ἀπεκόσμεον ἔντεα δαιτός" (Od. 7. 232).

344. διαμετρητῷ] Ἀρίσταρχος περισπᾷ, καὶ οἱ ἄλλοι· καὶ οὕτως ἔχει ἡ παράδοσις. καὶ ἔστι παρασύνθετον· τὸ γὰρ ῥῆμα συντέθειται ἐν τῷ "χῶρον μὲν πρῶτον διεμέτρεον" (315).

345. *βραχὺ διασταλτέον ἐπὶ τὸ ἐγχείας.

346. *δολιχόσκιον] οἱ μὲν παρὰ τὸ κίειν ἐν πλεονασμῷ, οἱ δὲ παρὰ τὴν σκιάν.

348. *χαλκός] οὕτως Ἀρίσταρχος· ἄλλοι δὲ διὰ τοῦ ῡ, χαλκύν. οὕτως ἄμεινον διὰ τοῦ σ γράφειν· καὶ γὰρ ὕστερόν φησιν "ὁ δὲ δεύτερος ὥρνυτο χαλκῷ" ἀντὶ τοῦ τῷ δόρατι. καὶ τὸ μὲν τῆς τύχης ἔτυχεν, τὸ δὲ τῆς ἰσχύος ἀπώλεσεν.

352. ἀθετεῖται, ὅτι οὐκ ἀναγκαίως ἐπιλέγεται· καὶ γὰρ ὁ καιρὸς τὸ σύντομον ἔχειν θέλει. καὶ δῖον ἀκαίρως ὁ Μενέλαος τὸν ἐχθρὸν

4–10. Librarius ex uno scholio duo fecit, pro lemmate novo habens versum Zenodoteum ἀμφὶ δ' ἄρ' ὤμοισιν—COBET. Post ἔγχος positum est signum scholii finiti (:—). Addendum ὅ οἱ παλάμηφιν ἀρήρει

8. τερσανόεσσαν] Vitiose pro θυσσανόεσσαν.

λέγει. ἐὰν δὲ γράφηται δαμῆναι, βραχὺ διαστελοῦμεν ἐπὶ τὸ Ἀλέξανδρον· κοινὸν γὰρ τὸ δός. ἐὰν δὲ δάμασσον, δευτέραν ἄνω θετέον, ἐπεὶ καὶ καθ' ἑαυτὸ δύναται πλῆρες εἶναι τὸ ἐξῆς.

*δάμασσον] Ἀρίσταρχος δαμῆναι.

353. ἐρρίγῃσι] ἀπὸ τοῦ ῥιγῶ ῥιγεῖς, οὗ παρατατικὸς ἐρρίγουν, ὁ μέσος παρακείμενος ἔρριγα, ὃς μεταπλάττεται εἰς ἐνεστῶτα τὸν ἐρρίγω ὡς δέδοικα δεδοίκω.

354. ξεινοδόκον] παροξύνεται διὰ τὴν ἐνέργειαν. οὕτως δὲ πέφυκε τὰ παρὰ ῥῆμα συντιθέμενα παροξύνεσθαι μὲν, ὅτε ἐνέργειαν ὑπισχνεῖται, προπαροξύνεσθαι δὲ, ὅτε πάθος, εἰ μὴ κανόνες τινὲς κωλύοιεν οὓς παρατίθεται ὁ Ἡρωδιανός· ὥστε διαφέρειν τὸ λιθοβόλος τοῦ λιθόβολος· τὸ μὲν γὰρ παροξυνόμενον σημαίνει τὸν λίθους βάλλοντα, τὸ δὲ προπαροξυνόμενον τὸν ὑπὸ λίθου βεβλημένον, ὡς παρ' Εὐριπίδῃ ἐν Φοινίσσαις (1063) "λιθόβολον αἷμα κατειργάσω."

*φιλότητα] ὅτι σαφῶς νῦν φιλότητα τὴν ξενίαν εἴρηκεν.

φιλότητα] ἀπελθόντα γὰρ ὡς πρέσβιν εἰς τὸ Ἄργος τὸν Ἀλέξανδρον ἐξενοδόχησεν ὁ Μενέλαος· ὅθεν καὶ εὔχεται τῷ ξενίῳ Διὶ, τῷ ὑπ' αὐτοῦ καταφρονηθέντι.

359. ἀντικρὺ] διαφέρει τὸ ἀντικρὺ τοῦ ἄντικρυς προπαροξυτόνου· τὸ μὲν γὰρ ἀντικρὺ δηλοῖ τὸ ἐξ ἐναντίας, τὸ δὲ ἄντικρυς τὸ φανερῶς.

361. *ἐρυσσάμενος ξίφος] ὅτι ξίφος ἔχει, πρὸς Ζηνόδοτον (334).

362. κόρυθος φάλον] τὸ προμετωπίδιον ἀνάστημα τῆς περικεφαλαίας. ἔστι δέ τι προκόσμημα. γίνονται γὰρ ἐπὶ τῶν περικεφαλαιῶν λαμπροί τινες ἥλοι ἕνεκα προκοσμήματος. φαλὸν δὲ τὸ λαμπρόν· ἐντεῦθεν καὶ φαλακρὸς ὁ ἔχων φαλὸν τὸ κάρα.

ἀμφὶ δ' ἄρ' αὐτῷ] Ἀρίσταρχος ἀμφὶ δ' ἄρ' αὐτῇ, τῇ περικεφαλαίᾳ.

363. διὰ τί δὲ ὁ Μενέλαος συγκλασθέντος αὐτῷ τοῦ ξίφους οὐκ ἐσπάσατο τὸ τοῦ Ἀλεξάνδρου; ῥητέον οὖν ἢ ὅτι ἔκφρων ἐγένετο, τῷ κινδύνῳ τὸν λογισμὸν ἐκκλαπείς· ἢ πάντως ζῶντα εἰς Ἕλληνας ἑλκύσαι ἠθέλησεν, αὔξων τὸ κατόρθωμα. ἢ καὶ δι' οἰκονομίαν ὁ ποιητὴς ἐσεσώκει δι' Ἀφροδίτης τὸν Πάριν· ἐλέλυτο γὰρ τὰ τῆς ὑποθέσεως τῷ ἐκείνου θανάτῳ.

14. Φοινίσσαις] φοίνικι
αἷμα] εἷμα
23. *προκόσμημα] προσκόμμα
24, 25. φαλὸν] *φάλιον fuso accentu pro φαλιόν.
29. *τὸ τοῦ] τὸ om.
30. πάντως—ἑλκύσαι] πάντας ἕλλ^{η} ἐκλῦσαι
32. *ἐσεσώκει] σεσώκει

364. οὐρανὸν εὐρύν] ὅτι Ζηνόδοτος γράφει αἰπύν. αἰπὺ δὲ ὄρος ἂν λέγοιτο, ὁ δὲ οὐρανὸς εὐρύς· παρήκει γὰρ τῇ γῇ.

365. ὀλοώτερος ἄλλων] ἐμοὶ τῷ Μενελάῳ δηλονότι. ἐνόμισαν γάρ τινες διὰ τούτου βλασφημεῖν τὸν Μενέλαον. ῥητέον οὖν ὅτι οὐ βλασφημεῖ ὁ ἥρως, ἀλλὰ νεμεσᾷ. ἀρετῇ γὰρ οἰκεία νέμεσις, οἵδέ τε πάσχων ἅπερ οὐκ ἔδει, καὶ νεμεσᾷ δικαίως ἐπὶ τῷ παρ' ἀξίαν σωζομένῳ.

366. *περισπᾶται ὁ ἦ· βεβαιωτικὸς γὰρ ἦν.

368. οὐδ' ἔβαλόν μιν] ὅτι Ἀμμώνιος ἐν τῷ πρὸς Ἀθηνοκλέα συγγράμματι ὁμοίως εἶχεν οὐδ' ἐδάμασσα. καὶ ἔστι συναίρων τοῖς λεγομένοις πρότερον (352) ὑπὸ τοῦ Μενελάου "δῖον Ἀλέξανδρον καὶ ἐμῆς ὑπὸ χερσὶ δαμῆναι."

ὅτι σαφῶς τὸ οὐδ' ἔβαλόν μιν σημαίνει ἀντὶ τοῦ οὐδὲ ἐπάταξα αὐτόν.

371. πολύκεστος] ὅτι πολύκεστος ὁ πολυκέντητος· ἐκ δὲ τούτου ὁ ποικίλος δηλοῦται διὰ τὰς ῥαφάς. καὶ ὁ τῆς Ἀφροδίτης κεστὸς ἀπὸ τούτου· "τῇ νῦν, τοῦτον ἱμάντα ποικίλον" (Il. 14, 219). ὁ δὲ Καλλίμαχος ὡς ὄνομα κύριον τοῦ ἱμάντος τὸν κεστὸν ἐκδέχεται.

*ἁπαλὴν εἶπεν ὀνειδίζων, ὡς ἐπὶ γυναικὸς οὐκ εἰωθυίας κόρυθα φέρειν.

373. *ἐν τῇ Ἀριστοφάνους καί νύ κεν ἐξείρυσεν.

374. Διὸς θυγάτηρ Ἀφροδίτη] πάλιν διαστολὴ πρὸ τούτου· ἀνέστραπται γὰρ ἡ περίοδος. ὀρθὴ δ' ἂν ἐγένετο οὕτως, εἰ μὴ ἄρ' ὀξὺ νόησε, καί νύ κεν εἴρυσέν τε.

375. ἶφι κταμένοιο] ἰσχυρῶς καὶ μετὰ βίας ἀναιρεθέντος, τουτέστι σφαγέντος· τὰ γὰρ τῶν θνησιμαίων ζώων δέρματα ἀσθενῆ ἐστὶν ὡς ἂν προδιαφθαρέντα ὑπὸ τῆς νόσου.

379, 380. ἔγχεϊ] ζητεῖται ποίῳ ἔγχει; ὃ γὰρ εἶχεν ἐξηκόντισεν· διὸ ἡ διπλῆ. λεκτέον οὖν ὅτι ἐπόρυσεν ἐφ' ὃ ἐξηκόντισεν ἔγχος ἐνεχόμενον τῇ ἀσπίδι καὶ τῷ θώρακι τοῦ Ἀλεξάνδρου, ἵνα τοῦτο ἐκσπάσας ἀνέλοι αὐτόν. οὕτως οὖν ληπτέον τὸ ἐξῆς, ἐπόρυσε ἔγχεϊ χαλκείῳ, εἶτα χωρὶς κατακτάμεναι μενεαίνων.

5. *νέμεσις] om.
*οἵδέ τε] οἵδεν
9. Verba πρὸς Ἀθηνοκλέα post συγγράμματι repetit.
10. εἶχεν Vill.] εἶχον
συναίρων Bekk.] συναιρῶν
19. *ὀνειδίζων] om.
21. ἐξείρυσεν] Fuit aut ἐξέρυσέν τε καὶ, aut ἐξείρρυσσε καὶ

387. ναιεταώσῃ] ναίω ναιέτης· καὶ ὡς κυνηγέτης κυνηγετῶ, οὕτως ναιέτης ναιετῶ ναιετᾷς, διαιρέσει ναιετάω. καὶ ἔδει μὲν ναιεταούσῃ, καί ἐστιν ὅμοιον τῷ "ἱδρῶσαι· ἦγον δέ" (Il. 11, 598).

390. στικτέον μετὰ τὸ ἴθι· αὐτοτελὲς γὰρ καὶ ἀσύνδετον πρὸς τὰ ἑξῆς. καὶ κατὰ τὸ τέλος τοῦ στίχου στικτέον τελείᾳ.

391. δεινωτοῖσι] ὅτι δεινωτὰ λέχη λέγει ἤτοι διὰ τὸ τετορνεῦσθαι τοὺς πόδας, ἢ διὰ τὴν ἔντασιν τῶν ἱμάντων· πρώτῃ γὰρ ἐχρῶντο τῇ διὰ τῶν ἱμάντων πλοκῇ.

392. οὐδέ κε φαίης] ὅτι ὡς πρός τινα λέγει μὴ ὑποκειμένου προσώπου, ἀντὶ τοῦ φαίη τις ἄν.

393. *διαστολὴ βραχεῖα ἐπὶ τὸ ἐλθεῖν· κοινὸν γὰρ τὸ οὐδέ κε φαίης.

395. ὅτι οὐ δεῖ ἀκούειν ἐκ τοῦ θυμὸν ὄρινεν ἐθύμωσεν, ἀλλὰ τὸ παρώρμησεν· δεξάμενος δέ τις τὸ πρότερον τοὺς ἑξῆς ἐνδιασκευάζει· διὸ ἀθετοῦνται ἀπὸ τοῦ καί ῥ' ὡς οὖν ἐνόησε ἕως τοῦ ὣς ἔφατ', ἔδδεισεν δ' Ἑλένη (418) στίχοι κγ'. πῶς γὰρ ἡ γραῖα παλαιγενεῖ εἰκασμένη περικαλλέα δειρὴν εἶχε καὶ ὄμματα μαρμαίροντα καὶ στήθεα ἱμερόεντα; καὶ βλάσφημα παρὰ τὸ πρόσωπόν ἐστι τὰ λεγόμενα "ἦσο παρ' αὐτὸν ἰοῦσα, θεῶν δ' ἀπόειπε κελεύθους, μηδ' ἔτι σοῖσι πόδεσσιν." καὶ εὐτελὴς κατὰ τὴν διάνοιαν "μή μ' ἔρεθε, σχετλίη." αἰρομένων δὲ αὐτῶν, καὶ τῆς συνεπείας γινομένης οὕτως· ὣς φάτο, τῇ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε· βῆ δὲ κατασχομένη ἑανῷ ἀργῆτι φαεινῷ σιγῇ, πάσας δὲ Τρῳὰς λάθεν, ἦρχε δὲ δαίμων.

400. ἦ πή με] τὸν ἦ σύνδεσμον περισπαστέον, τὸ δὲ πή ὀξυτονητέον διὰ τὸ με ἐγκλιτικόν· ἐνθάδε γὰρ τὸ πή οὐ πύσμα, ἀλλὰ ἀόριστον.

401. Μῃονίης] Μῄονες ἐκαλοῦντο οἱ Λυδοὶ τὸ παλαιὸν, εἶτα Λυδοὶ ἀπὸ Λυδοῦ τοῦ Ἄτυος, ὥς φησιν Ἡρόδοτος ἐν τῇ πρώτῃ (7).

402. *κἀκεῖθι] Ἀρίσταρχος μετὰ τοῦ ῑ, καὶ κεῖθι.

403. *πρὸ τούτου διαστολὴν θετέον· ἀνέστραπται γὰρ ὁ λόγος.

3. τῷ] τὸ
7. ἔντασιν] ἔνστασιν
πρώτῃ] Suspectum Lehrsio.
13. Cum hoc scholio conferendum schol. ad 4, 208.
18. παρὰ] καὶ παρὰ Friedl.
21. αἰρομένων Bekk.] ἐρωμένων
23. δαίμων] δαίμων, καλῶς ἔχει Lehrsius.
24. τὸ δὲ πή] τὸν δὲ πῆ
28. Ἡρόδοτος ἐν τῇ πρώτῃ ex cod. Wetstenii ap. Valcken. ad Herod. 7, 74.] ἡρωδιανὸς, omisso ἐν τῇ πρώτῃ
30. ἀνέστραπται] Vid. ad schol. v. 306.

404. ἀπ' ἄλλης ἀρχῆς τὸ οὕνεκα· ἀσύνδετος γὰρ πρὸς τὰ ἐπάνω ὁ λόγος. ὑποστικτέον δὲ ἐν ὑποκρίσει εἰς τὸ ἄγεσθαι, ἐπεὶ τῶν ἀνταποδοτικῶν ἐστὶ καὶ ταῦτα, οὕνεκα—τοὕνεκα.

406. ἀπόειπε κελεύθους] Ἀρίσταρχος ἀπόεικε διὰ τοῦ κ̄, καὶ χωρὶς τοῦ σ̄ κελεύθου. θαυμάσειε δ' ἄν τις ἡ ἑτέρα διὰ τοῦ π̄ πόθεν παρέδυ· οὔτε γὰρ ἐν ταῖς Ἀριστάρχειοις οὔτε ἐν ἑτέρᾳ τῶν γοῦν μετρίων ἐμφερόμενον πέφυκεν. καὶ οὐ μόνον ἐν ταῖς ἐκδόσεσιν, ἀλλὰ καὶ ἐν τοῖς συγγράμμασιν ἁπαξάπαντες οὕτως ἐκτίθενται. προσθήσειν μοι δοκῶ καὶ τὴν Ἀριστάρχου λέξιν οὕτως ἔχουσαν "τῆς δὲ εἰς τὰς θεοὺς ὁδοῦ εἶκε καὶ παραχώρει, μὴ βαδίζουσα εἰς αὐτούς."

411. *κείνου πορσανέουσα λέχος] τὸ ἑξῆς ἐστὶ κεῖσε δ' ἐγὼν οὐκ εἶμι κείνου πορσανέουσα λέχος.

414. βραχὺ διασταλτέον σχετλίη, μεθείω, ἀπεχθήρω. στικτέον δὲ φίλησα, ἐὰν ᾖ τὸ μητίσομαι ὁριστικόν· ἐὰν δὲ ὑποτακτικὸν συνεσταλμένον, κἀκεῖ διαστολὴν θετέον, ἵνα κοινὸν ᾖ τὸ μή ἐπίρρημα κατὰ πάντων, μή σε μεθείω, μὴ ἀπεχθήρω.

* μεθείω] μετωνυμικῶς, ἀντὶ τοῦ ἐαθῆναι ποιήσω καὶ μισηθῆναι.

415. *ἔκπαγλ' ἐφίλησα] Ἀρίσταρχος Ἰακῶς ἔκπαγλα φίλησα.

416. *ἔχθεα] ἐν τῇ ἑτέρᾳ τοῦ Ἀριστάρχου ἄχθεα, τινὲς δὲ ἄλγεα.

417. *ὄλναι] ὡς πύθηαι· μέσος γὰρ δεύτερος ἀόριστος.

419. *ἀργῆτι φαεινῷ] τοῦτο ἐκ παραλλήλου εἴρηται.

423. ἡ δ' εἰς ὑψόροφον] ἀπὸ τούτου ἕως τοῦ ἔνθα κάθιζ' Ἑλένῃ (426) στίχοις τέσσαρσι παράκεινται διπλαῖ περιεστιγμέναι, ὅτι Ζηνόδοτος μετετίθει τὴν συνέπειαν οὕτως "ἀμφίπολοι μὲν ἔπειτα θοῶς ἐπὶ ἔργα τράποντο, αὐτὴ δ' ἀντίον ἶζεν Ἀλεξάνδροιο ἄνακτος, ὄσσε πάλιν κλίνασα, πόσιν δ' ἠνίπαπε μύθῳ." ἁπρεπὲς γὰρ αὐτῷ ἐφαίνετο τὸ τῇ Ἑλένῃ τὴν Ἀφροδίτην δίφρον βαστάζειν. ἐπιλέλησται δὲ ὅτι γραῒ εἴκασται καὶ ταύτῃ τῇ μορφῇ τὰ προσήκοντα ἐπιτηδεύει.

424. φιλομμειδὴς Ἀφροδίτη] τὸ γὰρ ἀφροδίσια λύπης ἀπήλ-

1. οὕνεκα Friedl.] *νικήσας*
5. In textu *κελεύθους*, in marg. Ἀρίσταρχος *κελεύθου*.
9. *τῆς* Bekk.] *τί*
12. *πορσανέουσα*] Sic in textu.
20. Inter scholia *ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχειων ἄχθεα ἐγέγραπτο· τινὲς δὲ ἄλγεα γράφουσιν.*
29. *ἐπιτηδεύει* Vill.] *ἐπιτηδεύειν*

λακται. ἡ θεὰ γὰρ αὕτη ἐρώτων συνεργός· "ἐκ τοῦ γὰρ ἐσορᾶν γίγνετ' ἀνθρώποις ἐρᾶν."

426. κάθιζ'] συστέλλειν δεῖ τὸ ι καὶ προπαροξύνειν τὸ κάθιζε· ὅσα γὰρ παρῳχημένου χρόνου ῥήματα βραχυκατάληκτα ἐνέλειψε χρόνῳ κατὰ τὸ ἄρχον, ταῦτα συντιθέμενα ἀναδίδωσι τὸν τόνον. εἶχον συνεῖχον· ἀλλ' ἐπεὶ ἐγένετο ἔχε, ἀνεδόθη ὁ τόνος "νὺξ δὲ μάλα στυγερὴ κάτεχ' οὐρανόν" (Od. 13, 269). οὕτως ἶζε κάθιζε· "Νέστωρ τ' αὖ τοτ' ἔφιζε" (Od. 3, 411).

428. πλανώμενοί τινες ὑποστίζουσιν ἐν τῷ πολέμου διὰ τὴν ὑπόκρισιν· Νικάνωρ δὲ τελείαν δίδωσι καὶ τὸ ἑξῆς ἀπόλυτόν φησιν.

432. ἀπὸ τούτου ἕως τοῦ ἀφραδέως (436) ἀθετοῦνται στίχοι πέντε, ὅτι πεζότεροί εἰσι καὶ τοῖς νοήμασι ψυχροὶ καὶ ἀκατάλληλοι. ἅμα μὲν γὰρ λέγει "ἀλλ' ἴθι προκάλεσσαι," καὶ κατὰ τὸ συνεχὲς ἐπιφέρει "ἀλλά σ' ἔγωγε παύσασθαι κέλομαι" ὡς φροντιζούσης.

434. *παύσασθαι] Ἀρίσταρχος παύεσθαι.

στικτέον ἐπὶ τὸ κέλομαι· τὰ γὰρ ἑξῆς ἀπαρέμφατα ἀντὶ προστακτικῶν, πολέμιζε καὶ μάχου. ἐὰν δὲ βραχὺ διαστέλλωμεν ἐπὶ τὸ κέλομαι, ὄντως ἀπαρέμφατα.

436. *δαμασθῇς] Ἀρίσταρχος δαμήῃς.

440. *κεῖνον δ' αὖτις ἐγώ] βραχὺ διασταλτέον ἐπὶ τὸ ἐγώ· κοινὸν γὰρ ἀπὸ τοῦ ἐνίκησε τὸ νικήσω.

πάρα] ὀξυτονητέον τὴν παρά πρόθεσιν κατὰ τὴν ἄρχουσαν. ἔστι δὲ οὐκ ἀναστροφὴ, ἀλλὰ καθ' ὑπερβατὸν κεῖται, διαλελυμένου τοῦ πάρεισιν. εἰκότως τινές φασιν ὅτι αἱ προθέσεις, ὅταν κατὰ διάλυσιν λέγωνται πρὸς τὰ ἐπιφερόμενα, φυλάσσουσι τοὺς τόνους· "κατὰ ταῦρον ἐδηδώς" (Il. 17, 542), "κατὰ βοῦς Ὑπερίονος ἤσθιον" (Od. 1, 8) "ἀνὰ δ' ὁ πτολίπορθος Ὀδυσσεὺς ἔστη" (Il. 2, 278). ἐχρῆν οὖν καὶ τῆς παρά ἐνθάδε, εἰ πρὸς τὸ ἐπιφερόμενον συντάττεται, φυλάσσεσθαι τὸν τόνον· πρὸς οὓς πιθανῶς ὑπαντητέον ὅτι ἐκεῖνα μὲν ἅπερ ἐτίθεντο, καὶ ἐν τῇ συνθέσει φυλακτικὰ ἐγένετο τοῦ τόνου τῶν

1. ἡ θεὰ—ἐρώτων] *ἡ θέα (hoc accentu) γὰρ ἐρώτων ἐσορᾶν—γίγνετ'] εἰσορᾶν—γίνεται. Correctum ex aliis scriptoribus: de quo dixi ad scholion cod. Veneti B.

19. ἀπαρέμφατα Friedl.] ἀπαρέμφατον

20. δαμήῃς La Roche *Textkr.* p. 406.] δαμείῃς

προθέσεων, οἷον κασήσθιον, κατεδηδώς· οὐ γάρ τις τῶν προθέσεων τούτων ἐπὶ τὴν ἄρχουσαν συλλαβὴν ἑαυτῆς μετεβίβαζε τὸν τόνον. τὸ δὲ πάρεισι μετεβίβαζεν· ἔνθεν καὶ τὸ κατὰ διάλυσιν οὕτως ἀναγινώσκομεν.

443. οὐδ' ὅτε σε πρῶτον] Ἀλέξανδρος υἱὸς Πριάμου Τροίας βασιλέως, ὁ καὶ Πάρις ἐπικαλούμενος, Ἀφροδίτης ἐπιταγῇ, ναυπηγήσαντος αὐτῷ ναῦς Ἁρμονίδου ἢ κατά τινας τῶν νεωτέρων Φερέκλου τοῦ τέκτονος, μετὰ Ἀφροδίτης ἦλθεν εἰς Λακεδαίμονα, τὴν Μενελάου πόλιν· ἐνταῦθα δὲ τὴν Ἑλένην ὀφθαλμοβολήσας Ἀφροδίτης αἱρέσει βληθεῖσαν δι' ἀλληλομαχίαν Ἔρωτος, ἀναλαβὼν αὐτὴν σὺν τοῖς ἐν τῷ οἴκῳ χρήμασιν ἦλθεν εἰς Σιδῶνα τῆς Φοινίκης, κἀκεῖ γάμου συνουσίαν ποιησάμενος ἦκεν ἔχων αὐτὴν εἰς Ἴλιον· μητρόπολις δὲ αὕτη τῆς Τροίας· ἔκ τε τῆς ἐνταῦθα διὰ τῶν ὅρκων καὶ συνθηκῶν ἀδικίας αὐτῆς πάλιν Ἀφροδίτης αἱρέσει κομίσας οἴκαδε συνεκοιμήθη, ἀπροσδοκήτως πάλιν σύνευνον παρειληφὼς, ὡς δηλοῖ ὁ ποιητὴς διὰ τῶν ἑαυτοῦ λόγων.

445. νήσῳ δ' ἐν κραναῇ ἐμίγην] ὅτι οὐκ ἐν Σπάρτῃ ἐμίγη τῇ Ἑλένῃ, ἵνα μὴ περιφανὴς γένηται· καὶ ὅτι ἄδηλον πότερον ὄνομα κύριόν ἐστιν, ἀπὸ τοῦ κρανθῆναι ἐπ' αὐτῆς πρῶτον τὸν γάμον καὶ τελειωθῆναι τοῦ Ἀλεξάνδρου καὶ τῆς Ἑλένης, ἢ ἐπιθετικῶς τὴν τραχεῖαν· τινὲς γὰρ τὴν λεγομένην Ἑλένην πρὸς τῇ Ἀττικῇ εἶναι ἀπὸ τῆς Ἑλένης, ὅτι ταύτῃ πρώτῃ ἐπέβη.

446. ως σεο] ἐγκλιτικῶς ἀναγνωστέον· οὐ γὰρ ἀντιδιαστολὴ προσώπου. ἐκεῖνο δὲ ἐπὶ τοῦ Διὸς ὀρθοτονητέον "ὡς σέο νῦν ἔραμαι" ἀντιδιαστολὴ γὰρ πρὸς ἄλλα πρόσωπα. τὸ δὲ ὡς ἐὰν ἀντὶ τοῦ οὕτως κέηται, στικτέον ἐπὶ τὸ εὐνῇ· ἐὰν δὲ ἀναφορικὸν ᾖ, βραχὺ διαστελοῦμεν ἐπὶ τὸ εὐνῇ, ὡς μὴ ἀπηρτισμένου τοῦ λόγου ἕως ἂν ἐπενεχθῇ τὸ ὣς σεο νῦν ἔραμαι, τῶν λοιπῶν εἰς ἐπίτασιν ἀναφωνουμένων διὰ τῶν ἑξῆς. οὐδέποτε γὰρ οὕτως, φησὶ, κατέσχε με ἔρως ὡς νῦν ἐρῶ. τὸ δὲ ἕτερον ἔσται τοιοῦτον· οὐδέποτε με οὕτως κατέσχεν ἔρως, οὐδ' ὅτε τὴν ἀρχὴν ἥρπασά σε καὶ ἐν τῇ νήσῳ ἐμίγην· οὕτως νῦν ἐρῶ· ὅπερ ἐστὶν ἀσύνδετον. βέλτιον τὸ ἕτερον.

448. *τρητοῖσι] ὁ μὲν Ἀπίων κυρίως· ἱμᾶσι γὰρ ἐνετείνοντο αἱ

10. βληθεῖσαν] βληθεῖσαν ἑλένην
26. κέηται] κέειται
27. μὴ addidit Lehrsius.
ἀπηρτισμένου Vill.] ἀπηρτημένου
28. διὰ τῶν] ἵν' ᾖ τὸ Lehrsius.

κλῖναι· ὁ δὲ Ἡλιόδωρος εὖ τετραμμένοις. Ἀπολλώνιος δὲ ὁ τοῦ Χαίριδος διὰ τὸ κατὰ τὴν ἁρμογὴν τετρῆσθαι.

453. οὐ μὲν γὰρ φιλότητι] ὅτι ἀπηλλοτρίωντο τῷ Ἀλεξάνδρῳ οἱ Τρῶες. οὐκ ἂν οὖν λέγοι ἐν τοῖς ἐπάνω (56) ὁ Ἕκτωρ "ἀλλὰ μάλα Τρῶες ἐλεήμονες," ὡς Ζηνόδοτος γράφει, ἀλλὰ δειδήμονες.

457. νίκη μὲν] ὑπερέβη γὰρ τὸ μετρητὸν Ἀλέξανδρος, καὶ καλούμενος ἄπεστιν· καὶ Τρῶες μὲν ἔξουσι τὴν Ἀγαμέμνονος φωνὴν ἐπίκουρον, "εἰ δέ κ' Ἀλέξανδρον κτείνῃ" (284)· οὐ γὰρ ἐκτάνθη· Ἀχαιοὶ δὲ τὴν Ἕκτορος, "ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται" (92)· κρείσσων γὰρ ὤφθη Μενέλαος. καὶ γίνεται ἡ στάσις ῥητὸν καὶ διάνοια. διὸ ἀμφοτέρων εὔλογον αἰτίαν ἐχόντων ἐπίσκεψις καὶ πρὸς ὀλίγον ἐπίσχεσις γίνεται τοῦ πολέμου.

459. ἀποτινέμεν] ὅτι Ζηνόδοτος ἀποτίνετον. συγχεῖται δὲ τὸ δυϊκὸν σχῆμα ἐπὶ πλειόνων τιθέμενον· καὶ ἠγνόησεν ὅτι συνήθως τῷ ἀπαρεμφάτῳ ἀντὶ τοῦ προστακτικοῦ χρῆται Ὅμηρος, ἀποτινέμεν ἀντὶ τοῦ ἀποτίνετε.

460. *ὅτι ἡ μετά ἀντὶ τῆς ἐν.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀρισταρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ Νικάνορος περὶ τῆς Ὁμηρικῆς στιγμῆς.

ΕΙΣ ΤΗΝ Δ.

2. χρυσέῳ ἐν δαπέδῳ] πῶς τὸν οὐρανὸν πολύχαλκον λέγει καὶ πάλιν χρυσοῦν, ὡς τὸ χρυσέῳ ἐν δαπέδῳ; ἰστέον δὲ ὅτι, ὅταν μὲν στερεὸν βούληται λέγειν, τότε πολύχαλκόν φησιν, ὅταν δὲ καλόν, χρυσοῦν.

δάπεδον τὸ ὁμαλὸν χωρίον· γήπεδα δὲ τὰ ἐν ταῖς πόλεσι προκείμενα ταῖς οἰκίαις οἷον κηπίδια· οἰκόπεδα δὲ οἰκίας καταρριφθείσης εἰς ἔδαφος.

τὸ σφισι κατ' ἔγκλισιν ἀναγνωστέον νῦν, ἵνα εἰς ἁπλῆν ἀντωνυμίαν ἡ μετάληψις γένηται. τοῦτο δὲ τὸ παρατήρημα οἱ ἀπ' Ἀρι-

1. Ἡλιόδωρος] Ἰλιόδωρος
2. Χαίριδος Cobetus] Χάριδος
6. *Ἀλέξανδρος] om.
8. *φωνὴν ἐπίκουρον] ἐπίκουρον φωνὴν
*οὐ γὰρ ἐκτάνθη] om.
9. *κρείσσων τε γένηται—Μενέλαος] om.
14. ἠγνόησεν] Hoc falsum est: v. Duentzer. Zenod. p. 80.
28. καταρριφθείσης] καῖριφθεισ

στάρχου παραγγείλαντες διηνεκῆ τὴν ἀνάγνωσιν οὐκ ἐφύλαξαν. ἀληθὲς γάρ ἐστιν ὅτι ἡ σφίσιν ἐγκλιτικὴ οὖσα εἰς ἁπλῆν μεταλαμβάνεται, ὥσπερ καὶ ἐπὶ τοῦ "ἔτι γάρ σφισι κῦδος ὀρέξω" (Il. 17, 453), οὐ μὴν ὀρθοτονουμένη πάντως εἰς σύνθετον· ἔστι γὰρ ὅτε καὶ εἰς ἁπλῆν. εἰς μὲν οὖν σύνθετον οὕτως "αἵ ἑ μετὰ σφίσιν εἶχον" (Il. 22, 474), εἰς ἁπλῆν δὲ οὕτως "τοὺς δ' ἄναγον ζωοὺς σφίσιν ἐργάζεσθαι" (Od. 14, 272)· "σφίσι δ' αὐτοῖς δαῖτα πένεσθαι" (Od. 4, 683). οὐ γὰρ δὴ καὶ οἱ αἰχμάλωτοι ἄγονται ἑαυτοῖς ἐργάζεσθαι, ἀλλ' αὐτοῖς τοῖς ἄγουσιν· οὐδὲ οἱ μνηστῆρες τὰ πρὸς τὴν δαῖτα ἑαυτοῖς παρεσκεύαζον, ἕτεροι δὲ αὐτοῖς.

Ἥβη] ὅτι παρθένος ἡ Ἥβη· οἰνοχοεῖ γάρ· οὐκ ἄρα γεγάμηται ὑφ' Ἡρακλέους, ὡς ἐν τοῖς κατὰ τὴν νεκυίαν ἠθετημένοις (Od. 11, 602). δι' ἣν δὲ αἰτίαν οὐ πάρεστι Γανυμήδης, ὢν οἰνοχόος τοῦ Διός; ἔνιοι μέν φασιν ὅτι τοῦ Διὸς μόνου ὢν διάκονος, οὐκ ἐξῆν αὐτὸν κοινῶς πᾶσιν οἰνοχοεῖν· ἡ δὲ Ἥβη εὐλόγως, ὅτι κοινὴ πᾶσίν ἐστιν. ἔνιοι δέ φασιν ὅτι σκέψεως περὶ τῆς Ἰλίου πορθήσεως γινομένης εὐοικονομήτως ἄπεστι τοῦ συνεδρίου, ἵνα μηδὲν ἐναντίον γένηται διὰ τὴν πρὸς αὐτὸν χάριν. διὰ τί δὲ καὶ μόνῳ τῷ Διὶ Γανυμήδης ὑπηρετεῖ; ῥητέον οὖν ὅτι Ἥβη μὲν ἅπασι διακονεῖ, ἐπειδὴ τὸ θεῖον ἀεὶ νεάζει τε καὶ ἡβᾷ· τοῦτο γὰρ βούλεται αὐτοῖς ἥ τε ἀμβροσία, ἀβροσία τις οὖσα, καὶ τὸ νέκταρ, παρὰ τὸ νεάζειν λεχθέν. Γανυμήδης δὲ ὑπηρετεῖ μόνῳ τῷ Διί, ὅτι ὁ μὲν Ζεὺς πρῶτός ἐστι νοῦς, μόνος δὲ ὁ νοῦς οἰκεῖον ἔχει τὸ τοῖς μήδεσι γάνυσθαι· τοῦτο γὰρ ὁ Γανυμήδης.

3. ἐφνοχόει] κατ' ἔνια τῶν ὑπομνημάτων ἐνφνοχόει φέρεται· οἱ δέ φασι Ζηνοδότειον εἶναι τὴν γραφήν· ἐν μέντοι ταῖς ἐκδόσεσι χωρὶς τοῦ ν̄ εὕραμεν. διαφόρους δὲ δόξας ἐκτίθεται ἐν τῇ προσῳδίᾳ ὁ Ἡρωδιανός· ᾗ δὲ ἀρέσκεται, αὕτη ἐστίν. ἔθος ἐστὶ τῷ ποιητῇ ἀποβάλλειν πολλάκις τὸ κατ' ἀρχὴν ε̄ ἐπὶ τῶν παρῳχημένων, ἔσθ' ὅτε δὲ καὶ πλεονάζειν. πρόδηλοι δὲ αἱ χρήσεις· "στῆσε δ' ἐν Ἀμνισῷ" (Od. 19, 188)· "σκῆπτρον μέν τοι δῶκε" (Il. 9, 38)· τὸ γὰρ ἐντελὲς "τῷ δ' ἕτερον μὲν ἔδωκεν" (Il. 16, 250). οὕτως οὖν καὶ ἐκ τοῦ ἐναντίου· τὸ μὲν γὰρ ἀκόλουθόν ἐστι κίνημα ἀπὸ τοῦ

13. δι' ἣν δὲ] * ἐξήτηται δὲ δι' ἣν
16. * εὐοικονομήτως ἄπεστι] εὐοικονομήσω ἀπέστη
20. * ἀβροσία] om.
21. * λεχθὲν] γεγενημένον
25. Ζηνοδότειον—τὴν] τὴν ζηνοδότειον—τὴν
26. ἐν addidit Lehrsius.
30. Ἀμνισῷ] ἀμνησῷ

οἴγω ᾤγεν κατὰ παρατατικόν· "τὴν δ' οὐ θεὸς ἄλλος ἀνῷγεν" (Il. 14, 168)· ἀλλὰ τὸ κατὰ πλεονασμὸν τοῦ ε̄ "χηλοῦ δ' ἀπὸ πῶμ' ἀνέῳγεν" (Il. 16, 221). καὶ ἀπὸ τοῦ ἀνδάνω ἤνδανεν "ἀλλ' οὐκ Ἀτρεΐδῃ Ἀγαμέμνονι ἤνδανε" (Il. 1, 24), τὸ δὲ κατὰ πλεονασμὸν "οὐδ' Ἀγαμέμνονι πάμπαν ἐήνδανε" (Od. 3, 143). καὶ πάλιν "ἔσσατο δ' ἔκτοσθεν" (Il. 10, 334), εἶτα ἐν ἑτέροις "ἐέσσατο δέρμα" (Il. 10, 177). ἀπὸ δὲ τοῦ ὤθω βαρυτόνου τὸ "ὦσα παρέξ" (Od. 9, 488), καὶ ὦσε τὸ τρίτον, ὃ ἐν πλεονασμῷ φησὶ "κὰδ δ' ἄρ' ἐπὶ στόμ' ἔωσεν" (Il. 16, 410). οὕτως οὖν καὶ ἐπὶ τούτου· ἐν ἑτέροις γάρ φησιν "ᾠνοχόει δ' υἱὸς Μενελάου" (Od. 15, 141), ὅπερ κατὰ πλεονασμὸν τοῦ ε̄ ἀκολούθως πάλιν ἀπεφήνατο "νέκταρ ἐῳνοχόει."

7. *ἀργῳόνες] ἐπὶ μόνου θηλυκοῦ τάσσει αὐτὸ ὁ ποιητὴς, ἡ ἀργῳών.

14. βραχὺ διασταλτέον ἐπὶ τὸ τάδε ἔργα καὶ ὄρσομεν, βαρυνομένου τοῦ προτέρου συνδέσμου, περισπωμένου δὲ τοῦ δευτέρου. οἱ δὲ ὑποστίζοντες ἐπὶ τὸ ὄρσομεν πάλιν ὑπὸ τῆς πευστικῆς ὑποκρίσεως πλανῶνται, ἐπεὶ καὶ τοῖς δισταγμοῖς αὕτη συμβέβηκε πολλάκις. ἡμεῖς δὲ στίζομεν ἐπὶ τὸ ὄρσομεν· ὁ γὰρ λόγος, φραζώμεθ' ὡς ἔσται ταῦτα, πότερον πάλιν πόλεμον ποιήσομεν ἢ φιλίαν ἐμβαλοῦμεν.

17. εἰ δ' αὖτως] διὰ τοῦ π̄ αἱ Ἀριστάρχου, εἰ δ' αὖ πως. ἐν δὲ τῇ κατὰ Ἀριστοφάνη εἰ δ' αὖτως, διὰ τοῦ τ̄.

21. πλησίαι] ὅτι τὴν καθέδραν Ἥρας καὶ Ἀθηνᾶς ὑποτίθεται ἑκατέρωθεν πλησίον τοῦ Διός.

22. πρὸς τὸ ἀκέων, ὅτι ἀντὶ τοῦ ἀκέουσα ἐξενήνεκται. οὐ γάρ ἐστιν ἀντὶ τοῦ ἡσύχως, ὡς ὁ Ἀριστόνικος ἐν τοῖς σημείοις φησὶν, ὁμοίως τῷ "ἀλλ' ἀκέων δαίνυσθε" (Od. 21, 89)· ὁ γὰρ Ἀπολλώνιος ἐν τῷ περὶ μετοχῆς ἀποδείκνυσιν ἀκριβέστατα ἐκ τῆς συντάξεως ὅτι οὐ δύναται εἶναι ἐπίρρημα μεσότητος.

23. *σκυζομένη] ὀργιζομένη· καὶ γὰρ οἱ ὀργιλώτατοι Σκύθαι καλοῦνται.

11. κατὰ Bastius ad Greg. p. 69] μετὰ
13. *μόνου] om.
22. εἰ δ' αὖτως] Sic A in scholio et in textu εἰ δ' αὔτως sine spiritu, et in marg. inter. Ἀρίσταρχος εἰ δ' αὖ πως.
23. ὅτι addidit Cobetus, nisi scribendum sit πρὸς τὴν καθέδραν—ὅτι ὑποτίθεται—.
27. τῷ Vill.] τὸ
30. *καὶ γὰρ] γὰρ om.

26. δασυντέον τὸ ἅλιον· παρὰ γὰρ τὴν ἁλός γενικὴν κτητικῶς μετήχθη. σημαντικὸν δέ ἐστι τοῦ ματαίου, ἐπεὶ οὐκ εὔχρηστον εἰς πόσιν τὸ θαλάσσιον ὕδωρ· τὸ γοῦν ἐναντίον πότιμον καὶ ποταμὸς λέγεται.

27. ἷδρῶθ'] αἰτιατικὴ ἐστι κατ' ἔκθλιψιν εἰλημμένη, ἔνθεν προπερισπῶμεν· ὀξύνεται γὰρ ἡ εὐθεῖα ὁμοίως τῷ εὐρώς. τὸ δὲ ἵδρωσα οὐκ ἀναγκαῖον συστέλλειν· δύναται γὰρ καὶ ἐκτείνεσθαι καὶ μηδὲν λυμαίνεσθαι τῷ μέτρῳ. ἔφαμεν δὲ τὸν ποιητὴν ἀδιαφόρως καὶ φυλάσσειν τὸν χρόνον τῶν παρῳχημένων καὶ ἀποβάλλειν. δύναται μέντοι καὶ ἷδρῶ τε εἶναι τὸ πλῆρες, ἐπεὶ σύνηθες αὐτῷ οὕτως τὴν αἰτιατικὴν προφέρεσθαι "ἷδρῶ ἀπεψύχοντο" (Il. 11, 621).

32. διασταλτέον ἐπὶ τὸ ῥέζουσιν· ἀνέστραπται γὰρ ἡ περίοδος.

37. ἔρξον ὅπως ἐθέλεις] ὡς θέλεις πρᾶξον, μή πως ἡ ἀμφιβολία αὕτη ἐμοὶ καὶ σοὶ πόλεμος γένηται. οἱ δὲ στίζοντες εἰς τὸ νεῖκος λείπειν φασὶ τὴν διά, καὶ τὸ γένηται ὑποτακτικὸν ἀντὶ τοῦ γένοιτο ἢ γενέσθω.

43. *ἐγὼ σοί] ὀρθοτονητέον τὴν σοί· δύναται γὰρ ἀντιδιαστολὴ εἶναι.

ἑκὼν ἀέκοντί γε θυμῷ] τὸ δοκοῦν ἀπεμφαίνειν ἐν τῷ στίχῳ οὐδεμίαν ἔχει διόρθωσιν ἐκ διαστολῆς· ὁ μέντοι λόγος αἱρεῖ διαστέλλειν ἐπὶ τὸ ἑκών. λέγει δὲ ἑκὼν μέν, ἐπεὶ μὴ ἐβιάσθη, ἀλλὰ εἶξεν, ἀέκοντι δὲ θυμῷ, ἐπεὶ μὴ προείλετο, ἀλλ' ἀπροαιρέτως τὴν πόλιν προΐεται τῇ γαμετῇ. σχεδὸν δὲ πᾶσι συμβαίνει τοῦτο τοῖς δύο ἀτόπων προκειμένων τὸ ἔλαττον αἱρουμένοις.

ἄλλως. καὶ γὰρ ἐγώ σοι δῶκα—θυμῷ] πολλὰ παρὰ προαίρεσιν τῆς ψυχῆς πράττομεν πρὸς τὸ κεχαρισμένον τῶν πέλας, ὡς εἰ ἔλεγε, κατεδεξάμην μὲν ἐγὼ, τὰ δὲ τῆς προαιρέσεως οὔ πώ μοι κατένευσεν.

ἐν ἄλλῳ. ἀέκοντί γε θυμῷ] βιαζόμενος, ὥσπερ οἱ πλέοντες ἑκόντες μὲν ἀποβάλλουσι τὰ φορτία, ἵνα σωθῶσιν, ἄκοντες δὲ ζημιοῦνται. δοκεῖ δέ πως ἐναντίον εἶναι τὸ ἑκὼν ἀέκοντί γε θυμῷ· διὸ καλῶς ὁ Τρύφων, φησὶ, συναλείψας ἐν τῷ δῶκα συνάπτει τὸ ἑκών, ἵν' ᾖ δῶκ'

8. ἔφαμεν] Ad 4, 3.
14. *πόλεμος] om.
στίζοντες] στείζοντες
νεῖκος] νίκος
29. ἐν ἄλλῳ] Lemma praefixum δῶκα ἑκὼν, licet lemma sequatur ἀέκοντί γε θυμῷ

ἀέκων ἀέκοντί γε θυμῷ. ἢ ἑκὼν ἐγώ σοι ἔδωκα ἀεκούσης μου τῆς διανοίας, ὅ ἐστι καίπερ μὴ βουλόμενος.

45. ναιετάουσι] ὅτι τῷ ἐνεργητικῷ ἀντὶ τοῦ παθητικοῦ κέχρηται, ἀντὶ τοῦ ναιετάονται.

46. περὶ κῆρι] τὸ περί φυλάσσει τὸν τόνον, ὅτε σημαίνει τὸ περισσῶς, ὁμοίως τῷ "ὡς περὶ μὲν νόον ἐστί, περὶ δ' ἱρὰ θεοῖσι" (Od. 1, 66). τὸ δὲ κῆρι οὐδέτερον ὅταν ᾖ, προπερισπᾶται (ἐκ γὰρ τοῦ κέαρι συνήλειπται), ὅταν δὲ θηλυκὸν ᾖ, ὀξύνεται. ἐνθάδε δὲ οὐδέτερόν ἐστι· προπερισπασθήσεται ἄρα.

*Ἴλιος ἱρή] ὅτι θηλυκῶς τὴν Ἴλιον.

Ἴλιος ἱρή] διὰ παντὸς θηλυκῶς, ἅπαξ δὲ οὐδετέρως "Ἴλιον αἰπὺ ἔλοιεν Ἀθηναίης διὰ βουλάς" (Il. 15, 71).

52. Ἄργος τε Σπάρτη τε] ὅτι τούτων τῶν πόλεων ἕνεκα συνεμάχουν τοῖς Ἕλλησιν, οὐ διὰ τὸ ἀποκεκρίσθαι ὑπὸ Ἀλεξάνδρου τὸ κάλλος αὐτῶν, ὅπερ οὐκ οἶδεν Ὅμηρος.

53. πρὸ τέλους ἡ ὀξεῖα τοῦ διαπέρσαι, ἵν' ᾖ ἀπαρέμφατον ἀντὶ προστακτικοῦ. δείκνυσι δὲ τῶν ὀργιζομένων τὸ ἦθος ἀλόγιστον, οἳ πόθῳ τῶν παρὰ χεῖρα τῶν μειζόνων ἀμελοῦσιν.

54. μεγαίρω] ἀντὶ μέλλοντος τοῦ φθονήσω. ἀνθυπάγει οὖν αὐτῷ τὸ φθονέω.

55, 56. ἀθετοῦνται ἀμφότεροι, ὅτι τὴν χάριν ἀναλύουσιν, εἰ καὶ μὴ προδεηθεὶς δύναται τοῦτ' ἔχειν.

56. *φέρτερός ἐσσι] φέρτατός ἐσσι.

59. πρεσβυτάτην] τιμιωτάτην νῦν. πλαγιασθεὶς δὲ ἐντεῦθεν Ἡσίοδος νεώτερόν φησι τὸν Δία (Th. 454).

*ὅτι οὐ καθ' ἡλικίαν λέγει, ἀλλ' ἐν τιμῇ.

ἀγκυλομήτης] ὁ καὶ τὰ τοῖς ἄλλοις ἀγκύλα μήσασθαι εἰδὼς, ἢ ὁ περὶ τῶν δυσευρέτων καὶ σκολιῶν εὐχερῶς δυνάμενος βουλεύεσθαι, συνετός.

60. διασταλτέον ἀμφότερον, γενεῇ τε, κέκλημαι. φησὶ γὰρ διὰ ταῦτα πάντα ἔντιμος εἶναι, διά τε τὴν εὐγένειαν καὶ διότι Διὸς γυνὴ τοῦ πάντων βασιλέως.

8. συνήλειπται Bekkerus] συνείληπται

13. συνεμάχουν] συνεμάχει Vill. V. Bast. ad Greg. p. 776.

22. προδεηθεὶς] προσδεηθεὶς

23. Lemma φέρτερός ἐσσι deest.

24. πλαγιασθεὶς] πλανηθεὶς Cobetus.

* ὅτι γενεῇ ἀντὶ τοῦ τῷ γένει· ἐκ Κρόνου γάρ.

64. ὅτι τὸ ἐπιτεῖλαι ἀντὶ προστακτικοῦ κεῖται. τὸ δὲ πειρᾶν εἰ μὲν ἀπαρέμφατον σημαίνει, διαστολὴν ἕξει πρὸ αὐτοῦ (ἤρτηται γὰρ τοῦ προτέρου λόγου)· εἰ δὲ ἀντὶ προστακτικοῦ αὐτὸ κέοιτο τοῦ πείρα, ὑποστικτέον.

66. οὐκ ἀσεβεῖ, φησίν, ὁ Πάνδαρος, εἰ ἡ Ἀθηνᾶ συνεβούλευσε καὶ ὁ Ζεὺς ἀπέσταλκεν. ῥητέον οὖν ὅτι ὁ μὲν Ζεὺς εἰδὼς τοὺς ὅρκους κακῶς γεγενημένους (οὐδὲ γὰρ ἑτέρως Τρῶες ἢ ἐπὶ τοῖς ἀλλοτρίοις ὤμοσαν) διὰ τοῦτο ἐσπούδασε λυθῆναι τὰς ἀδίκους συνθήκας. Ἀθηνᾶν δὲ νῦν ὑπολῃπτέον τὸν λογισμὸν αὐτὸν τὸν τοῦ Πανδάρου, καὶ ὅτι αὐτὸς πρὸς ἑαυτὸν ταῦτα διελογίζετο· ἄπιστοι γὰρ Λυκάονες, ὡς καὶ Ἀριστοτέλης μαρτυρεῖ. ἄλλοι δὲ καὶ αὐτοῖς τοῖς Ὁμήρου λύοντες φασὶ προειρηκέναι τὸν ποιητὴν "πειρᾶν τ' αἴ κε θέλῃσιν," οὐ πείθειν.

ὑπερκύδαντας] τὰ εἰς δας ὑπὲρ δύο συλλαβὰς ἰσοσυλλάβως κλίνονται οἷον Σακάδας Σακάδα, Τιμαχίδας Τιμαχίδα, Σουίδας Σουίδα, Λεωνίδας Λεωνίδα, Χαρμάδας Χαρμάδα. δεῖ δὲ προσθεῖναι χωρὶς εἰ μὴ ἀπὸ βαρυτόνου ῥήματος γένωνται· ἐκεῖνα γὰρ περιττοσυλλάβως κλίνονται ἤγουν διὰ τοῦ ντ, οἷον οἶδα Οἴδας Οἴδαντος, μείδω Μείδας Μείδαντος, χαρίζομαι Χαρίδας Χαρίδαντος, φείδομαι Ἀφείδας Ἀφείδαντος. τούτων οὕτως ἐχόντων, τὸ ὑπερκύδαντας Ἀχαιούς μήποτε ἀπὸ βαρυτόνου ῥήματός ἐστι τοῦ κυδαίνω τοῦ σημαίνοντος τὸ δοξάζω. γέγονε κυδάεις κυδάεντος κυδάεντας καὶ ὑπερκυδάεντας. λέγουσι δέ τινες ὅτι ἐν τοῖς ἐπιμερισμοῖς λέγει ὁ Ἡρωδιανὸς ὅτι μετοχή ἐστιν· λέγει γὰρ ὅτι ἐστὶ κυδαίνω ὑπερκυδαίνω, ἐκύδανα κυδάνας ὑπερκυδάνας ὑπερκυδάναντας καὶ κατὰ συγκοπὴν ὑπερκύδαντας. ἐν δὲ τῷ ὀνοματικῷ λέγει ὅτι ὄνομά ἐστι. καὶ μᾶλλον ὄνομα δεῖ λέγειν αὐτὸ ἤπερ μετοχήν· τῷ γὰρ ὀνοματικῷ μᾶλλον

1. γενεῇ] om.

5. πείρα, ὑποστικτέον Cobetus] πειρᾶτο στικτέον

6. Hoc scholion ad v. 88 cum lemmate εἴ που ἐφεύροι.

16. Σακάδας Σακάδα] ἀκάδας ἀκάδα. Eadem corruptela apud Athen. 9 p. 388 b quod est in codice ἀκαμασσακάδας (i. e. Ἀκάμας, Σακάδας) in apographis corruptum in Ἀκάμας Ἀκάδας. Alia huius nominis exempla v. in Thes. vol. 7 p. 25. Utraque scriptura est apud Choerob. p. 34, 26. 41, 14.

17. Λεονείδας Λεονείδα A. Correxi et Choerob. p. 34, 26.

19. μείδω ex Choerob.] μειδιῶ

23. κυδίεις κυδίεντος κυδίεντας καὶ ὑπερκυδίαντας A. Correctum ex Choerob. et Eustath. p. 445, 30. κυδήεις et reliqua per ῆ in Etym. M. p. 779, 29.

πιστευτέον ἢ τοῖς ἐπιμερισμοῖς. τοῦτο γὰρ ὡμολόγηται εἶναι Ἡρωδιανοῦ. ἀλλ' εἰσὶ καὶ ψευδεπίγραφοι.

70. ἐς στρατὸν ἐλθέ] ὅτι τὸ μὲν ἐλθέ προστακτικὸν, τὸ δὲ πειρᾶν ἀπαρέμφατον ἀντὶ τοῦ πείρα προστακτικοῦ.

74. *ὅτι ὡς περὶ ὄρους τοῦ Ὀλύμπου λέγει.

75. οἷον δ' ἀστέρα] τούτους διάττοντας καλοῦσι. δοκοῦσι δὲ ἀπὸ συστροφῆς ἀέρος γίνεσθαι· ὅθεν καὶ ἀνέμους δηλοῦσιν. σπινθηρίζουσι δὲ, καὶ πρὶν εἰς γῆν πεσεῖν ψυχροτέρῳ ἀέρι λύονται. ἐὰν δὲ δηλοῖ τὸ ἄπωθεν ἢ ἄπο, βαρύνεται.

79. κὰδ δ' ἔθορ'] τὸ ἐνεργὲς καὶ σφοδρὸν τῆς θεοῦ ἡ πρόθεσις δηλοῖ. τὸ θάμβος δὲ οὐδετέρως παρ' Ὁμήρῳ, Σιμωνίδης δὲ ἀρσενικῶς.

83. ὁ λόγος στίζει ἐπὶ τὸ ἔσσεται· εἴρηται γὰρ καὶ ἐν τῇ πρὸ ταύτης ῥαψῳδίᾳ (428) ὅτι οὐ πάντως ἐπὶ τῶν πευστικῶς λεγομένων ὑποστικτέον. οὕτως Νικάνωρ, εἰ καὶ ἀπαντᾷ, φησὶν, ἡ ὑπόκρισις.

88. Πάνδαρον ἀντίθεον διζημένη] τούτῳ καὶ τῷ ἑξῆς παράκεινται διπλαῖ περιεστιγμέναι, ὅτι Ζηνόδοτος τούτου μὲν τὸ ἀκροτελεύτιον οὕτως γράφει "εὗρε δὲ τόνδε," τὸν δὲ δεύτερον οὐδὲ γράφει, δοκῶν ἀνθρώπινον τὸ ζητεῖν εἶναι· καταλέλοιπε δὲ τὸ διζημένη. ἀγνοεῖ δὲ ὅτι ὁμοιωθεῖσα Λαοδόκῳ ἀνάγκην εἶχεν ἀνθρώπινα ἐπιτηδεύειν.

93. πίθοιο] διὰ τί ἡ Ἀθηνᾶ εἰς σύγχυσιν τῶν ὅρκων οὐ τῶν Τρώων τινὰ ἐπελέξατο, ἀλλὰ τῶν ἐπικούρων; καίτοι κεχαρισμένος ἄν τις ἐγένετο Ἀλεξάνδρῳ, εἰ τῶν οἰκείων ἦν. καὶ διὰ τί τῶν ἐπικούρων τὸν Πάνδαρον ἐπελέξατο; καί φησιν ὁ Ἀριστοτέλης ὅτι τῶν μὲν Τρώων οὐδένα, διότι πάντες αὐτὸν ἐμίσουν, ὡς ὁ ποιητής φησιν, "ἶσον γάρ σφιν πᾶσιν ἀπήχθετο κηρὶ μελαίνῃ" (Il. 3, 454)· τῶν δὲ ἐπικούρων τὸν Πάνδαρον ἐπελέξατο ὡς φιλοχρήματον (σημεῖον δὲ ἡ τῶν ἵππων αὐτοῦ ἐπ' οἴκου κατάλειψις, ἵνα μὴ δαπανᾷ Il. 5, 192), καὶ ὅτι φύσει ἐπίορκος· τὸ γὰρ ἔθνος ἔτι καὶ νῦν δοκεῖ εἶναι, ὅθεν ἐκεῖνος ἦν, ἐπίορκον. τινὲς δὲ οὕτως λύουσιν, ὅτι ἀρίστου ἦν χρεία τοῦ δυναμένου τρῶσαι καὶ καταστοχάσασθαι, οὐκ ἦν δὲ ἐν τῷ Τρωϊκῷ μέρει

2. Ἡρωδιανοῦ] V. Lentz. Praef. ad Herodian. vol. 1 p. xxviii.
8. ἐὰν δὲ —] Pertinet ad v. 77 τοῦ δὲ πολλοὶ ἀπὸ σπινθῆρες ἴενται.
11. Σιμωνίδης δὲ] *παρὰ δὲ Σιμωνίδῃ
15. *ἀπαντᾷ] ἀπατᾷ
21. διὰ τί] *Πορφυρίου. διὰ τί
24. Ἀριστοτέλης] ἀριστ
26. πᾶσιν] om.
28. ἐπ' οἴκου] ἐπι οἴκ
καὶ ὅτι] καὶ om.

τις ἢ Ἀλέξανδρος μόνος καὶ Πάνδαρος εὐφυὴς οὕτως ὡς καὶ ἐπιφωνῆσαι τὸν ποιητὴν "Πάνδαρος ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν" (Il. 2, 827), ὃ σημαίνει τὴν τοξικήν. ὡς ἄριστον οὖν αὐτὸν ἐπελέξατο τοξότην.

94. ἐπιπροέμεν] Ἀρίσταρχος ἀναστρέφει, ἵνα τὸ ἐξῆς γένηται ἐπὶ Μενελάῳ, ὡς καὶ ἐπ' ἐκείνου "ἦ καὶ ἐπ' Ἀντινόῳ ἴθυνεν" (Od. 22, 8). Μενεκράτης δὲ ὁ Μιλήσιος ὑφ' ἓν, ἐπιπροέμεν, ὁμοίως τῷ ἐπιπροΐηλε καὶ ἐπιπροέηκε, ἵν' ἔμφασις μᾶλλον γένηται.

96. βασιλῆϊ] πρὸς καιρὸν ἡ Ἀθηνᾶ βασιλέα κέκληκε τὸν Ἀλέξανδρον ἕνεκα τοῦ μᾶλλον πεῖσαι αὐτὸν ἐλπίδι μείζονος δωρεᾶς.

97. τινὲς ἀναστρέφουσι τὴν παρά, κακῶς· οὐδέποτε γὰρ ἀναστρέφεται πρόθεσις γενικῇ συντασσομένη πτώσει· ἔστι γὰρ τὸ ἐξῆς παραφέροιο.

99. πυρῆς ἐπιβάντ'] οὐκ ἀναγκαῖον ἀναστρέφειν, ἵνα γένηται τὸ ἐξῆς ἐπὶ πυρῆς βάντα· ἔμφασις γὰρ γίνεται τῇ μετοχῇ, εἰ συνταγείη ἡ πρόθεσις.

ὅτι οἱ ἀρχαῖοι τὰ σώματα οὐκ ἔθαπτον ὑπὸ γῆν, εἰ μὴ πρότερον ἔκαυσαν· εἶθ' οὕτως τὴν τέφραν σὺν τοῖς ὀστοῖς ἐχώννυον ἐν ἀγγείῳ τινὶ ἀποθέμενοι.

100. *πρὸς τὸ σχῆμα, ὅτι ἀντὶ τοῦ ἐπὶ τὸν Μενέλαον.

101. *Λυκηγενέϊ] ὅτι ἀπὸ τῆς Τρωϊκῆς Λυκίας, ἐξ ἧς ἐστὶν ὁ Πάνδαρος.

Λυκηγενέϊ] φασὶν ὅτι λαθεῖν σπουδάζουσα ἡ Λητὼ τὴν τῆς Ἥρας ζηλοτυπίαν εἰς Λυκίαν ἀπηλλάγη, ὡς καὶ Ἄγνων ἐν τῇ δεκαστίχῳ λέγει.

τεσσάρων δὲ τεχνῶν ἔφορός ἐστιν ὁ θεὸς, τοξικῆς ἰατρικῆς μαντικῆς καὶ μουσικῆς.

103. οἴκαδε νοστήσας] ὅτι ἡ ὑπὸ τῇ Ἰδῃ Λυκία τὸ παλαιὸν Ζέλεια ἐκαλεῖτο διὰ τὸ τὸν Ἀπόλλωνα ἐν αὐτῇ λίαν εὐσεβεῖσθαι.

105. ἰξάλου] ἤτοι τελείου, ἢ πηδητικοῦ καὶ ὁρμητικοῦ παρὰ τὸ ἱκνεῖσθαι, ἢ ὡς ὁ Πορφύριος λέγει, τὸν τομίαν. συμβαίνει γὰρ, φησὶ, πολλάκις τῶν ἀγρίων αἰγῶν τοὺς τελείους διωκομένους ἐν ταῖς θήραις κατὰ τὴν παράτριψιν ἀποβάλλειν τὰ γεννητικὰ μόρια.

106. ὅτι οὐ πρηνεῖς, ἀλλ' ἀνατρεπομένους ὑπὸ τῆς πληγῆς συνίστησι, διὰ τὰς βίας τῶν βαλόντων.

12. Haec sic supplet Lehrsius ἔστι νῦν τῇ γενικῇ—. πρόθεσις συναληλιμμένη. ἀλλ' οὐδὲ 23. *τὴν τῆς] τῆς om.

109. *κέρα*] *ἀποκοπή ἐστι τοῦ κέρατα· Ἡρωδιανὸς συναλοιφὴν τοῦ κέραα. τὸ δὲ χρέεα χρέα συγκοπή.*

ἑκκαιδεκάδωρα] *δῶρον καλεῖται ὁ παλαιστὴς, ὅ ἐστιν ἔκτασις τῶν τῆς χειρὸς τεσσάρων δακτύλων. ἢ καὶ ἑκκαίδεκα ἐνιαυτῶν. ὧρος γὰρ ὁ ἐνιαυτός· ὅπερ ἄτοπον.*

καὶ ποῦ ἐστὶ κέρας δύο ἥμισυ πηχῶν; ἀλλ' οὐκ ἐπὶ ἑκατέρου φησὶν, ἀλλ' ἀμφοτέρων. Ἀλέξανδρος δέ φησιν ἐν Δήλῳ κεῖσθαι κέρατα ἀπὸ τῆς ἐρυθρᾶς θαλάσσης, κριοῦ μὲν δίπηχυ καὶ δακτύλων ὀκτὼ, ἰσοσταθμούμενα δὲ μνῶν εἴκοσι ἥμισυ, τράγου δὲ πηχῶν δύο καὶ σπιθαμῆς καὶ σταθμοῦ ἴσου.

* *Ἰακῶς τὸ πεφύκει.*

112. *ἐπὶ τὸ τανυσσάμενος βραχὺ διασταλτέον· πρὸς γὰρ τῇ γῇ ἀνέκλινεν αὐτὸ πρότερον ἐντείνας τὴν νευράν.*

ποτὶ γαίῃ ἀγκλίνας] *πρὸς τῇ γῇ ἐπερείσας ἑαυτὸν, δηλονότι τοῦ μὴ ὁραθῆναι ὑπὸ τῶν Ἑλλήνων.*

117. *ἀθετεῖται, ὅτι νῦν ἁπλῶς ἄβλητον καὶ μηδέποτε βεβλημένον καὶ ἀφειμένον, οὐχ Ὁμηρικῶς· τὸ γὰρ βάλλειν Ὅμηρος οὐκ ἐπὶ τοῦ ψιλῶς προέσθαι τίθησιν. καὶ διὰ τοῦ μελαινέων ἕρμ' ὀδυνάων οὐχ ὃ θέλει λέγει· ἕρμα γὰρ καθ' Ὅμηρον ἔρεισμα καὶ κώλυμα, οὐ γίνεται δὲ ὀδυνῶν κώλυμα τὸ βέλος.*

* *μελαινέων*] *οὕτω διὰ τοῦ ε̄ διὰ τὸ μέτρον.*

123. *νευρὴν μὲν μαζῷ*] *ὅτι Ζηνόδοτος πρὸ τούτου τὸν ἑξῆς τέταχεν, οὕτως ποιήσας "ἕλκε δ' ὁμοῦ γλυφίδας καὶ νεῦρα βόεια·" εἶτα "αὐτὰρ ἐπειδὴ κυκλοτερὲς μέγα τόξον ἔτεινε, νευρὴν μὲν μαζῷ πέλασεν, τόξῳ δὲ σίδηρον," εἶτα "λίγξε βιός," οὐ νοήσας ὅτι διὰ τῶν παρεπομένων, τοῦ "ἕλκε δ' ὁμοῦ" καὶ "νευρὴν μὲν μαζῷ πέλασεν," συνίστησι τὴν ἔντασιν γεγενημένην, εἶθ' ἑξῆς λέγει, ἐπειδὴ ἐνετάθη καὶ κυκλοτερὲς ἐγένετο, ἀπέστειλε τὸ βέλος.*

126. *ἐπιπτέσθαι*] *παροξυτονητέον· ἔστι γὰρ μέσος δεύτερος ἀόριστος, ὁμοίως τῷ "τότ' ἂν οὔ τοι ἀποσχέσθαι" (Od. 9, 211), καὶ τὸ ἁπλοῦν αὐτοῦ ἐστὶ πτέσθαι. πᾶν δὲ ἀπαρέμφατον συντιθέμενον φυλάσσει τὸν αὐτὸν τόνον.*

1. Herodiani sententia rectius et plenius exponitur in scholio ad 11, 385 : v. Lehrs. ad Herod. p. 221.

9. *ἰσοσταθμούμενα*] Hoc verbo usus est Suidas *ἄγουσα* per *ἰσοσταθμοῦσα* interpretatus. Frustra igitur Bekkerus *σταθμούμενα*.

εἴκοσι ἥμισυ] Litteris expressum in A $\overline{κς}$.

128. βραχὺ διασταλτέον ἐπὶ τὸ ἀθάνατοι· κοινὸν γὰρ ἐπὶ τὸ ἑξῆς τὸ οὐκ ἐλάθετον.

129. *οὕτως μετὰ τοῦ τ̄, ἤ τοι.

133. χρύσειοι σύνεχον] ὅτι καθ' ὃν τόπον ἐζώννυντο, διπλοῦς ἦν ὁ θώραξ, καθὸ ὑποβέβλητο τῷ στατῷ θώρακι τὸ λεγόμενον ζῶμα, καθῆκον μέχρι τῶν γονάτων ἀπὸ τῶν λαγόνων.

135. διὰ μὲν ἄρ ζωστῆρος ἐλήλατο] πρὸς τὸν ὁπλισμόν· πρῶτος γάρ ἐστι πρὸς τὴν ἐπιφάνειαν ὁ ζωστήρ, καὶ κατὰ τοῦ στατοῦ καὶ κατὰ τοῦ ζώματος· ἀμφότερα δὲ ταῦτα θώρακα καλεῖ, διόπερ ὅταν τοῦ ἑτέρου μνησθῇ, τὸ ἕτερον παραλείπει· ἔνδοθεν δὲ τούτων πρὸς τῷ χρωτὶ κατὰ τὰ κοῖλα καὶ τὰς λαγόνας ἡ μίτρα.

137. *ἔρυμα] ἡ Ζηνοδότου καὶ Ἀριστοφάνους ἔλυμα εἶχον, οἱονεὶ εἴλυμα.

138. ἥ οἱ πλεῖστον ἔρυτο] ἡ διπλῆ πρὸς τὸ ζητούμενον ἐπὶ τῆς Ἀχιλλέως ἀσπίδος "τὴν δὲ μίαν χρυσῆν, τῇ ῥ' ἔσχετο" (Il. 20, 272), καθὸ ἡμαύρωσε τὴν φορὰν τοῦ δόρατος, ὅμως μέντοι διεκόπη, καθάπερ νῦν ἐπὶ τῆς μίτρας λέγει. τὸ δὲ ἔρυτο ψιλοῦται καὶ προπαροξύνεται· οὕτως Ἀρίσταρχος, καὶ ἐπείσθη αὐτῷ ἡ παράδοσις. ἔστι γάρ τι ῥῆμα ἐρύω· τούτου ὁ παρατατικὸς παθητικὸς γίνεται εἰρυόμην, τὸ τρίτον εἰρύετο, ὃ ἐν συναλοιφῇ καὶ ἐνδείᾳ τοῦ ῑ ἐγένετο ἔρυτο.

139. *τὸ ἐπέγραψε χωρὶς τοῦ ν̄. ἐν δέ τισι χαλκός γράφεται. οὐκ ἀρέσκει δὲ Ἀριστάρχῳ.

ἡ διπλῆ, ὅτι Ζηνόδοτος γράφει χαλκός. ἐπιλέλησται δὲ ὅτι ἐν τοῖς ἐπάνω (123) σιδηρᾶν τὴν ἀκίδα τοῦ βέλους εἶπεν εἶναι, καὶ ὅτι τὸ ἀκρότατον οὐχ ὑπερθετικόν ἐστιν, ἀλλ' ἀντὶ τοῦ ἄκρον τὸν χρῶτα.

140. ἀθετεῖται, ὅτι οὐκ ἂν λέγοι Ὅμηρος ὠτειλὴν τὸ ἐκ βολῆς τραῦμα· διαστέλλει γὰρ τὸ οὐτάσαι πρὸς τὸ βαλεῖν. διαφέρει δὲ ὠτειλὴ οὐλῆς· ὠτειλὴ μὲν λέγεται αὐτὸ τὸ τραῦμα, οὐλὴ δὲ ὁ τύλος τοῦ θεραπευθέντος τραύματος.

2. ἐλάθετο Friedl.] ἔλαθεν
7. πρὸς] Praescripta est διπλῆ.
11. χρωτὶ] χροτὶ
12. ἡ] αἱ Nauckius Aristoph. p. 35.
13. εἴλυμα Nauckius] εἴλημα
18. παράδοσις] δύναται δὲ καὶ προπερισπᾶσθαι addit Lehrsius, collato scholio ad 16, 542.
19. ἐρύω Lehrsius] εἰρύω
27. χρῶτα] χρότα
30. * ὠτειλὴ μὲν—τραῦμα] om.

141. *οὕτως ὁμοτόνως τῷ ζώῳ τὸ ὀστέον· καὶ γὰρ ἐν ἑτέροις φησὶ "λευκοτέρην δ' ἄρα μιν θῆκε πριστοῦ ἐλέφαντος" (Od. 18, 196).

ἡ διπλῆ, ὅτι τινὲς ἐλεφαντά ὡς βλαβερά διενεγκάμενοι τῷ τόνῳ ἀπέδωκαν ἔρια λευκά· δεῖ δὲ κυρίως ἀκούειν τὸν ἐλέφαντα.

142. Κάειρα] Καρίνη, ἀπὸ Καρίας, ὡς τῶν χωρίων τούτων τὸ παλαιὸν καλαῖς βαφαῖς χρωμένων. φασὶ δέ τινες τὸ Καῖρα διαιρεῖσθαι· οἱ δὲ, ὡς ἀπὸ τοῦ φαίνω φαείνω. καὶ ὁ λόγος δὲ τὴν εῑ δίφθογγον αἰτεῖ.

ἔμμεναι ἵππων] καὶ ἵππω δυϊκῶς καὶ πληθυντικῶς. ἐν δὲ τῇ κατὰ Ἀριστοφάνη μόνως δυϊκῶς.

147. *εὐφυέες] ἑκατέροις δύναται προσδίδοσθαι τὸ εὐφυέες· βέλτιον δὲ τοῖς ἄνω διὰ τὸ ὑπερβατόν.

σφυρά] τὰ ἀπολήγοντα μέρη πρὸς τῷ ἀστραγάλῳ, καὶ ἐκ πλαγίων ἐξέχοντα τῆς κνήμης καὶ τῆς περόνης. εἴρηται δὲ μεταφορικῶς ἀπὸ τῶν χαλκευτικῶν σφυρῶν.

148. *οὕτως Ἀρίσταρχος, ῥίγησεν δ' ἄρ, διὰ τοῦ δ̄, οὐ διὰ τοῦ τ̄.

149. *ἀθετεῖται πάλιν διὰ τὴν ὠτειλήν.

151. ὡς δὲ ἴδεν] συσταλτέον τοῦ ἴδε τὸ ῑ, ὁμοίως τῷ "οὐκ ἴδον, οὐ πυθόμην" (Od. 23, 40). εἰσὶ δὲ οἳ ἀναγινώσκουσιν "ὡς δ' εἶδεν νεῦρόν τε," ὁμοίως τῷ "ὡς εἶδεν δύο φῶτε" (Il. 5, 572), οὐχ ὑγιῶς. ἐνθάδε γὰρ οὐ καλῶς δυνάμεθα ἀναγνῶναι ἢ φυλάσσοντες τὴν εῑ δίφθογγον. ἐπὶ δὲ τούτων παραφύλαξαι ὅτι ὅταν ἡ προκειμένη λέξις εἰς τὸ ε̄ καταλήγῃ, ἤτοι διαστέλλει τὸ ῑ ἀπ' αὐτῆς μετὰ συστολῆς, ἢ ἔκθλιψιν ποιεῖται τοῦ ε̄, ἔκθλιψιν μὲν οὕτως "τὸν δ' ἴδεν Αἰνείας" (Il. 5, 166) "νῦν δ' ἴδεν ὃς μέγ' ἄριστος" (Il. 2, 82), διαστολὴν δὲ οὕτως μετὰ

4. διενεγκάμενοι] προενεγκάμενοι Lehrsius.

5. δεῖ Lehrsius] νῦν

7. διαιρεῖσθαι] Nempe in Κάϊρα. COBET.

10. καὶ ἵππω] διχῶς καὶ ἵππω Vill. δυϊκῶς] Ineptum est utrumque δυϊκῶς, quod locum haberet si ἵπποιν scriptum fuisset. In δοτικῶς mutat Lehrsius Herod. p. 460, in ἑνικῶς La Roche *Textkr.* p. 144, cui oppositum πληθυντικῶς (ἵππων). Pluygers. p. 5, antiquam scholii formam fuisse coniecit ἵππων: ἵππῳ καὶ ἵππων· ἐν δὲ τῇ κατ' Ἀριστοφάνη ἵππῳ. Apud Eustathium p. 1051, 16 est ἵππου.

15. περόνης] * πτέρνης

22. ὑγιῶς] ὑγειῶς

24. ὅτι addidit Bekkerus.

25. καταλήγῃ Bekkerus] καταλήγει

27. διαστολὴν] διαστολῇ

συστολῆς "τὴν δὲ ἴδεν προμολοῦσαν" (Il. 18, 382) "τὸν δὲ ἴδεν Κάδμου θυγάτηρ" (Od. 5, 333). οὕτως οὖν καὶ ἐνθάδε.

*ὄγκους] τοὺς τῆς ἀκίδος λέγει πώγωνας.

153. *στενάχων] ὅτι δεῖ βαρυτονεῖν τὸ στενάχων ὡς ὀρέγων· καὶ γὰρ στενάχοντο ὡς ὀρέγοντο.

155. *ἔταμνον] ἐγὼ δηλονότι.

157. *ἔβαλον] ὅτι ἐκ βολῆς ἔτρωσαν, πρὸς τὸ "αὐτίκα δ' ἔρρεεν αἷμα" (140).

158. οὐ μέν πως ἄλιον πέλει ὅρκιον] γενναίου στρατηγοῦ τὸ μὴ συμπεπτωκέναι τοῖς καιροῖς, ἀνέχειν δὲ εἰς θεὸν τὴν ἐλπίδα, καὶ τὸ σύμπτωμα τῆς τύχης εἰς παραμυθίαν δέχεσθαι.

159. σπονδαί τ' ἄκρητοι] ὅτι εὐκρινὲς γίνεται ἐντεῦθεν τὸ "κρητῆρι δὲ οἶνον μίσγον" (Il. 3, 269). οὐ γὰρ κεκραμένον ἔσπενδον.

161. ὅτι Ζηνόδοτος γράφει τελέσει καὶ σύν τε μεγάλῳ τίσουσιν, ἐπὶ τῶν Τρώων δεχόμενος τὸν λόγον. οὐκ ἔχει δὲ οὕτως, ἀλλὰ καθολικῶς ἐπὶ τῶν παραβαινόντων τὰ ὅρκια.

164. *ὀλώλῃ] ἀντὶ τοῦ ἀπολεῖται, πρὸς ὃ ἡ διπλῆ, καὶ ὅτι Ἴλιος θηλυκῶς.

ἀπ' ἄλλης ἀρχῆς τοῦτο· διὸ τελείᾳ στικτέον πρὸ αὐτῆς· ἀσύνδετος γὰρ ὁ λόγος.

166. ὑψίζυγος] ἡ μεταφορὰ ἀπὸ τῶν ἐν ναυσὶ ζυγῶν, ἐφ' ὧν καθέζονται οἱ ἐρέσσοντες· ἢ ὁ ἐν ὕψει ζυγοστατῶν καὶ ἀπονέμων ἑκάστῳ τὸ πεπρωμένον.

167. ἐπισσείῃσιν ἐρεμνὴν αἰγίδα] ὅτι τοῦ Διὸς ὅπλον ἡ αἰγίς, πρὸς τοὺς νεωτέρους ποιητάς· καὶ ὅτι καταιγίδων καὶ ζοφώδους καταστάσεως παρασκευαστική ἐστιν.

*ἐπισσείῃσιν] ἀντὶ τοῦ ἐπισσείῃ. πρὸς ὃ ἡ διπλῆ.

170. μοῖραν] οὕτω πότμον αἱ Ἀριστάρχου, οὐ μοῖραν, ὡς ἐν ταῖς κοιναῖς.

171. *ἐλέγχιστος] διχῶς Ἀρίσταρχος, καὶ ἐλέγχιστον.

πολυδίψιον] ἄνυδρον οὖσαν τὴν Πελοπόννησον ἔφυδρον ἐποίησε Δαναὸς ἐξελθὼν ἀπὸ τῆς Αἰγύπτου καὶ οἰκήσας αὐτήν· τῶν γὰρ θυγατέρων αὐτοῦ ζητουσῶν ὑδρεύσασθαι, μιᾶς αὐτῶν τῆς Ἀμυμώνης ἠράσθη Ποσειδῶν, καὶ ἔδειξεν αὐτῇ τῇ τριαίνῃ πλήξας τὰς ἐν Λέρνῃ πηγάς. οἱ δὲ οὕτως, ὅτι Ἀθηνᾶς ὑποθήκαις πολυδίψιον τὸ Ἄργος

4. ὅτι delet La Roche p. 351. 17. καὶ ὅτι] τὸ 28. οὕτω Cobetus] ὅτι

πρότερον ὑπάρχον ἄδιψον γενέσθαι διὰ τῶν Δαναοῦ θυγατέρων ἐποίησεν· ἐκεῖναι γὰρ ὄρυξιν φρεάτων ἐπενόησαν. παραγενομένων δὲ τῶν Αἰγυπτίων ἐπὶ τὸν τῶν Δαναοῦ θυγατέρων γάμον, αἱ Δαναΐδες κατὰ τὰς τοῦ πατρὸς ὑποθήκας ἐδολοφόνησαν αὐτούς· ἐκεῖνος γὰρ αὐταῖς συνεβούλευσε τοὺς τὴν παρθενίαν ἀφαιρουμένους ἀμύνασθαι. Ὑπερμνήστρα οὖν μόνη Λυγκέα περιέσωσε καὶ ἐτήρησεν· καὶ γὰρ ἐκεῖνος αὐτῆς τὴν παρθενίαν ἔσωσεν. ὅθεν γυναῖκα λαβὼν αὐτὴν ὕστερον συνετήρησεν. πολυδίψιον οὖν ἤτοι πολυδιάφθορον διὰ πολέμους. ἢ πολυπόθητον, μεταφορικῶς ἀπὸ τῶν διψώντων καὶ ἐπιθυμούντων πότου· ἐξ οὗ ἄνυδρον. ἢ βλαβερόν, ἀπὸ τοῦ ἴψιον.

*ὅτι Ἄργος τὴν Πελοπόννησον, οὐ τὴν πόλιν λέγει.

174. σέο δ' ὀστέα πύσει ἄρουρα] ὅτι τῶν ἐπὶ ξένης τελευτώντων οὐκ ἀπεκομίζετο τὰ ὀστᾶ εἰς τὰς πατρίδας. οὐκ ἄρα Ὁμήρου ἐστὶ ταῦτα "ὥς κ' ὀστέα παισὶν ἕκαστος οἴκαδ' ἄγει, ὅτ' ἂν αὖτε νεώμεθα" (Π. 7, 334).

176. καί κέ τις ὧδ' ἐρέει] ὅτι ἤτοι ὁ κε περισσεύει, ἢ τὸ ῥῆμα ἐνήλλακται, ἐρέει ἀντὶ τοῦ εἴποι ἄν.

178. *χρήσιμον ἀνεστραμμένης περιόδου ὑπόδειγμα.

181. κεινῇσιν νηυσί] κεναῖς εἶπεν, ὅτι ὁ Μενέλαος ἀποθανὼν οὐκ ἔμελλε πλεῖν ἐν αὐταῖς. βραχὺ δὲ διασταλτέον ἐπὶ τὸ νηυσί.

182. εὐρεῖα χθών] ὅτι οὐκ ἔστι καθολικὸν ἐπίθετον τὸ εὐρεῖα, ἀλλ' ἐν ἴσῳ τῷ εὐρεῖα γενομένη, οἷον εὐρύ μοι χάσμα γῆς γένοιτο.

*μηδέ τί πω] οὕτω πω Ἀρίσταρχος, οὐχὶ που, ὥς τινες.

187. ὅτι τοῦ ζώματος μνησθεὶς παραλέλοιπε τὸν θώρακα, ὥστε ἀπὸ μέρους τὸ ὅλον δεδηλῶσθαι. ἡ δὲ μίτρα τούτῳ προσῆπται τῷ θώρακι· "καὶ ζῶμα φαεινόν" (Od. 14, 482) διὰ τὸν χαλκόν. ἡ μίτρα οὖν ἔσωθεν ἐριώδης ἐστί, περὶ τὴν ἐπιφάνειαν χαλκῆ ὑπάρχουσα.

189. *φίλος ὦ Μενέλαε] ἡ ὀρθὴ ἀντὶ τῆς κλητικῆς, φίλος ἀντὶ τοῦ φίλε.

*στικτέον ἐπὶ τὸ τέλος τοῦ στίχου τελείᾳ· ἀσύνδετος γὰρ ὁ λόγος πρὸς τὰ ἑξῆς.

5. *ἀφαιρουμένους] ἀφαιρουμένας
9. *ἐπιθυμούντων] ἐπιθυμώντων
16. ὅτι ἤτοι Cobetus] ἤτοι ὅτι
18. περιόδου] *τύχης
23. Lemma om.
πω] πῶ·
25. ἡ δὲ μίτρα—φαεινόν] V. Lehrs. Arist. p. 122.
28. τῇ] I.e. χρῆται τῇ, ut p. 188, 14.
30. στικτέον—] Aliena ab hoc versu annotatio: v. Friedl. Nic. p. 177.

190. ἐπιμάσσεται] παρὰ τὸ μῶ μαίω μάω, ὡς νῶ ναίω νάω· ἀφ' οὗ καὶ ὁ μαστός καὶ ἡ μάσταξ.

191. φάρμαχ'] τὰ φέροντα ἄκεσιν. εἴρηται δὲ ἀπὸ τῶν ἀνθῶν· καὶ τὰ βαφεῖα φαρμακῶνας ἐκάλουν, καὶ τὴν ἐκ τῆς βαφῆς στόμωσιν φαρμάσσειν φησίν. τρεῖς δὲ φαρμάκων ἰδέαι· ἐπίπαστα, ὡς ἐπὶ Μενελάου· χριστὰ, "ἰοὺς χρίεσθαι·" πότιμα, ὡς ἐπὶ Ἑλένης.

τρεῖς βελουλκίας οἶδεν· ἐξολκὴν, ὡς ἐπὶ Μενελάου· ἐκτομὴν, ὡς ἐπὶ Εὐρυπόλου· διωσμὸν, ὡς ἐπὶ Διομήδους. τὸ δὲ παύσῃσιν ἀντὶ τοῦ παύσειεν ἂν, ὡς τὸ "ἰχθὺς ὅς κε φάγῃσιν" (Il. 21, 127), ὅτι καὶ τοῦτο οὕτως λέγει ἀντὶ τοῦ ὃς φάγοι ἄν.

195. ὄφρα ἴδῃ —] ὁ ἀστερίσκος καὶ ὁ ὀβελὸς, ὅτι νῦν παρέλκει· ὁρᾷ γὰρ ὁ κῆρυξ τὴν χρείαν τοῦ Μαχάονος. Μαχάων δὲ οὗτος υἱὸς Ἀσκληπιοῦ καὶ Ἀρσινόης ἢ Κορωνίδος, κατὰ δέ τινας Ἠπιόνης τῆς Μέροπος, κατὰ δὲ Ἡσίοδον (Theog. 356) Ξάνθης. Ἀσκληπιὸς δὲ εἴρηται παρὰ τὸ ἀσκεῖν καὶ ἤπια τὰ μέλη ποιεῖν.

*Ἀτρέος υἱόν] γρ. ἀρχὸν Ἀχαιῶν.

200. παπταίνων] πετῶ πτῶ πταίω πταίνω, καὶ κατὰ ἀναδιπλασιασμὸν παπταίνων, ὁ πανταχόσε περιβλεπόμενος.

203. *προσηύδα] γρ. ἀγόρευεν.

205. *ὄφρα ἴδῃ Μενέλαον] ὁ ἀστερίσκος, ὅτι νῦν δεόντως λέγεται πρὸς Μαχάονα ὑπὸ τοῦ κήρυκος.

*οὕτως Ἀρίσταρχος χωρὶς τοῦ σ̄ ἴδῃ.

206. ὃν τις ὀϊστεύσας ἔβαλεν] ἡ διπλῆ ὅτι ἐκ βολῆς ἔτρωσεν, πρὸς τὸ "αὐτίκα δ' ἔρρεεν αἷμα κελαινεφὲς ἐξ ὠτειλῆς" (140).

207. τῷ μὲν κλέος, ἄμμι δὲ πένθος] ἑκάτερον καθ' ἑαυτό· λείπει γὰρ τὸ ἐστίν ἐν ἀμφοτέροις.

208. ἡ διπλῆ πρὸς τὸ ὄρινεν, ἀντὶ τοῦ κατὰ ψυχὴν ἐκίνησεν. ἡ δὲ ἀναφορὰ πρὸς τὸ "ὣς φάτο, τῇ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινεν" (Od. 17, 150), ὅτι οὐκ ἔστιν ἐθύμωσεν, ὡς ὁ διασκευάσας ἐκλαβὼν ἔταξε τοὺς ἑξῆς εἴκοσι στίχους, ἀλλ' ἀντὶ τοῦ ἐκίνησε καὶ παρώρμησε κατὰ τὸ ἐρωτικόν.

8. τὸ δὲ π.] ἡ διπλῆ ὅτι π. Cobetus.

11. ὀβελὸς] ὄφελος

παρέλκει] Non hic tantum versus, sed etiam 196, 197, qui repetuntur 206, 207.

16. Lemma om.

20. λέγεται] Cum 206, 207.

30. εἴκοσι] εἴκοσι τρεῖς Lehrsius Arist. p. 100 ex scholio ad 3, 395, ad quem locum scholion quod hic legitur referendum.

211. ὑποστικτέον εἰς τὸ ἦν καὶ κυκλόσε, ὧν ἡ δευτέρα ἀνυπόκριτός ἐστιν. διὰ μέσου δὲ ταῦτα.

212. κυκλόσ'] Ἀρίσταρχος μὲν ὀνοματικῶς, ἵν' ᾖ ἀγηγέρατο κύκλος, ὁμοίως τῷ "ἀγρόμενοι πᾶς δῆμος" (Il. 20, 166)· τοιοῦτο γὰρ βούλεται σημᾶναι, κύκλος γενόμενοι. Νικίας δὲ καὶ ὁ Ἀσκαλωνίτης κυκλόσε, ὡς "πόσε φεύγετε" (Il. 16, 422), ὅπερ καὶ πιθανώτερον. οὐ γὰρ δύναται ἐντελὴς εἶναι ἡ σύνταξις τοῦ Ἀριστάρχου, ἀγηγέρατο κύκλος· λείπει γάρ τι. διὸ ὁ Ἀρίσταρχος ἔξωθεν προστίθησι τὸ γενόμενοι· εἰ δὲ προστίθησιν, ἄμεινον αὐτόθεν ἀναγινώσκειν κυκλόσε· τοιοῦτο γὰρ τὸ ἐπίρρημα τὴν προκειμένην σχέσιν σημαῖνον. εἰ δέ τις λέγοι, διὰ τί γὰρ τὸ ἀγρόμενοι πᾶς δῆμος εὐπαράδεκτόν ἐστιν, οὐκέτι δὲ τὸ ἀγηγέρατο κύκλος, ἴστω ὅτι τὸ δῆμος τῇ μὲν φωνῇ ἑνικόν ἐστι, τῷ δὲ σημαινομένῳ πληθυντικόν· τῷ οὖν σημαινομένῳ ἡ σύνταξις ἐγένετο, ὡς καὶ ἐπὶ τοῦ "ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο" (Il. 15, 305). οὔ γε μὴν ὁ κύκλος ἔχεται τούτου τοῦ σημαινομένου· διὸ οὐδὲ ἐντελὴς ἡ τοιαύτη σύνταξις ἐπ' αὐτῷ δύναται γενέσθαι.

213. *Ἀρίσταρχος Ἰακῶς ἕλκεν, καὶ αἱ πλείους.

214. τὸ πάλιν εἰ μὲν τοῖς ἡγουμένοις συντάττοιμεν, ἔσται τὸ ἄγεν ἀντὶ τοῦ κατεάχθησαν, ὡς "νῦν δέ μοι ἐν χείρεσσιν ἄγη ξίφος" (Il. 3, 367), ἤτοι συνεσταλμένης τῆς ἀρχῆς ποιητικῶς, ἢ τοῦ ε ἀφῃρημένου ἀπὸ τοῦ ἔαγεν. ἐὰν δὲ τοῖς ἑξῆς προσδῶμεν αὐτό, ἔσται εἰς τοὐπίσω ἤχθησαν, τουτέστιν ὑπέστρεψαν.

216. ὅτι πάλιν τοῦ ζώματος μνησθεὶς τὸν θώρακα παραλέλοιπεν.

219. Χείρων εἷς τῶν Κενταύρων, εὑρέτης ἰατρικῆς καὶ λυρικῆς, υἱὸς Κρόνου καὶ Φιλύρας, ἢ ὡς ἔνιοι Ποσειδῶνος.

222. κατὰ τεύχε' ἔδυν] συσταλτέον τὸ ἔδυν· πληθυντικὸν γάρ ἐστι. τὸ δὲ ἑνικὸν ἐκτατέον ἔδυν· "δῦ δέ μιν Ἄρης" (Il. 17, 210). ὁμοιόν ἐστιν αὐτῷ καὶ τὸ "ἀλλήλοισιν ἔφυν ἐπαμοιβαδόν" (Od. 5, 481). εἰ δέ τις λέγοι ὅτι τὰ ἑνικὰ καὶ τὰ πληθυντικὰ ὁμοφωνοῦντα καὶ ὁμόχρονά ἐστιν, οἷον ἔλεγον ἐγώ καὶ ἔλεγον ἐκεῖνοι, ἴστω ὅτι ἐκ συγκοπῆς ἐστὶ τοῦτο τοῦ ἔδυσαν. ἐν δὲ τοῖς τοιούτοις τρίτοις ἡ συγκοπὴ ἀναδέχεται λῆξιν τὴν αὐτὴν τῇ παραληγούσῃ τῆς γενικῆς τῆς κατὰ τὴν μετοχήν, ἔστησαν ἔσταν, στάντος γάρ· ἔβησαν ἔβαν, βάντος γάρ· ἐκοσμήθησαν ἐκόσμηθεν, κοσμηθέντος γάρ· "φάνεν δέ

15. Notandum οὔ γε μὴν pro οὐ μὴν—γε dictum et p. 201, 24.

οἱ εὐρέες ὦμοι" (Od. 18, 68), φανέντος γάρ· ἔφυμεν ἔφυτε ἔφυσαν ἔφυν, ἐπεὶ φύντος· ἔδυμεν ἔδυτε ἔδυσαν ἔδυν, ἐπεὶ δύντος. περὶ δὲ τοῦ "τῆς δ' ἦν τρεῖς κεφαλαί" (Hesiod. Th. 321) ἐν τοῖς περὶ ῥήματος ἐροῦμεν. τὸ μέντοι γε ἔδυν ἐνικὸν ἐκτείνεται, ἐπεὶ πᾶς δεύτερος ἀόριστος ἐπὶ τῶν εἰς μι μακροκατάληκτός ἐστιν, ἔγνων ἑάλων ἐξέτρων ἔτλην ἔστην ἔδην ἔφην. ἔφυν ἄρα καὶ ἔδυν.

χάρμης] χάρμη ἡ μάχη, ἤτοι κατὰ ἐναντιότητα, ἢ ἡ χαρὰν ἐμποιοῦσα τοῖς νικῶσιν.

223. βρίζοντα ἴδοις] ἡ διπλῆ, ὅτι οὐ πρὸς ὑφεστὸς πρόσωπον, ἀλλ' ἀντὶ τοῦ ἴδοι τις ἄν.

βρίξαι κυρίως τὸ μετὰ βάρους τροφῆς ἀπονυστάξαι.

224. *βραχείας διαστολὰς θετέον, πτώσσοντα, μάχεσθαι.

226. *ὅτι τὰ ὀχήματα νῦν χωρὶς τῶν ἵππων ἅρματα εἴρηκεν.

228. Εὐρυμέδων] ὅτι καὶ Ἀγαμέμνονος καὶ Νέστορος ὁμώνυμος ἦν ἡνίοχος Εὐρυμέδων. τὸ δὲ Πειραΐδαο ἐν τέσσαρσι συλλαβαῖς προφέρεται τὴν εὐθεῖαν τοῦ πατρωνυμικοῦ, καὶ οἱ ἄλλοι. Τυραννίων δὲ τρισυλλάβως, λέγων ὡς ὅτι οὐδὲν πατρωνυμικὸν παρὰ τῷ ποιητῇ ἔχει πρὸ τέλους διεσταλμένον τὸ ι ἀπὸ ἑτέρου φωνήεντος, οἷον Πανθοίδης Βοηθοίδης Πηλείδης· οὐδ' ἄρα τοῦτο. ὑπὲρ δὲ τοῦ τετρασυλλάβως ἀναγινώσκειν ἔχομεν ἐκεῖνο λέγειν, ὡς ὅτι ἐντελές ἐστι τὸ κατὰ διάλυσιν τοῦ ι, καὶ ὅτι οὐκ ἔχομεν τοιοῦτό τι πατρωνυμικόν, ὃ κατὰ σύλληψιν ἐξηνέχθη τοῦ α καὶ τοῦ ι πρὸ τέλους. παρὰ τὸ Πείραιος οὖν Πειραΐδης ἐγένετο.

232. ὅτι τὸ σπεύδοντας οὐχ οἷον ταχύνοντας, ἀλλ' ἐνεργοῦντας καὶ κακοπαθοῦντας. "σπουδῇ δ' ἕζετο λαός" (Il. 2, 99) μετὰ πάσης κακοπαθείας.

235. ψεύδεσσι] Ἀρίσταρχος ἀναγινώσκει ψευδέσσι ὡς σαφέσσι· τοῦτο γάρ φησι θέλει δηλοῦν, οὐ γὰρ τοῖς ψεύσταις Τρωσὶ βοηθεῖ ὁ Ζεύς. εἰ δὲ τὸ πρᾶγμα ἠβουλόμεθα παραλαβεῖν, ψεύδεσιν ἀνέγνωμεν ὡς βέλεσιν, ἵνα ἀπ' εὐθείας ᾖ ἡ κλίσις· "ψεῦδος δ' οὐκ ἐρέει" (Od. 3, 20). οὕτως δὲ καὶ Πτολεμαῖος ὁ Ἀσκαλωνίτης, συγκατατιθέμενος Ἀριστάρχῳ. ὁ μέντοι γε Ἑρμαππίας ἀναγινώσκει ψεύδεσσιν ὡς

9. ἡ διπλῆ, ὅτι] ὅτι ἡ διπλῆ ὅτι
ὑφεστὸς] ὑφεστῶς
14, 15. Εὐρυμέδων] εὐρυμέλων
22. τέλους Bekk.] τούτου
23. Πείραιος] πειραιός
28. δηλοῦν Bast. ad Greg. p. 334] διδοῦν
31. συγκατατιθέμενος Bekkerus] συγκατατίθεται

τείχεσσιν, ἐπεὶ οὐδέποτε, φησὶν, οἶδεν ὁ ποιητὴς ἁπλοῦν τὸ ψευδής, ἐν δὲ συνθέτῳ, φιλοψευδής (Il. 12, 164), ἀψευδής (Il. 18. 46)· ἢ οἶδεν ἑτέρως λεγόμενον τὸ "ψεῦσταί τ' ὀρχησταί τε" (Il. 24, 261). συνεχῶς δὲ τὸ ψεῦδος "ὦ γέρον, οὔτι ψεῦδος" (Il. 9, 115) "ψεῦδος δ' οὐκ ἐρέει" (Od. 3, 20) "ἴσκε ψεύδεα πολλά" (Od. 19, 203). ταῦτα ὁ Ἡρωδιανός· καὶ μᾶλλον πειστέον Ἀριστάρχῳ ἢ τῷ Ἑρμαππίᾳ, εἰ καὶ δοκεῖ ἀληθεύειν.

238. *ἡμεῖς δ' αὖτ'] Ἀρίσταρχος χωρὶς τοῦ δέ.

243. ἔστητε] Πτολεμαῖος ψιλοῖ, ἐπεὶ γίνεται στῆτε, τὸ δὲ ἀποπῖπτον ε̄ ψιλοῦται. καὶ ἀληθεύει. ἐνθάδε μέντοι γε οὐκ ἔστιν, ἀλλ' ἐκ τοῦ ἔστατε ἔκτασις ἐγένετο τοῦ ᾰ̄ εἰς η̄· στάτε δὲ οὐ γίνεται. ἔνθεν δύναται δασύνεσθαι· τὸ γὰρ αὐτό ἐστι τῷ ἐστήκαμεν τὸ ἔστατε.

*ὅτι μετείληπται τὸ ᾰ̄ εἰς τὸ η̄ ἀντὶ τοῦ ἔστατε.

244. ἡ διπλῆ διὰ τὸ ἐλλείπειν τὴν διά πρόθεσιν, ἵν' ᾖ διὰ πεδίου.

245. *ἆρα τίς σφι] οὕτως Ἀρίσταρχος μετὰ τοῦ σ̄, τίς σφι.

246. *ἔστητε] ὅτι πάλιν ἀντὶ τοῦ ἔστατε.

247. *αἱ διαστολαὶ ἐλθέμεν, θαλάσσης.

249. αἴ κ' ὔμμιν] οὕτως τὸ αἴ κ' ὔμμιν διὰ τοῦ κ̄ δεῖ συναλείφειν· ἔστι γὰρ Αἰολικὴ ἡ ἀντωνυμία.

251. ἐπὶ Κρήτεσσι] ὅτι ἰδίως εἴρηκεν ἀντὶ τοῦ ὡς ἐπὶ Κρῆτας.

ἀνὰ οὐλαμὸν ἀνδρῶν] ἀνὰ τὸν θόρυβον, κατὰ τὴν συνέλευσιν καὶ ἄθροισιν τῶν ἀνδρῶν. οὐλαμὸς δὲ τάξις συνεστηκυῖα ἐκ τεσσαράκοντα ἀνδρῶν.

253. ἐπὶ τὸ τέλος τοῦ στίχου διαστολὴ βραχεῖα· κοινὸν γὰρ τὸ ὦτρυνε φάλαγγας.

254. φάλαγγας] τάξεις τῶν στρατιωτῶν εἶπεν ὁ ποιητὴς, ἐπειδὴ τὸ παλαιὸν ξύλοις ἐμάχοντο. φάλαγγας δὲ τὰ ξύλα ἐκάλουν οἱ ἀρχαῖοι. ἔτι γοῦν καὶ ἡμεῖς τὰ ἐκ τῶν ξύλων οἰκοδομήματα φάλαγγας καλοῦμεν.

260. *ἐνὶ κρητῆρσι] Ἀρίσταρχος ἐνικῶς ἐνὶ κρητῆρι.

τὸ κέρωνται οὐκ ἐκ περισπωμένου ἐνεστῶτος, ἀλλ' ἐκ βαρυτόνου τοῦ κέρω, ὅπερ οὐκ ἔστιν εὑρεῖν ῥᾳδίως.

6. πειστέον Bastius] πιστέον
15. ἡ διπλῆ Bekk.] ὅτι ἡ διπλῆ
20. ὔμμιν] ὔμμιν, ut ubique.
29. *ξύλοις] οὐ ξύλοις

262. δαιτρόν] ὅτι διὰ παντὸς αἱ τράπεζαι παρέκειντο, καὶ πλήρη τὰ ποτήρια τοῖς ἐν τιμῇ ἔκειτο, τοῖς δὲ ἄλλοις πρὸς μέρος ἐνεχεῖτο.

269. διὰ τοῦ ν̄ τὸ σύν γ' ὅρκια. οὐ γὰρ συνῆπται· ἐπὶ δὲ τῶν συνθέτων αἱ μεταβολαί.

273. ἦλθε δ' ἐπ' Αἰάντεσσι] ὅτι ἡ τάξις Ἰδομενέως πλησίον Αἴαντος, πρὸς τοὺς ὑποτάσσοντας τοῖς Ἀθηναίοις τὸν Τελαμώνιον (Il. 2, 557).

274. νέφος] τὸ πυκνὸν καὶ καταπληκτικὸν τῆς φάλαγγος μιᾷ λέξει περιέλαβεν, εἰκάσας μέλανι καὶ σκυθρωπῷ νέφει. ἀπὸ δὲ τῆς μεταφορᾶς καὶ εἰκόνα πεποίηκεν.

276. Ζεφύροιο] ὅτι ἀπὸ τοῦ ζόφου πνεῖ. ζόφον δὲ τὴν δύσιν ἐκάλουν οἱ ἀρχαῖοι.

277. *ἰόντι] Ἀρίσταρχος ἐόντι.

μελάντερον ἠΰτε πίσσα] ὅτι ἰδίως εἴρηκεν οὔτε μελάντερον πίσσης οὔτε μέλαν ὡς πίσσα, κέχρηται δὲ τῷ συγκριτικῷ ἀντὶ ἁπλοῦ. τὸ δὲ ἰόντι Ἀρίσταρχος διὰ τοῦ ē, ὁ δὲ Ζηνόδοτος διὰ τοῦ ī. στικτέον δὲ μετὰ τὸ μελάντερον, ἔπειτα ἀπὸ ἄλλης ἀρχῆς ἀναγνωστέον ἠΰτε πίσσα, ἵν' ᾖ τῷ αἰπόλῳ πόρρω διατελοῦντι μελάντερον αὐτῷ καταφαίνεται τὸ νέφος καὶ ὅμοιον πίσσῃ.

279. ὑπό τε σπέος ἦλασε μῆλα] κύουσα γὰρ ἡ ὄϊς, ἐὰν ἔξω ἀκούσῃ βροντῆς, ἐκτιτρώσκει.

282. κυάνεαι σάκεσιν] ὅτι Ζηνόδοτος γράφει ἠρώων σάκεσιν. γέγονε δὲ ἀντιπαράθεσις τοῦ μέλανος νέφους πρὸς τὸ κυάνεαι· τοῦτο δὲ οἷον πυκναί. αἱ γὰρ ἀραιαὶ νεφέλαι διαυγεῖς. διασταλτέον δὲ βραχὺ ἐπὶ τὸ σάκεσιν, ἵνα διὰ μὲν τὰ ὅπλα καταπληκτικαὶ ὦσι, τοῖς δὲ δόρασι πεφρικυῖαι, τουτέστιν ὠρθωμένα ἔχουσαι τὰ δόρατα. ἡ ἑτέρα δὲ τῶν Ἀριστάρχου βεβριθυῖαι εἶχεν· καὶ μήποτε λόγον ἔχει, ὡς ἐκεῖ "βεβρίθει δὲ σάκεσιν" (Od. 16, 474).

285. Ἀργείων ἡγήτορε] τοῦτο προτρεπτικῶς. ἢ πρόμαχοι καὶ ἡγούμενοι τῶν ἄλλων Ἑλλήνων ἐν ταῖς μάχαις.

286. διαστολὴ ἐπὶ τὸν μέν, ἐπὶ δὲ τὸ ὀτρυνέμεν ἀνυπόκριτος.

4. συνθέτων] συν$^{\theta}$

8. Hoc scholion versui 277 adscriptum cum lemmate μελάντερον ἠΰτε πίσσα.

15. μέλαν ὡς] μέλανος

20. *ἡ ὄϊς] ἡ om.

24. ἀραιαὶ] ἀραιαὶ

26. δόρατα] δώρατα

27. Verba ἡ ἑτέρα τῶν ἀριστάρ^{χ} βεβριθυῖαι εἶχεν in marg. inter. repetita sunt.

295. Χρομίον τε] ὅτι τρίτος οὗτος Χρομίος Πύλιος, πρὸς τὰ περὶ Πυλαιμένους. οὗτοι δὲ ταξιάρχαι ὑπῆρχον· βασιλεὺς δὲ πάντων τῶν Πυλίων Νέστωρ.

296. *διασταλτέον ἐπὶ τὸ ὄχεσφι· κοινὸν γὰρ τὸ στῆσε.

297. ἱππῆας μὲν πρῶτα] πρώτους εἰκὸς εἰρῆσθαι τοὺς ἐπὶ τοῦ δεξιοῦ κέρως ἑστῶτας, ὄπισθεν δὲ τοὺς ἐπὶ τοῦ ἀριστεροῦ, ὧν εἰκὸς μεταξὺ τετάχθαι τοὺς δειλούς· οὕτω γὰρ λόγον ἔξει τὸ "ὄφρα καὶ οὐκ ἐθέλων τις ἀναγκαίῃ πολεμίζῃ" (300)· ἐπὶ γὰρ μετώπου τάσσει τὴν φάλαγγα, οὐ κατὰ βάθους, μεταξὺ δὲ δύο ἀνδρείων ἕνα κακὸν ἔβαλλεν.

299. *οὕτως Ἀρίσταρχος, ἔλασσεν· ἄλλοι δὲ ἔεργεν.

303. *ὅτι ἀπέστροφε τὸν λόγον διὰ τῶν ἑξῆς, σχηματίσας ὡς ἂν αὐτὸς ὁ Νέστωρ εἴποι.

306. ἵκηται] τοῦτο τὸ ῥῆμα κατὰ τὴν ἑρμηνείαν αὐτὴν ζητεῖται. καὶ οἱ μέν φασι παραγγέλλειν αὐτὸν ἵνα, ὃς ἂν πολεμίου ἅρματος κρατήσας ἐπιβῇ, μάχηται καὶ μὴ ἐξελαύνειν σπουδάζῃ· οἱ δὲ οὕτως, ὅστις δ' ἂν, φησὶν, ἀποπέσῃ τοῦ ἰδίου ἅρματος καὶ ἐπὶ τοῦ πλησίον παραγένηται, μὴ ἡνιοχείτω διὰ τὸ εἶναι αὐτὸν ἐν ἀγνοίᾳ τοῦ ἤθους τῶν ἵππων, δόρατι δὲ μᾶλλον ἀμυνάσθω τοὺς πολεμίους, ὅ ἐστι πολεμείτω.

307. ἔγχει ὀρεξάσθω] ἡ διπλῆ πρὸς τὸ σημαινόμενον, ὅτι ἐκ τοῦ ἔγχει ὀρεξάσθω ἐστὶν ἔγχει παταξάτω τις αὐτὸν, ὥστε παραλείπει τὸ τίς καὶ τὸ αὐτόν. καὶ τὸ ἐπιλεγόμενον τοῦτο συνίστησιν, ἐπειὴ πολὺ φέρτερον οὕτω τὸ ἕνα τεθνάναι ἢ τὴν ὅλην τάξιν συγχυθῆναι.

πολὺ φέρτερον] κατὰ πολὺ κρεῖττον.

308. *πόλεας] Ἡρωδιανὸς διὰ τοῦ η̄.

πόλεας] οὕτως Ἀρίσταρχος προπαροξύνει, καὶ ἐπὶ τῶν πόλεων τὸ σημαινόμενον ἐκδέχεται, ᾧ συγκατατίθεται καὶ ὁ Ἀσκαλωνίτης, λέγων ὅτι καὶ διὰ τοῦ η̄ οἶδεν ὁ ποιητὴς τὴν χρῆσιν καὶ διὰ τοῦ ῑ, διὰ μὲν τοῦ ῑ "ἐκ πόλιος δ' ἄλοχον," "πολλέων ἐκ πολίων," διὰ δὲ τοῦ η̄ "πόλεως χρυσείην," "ἑκατὸν πόλεων." πιθανὸν οὖν ἐστὶν ἐκδέ-

2. περὶ addidit Cobetus: v. ad p. 133, 11.
4. διασταλτέον] *βραχὺ δὲ διασταλτέον
8. πολεμίζῃ] πολεμίζειν
12. ἀπέστροφε Friedl.] ἀπέστρεφε
16. κρατήσας — ἅρματος] Haec verba in marg. exteriore addita.
*μάχηται] μάχεται
22. αὐτὸν—αὐτὸν Friedl.] αὐτῶν —αὐτῶν
30. ἄλοχον] ἀλόχους Od. 9, 4.

ξασθαι ἐνθάδε ἐπὶ τῶν πόλεων τὸ σημαινόμενον, ἐπεὶ καὶ τείχεα ἐπιφέρει.

310. ὣς ὁ γέρων ὄτρυνε] τοῦτο ὁ ποιητὴς λέγει καθ' ἑαυτόν· οὐ προσεκτέον γὰρ τοῖς μίαν ὁμοιωματικὴν εἶναι διάνοιαν οἰομένοις ἐν τοῖς τρισὶ στίχοις· ὧδε καὶ οἱ πρότεροι πόλεας—τόνδε νόον καὶ θυμόν—ὡς ὁ γέρων ὄτρυνεν, οἷον τοῦτον τὸν τρόπον ἐστρατήγουν οἱ παλαιοὶ ὡς ὁ Νέστωρ. πρὸς δὲ τῷ γελοῖον εἶναι τὸ διανόημα, οὐδὲ εἰώθει μετάβασιν τοιαύτην ὁ ποιητὴς ἀπὸ τῶν προσώπων ποιεῖσθαι.

315. ὁμοίιον] ἰστέον ὅτι ὁ ποιητὴς πανταχοῦ τὸ ὁμοίιον ἐπὶ τοῦ φαύλου λαμβάνει, οἷον ἐνταῦθα "ἀλλά σε γῆρας τείρει ὁμοίιον" καὶ "ἀλλ' ἤτοι θάνατον μὲν ὁμοίιον οὐδὲ θεοί περ καὶ φίλῳ ἀνδρὶ δύνανται ἀλαλκέμεν" (Od. 3, 236) "ὁπότ' ἂν τέλος ἔλθῃ ὁμοίιον πτολέμοιο" (Il. 9, 440).

*ὅτι οἱ γλωσσογράφοι ὁμοίιον τὸ κακόν.

319. Πύλιοι καὶ Ἀρκάδες περὶ γῆς ὅρων ἐπολέμουν περὶ τὸ καλούμενον ὄρος Ἀγκαῖον· Νέστωρ δὲ μονομαχήσας ἐκ προκλήσεως Ἐρευθαλίωνα τὸν Ἱππομέδοντος ἢ ὡς ἔνιοι Ἀφείδαντος ἀνεῖλε, καὶ ὑπὸ χαρᾶς τὸ περιορισθὲν χωρίον παρεξῆλθεν. οἱ δὲ Ἀρκάδες ἔτι σκαρίζοντος τοῦ Ἐρευθαλίωνος ἐφορμήσαντες τοῖς Πυλίοις συνέβαλον, καὶ οὕτως ἐνίκησαν. θάψαντες δὲ τὸν Ἐρευθαλίωνα καὶ τοὺς φίλους ἐπέγραψαν τῷ τάφῳ τόδε τὸ ἐπίγραμμα· "ἐνθάδ' Ἐρευθαλίωνι φίλοις τ' ἐπὶ τύμβον ἔθηκαν Ἀρκαδίης βασιλῆς, γένος ἔξοχον Ἱππομέδοντος, οἵ ποτε Νέστορα καὶ λαοὺς πολέμῳ δαμάσαντο." ἱστορεῖ Ἀρίαιθος. κατέκταν δὲ μετὰ τοῦ ῡ αἱ Ἀριστάρχου, καὶ ἐν ἐκτάσει τοῦ ᾱ Δωρικῇ οὔσῃ, ὡς ἔβαν ἐγώ. ἡ γὰρ χρῆσις τοιαύτη ἦν παρὰ Ἀττικοῖς· παρὰ γὰρ τὸ κτῶ καὶ κτῆμι κινήματα ἱκανὰ ἐξέπιπτεν· δεύτερος μὲν αὐτὸς ἀόριστος, ὀφείλων εἶναι κοινῶς ἔκτην, γινόμενος δὲ κατὰ Δωρίδα ἔκταν, ὃς ἐν χρήσει ὁρᾶται Ἀττικοῖς. Εὐριπίδης Πλεισθένει "οὐ τὸν σὸν ἔκταν πατέρα, πολέμιόν γε μήν" Αἰσχύλος δὲ Παλαμήδει "τίνος κατέκτας ἕνεκα

3. ἑαυτὸ] ἑαυτὸν Friedl. Nic. p. 12.
13. ὁμοίιου] ὁμοίιον.
17. Ἀγκαῖον] Λύκαιον Bekkerus.
19. *οἱ δὲ Ἀρκάδες] om.
*ἔτι] ἔτι δὲ
23. βασιλῆς Vill.] βασιλῆες
24. *οἵ ποτε] εἴ ποτε
26. Δωρικῇ οὔσῃ Bekkerus] δωρικὴ οὖσα
31. Παλαμήδει] παλαμίδῃ

παῖδ' ἐμὸν βλάβης," καὶ ἐν Σεμέλῃ ἢ ὑδροφόροις "Ζεὺς ὃς κατέκτα τοῦτον." ἐπίσταται ὁ ποιητὴς καὶ τὸ πληθυντικόν "ἡμεῖς ἔρμα πόλιος ἀπέκταμεν" (Od. 23, 121) καὶ τρίτον πρόσωπον πληθυντικὸν πρώτου ἀορίστου παθητικοῦ κατὰ συγκοπήν "οὐδέ τις Αἰγίσθου, ἀλλ' ἔκταθεν ἐν μεγάροισι" (Od. 4, 537) καὶ μέσον δεύτερον ἀόριστον "Τεῦκρε πέπον δὴ νῶϊν ἀπέκτατο πιστὸς ἑταῖρος" (Il. 15, 437), ᾧ ἀκόλουθον ἀπαρέμφατον τὸ "κτάσθαι τε πολίτας" (ib. 558)· μετοχαί τε σημαίνουσαι τὸ κτῆμι, ἥ τε κτάς καὶ κτάμενος, ἀπαρέμφατόν τε ἐνεργητικὸν τὸ κτάμεναι. ὑγιῶς ἄρα Ἀρίστarχος ἔκταν γράφει, ὡς ἔκταν ἐγώ.

*οὕτως Ἡρωδιανὸς μετὰ τοῦ ν̄, κατέκταν.

320. ἀλλ' οὔ πως ἅμα πάντα] ὁ ἀστερίσκος καὶ ὁ ὀβελὸς, ὅτι εἰ ἀμφότερα αἱρετὰ ἔκρινεν ὁ Νέστωρ, καὶ τὸ γῆρας καὶ τὴν νεότητα, εὐλόγως ἂν ἔλεγεν ἅμα πάντα. μετενήνεκται δὲ ἐξ ἄλλου τόπου, ὅπου φησὶν "ἀλλ' οὔ πως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισιν· ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα, ἄλλῳ δ' ἐν στήθεσσιν" (Il. 13, 729).

*ἱκάνει] Ἀρίστarχος γῆρας ὀπάζει, ἐπείγει, ἐλαύνει. ἀπὸ δὲ τοῦ κατόπιν ἐσχημάτισται.

324, 325. ὁπλότεροι] ὅτι παραλλήλως νεώτεροι μὲν ἀντὶ τοῦ νέοι, ὁπλότεροι δὲ συγκριτικῶς ἀντὶ τοῦ ἐμοῦ νεώτεροι. οὐδέποτε γὰρ ἀντὶ τοῦ νέοι εἴρηκε τὸ ὁπλότεροι· τὸ δὲ νεώτεροι κατ' ἀμφοτέρων τίθεται παρ' αὐτῷ, καὶ συγκριτικῶς καὶ ἀπολελυμένως.

327. Πετεῶο] ἰστέον ὅτι τούτου τοῦ ὀνόματος ἡ ἀνάλογος εὐθεῖά ἐστιν ὁ Πετεός τοῦ Πετεοῦ ὡς ἐνεός ἐνεοῦ, καὶ Ἀττικῶς κατ' ἐπέκτασιν τοῦ ο̄ εἰς τὸ ω̄ γέγονε Πετεώς, εἶτα ἡ γενικὴ τοῦ Πετεῶ, καὶ κατὰ πλεονασμὸν τοῦ ο̄ γέγονε Πετεῶο.

328. μήστωρες ἀϋτῆς] δυνάμενοι κατὰ μάχην μήσασθαι, ὅ ἐστι βουλεύσασθαι, ἀφ' οὗ ἐπιστήμονες μάχης. οὐκ ἐπεξεργάζεται δὲ τὸ τακτικὸν τοῦ Μενεσθέως· ἠρκέσθη γὰρ Νέστορι.

329. *οὕτως Ἀρίστarχος Ἰακῶς ἑστήκει.

331. ὅτι τὸ ἀκούετο ἀντὶ τοῦ ἤκουεν, καὶ ὅτι πτῶσις ἤλλακται· οὐ γάρ πω αὐτοῖς ἤκουεν ἀντὶ τοῦ αὐτῶν.

9. ἐνεργητικὸν hoc loco Lehrsius : legebatur post μέσον δεύτερον ἀόριστον.

ὑγιῶς] ὑγειῶς ut p. 189, 19, et alibi saepe.

16. πολεμήϊα] πολέμων

25. ἐνεὸς ἐνεοῦ (*ἐννεὸς ἐννεοῦ)] νεὸς νεοῦ

333. *Ἀρίσταρχος χωρὶς τοῦ θ̄ Τρώων ἱπποδάμων. τὸ δὲ Ἀχαιῶν ἄμεινον ἀκούειν ἐπ' Ἀχαιούς.

334. πύργος] τάξις· συνέστηκε δὲ ὁ πύργος ἐκ τ̄ ἑξήκοντα ἀνδρῶν ὁ δὲ τρόπος μεταφορά.

335. ἡ διπλῆ πρὸς τὸ σχῆμα, διότι ἐλλείπει ἡ ἐπί καὶ πτῶσις ἐνήλλακται· ἔστι γὰρ ἀντὶ τοῦ ὡς ἐπὶ Τρῶας ὁρμήσειεν. καὶ ὅτι κατ' Ἀρίσταρχον ἄμεινον ἔχει τὸ Ἀχαιῶν ἀκούειν ἐπ' Ἀχαιούς· πιθανὸν γὰρ ἐπιμένειν τοὺς Ἕλληνας ἕως ἂν προεπιχειρήσωσιν αὐτοῖς οἱ βάρβαροι καὶ τρόπον τινὰ δεύτερον μετὰ Πάνδαρον παρασπονδήσωσιν. διὸ καὶ μήποτε ἄμεινον ἐν τῇ πολυστίχῳ φέρεται "ἔστασαν ὁππότε κέν τις ἐναντίον ἄλλος ἐπελθὼν Τρώων ὁρμήσειε καὶ ἄρξειεν πολέμοιο."

339. κεκασμένε] ἐπὶ κακοῦ "ἐκέκαστο κλεπτοσύνῃ θ' ὅρκῳ τε" (Od. 19, 395).

*ὅτι Ζηνόδοτος γράφει φαίδιμ' Ὀδυσσεῦ. ἀσυμφώνως δὲ τῇ ἐπιπλήξει φαίδιμος ἂν νῦν λέγοιτο.

343. ὅτι συλληπτικῶς τὸ τῷ Ὀδυσσεῖ συμβεβηκὸς καὶ ἐπὶ τοῦ Μενεσθέως κεκοινοποίηκεν· οὐ γὰρ ὁ Μενεσθεύς ἐστι τῶν ἑπτὰ γερόντων, ἀλλ' Ὀδυσσεύς, Διομήδης, οὐδὲ σὺν τῷ Ἀγαμέμνονι εὐωχεῖται. καὶ ὅτι ἀκουάζεσθον εἶπε τροπικῶς ἀντὶ τοῦ ἐπαισθάνεσθαι, ἐπεὶ ἡ ἀκοὴ εἶδός ἐστιν αἰσθήσεως, καὶ τὸ "οὐδὲ πληγῆς αἴοντες" (Il. 11, 532). οὐ λέγει δὲ τῆς ἐμῆς δαιτὸς πρῶτοι ἀκούετε, ἀλλὰ πρῶτοί μου ἀκούετε περὶ δαιτός. οὕτως Ἀρίσταρχος. λείπειν δέ φασι τὴν περὶ ἐθίμως, ἵν' ᾖ οἱ περὶ δαιτὸς πρῶτοι ἐμοῦ μεταλαμβάνετε. οὕτως Ἀπολλώνιος ἐν τῷ περὶ ἀντωνυμιῶν (p. 137 = 397).

344. δαῖτα γέρουσιν] ὡς τὸ "γερούσιον αἴθοπα οἶνον" (259). αἰσχρὸν δὲ τὸ ἐν συμποσίῳ τοῖς ἀρίστοις καταλέγεσθαι, ἐν δὲ πολέμῳ τοῖς ἐσχάτοις.

345. *λείπει τὸ ἐστί.

345, 346. οὗτοι ἐν μὲν τοῖς ὑπομνήμασιν οὐκ ἀθετοῦνται, ἐπαιτι-

5. ἡ διπλῆ] ὅτι ἡ διπλῆ A. Similiter alibi interdum, ut p. 181, 9.

6. καὶ ὅτι—ἀκούειν] ὅτι δὲ ἡ κατὰ Ἀρίσταρχον ἔχει καὶ τὸ Ἀχαιῶν ἄμεινον ἀκούειν. Correxit Cobetus.

19. ἀλλ' Ὀδυσσεύς, Διομήδης seclusit Friedl.

30. λείπει] Post infinitivum ἔδμεναι

31. Lemma ἔνθα φίλ' ὀπταλέα.

ῶνται δὲ αὐτοὺς οἱ ἡμέτεροι ὡς ἀπρεπῶς καὶ παρὰ τὰ πρόσωπα εἰς κρεάδιον ὀνειδίζοντος τοῦ Ἀγαμέμνονος.

346. *δασυντέον τὸ μελιηδέος.

350. ἕρκος ὀδόντων] ὁποῖον τοῦτον λόγον ἐτόλμησας τῷ στόματί σου εἰπεῖν. ἕρκος γάρ φησι τὸ περίφραγμα τῶν ὀδόντων, τὰ χείλη περιφραστικῶς.

351. ἀμφίβολος ἡ ἀνάγνωσις. ἤτοι γὰρ εἰς τὸ μεθιέμεν διαστολὴ, στιγμὴ δὲ τελεία εἰς τὸ Ἄρηα· ἢ εἰς τὸ μεθιέμεν τελεία στιγμὴ, ὑποστιγμὴ δὲ εἰς τὸ Ἄρηα· ὃ καὶ βέλτιον, ἵνα λέγῃ τότε φανήσεσθαι ἀνδρεῖος, ὁπόταν πόλεμος ᾖ.

354. Τηλεμάχοιο] ὅτι προτετυπωμένως τὰ κατὰ τὴν Ὀδύσσειαν μνημονεύει τοῦ Τηλεμάχου. τοῦ αὐτοῦ ἄρα ποιητοῦ καὶ ἡ Ὀδύσσεια.

357. *γνῶ χωομένοιο] πρὸς τὸ σχῆμα, ὅτι τῇ γενικῇ ἀντὶ τῆς αἰτιατικῆς.

367. *οὕτως ἑστήκει Ἰακῶς Ἀρίσταρχος.

376. Οἰδίπους ἀποβαλὼν Ἰοκάστην ἐπέγημεν Ἀστυμέδουσαν, ἥτις διέβαλε τοὺς προγόνους ὡς πειράσαντας αὐτήν. ἀγανακτήσας δὲ ἐκεῖνος ἐπηράσατο αὐτοῖς δι' αἵματος παραλαβεῖν τὴν χώραν, καὶ παρέδωκε τὴν βασιλείαν αὐτοῖς· Ἐτεοκλῆς δὲ ὁ υἱὸς αὐτοῦ ἐξέβαλε Πολυνείκην τὸν ἀδελφὸν αὐτοῦ ὡς πρεσβύτερος· παραγενόμενος δὲ οὗτος εἰς Ἄργος εὗρε Τυδέα φυγάδα· βοηθῶν γὰρ κἀκεῖνος τῷ πατρὶ, τὸν ἐναντιούμενον ἀποκτείνας ἀνεψιὸν ἔφυγεν. Ἄδραστος δὲ θεασάμενος αὐτοὺς ἠμφιεσμένους θηρῶν δοράς, Τυδέα μὲν συὸς, Πολυνείκην δὲ λέοντος, συνέβαλε τὸν χρησμόν· ἦν γὰρ αὐτῷ δεδομένος κάπρῳ καὶ λέοντι ζεῦξαι τὰς θυγατέρας. καὶ δίδωσι Τυδεῖ μὲν Δηϊπύλην, Ἀργείαν δὲ Πολυνείκει. πέμψας δὲ εἰς Μυκήνας συμμαχίαν ᾔτει ἐπὶ Θηβαίους. Θυέστης μὲν οὖν προθύμως ἐδίδου, σημεῖα δὲ αὐτὸν ἐκώλυσε φαῦλα. ἐπελθόντες οὖν ἐν ταῖς Θήβαις οἱ Ἀργεῖοι πέμπουσι πρεσβευτὴν Τυδέα, ὃς καταλαβὼν γυμνικὸν ἀγῶνα καὶ συμμαχούσης Ἀθηνᾶς νικᾷ τὰ πάντα,

1. οἱ ἡμέτεροι] Id est Aristarchei: quorum errorem notavit Cobet. Mnem. novae vol. 2 p. 170.
10. ἀνδρεῖος Bekk.] ἀνδρείως ὁπόταν] ὁππόταν
14. Lemma γνῶ χωομένοιο om.
19. ἐπηράσατο Bekk.] ἐπειράσατο
21. αὐτοῦ] αὐτοῦ
26. *καὶ ante δίδωσι] om.
28. *οὖν] om.
30. οἱ Bekk.] οἱ γὰρ

ὑποστρέφων δὲ πεντήκοντα νεανίας ἐνεδρεύοντας αὐτὸν συλλαβεῖν ἀναιρεῖ.

377. γράφεται καὶ "κεῖνος ἄμ' ἀντιθέῳ Πολυνείκει." τὸ δὲ ἀγείρων παρατατικῶς. ἱστέον δὲ ὅτι ἐπὶ τὰς τοιαύτας λειτουργίας δύο ἐπέμποντο κατάσκοποι πρέσβεις. ἡ ἀναφορὰ δὲ, ὅτι οὐδὲ ὁ Φοῖνιξ ἐν ταῖς λιταῖς πρεσβεύει.

378. Θῆβαί εἰσιν αἱ πᾶσαι τρεῖς, ὧν μέμνηται ὁ ποιητής· καὶ μία μὲν ὧν ποιεῖται νῦν λόγον· αἱ Ὑποπλάκιοι, ὧν μέμνηται ἐν τῇ Α καὶ τῇ Ζ, καὶ αἱ Αἰγύπτιαι, περὶ ὧν φησὶν ἐν τῇ Ι.

383. εἰ μὲν τὸ λέχος ἔγκειται, τροπῇ λεχοποίην λεχεποίην· εἰ μὴ τὸ λέχος ἔγκειται, ἐχεποίην, πλεονασμῷ τοῦ λ̄. ὥστε εἰ μὲν τὸ ἔχειν ἔγκειται, πλεονασμὸς, εἰ δὲ τὸ λέχος, ἀντίθεσις, πρὸς τὴν διάφορον ἐτυμολογίαν διάφορον πάθος.

384. *ἀγγελίην] ὅτι ἀντὶ τοῦ ἄγγελον.

*τὸ ἐπί περιττόν.

ἀγγελίην ἔπι] πλησιάσαντες τοῖς Θηβαίοις οἱ Ἀχαιοὶ ἔπεμψαν τὸν Τυδέα πρὸς αὐτοὺς, ἐντευξόμενον δηλονότι αὐτοῖς τοῖς Θηβαίοις περὶ ὧν ἐνόμιζον ἐγκαλεῖν οἱ Θηβαῖοι.

386. βίης Ἐτεοκληείης] περιφραστικῶς, τοῦ Ἐτεοκλέους.

390. ὁ ἀστερίσκος, ὅτι ἐνταῦθα ὑγιῶς τέτακται, ἐν δὲ τῷ τῆς Ἀθηνᾶς πρὸς τὸν Διομήδη λόγῳ (Il. 5, 808) οὐκέτι.

394. *οὕτως Μαίων βαρυτόνως, εἰς ἀποφυγὴν τοῦ ἐθνικοῦ.

τὸν Μαιονά τινες στοχάζονται κήρυκα γεγονέναι διὰ τὸ μόνον αὐτὸν σωθῆναι· ἱερὸν γὰρ ἦν τὸ γένος τῶν κηρύκων, διὸ φορτικὸν ἦν ἐνυβρίζειν αὐτούς· ὅθεν καὶ παροιμία ἐλέχθη τὸ "πρέσβις οὐ τύπτεται οὐδὲ ὑβρίζεται."

395. *Πολυφόντης] γράφεται Λυκοφόντης.

400. Ἀντίμαχός φησιν παρὰ συφορβοῖς ἀνατετράφθαι Τυδέα· καὶ Εὐριπίδης, "οὐκ ἐν λόγοις ἦν δεινὸς (Suppl. 902.) ἀλλ' ἐν ἀσπίδι." πιθανῶς δὲ προφυλαξάμενος ἀγορητὴν αὐτόν φησιν, ἵνα πρὸς τὴν ἀπολογίαν ὀκνήσῃ· διὸ οὐδὲν προσφθέγγεται ὁ Διομήδης.

4. ἱστέον] ἡ διπλῆ Cobetus.
5. κατάσκοποι delet Friedl.
ἀναφορὰ Bekkerus] διαφορὰ
8. *αἱ] om.
14. ἀντὶ τοῦ ἄγγελον] Conf. schol. ad 3, 206.
18. Θηβαῖοι Bekkerus] ἀχαιοί
21. Διομήδη] διομη$^{\delta}$ hic et alibi.
22. τοῦ ἐθνικοῦ] Quod in codicibus constanter Μηόνες et Παιόνες.
25. πρέσβις] Sic A, non πρέσβυς, ut Vill.
30. αὐτόν] *τὸν Διομήδην

* σὺν τῷ ν ἀμείνων Ἀρίσταρχος, ἵνα καθ' ἑαυτὸ λέγηται ἐπιπληκτικῶς. ἐλλείπει δὲ τὸ ἔστι ῥῆμα.

404. * μὴ ψεύδε'] τὸ πλῆρές ἐστι μὴ ψεύδεσ· ἀρκεῖ οὖν ἡ ὀξεῖα.

405. ἡμεῖς τοι] περὶ ἑαυτοῦ λέγει Σθένελος καὶ Διομήδους· οὗτοι γὰρ μόνοι τῶν ἐπιγόνων ἐστρατεύκεισαν ἐπὶ Ἴλιον. ἐπίγονοι δὲ ἐκλήθησαν τῶν ἐπὶ Θήβας στρατευσαμένων οἱ παῖδες.

407. ἀπὸ τούτου ἕως τοῦ κεῖνοι δὲ σφετέρῃσιν (409) ἀθετοῦνται στίχοι τρεῖς, ὅτι ἐπιλύει τὸ διὰ τῶν προειρημένων λεγόμενον. καὶ εἰ μὲν ἐφ' ἑαυτοῦ καὶ τοῦ Διομήδους λέγει ἀγαγόντε, ὑγιῶς τὸ δυϊκὸν παρείληπται, ψεῦδος δὲ περιέχει· οὐ γὰρ μόνοι ἐπεστράτευσαν· εἰ δὲ ἐπὶ πάντων τῶν στρατευσάντων, συγχεῖται τὸ δυϊκὸν καὶ ἐκλύεται ἡ ἀλκή· γίνονται γὰρ οἱ πατέρες ἀλκιμώτεροι, οὗτοι δὲ διὰ τὸ τοὺς θεοὺς συνεργεῖν πεπορθηκότες.

Ἄρειον] ἤτοι τὸ Ἄρεως ἱερὸν, ἢ τοῦ ἐν Τροίᾳ· ὅπερ καὶ βέλτιον.

410. Ἀρίσταρχος ἓν ποιεῖ τὸ ἔνθεο ἀντὶ τοῦ ἔνθου, ἵνα γένηται Ἀττικὸν, ὅμοιον τῷ "μὴ ψεῦσον ὦ Ζεῦ." (Arist. Thesm. 870.) Ἀπολλώνιος δὲ διαστέλλει τὸ ἐν, ἵνα γένηται ἐν ὁμοίᾳ.

412. ἧσο] οὐκ ἔπρεπεν αὐτὸν εἰς πόλεμον προερχόμενον καθέζεσθαι. βέλτιον οὖν λέγειν τὸ μετὰ σιωπῆς ἧσο.

* δασυντέον τὸ ἧσο.

ὅτι προσφώνησίς ἐστι φιλεταιρικὴ ἀμετάφραστος καὶ ἀμετάληπτος. λέγουσι δὲ αὐτό τινες ἐπίρρημα σχετλιαστικόν· οἱ δὲ κατὰ πάθος ἀπὸ τοῦ τέτλαθί φασιν εἶναι· οἱ δὲ, ὡς βάπτω βαπτίζω, οὕτως τέπτω τέττω τεττίζω καὶ τιτίζω· ἤδη γάρ τινες ἀξιοῦσι γράφειν "ἔνθ' ὅγε τοὺς ἐλεεινὰ κατήσθιε τιτίζοντας" (Il. 2, 314). ἐξ αὐτοῦ τέττης, καὶ κλητικὴ τέττα. οὕτω Σωτηρᾶς.

416. * ὅτι θηλυκῶς τὴν Ἴλιον.

421. ὀρνυμένου] τοῖς ἄνω προσδοτέον τὸ ὀρνυμένου, καὶ στικτέον μετ' αὐτὸ τελείᾳ. δύναται δὲ καὶ τοῖς ἑξῆς προσδιδόναι τις αὐτὸ, τελείας στιγμῆς πρὸ αὐτοῦ οὔσης, ἵν' ᾖ ὁ λόγος, ὁρμῶντος αὐτοῦ καὶ τὸν ἀνδρεῖον φόβος κατέλαβεν.

423. Ζεφύρου ὕπο κινήσαντος] Πτολεμαῖος ὁ τοῦ Ἀριστονίκου καὶ Νικίας καὶ Τυραννίων ἀναστρέφουσιν· οἱ δὲ ἄλλοι παρέλκειν

1. ἐπιπληκτικῶς Bekkerus] ἐκπληκτικῶς
5. * μόνοι] ἔκγονοι
24. Rectum est τιττίζω.
26. Σωτηρᾶς (σωτήρας A)] Fortasse Σωτηρίδας: v. Thes. 7 p. 1743.
29. μετ' αὐτὸ Friedl.] πρὸ αὐτοῦ

φασὶ τὴν πρόθεσιν, ἔνθεν καὶ φυλάσσεται ὁ τονος ὁμοίως τῷ "ἔσκεν ὑφηνίοχος" (Il. 6, 16) καὶ "Ποσειδάωνος ὑποδμώς" (Od. 4, 386).

426. *ἐὸν] Ἀρίσταρχος διὰ τοῦ ῑ ἰόν.

ἀποπτύει δ' ἁλὸς ἄχνην] πτύελος γὰρ τῆς θαλάσσης ἐστὶν ὁ ἀφρὸς ὃν ἐρευγομένη ἐκχεῖ. ἄλλοι δὲ καὶ φυκίον φασίν.

429. ἡ διπλῆ, ὅτι ὡς πρὸς ὑποκείμενον πρόσωπον λέγει οὐδέ κε φαίης ἀντὶ τοῦ οὐδὲ φαίη τις ἄν. τὸ δὲ ἑξῆς ἐστὶν, οἱ δ' ἄλλοι ἀκὴν ἵσαν σημάντορας δεδιότες. τὰ δὲ ἄλλα διὰ μέσου.

433. πολυπάμονος] πάματα καλεῖται παρὰ Δωριεῦσι τὰ κτήματα καὶ πάσασθαι τὸ κτήσασθαι, ἐκτεινομένου τοῦ ᾱ.

439. ὦρσε δὲ τοὺς μὲν Ἄρης] αἱ διπλαῖ, ὅτι διὰ μέσου τῶν Τρωϊκῶν θεῶν τέταχε τὴν Ἀθηνᾶν, καὶ ὅτι Δεῖμος καὶ Φόβος Ἄρεως υἱοί. πλανηθεὶς δὲ Ἀντίμαχος ἵππων Ἄρεως ὀνόματα ἀποδέδωκεν "Δεῖμός τ' ἠδὲ Φόβος πόδας αἰνετὼ, υἷε θυέλλης."

440. ἄμοτον] ἀπλήρωτον. ἀφ' οὗ καὶ μότα τὰ ἐπιτιθέμενα τοῖς κοίλοις τραύμασιν ὀθόνια πρὸς ἀναπλήρωσιν τῆς σαρκός.

448. χαλκεοθωρήκων] ὅτι ἐξ ἐπαναλήψεως λέγει ἀτὰρ ἀσπίδες· προείρηκε γὰρ "σύν ῥ' ἔβαλον ῥινούς."

449. ὀρυμαγδός ἐστι πολέμου ἦχος, ἔχων κτύπον ὅπλων, στρατιωτῶν ἀλαλαγμὸν, ἡγητόρων παράκλησιν, εὐχὴν ἀγωνιώντων, οἰμωγὴν ἀπολλυμένων, θρῆνον ἐπὶ πεπτωκόσιν. ἔστιν οὖν ὀρυμαγδὸς ἔνθα ὄρνυται ὅμαδος.

451. *ὅτι πρὸς τὸ δεύτερον πρῶτον ἀπήντηκεν· ἡ γὰρ εὐχωλὴ τῶν ὀλλύντων.

452. Πτολεμαῖος ὁ Ἀσκαλωνίτης παροξύνει, ἐπεὶ τὸ ἑνικόν ἐστι χειμάρρους· Νικίας δὲ ὡς εὔζωνοι, καὶ μήποτε πιθανώτερον, ἵνα ἐκ τοῦ χειμάρροος ᾖ γεγονὸς, εἴ γε μᾶλλον ἐντελέστερον. οἵδε δὲ τὸ ἑνικὸν ἐν τῇ συνθέσει ἧπερ τὸ συνηλειμμένον· "ὅσσους Ἑλλήσποντος ἀγάρροος" (Il. 2, 845) "στήῃ ἐπ' ὠκυρόῳ ποταμῷ" (Il. 5, 598) "ἐς ποταμὸν εἰλεῦντο βαθύρροον" (Il. 21, 8) "ἀψορρόου Ὠκεανοῖο" (Il. 18, 399). σπανίως δὲ τὸ ἕτερον· "χειμάρρους κατ' ὄρεσφιν ὄπαζεν" (Il. 11, 493) "ποταμῷ πλήθοντι ἐοικὼς χειμάρρῳ" (Il. 5, 87). τὸ

12, 13. Ἄρεως] ἄρεος, ut p. 190, 13
15. *ἐπιτιθέμενα] ἐπιθέματα
27. οἵδε δὲ Lehrsius Arist. p. 372] οἱ δὲ
28. συνηλειμμένον Bekkerus] συνειλημμένον

μέντοι γε ἁπλοῦν ἀεὶ ἐντελῶς ἀποφαίνεται ῥόος· "ὤθει δ' ἐν σάκεϊ πίπτων ῥόος" (Il. 21, 241).

453. *μισγάγκειαν] τὸ ἄγκος εἰς ὃ μίγνυνται οἱ ποταμοί.

454. χαράδρης] τῆς ἐγχαράξεως τοῦ ἐδάφους τῆς γιγνομένης ἀπὸ τῶν καταφερομένων ὀμβρίων ὑδάτων. εἴρηται δὲ ἀπὸ τοῦ οἱονεὶ ἐγκεχαράχθαι τῇ φορᾷ τοῦ ὕδατος.

456. *φόβος] ὅτι τὴν μετὰ δέους φυγὴν φόβον εἴρηκεν.

*Ἀρίσταρχος ἰαχή τε πόνος τε· οὐ γὰρ γέγονέ πω φυγή.

457. πῶς οὐκ Αἴας πρῶτος ἢ Διομήδης ἀριστεύει; καί φασιν ὅτι Πύλιοι πρῶτοι συνέρρηξαν. ἄλλοι δὲ, ὅτι ἐπεὶ ὁ Ἀντίλοχος ἄλκιμος καὶ ταχὺς ὑπόκειται, εἰκότως καὶ φονεύει πρῶτος. ἐμοὶ δὲ δοκεῖ ἀπ' ἐλάσσονος ἦρχθαι τὸν ποιητὴν, τὸ τῆς τύχης αἰνισσόμενος κράτος.

457, 458. συναπτέον κορυστὴν ἐσθλόν, ἵν' ᾗ τὰ ἑξῆς, ἔκτεινεν ἐν προμάχοις.

ὅτι οὐ κατὰ τὸ τυχὸν πρῶτον Ἀντίλοχον ἀναιροῦντα παράγει, ἀλλ' ὅτι τάχιστον αὐτὸν προσυνίστησι διὰ τῶν ἄλλων καὶ εὐκίνητον.

458. *Θαλυσιάδην Ἐχέπωλον] ὅτι ἄδηλον πότερον κύριον, ὁ Θαλυσιάδης ἢ ὁ Ἐχέπωλος.

κύριον τὸ δεύτερον· ἐπιθετικῶς γὰρ ὅτε φησὶ, ταχύπωλον λέγει καὶ αἰολοπώλους, καὶ πατρωνυμικοῖς ἀντὶ κυρίων οὐ χρῆται ὅτι μὴ ἐπὶ τοῦ "καὶ Ἀργεάδην πολύμηλον" (Il. 16, 417).

463. ὅτι ἀπὸ τῆς πληγῆς πέπτωκε· τοὺς γὰρ πόδας τοῖς πολεμίοις δέδωκεν.

465. διαστολὴ βραχεῖα βελέων· τἆλλα δὲ συναπτέον, λελιημένος ὄφρα τάχιστα.

468, 469. *τὸ ἑξῆς πλευρὰ οὔτασε, τὰ δὲ λοιπὰ διὰ μέσου.

472. ἐδνοπάλιζεν] δονῶ δονοπίζω, πλεονασμὸς δονοπαλίζω, καὶ συγκοπὴ δνοπαλίζω, ὡς πυκτεύω πυκταλεύω.

475. Ἴδηθεν] Ἴδη ἐστὶν ὄρος ὑψηλότατον Τροίας. ἔστι δὲ καὶ ἑτέρα Ἴδη τῆς Κρήτης, ἀπὸ Ἴδης τῆς τὸν Δία θρεψάσης νύμφης. Δίδυμος δὲ πάντα τὰ ὄρη ἴδας λέγει, ἀπὸ τοῦ δύνασθαι ἀπ' αὐτῶν πάντα καθορᾶν.

478. θρέπτρα] ὅτι Ζηνόδοτος γράφει χωρὶς τοῦ ῥ. λέγεται δὲ

3. ἄγκος Bekk.] ἄγγος
13. ἔκτεινεν ἐν προμάχοις addidit Lehrsius.
15. τυχὸν Lehrs.] ἐσθλὸν
16. προσυνίστησι Cobetus] παρασυνίστησι
20. αἰολοπώλους] ἐλαιοπώλους
χρῆται] χρᾶται

θρεπτά τὰ τεθραμμένα, θρέπτρα δὲ σὺν τῷ ρ̄ τὰ θρεπτήρια, ὥσπερ λύτρα τὰ λυτήρια.

482. ἐν εἱαμενῇ] ἐν καθύδρῳ καὶ βοτανώδει τόπῳ. ὠνομάσθε δὲ ἀπὸ τῆς ἐγέρσεως αὐτῶν καὶ ἀναδόσεως, παρὰ τὴν ἕσιν, ἣ ῥειαμένη τις οὖσα, ὁ καταρρεόμενος τόπος, κατὰ ἀφαίρεσιν τοῦ ρ̄· ἢ γέγονεν ἀπὸ τοῦ ἡμένη, ὁ ὁμαλὸς τόπος, ὡς δεξάμενος δεξαμενή, ἀκεσσάμενος ἀκεσσαμενή, εἶτα κατὰ διάλυσιν τοῦ η̄ εἰς ε̄ καὶ ᾱ ἑαμένη, ὡς ἥλω ἑάλω, ἤγη ἑάγη, καὶ κατὰ πλεονασμὸν τοῦ ῑ εἱαμενή.

*τὸ εἱαμενή δασυντέον ἀπὸ τῆς ἕσεως.

487. κεῖται ποταμοῖο παρ' ὄχθας] ὅτι τὴν αἰτίαν ἐν ἄλλοις παραδίδωσι δι' ἣν παρὰ ταῖς τῶν ποταμῶν ἀναβολαῖς τίθεται τὰ δρυτομούμενα ξύλα· "ὡς δ' ὁπότε πλήθων ποταμὸς πεδίονδε κάτεισι χειμάρρους κατ' ὄρεσφιν, ὀπαζόμενος Διὸς ὄμβρῳ, πολλὰς δὲ δρῦς ἀζαλέας, πολλὰς δέ τε πεύκας" (Il. 11, 493). τούτου χάριν ἵνα κατάγηται ὑπὸ τοῦ ῥεύματος.

490. *ἀκόντισεν ὀξέϊ δουρί] ἐν ἄλλῳ ἀκόντισε δουρὶ φαεινῷ.

491. *ὅτι συγχεῖται τὰ τῆς τάξεως διὰ τὴν τοῦ πολέμου ταραχήν.

492. βραχὺ διασταλτέον ἐπὶ τὸ βουβῶνα. οὐκ ἀναγκαῖον δὲ ἐκτείνειν τὴν τελευταίαν τοῦ νέκυν διὰ τὸ μέτρον· ἀπήρτηκε γὰρ εἰς μέρος λόγου.

497. ἀμφι ἕ] δασυντέον τὸ ε̄ καὶ ὀρθοτονητέον· μεταλαμβάνεται γὰρ εἰς σύνθετον.

499. νόθον] τὸν οὐ γνήσιον υἱόν, ἀλλ' ἐκ παλλακίδος ὄντα. αἱ γὰρ παιδοποιίαι παρὰ τῷ ποιητῇ λέγονται τετραχῶς· ὁ μὲν γνήσιος, ὁ δὲ νόθος καλεῖται παῖς, καὶ ἄλλος σκότιος, καὶ ἄλλος παρθένιος. γνήσιος μὲν οὖν καλεῖται ὁ ἐκ νομίμων γάμων, νόθος δὲ ὁ ἐκ παλλάκης· καὶ φησιν "εἰν ἑνὶ δίφρῳ ἑόντε νόθον καὶ γνήσιον ἄμφω" (Il. 11, 102). σκότιος δὲ ὁ ἐκ λαθραίας μίξεως, οἷον "σκότιον δέ ἑ γείνατο μήτηρ" (Il. 6, 24). παρθένιος δὲ ὁ ἐκ τῆς παρθένου ἔτι νομιζομένης γεννώμενος, ὡς τὸ "παρθένιος, τὸν ἔτικτε χορῷ καλὴ Πολυμήλη" (ib. 180). γίνεται δὲ νόθος νόθιος καὶ ἐν ὑπερθέσει ὀθνεῖος.

4. αὐτῶν] τῶν φυτῶν Bekkerus.
8. εἱαμενή] ἰαμενή A, qui addit δὲ λέγει τὴν ἀνάδοσιν τῶν φυτῶν.
12. πεδίονδε] πεδίον
13. ὀπαζόμενος] ὀπάζων
27. μὲν οὖν Bekkerus] οὖν μὲν
29. ἑ] om.

500. ἐξ ἐκείνου τοῦ τόπου ἐν ᾧ ἵπποι ἐγεννῶντο ταχεῖς. εἶπε δὲ ὅτι ἐκεῖ ἐτρέφοντο καὶ οἱ ἵπποι τοῦ Πριάμου.

*ὅτι οὕτως λέγει ὡς ἐν Ἀβύδῳ ἱπποτροφείων ὄντων τοῦ Πριάμου.

502. κόρσην] τὸν κρόταφον. ἐπὶ κόρσης γὰρ λέγουσιν οἱ Ἀττικοὶ τὴν γνάθον· καὶ "ἑτέροιο διὰ κροτάφοιο." ὡς οὖν ἔλλος ἔλαφος, κόρση κόρταφος καὶ κρόταφος. ἡ διπλῆ δὲ, διότι προειπὼν τὴν κεφαλὴν διέσταλκε κατὰ μέρος τὸν κρόταφον.

503. τὸν δὲ σκότος ὄσσε κάλυψεν] σολοικισμὸς παρὰ τὰς πτώσεις· ἔδει γὰρ εἰπεῖν τοῦ δὲ σκότος ὄσσε κάλυψεν.

508. Περγάμου ἐκκατιδών] ἐκ τῆς ἀκροπόλεως προσχών. Ὅμηρος δὲ μόνην τὴν τῆς Ἰλίου ἀκρόπολιν Πέργαμον καλεῖ, οἱ δὲ νεώτεροι πάσας τὰς ἀκροπόλεις. ἰστέον δὲ ὅτι οἱ παλαιοὶ κτίζοντες τὰς πόλεις ἐν τοῖς ὑψηλοτέροις τόποις τὰς ἀκροπόλεις ἐποίουν διὰ τὸ ἐκεῖσε προσφεύγειν ἀπὸ τῶν κοιλοτέρων τόπων τοὺς ἐνοικοῦντας ἐν τοῖς κατακλυσμοῖς.

513. *χόλον] ὅτι ἀντιφράζει τὸν χόλον τῇ μήνιδι ἐπὶ τοῦ αὐτοῦ προσώπου.

515. Τριτογένεια] ἡ Ἀθηνᾶ ἡ τὸ τρεῖν καὶ φοβεῖσθαι γεννῶσα τοῖς πολεμίοις, ἢ ἐπὶ Τρίτωνι ποταμῷ τῆς Λιβύης γεννηθεῖσα. ἢ ὅτι γεννηθεῖσαν ἔτρεσαν αὐτὴν οἱ θεοί.

517. *Ἀρίσταρχος μοῖρα πέδησε Ἰακῶς.

521. *λᾶας ἀναιδής] ὅτι μεταφορικῶς τὸ ἀνένδοτον καὶ σκληρὸν ἀναιδὲς λέγει.

523. *βραχεῖα διαστολὴ μετὰ τὸ ῥῆμα.

526. χολάδες τὰ ἔντερα, ἐπειδὴ εἰς αὐτὰ συρρεῖ ἡ ξανθὴ χολὴ, τοῦτο μηχανησαμένης τῆς φύσεως πρὸς τὸ διαθερμαίνεσθαι καὶ ἐρεθίζεσθαι αὐτὰ τῇ δριμύτητι αὐτῆς πρὸς τὴν ἀπόκρισιν τῶν περιττῶν. ἤμελλε γὰρ ψυχρὰ ὄντα τῇ κράσει ἀργὰ μένειν καὶ μηδέποτε ποιεῖν τὴν ἀπόκρισιν· τοιαῦτα γὰρ τὰ νευρώδη πάντα. οἱ δὲ ἠτυμολόγησαν παρὰ τὸ χεῖσθαι, οὐ καλῶς.

527. *ἐπεσσύμενον] Ἀρίσταρχος διὰ τοῦ ᾱ ἀπεσσύμενον, ἀπι-

3. οὕτως] οὗ A, non οὐ ut Vill. ἱπποτροφείων] ἱπποτροφίων, ut apud alios interdum: v. Thes. vol. 4 p. 650.

6. κεφαλὴν] κόρσην Lehrsius

19. *ἢ ὅτι] ἢ om.

31. Ἀρίσταρχος διὰ τοῦ ᾱ ἀπεσσύμενον] Sic etiam margo inter.

ὄντα τὸν Πείρωα. ἐν δὲ τῇ ἑτέρᾳ ἐπεσσύμενος, ἵνα ἐπὶ τοῦ Θόαντος λέγηται. ἄτοπος δὲ τέλεον ἡ φερομένη ἐπεσσύμενον.

*βάλε] ὅτι τὸ βάλε ἐκ βολῆς ἔτρωσε.

534. οἵ ἑ] ἐγκλιτικῶς ἀναγνωστέον, ἵνα εἰς ἁπλῆν ἀντωνυμίαν ἡ μετάληψις γένηται.

535. πελεμίχθη] ἡ διπλῆ πρὸς τὸ σημαινόμενον, ὅτι τὰ ἐμπησσόμενα τῇ ἀσπίδι δόρατα ἀναχωροῦντες διετίνασσον, ἵνα ἐκπέσῃ.

536. *συναπτέον ἕως τοῦ ἡγεμόνες.

539. ἔνθα κεν] ἡ διπλῆ, ὅτι περισσὸς ὁ κεν, καὶ ὅτι ῥῆμα καὶ χρόνος ἐνήλλακται. ἰστέον δὲ ὅτι ὁ Ἀσκαλωνίτης βαρύνει τὴν οὖ ἀπόφασιν, οὐκέτι, ἵνα ᾖ τὸ ἐξῆς ἀρχὴ ἔτι. φέρεται δὲ καὶ ἑτέρα ἀνάγνωσις, οὗ κέ τι, ἐν παραλλήλοις δύο ὀξείαις, ἵνα τρία μέρη λόγου γένηται, οὗ καὶ ὁ κε σύνδεσμος καὶ τὸ τι, ἵνα τὸ ἐξῆς ᾖ οὐκ ἂν ὀνόσαιτο καὶ φανέντα.

ὅτι διὰ λόγον τοιοῦτον τὸ ἔτι μόριον μετὰ τοῦ οὐχί ἔννοιαν ἀναδέχεται τοιαύτην, ἀπόφασιν γεγονότος πράγματος, οἷον "οὐκέτι φιλολογεῖ·" πρότερον γάρ τις ἐφιλολόγει· οὐκέτι περιπατεῖ. ἐὰν οὖν παραλάβωμεν οὐκέτι ἔργον ὀνόσαιτο, τοιοῦτό τι παραληψόμεθα, ὡς ὅτι πρότερον μὲν ὀνοτὸν ἦν τὸ ἔργον, νῦν δὲ οὐκέτι. ἔνθεν οἶμαι τρία μέρη λόγου παρελάμβανον, οἱ δὲ κατὰ παρολκὴν τὸ ἔτι, οἷον τὸ ἐν τῇ Ὀδυσσείᾳ (5, 153) "ἔνθ' οὐκέτι ἥνδανε νύμφη."

540. *ὅτι διέσταλκε τὸ οὐτάσαι καὶ τὸ βαλεῖν.

541. διασταλτέον μέσον καὶ ἑλοῦσα· ἤρτηται γὰρ ὁ λόγος ἐκ τῶν προκειμένων, ἵν' ᾖ ἡ διάνοια, τότε ἄν τις πάντα τὰ τῆς μάχης ἔργα κατεπλάγη παρατυχὼν, εἴ γέ τις ἄτρωτος διὰ μέσων ἐδύνατο πορευθῆναι, ἦγε δὲ αὐτὸν ἡ Ἀθηνᾶ ἁπτομένη τῆς χειρὸς καὶ τὰ φερόμενα ἀπέτρεπε βέλη.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀρισταρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ τοῦ Νικάνορος περὶ Ὁμηρικῆς στιγμῆς.

ΕΙΣ ΤΗΝ Ε.

1. *ἔνθ' αὖ] τότε ὅτε καὶ πολλοὶ ἀπώλοντο.

Διομήδεϊ] πῶς ἐν τῷ καταλόγῳ δεύτερον εἰπὼν Ἀχιλλέως Αἴαντα

12. Delevi ἐν παραλλήλοις post ἀνάγνωσις. 26. καὶ] om.

(Il. 2, 768) τὴν πρώτην ἀριστείαν οὐ τούτῳ, τῷ δὲ Διομήδει ἀνατίθησιν; ἢ ὅτι ὁ μὲν δυσκίνητος καὶ μεγαλόφρων τὴν φύσιν ὑπάρχων κατὰ πᾶσαν μάχην ἦν ἄριστος, ὁ δὲ ὀξὺς καὶ φιλότιμος ὢν ὑπὸ τῆς Ἀγαμέμνονος προτροπῆς ἀνεπτέρωται· οἱ γὰρ νεανίσκοι καὶ θυμώδεις ὑπερεθισθέντες εἰς μεγάλην τὴν ἐπίδοσιν ἀναφέρονται· ἢ ὅτι εἰς τὸν μείζονα κίνδυνον αὐτὸν φυλάττει τὸν περὶ τῶν νεῶν.

2. μένος καὶ θάρσος] τὸ μένος ἐστὶ τοῦ σώματος, τὸ δὲ θάρσος τῆς ψυχῆς· ἵνα οὖν δύνηται καὶ θαρρῇ, ἀμφότερα αὐτῷ ἔδωκεν· πολλοὶ γὰρ δύνανται μὲν, οὐ θαρροῦσι δέ. θάρσος δέ ἐστι κατὰ μὲν τοὺς Στωϊκοὺς φιλοσόφους τὸ ἀσφαλῶς πεποιθέναι αὑτῷ ὅτι οὐδενὶ ἂν δεινῷ περιπέσοι, κατὰ δὲ τοὺς ἐκ τοῦ Περιπάτου τὸ εὔελπιν εἶναι τοῦ μηδενὶ ἂν δεινῷ περιπεσεῖν ὅσον ἐφ' ἑαυτῷ κατὰ δὲ τοὺς ἐξ Ἀκαδημείας καὶ τοὺς Ἐρετρικοὺς ἐπίτασις θαρραλέα, κατὰ δὲ τοὺς Κυρηναϊκοὺς καὶ Ἐπικουρείους εὐσταθεῖν κατὰ διάνοιαν καὶ λόγον ἐν δεινῶν ὑπομοναῖς, ὡς φησιν ὁ ποιητὴς "καί οἱ μυίης θάρσος ἐνὶ στήθεσσιν ἔθηκεν" (Il. 17, 570). τί οὖν ἐστὶ θάρσος; τὸ εὔλογον παράστημα τῆς ψυχῆς, θράσος δὲ τοὐναντίον. δεόντως οὖν φησὶ μένος καὶ θάρσος, ἐπεὶ οὔτε ἡ δύναμίς τί ἐστιν ἄνευ θάρσους οὔτε τὸ θάρσος ἄνευ δυνάμεως. ἰστέον δὲ ὅτι ἑκάτερον θατέρου χωριζόμενον ἄπρακτον. Θαρσὼ δὲ παρά τισι τιμᾶται ἡ Ἀθηνᾶ. λέγεται δὲ θάρσος τὸ ὑπὸ θεοῦ ἔπαρμα τῆς ψυχῆς. οὐχ ὡς πρότερον δὲ μὴ ἔχοντος, ἀλλὰ τὸ ἔμφυτον ηὔξησεν. συνεκτικώτατα δὲ πρὸς ἀνδρείαν ἀμφότερα.

4. δαΐε οἱ] ἀντὶ τοῦ φαντασίαν πυρὸς ἀπὸ τῶν ὅπλων αὐτοῦ ἐποίει φαίνεσθαι, ὥστε πλέον εἶναι αὐτὸν ἐπίφοβον τοῖς Τρωσίν.

5. * ὅτι τὸν κύνα λέγει ἀστέρα. ὁ δὲ τέ περισσός.

ἰστέον ὅτι διαφέρει ἀστὴρ ἄστρου ταύτῃ, ᾗ ὁ μὲν ἀστὴρ ἐστιν ἓν σῶμα φύσεως θειοτέρας ἐννοίας ποιούμενος, ἄστρον δὲ τὸ ἐκ πολλῶν ἀστέρων συγκείμενον ἀστροθέτημα, ὅπερ μιᾷ φαντασίᾳ ὄφεως ὑπο-

1. * ἀνατίθησιν] ἀνατίθεται

8. *πολλοὶ] πολὺ. Correctum ex aliis, qui partim ἐπεὶ πολλοὶ μὲν δύνανται.

10. * αὑτῷ] αὐτ

11. περιπέσοι] περιπέσῃ. Correxi ex Eustathio p. 511, 30, qui plura ex hoc scholio excerpsit.

13. Ἀκαδημείας] * ἀκαδημίας

* ἐπίτασις θαρραλέα Eustathius] ἐπίστασθαι θαρραλαῖα

14. Ἐπικουρείους] ἐπικουρίους

20. Θαρσὼ] Θρασώ metri causa dixit Lycophro 936 τὴν Κυδώναν Θρασώ, ubi scholiasta legitima utitur forma Θαρσώ, ἐπώνυμα Ἀθηνᾶς—Θαρσὼ διὰ τὴν ἀνδρείαν.

πίπτει μετά τινος ἱστορίας τὴν ἀπόδοσιν ἔχον, οἷον ὁ διεζωκὼς δράκων τὰς δύο ἄρκτους καὶ τὰ λοιπά. ταῦτα δὲ κεῖται ἐν τῷ ἀρκτικῷ κύκλῳ, ὃς καὶ Βόρειος καὶ ἀειφανὴς προσαγορεύεται. ὁ δὲ ἀντικείμενος τούτῳ κύκλος ἀνταρκτικὸς καὶ ἀφανὴς καὶ νότιος καλεῖται.

6. *παμφαίνῃσι] ὅτι ἀντὶ τοῦ παμφαίνῃ. πλεονάζει δὲ Ἴβυκος τῷ τοιούτῳ. ἐλλείπει δὲ ἡ ἐξ.

Ὠκεανοῖο] λείπει ἡ ἐξ. Ὠκεανὸς δὲ ὁ ὁρίζων, παρὰ τὸ ὠκέως περὶ αὐτὸν ἀνύεσθαι τὸν δρόμον τῶν ἄστρων. ὥσπερ δὲ ἐπὶ σωμάτων τὰ λαμπρότερα λελοῦσθαί φαμεν, οὕτως καὶ ἐπὶ ἡλίου "πέμψεν ἐπ' Ὠκεανοῖο ῥοάων" (Il. 18, 240).

7. Ζωΐλος ὁ Ἐφέσιος κατηγορεῖ τοῦ τόπου τούτου, καὶ μέμφεται τῷ ποιητῇ ὅτι λίαν γελοίως πεποίηκεν ἐκ τῶν ὤμων τοῦ Διομήδους καιόμενον πῦρ· ἐκινδύνευσε γὰρ ἂν καταφλεχθῆναι ὁ ἥρως. ἔνιοι μὲν οὖν παραλελεῖφθαι τὸ ὡς κατὰ συνήθειαν τῷ ποιητῇ, ὡς καὶ ἐν ἑτέροις· "ὣς οἱ μὲν μάρναντο δέμας πυρός·" καὶ ἐνθάδε τὸ δαΐῃ οἱ ἀκάματον πῦρ, ἵν' ᾖ ὡς πυρὸς φαντασία, οὐκ εἰδικῶς πῦρ.

9. ἦν δέ τις] τοῦτο τὸ εἶδος διήγησις λέγεται. τρεῖς δὲ ἀρεταὶ διηγήσεως, σαφήνεια, συντομία, πιθανότης, ἅπερ ἐνέθηκεν, τὸ ἔθνος, τὸ ὄνομα, τὴν τύχην, τὸν τρόπον, τὴν ἀρχήν, τῶν παίδων τὰ ὀνόματα καὶ τὴν ἀρετὴν παραστήσας.

Δάρης ὡς Χάρης· ὁμολογεῖ καὶ ἡ γενική· Δάρητος γὰρ ὡς Χάρητος. εἰ γὰρ ὠξύνετο, ἡ γενικὴ ἐγίνετο Δαροῦς ὡς σαφοῦς, ὅτι τὰ εἰς ης δισύλλαβα ὀξύτονα, ἓν ἔχοντα σύμφωνον, εἰς ους περατοῦται κατὰ τὴν γενικήν, σαφοῦς πρηνοῦς πρυλοῦς φραδοῦς "φραδέος νόου ἔργα" (Il. 24, 354). τοιαύτη ἄρα ἐγίνετο καὶ ἡ τοῦ προκειμένου ὀνόματος κλίσις. περὶ δὲ τοῦ ψιλῆτος παρ' Αἰσχύλῳ καὶ τοῦ "Κουρῆτές τ' ἐμάχοντο" (Il. 9, 529) καὶ τοῦ κριτής ἐν τοῖς περὶ ὀνομάτων ἀποδώσομεν τὸν λόγον. γέγονε δὲ τὸ Δάρης ἤτοι παρὰ τὸ δείρω. καὶ ἐκδείρω (ἐοικὸς γὰρ ἱερεῖ), καὶ ἐχρῆν γε αὐτὸ εἶναι Δέρης ὡς Φέρης· ἐτράπη οὖν τὸ ε εἰς α· ἢ παρὰ τὸ δαίω τὸ καίω ἐν πλεονασμῷ τοῦ ρ.

5. παμφαίνῃ] παμφαίνει
9. * οὕτως] om.
13. * καταφλεχθῆναι] καταφλεχθεὶς
14. * παραλελεῖφθαι] παρειλῆφθαι
16. * εἰδικῶς] ἰδικῶς
20. * παραστήσας] om.
26. Αἰσχύλῳ] Fr. 344.
29. ἐοικὸς] εἰκὸς γὰρ ὡς ἱερεὺς ἔσχε καὶ τὸ ὄνομα παρὰ τὸ δείρω—Etym. M. p. 248, 42, ubi similia leguntur: v. Bast. ad Greg. Cor. p. 810.
αὐτὸ Bastius] αὐτῷ

14. *ἐπ' ἀλλήλοισιν] ἀντὶ τοῦ ἐπ' ἀλλήλους.

17. *οὐδ' ἔβαλ'] ἀντὶ τοῦ οὐκ ἐπέτυχεν.

19. μεταμάζιον] οὕτως μεταμάζιον ἓν ποιητέον ὡς τὸ μετάφρενον καὶ ἐνώπιον. παρῆκται δὲ παρὰ τὸ μαζός καὶ τὴν μετά, ὡς παρὰ τὸ χθονός καὶ τὴν ἐπί ἐπιχθόνιος, παρὰ ποταμόν παραποτάμιος. γίνεται γὰρ καὶ ἀπὸ δύο λέξεων κατὰ παράθεσιν ἔν τι παραγωγόν, ὡς τὸ Νεαπολίτης καὶ ἄλλα μυρία.

20. Ἰδαῖος δ' ἀπόρουσε] κατηγορεῖ καὶ τούτου τοῦ τόπου ὁ Ζωΐλος, ὅτι λίαν, φησί, γελοίως πεποίηκεν ὁ ποιητὴς τὸν Ἰδαῖον ἀπολιπόντα τοὺς ἵππους καὶ τὸ ἅρμα φεύγειν· ἠδύνατο γὰρ μᾶλλον ἐπὶ τοῖς ἵπποις. ἀλλὰ ῥητέον ὅτι κατέθορε μὲν τοῦ ἅρματος ὡς ὑπερασπίσων τὸν ἀδελφόν, εὐλαβηθεὶς δὲ τὸν πολέμιον εἰς φυγὴν ἐτράπη. οἱ δὲ λέγουσιν ὅτι εἰδὼς τὸ Διομήδους φίλιππον διὰ τοῦτο ἐᾷ τοὺς ἵππους, ὅπως περὶ αὐτοὺς γένηται. ἢ ὅτι οὐκ ἐπέστησε τῷ συμφέροντι· αἱ γὰρ φρένες ταραχθεῖσαι παρέπλαγξαν καὶ τὸν σοφόν. τοιοῦτος εὑρίσκεται παρ' αὐτῷ καὶ ὁ Ἀλέξανδρος, ἑλκόμενος ὑπὸ τοῦ ἐχθροῦ καὶ ἀγχόμενος ὑπὸ τῆς κόρυθος καὶ τῆς παρούσης συμφορᾶς. καὶ ἀγνοῶν χρήσασθαι τῷ παρόντι ξίφει κατὰ τοῦ πολεμίου.

21. *περιβῆναι] πρὸς τὴν περίβασιν, ὅτι κατὰ μεταφορὰν τὸ ὑπερμαχῆσαι, καὶ τὸ "ὃς Χρύσην ἀμφιβέβηκας" (Il. 1, 37) τοιοῦτόν ἐστιν.

22. οὐδὲ γὰρ οὐδέ] ἡ μία περισσὴ ἀπόφασις· "οὐδὲ γὰρ οὐδὲ βίη," "οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱός" (Il. 6, 130). καὶ ἔστιν ἡ μία μὲν ἐπὶ τοῦ πράγματος, θατέρα δὲ ἐπὶ τοῦ προσώπου.

27, 28. *πρὸς τὸ σχῆμα· ἔδει γὰρ τῶν υἱῶν Δάρητος τὸν μὲν ἀλευόμενον, τὸν δὲ κτάμενον.

28. τὸ παρ' ὄχεσφι προσδιδόασί τινες τοῖς ἑξῆς, ἵν' ᾖ παρ' ὄχεσφι πᾶσιν ὀρίνθη θυμός, καὶ λέγῃ τοὺς ἁρματηλάτας τεταράχθαι· ἄλλως ἀπηλάσθαι φησὶν ἤδη τὰ ἅρματα. βέλτιον δὲ τοῖς ἄνω αὐτὸ προσδιδόναι, καὶ νοεῖν ἐκ τοῦ παρ' ὄχεσφι τὸν τόπον τῶν

1. *ἐπ' ἀλλήλους Cobetus. ἐπαλληλ' A cum ultimae syllabae compendio.

12. τὸν ἀδελφὸν] *τῷ ἀδελφῷ

15. αἱ γὰρ φρένες—τὸν (τὸ A) σοφόν] Verba poetica, fortasse Pindari.

*ταραχθεῖσαι—τὸν σοφὸν] ταραχθῆσαι—τὸ σοφὸν

24. θατέρα] *ἡ ἑτέρα

26. ἀλευόμενον] In textu ἀλευάμενον.

28. λέγῃ] λέγει

29. ἄλλως ἀπηλάσθαι Friedl.] καὶ ἀλλαχοῦ ἱππηλάσθαι

ἁρμάτων. ἢ καὶ κυρίως· τὰ γὰρ ἅμα γινόμενα οὐ δυνατὸν ἅμα λέγεσθαι.

31. Ἄρες Ἄρες] ἐπαναβολὴ ὁ τρόπος. Ἰξίων δὲ τὸ δεύτερον ὀξύνει, ἵν' ᾖ ἀντὶ τοῦ βλαπτικέ. οὐδέποτε γὰρ κλητικὴ ἀναδιπλασιάζεται παρὰ τῷ ποιητῇ. οὐχ οὕτως δὲ ἔχει ἡ παράδοσις. τὸ δὲ ἀλαζονικὸν τοῦ δαίμονος ἐξαίρει τοῖς ἐπιθέτοις.

*παλιλλογία.

τειχεσιπλῆτα] ὅτι Ζηνόδοτος γράφει τειχεσιβλῆτα, ὁ τείχη καταβάλλων. Ποσειδῶνος δὲ ἔργον τὸ ἐκ θεμελίων καταβάλλειν καὶ τὰ ἐπίγεια σείειν, Ἄρεος δὲ τοῖς τείχεσι προσπελάζειν· καὶ ἔστιν ἐπίθετον ἀνάλογον τῷ παρὰ Στησιχόρῳ πυλαιμάχῳ.

37. *ἔκλιναν] ὅτι ἀντὶ τοῦ εἰς κλίσιν ἤγαγον καὶ κλιθῆναι ἐποίησαν.

39. *δασυντέον τὸ Ἀλιζώνων· οὕτω γὰρ ἱστοροῦνται λεγόμενοι. ἔθνος Θρᾳκῶν. ἄλλοι δὲ εἶπον αὐτὸ ἓν εἶναι τῶν περὶ τὴν Καρικὴν θάλασσαν οἰκούντων Περσῶν.

Ὀδίον] πρὸ τέλους ἡ ὀξεῖα, ἐπεὶ κύριόν ἐστιν· τὸ δὲ προσηγορικὸν ὄδιος ὡς σκότιος. βούλονται γὰρ τὰ τοιαῦτα τριβράχεα ἐπὶ κυρίων μὲν παροξύνειν, ἐπὶ δὲ προσηγορικῶν προπαροξύνειν, Τυχίος Δολίος, κἂν μὴ σχῇ διαστολήν, ὡς τὸ Χρομίος. Πτολεμαῖος μέντοι γε κἀν τῇ Ὀδυσσείᾳ (8, 370) ἀνεγίνωσκεν "Ἀλκίνοος δ' Ἀλίον," πρὸ τέλους ποιῶν τὴν ὀξεῖαν. ἔστι μέντοι γε διαπεφευγότα τινὰ, ὡς τὸ Ἄνιος καὶ Εὐφορίωνος Ξένιος, καὶ ἐν τῇ συνηθείᾳ τὸ Κρόνιος. ἡ δὲ διπλῆ πρὸς τὴν ὁμωνυμίαν τοῦ Ὀδίου.

43. Φαῖστον] προπερισπᾶται ἐπὶ τοῦ ἥρωος, ἐπὶ δὲ τῆς πόλεως ὀξύνεται "ἐς Φαιστὸν, μικρὸς δὲ λίθος" (Od. 3, 296).

44. *Τάρνης] πόλις Λυδίας, ἣ νῦν Σάρδεις.

46. *ἵππων ἐπιβησόμενον] πρὸς τὸ φυγεῖν δηλονότι.

52. *ὅτι σαφῶς τὸ βάλλειν ἀντὶ τοῦ τυγχάνειν.

53. *ὅτι Ζηνόδοτος γράφει χραῖσμεν θανάτοιο πέλωρα. ἀδιανόητον δὲ γίνεται τὸ λεγόμενον.

54. οὕτως ἐκηβολίαι ὡς εὐστοχίαι. ἔφαμεν γὰρ ὅτι τὸ ἀναδι-

6. ἐξαίρει] ἐξαιρεῖ
11. τῷ] τὸ
πυλαιμάχῳ Cobetus] πυλεμάχῳ
14. οὕτω Bekkerus] οὐ
16. Περσῶν] *ἐθνῶν
19. Τυχίος Δολίος] τύχιος δόλιος
24. πρὸς τὴν ὁμωνυμίαν τοῦ Ὀδίου] Verba in marg. inter. repetita.
26. μικρὸς] μικρὸν
27. *Λυδίας Eustath.] λυκίας

δόναι τὸν τόνον τῶν μεταγενεστέρων ἐστὶν Ἀττικῶν, ὅτε περὶ τοῦ "πῇ δὴ συνθεσίαι" (Il. 2, 339) διελαμβάνομεν.

56. *πρόσθεν ἔθεν φεύγοντα] ὅτι ἀπὸ τῆς πληγῆς πέπτωκε φεύγων καὶ τετραμμένος ἐπὶ στόμα.

60. Ἁρμονίδεω] ὅτι ὀνοματοθετικὸς ὁ ποιητὴς, καὶ ἐν Ὀδυσσείᾳ παραπλησίως ποιεῖ· οἰκεῖον γὰρ τέκτονος τὸ ἁρμόζειν, κἀκεῖ "Τερπιάδης δέ τ' ἀοιδός" (Od. 22, 330). καὶ ὅτι ἀμφίβολον πότερον ὁ Φέρεκλος ἔπηξε τὰς ναῦς ἢ ὁ Ἁρμονίδης, ἐφ' ἃ καὶ Ἀρίσταρχος φέρεται.

*πάντα] ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου δαίδαλα πολλά.

62. νῆας εἴσας] ἴσας τὰς ναῦς φησὶν, ὅτι ἀντιρρόπως πορεύονται· ἀντίρροπος δέ ἐστι ναῦς ἡ ἔχουσα ἴσα τὰ πλευρὰ κατά τε μέγεθος καὶ σχῆμα καὶ βάρος.

64. ἀθετεῖται, ὅτι οὐχ ὑγιῶς ἐξενήνοχεν, αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο ἑαυτῷ τε. ἔδει γὰρ αὐτῷ τε. ἡ δὲ οἳ ὀρθοτονεῖται νῦν διὰ τὴν ἀρχὴν, οὐ πάντως δὲ εἰς σύνθετον μεταληφθήσεται. ὅμοιον δέ ἐστι τὸ "ἀλλὰ τόδ' ἡμὲν ἐμοὶ πολὺ κάλλιον ἠδὲ οἳ αὐτῷ" (Il. 15, 226.)

κακὸν—οἵ τ' αὐτῷ, ἐπεὶ οὔτι θεῶν ἐκ θέσφατα ᾔδη] Λακεδαιμόνιοι λοιμῷ κρατηθέντες ἐμαντεύοντο περὶ ἀπαλλαγῆς· ὁ δὲ θεὸς αὐτοῖς ἔχρησεν ἐξιλάσκεσθαι τοὺς Τεύκρων δαίμονας οὕτως δὲ πρότερον οἱ Ἰλιεῖς ἐκαλοῦντο. Μενέλαος οὖν ἀφικόμενος εἰς Ἴλιον τὸ προσταχθὲν ἔπρασσεν, κἀκεῖθεν εἰς Δελφοὺς παρεγένετο περὶ παίδων γενέσεως χρησμὸν ληψόμενος. συνείπετο δὲ αὐτῷ καὶ Ἀλέξανδρος περὶ γυναικὸς μαντευόμενος. γενομένων οὖν ἀμφοτέρων ἐπὶ τὸ μαντεῖον, λέγεται χρῆσαι τὴν Πυθίαν τάδε· "τίπτε δύω βασιλῆες, ὁ μὲν Τρώων, ὁ δ' Ἀχαιῶν, οὐκέθ' ὁμοφρονέοντες ἐμὸν δόμον εἰσανέβητε, ἤτοι ὁ μὲν πώλοιο γόνον διζήμενος εὑρεῖν, αὐτὰρ ὁ πῶλον ἑλεῖν; τί νυ μήσεαι, ὦ μεγάλε Ζεῦ;" τοὺς δὲ μὴ νοήσαντας τὸ λόγιον χωρισθῆναι. ὁ δὲ λόγος, ἐπεὶ οὐκ ᾔδει τὰ ἐκ τῶν θεῶν μαντεύματα. Ἑλλάνικος δέ φησι χρησμὸν δοθῆναι τοῖς Τρωσὶν ἀπέχεσθαι μὲν ναυτιλίας, γεωργίᾳ δὲ προσέχειν, μὴ τῇ θαλάσσῃ χρώμενοι ἀπολέσωσιν ἑαυτούς τε καὶ τὴν πόλιν.

7. ἀμφίβολον] ἀμφίβολος
12. *κατά τε] κατὰ τὸ
14. ὑγιῶς] ὑγειῶς
21. *τοὺς—δαίμονας] τοῖς—δαίμοσιν
23. *Δελφοὺς] θεὸς
26. δύω] δύο
27. *ὁμοφρονέοντες] ὁμὰ φρονέοντες
30. *Ἑλλάνικος] ἑλληνικὸν

* οὕτως Ἀρίσταρχος διὰ τοῦ η̄, ἤδη.

67. κατὰ κύστιν] αἰσχρὸν τὸ τραῦμα τοῦ τῆς πορνείας ναυπηγοῦ. βία δὲ δηλοῦται τῆς πληγῆς· ὀστέοις γὰρ σκέπεται ἡ κύστις ἃ παρῆλθε τὸ δόρυ.

68. * ὅτι καὶ οὗτος ἐπὶ τὴν πληγὴν πέπτωκεν.

69. Πήδαιον] Ἀρίσταρχος ὡς Πήδασον, καὶ ἐπεκράτησεν. καὶ ἴσως ἔχει ἀφορμὴν τοιαύτην, ὡς πολλάκις τὰ τοιαῦτα τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, εἰ ῥῆμα αὐτῶν προκατάρχοι, ὥσπερ ἔχουσι τὸ βέβαιος (παρὰ γὰρ τὸ βέβηκα), ὡς τὸ Φίλαιος, τὸ Νίκαιος, τὸ Τίμαιος. τοιοῦτον οὖν καὶ τὸ Πήδαιος. οὐ γάρ, ὡς οἴεται ὁ Ἄβρων, παρὰ τὴν πῆδον· ἐοικὸς γὰρ μᾶλλον ἥρωϊ παρὰ τὸ πηδᾶν ἐσχημάτισται.

70. ὅτι βαρβαρικὸν ἔθος τὸ ἐκ πλειόνων γυναικῶν παιδοποιεῖσθαι.

73. ἰνίον] τὸ κοῖλον τοῦ τένοντος. κέκληται δὲ οὕτως διὰ τὸ νευρῶδες εἶναι. ἢ τὸ πλατὺ καὶ παχὺ νεῦρον τὸ καθῆκον ἀπὸ τῆς κεφαλῆς ἐπὶ τὸν αὐχένα.

75. * ἐν κονίῃς] ἐν ἄλλῳ ἤριπε δ' ἐξ ὀχέων.

ψυχρὸν] ἤτοι κυρίως διὰ τὸ ψυχρὸν καὶ ἄθερμον εἶναι τὸν σίδηρον, ἢ τὸν τοῦ ψύχους ποιητικόν, διὰ τὸ ἀποψύχεσθαι τοὺς ἀναιρουμένους ὑπ' αὐτοῦ· τὸν γοῦν ψυχροποιὸν σίδηρον τοῖς ὀδοῦσιν ἔλαβεν.

76. Εὐαιμονίδης] ψιλοῖ ὁ Ἀσκαλωνίτης, ἵνα κύριον γένηται, ὥσπερ καὶ τὸ Φίλιππος καὶ τὸ Μελάνιππος. ἔστι μὲν οὖν ὃ λέγει πιθανόν (διὰ τοῦτο γοῦν καὶ τὸ Πολύμνια πῇ μὲν ψιλοῦμεν πῇ δὲ δασύνομεν, καὶ τὸ Εὐρύαλος Ἀγχίαλος), οὔ γε μὴν ἀληθές· εὑρέθη γὰρ τὸ Πάνορμος δασυνόμενον, καὶ Ἔφιππος ὁ κωμικός.

79. * Εὐρύπυλος, Εὐαίμονος ἀγλαὸς υἱός] πρὸς τὴν ἐπανάληψιν τοῦ ὀνόματος.

81. τὸ ῥᾴδιον τῆς ἐκτομῆς ἐδήλωσεν ἔξεσεν εἰπὼν, οὐκ ἀπέκοψεν.

83. ἔλλαβε πορφύρεος θάνατος] ὅτι οἱ ἀρχαῖοι κριτικοὶ πορφύρεον θάνατον τὸν τοῦ ἐπὶ στόμα πεπτωκότος ὑπτίου. λέγει δὲ πορφύρεον τὸν μέλανα, ἐξ οὗ δηλοῖ τὸν χαλεπόν· "πορφύρεον δ' ἄρα

8. εἰ] ἢ
12. ἐσχημάτισται] ἐσχηματίσθαι Vill.
23. Πολύμνια] πολύμνεια
24. οὔ γε μὴν] Vid. ad p. 180, 15. ἀληθές] διηνεκές Lehrsius, qui plura de hoc scholio dixit Herod. p. 227.
26. ἐπανάληψιν] Nam praecesserat v. 76 Εὐρύπυλος Εὐαιμονίδης.

κῦμα" (Il. 21, 326) ἀναλόγως τῷ "μέλαν δέ ἑ κῦμα κάλυψεν" (Il. 23, 693).

85. ἡ διπλῆ, ὅτι ὡς πρός τινα διαλέγεται μὴ ὑποκειμένου προσώπου, καὶ ὅτι ἀντὶ τοῦ οὐκ ἄν τις ἔγνω, καὶ χρόνος ἐνήλλακται.

89. *ἐεργμέναι] Ἀρίσταρχος ἐερμέναι.

99. ὅτι τὸ ὅλον κύτος τοῦ θώρακος γύαλον διὰ τὴν κοιλότητα λέγει, οὐ μέρος ὡρισμένον τοῦ θώρακος. τὸ γυαλον ὅταν ἐπίθετον ᾖ, ὀξύνεται· "εὖτ' ἂν ὁ παῖς ἀπὸ μὲν γυαλὸν λίθον ἀγκάσσασθαι."

100. ἀντικρυ] ὀξύνεται καὶ ἐκτείνεται· ὅταν δὲ ἔχῃ τὸ σ, συστέλλεται καὶ βαρύνεται. τὸ δὲ αἴτιον ἐν τῷ περὶ ἐπιρρήματος ἐροῦμεν.

103. ἄριστος] ἀντὶ τοῦ ἀριστεύς· Αἴας γὰρ μετ' Ἀχιλλέα. ἢ διὰ τὴν εὐδαιμονίαν· "ὃν δὴ ἐγὼ κάρτιστον Ἀχαιῶν" (Il. 6, 98). ἢ ἑαυτὸν ὑψῶν ὁ Πάνδαρος ἄριστον τὸν τρωθέντα φησὶν ὑπ' αὐτοῦ.

104. *Ἀρίσταρχος δήθ' ἀνσχήσεσθαι.

*Ἀρίσταρχος βέλος.

105. *ὅτι τῆς Τρωϊκῆς Λυκίας.

Λυκίηθεν] Λυκίας χώρας, ἧς ἐβασίλευε Σαρπηδών. ἔστι δὲ καὶ ἑτέρα τῆς Τρῳάδος πόλις, ἧς ἐβασίλευε Πάνδαρος.

107. *ἐπὶ τὸ ἀναχωρήσας βραχὺ διασταλτέον.

112. *ἐπὶ τὸ στάς βραχὺ διασταλτέον.

113. ἀνηκόντιζε] ἐμφατικὴ ἡ μεταφορὰ τοῦ αἵματος ἀναθέοντος μετὰ βίας· ἀρτηριώδης γὰρ καὶ φλεβώδης ὁ τόπος.

116. *ταῦτα τοῖς ἑξῆς βέλτιον προσνέμειν.

118. *δός δέ τε μ' ἄνδρα ἑλεῖν] οὕτως ἔν τισιν Ἡρωδιανός. ἡ δὲ γραφὴ, τόνδε τέ μ' ἄνδρα.

ἐς ὁρμὴν ἔγχεος ἐλθεῖν] τουτέστι διὰ δόρατος ἀγωνίσασθαι, μὴ τόξοις μακρόθεν, καὶ ὑπ' ἐμοῦ ἀναιρεθῆναι. ἢ ἐμὲ ποίησον ἐλθεῖν

1. τῷ] τὸ

6. κοιλότητα Bekkerus] ποικιλότητα

8. εὖτ'—ἀγκάσσασθαι] Callimachi fragmentum, de quo v. Schneider. p. 773.

ἀγκάσσασθαι Schneiderus] ἀγκάσασθαι, ut Eustathius p. 526, 42.

12. *ἀριστεύς] ἠρίστευεν

*ἡ] om.

14. *ὑπ' αὐτοῦ] om.

15. ἂν σχήσεσθαι pro ἀνσχήσεσθαι Bekkerus, recte, nisi diversa fortasse Zenodoti scriptura exstitit ἀσχήσεσθαι: v. La Roche *Textkr.* p. 394.

16. Ἀρίσταρχος βέλος] Alii igitur aliud quid legerunt.

25. Ἡρωδιανός. ἡ δὲ γραφὴ] Ἡρωδιανὸς δὲ γράφει Cobetus.

πρὸς ἄφεσιν δόρατος, τουτέστι δύνασθαι ἀφεῖναι δόρυ· κάμνει γὰρ ἤδη. ἢ εἰς τὴν ὁρμὴν τοῦ ἐμοῦ ἔγχους ποίησον αὐτὸν ὑπαντῆσαι.

119. *ὅς μ' ἔβαλε φθάμενος καὶ ἐπεύχεται] ἅπτεται γὰρ τῶν μειζόνων ἡ τῶν χειρόνων μεγαλαυχία.

121. *ὣς ἔφατ' εὐχόμενος] ὅτι κατὰ τὴν ἡμετέραν χρῆσιν νῦν τὸ εὐχόμενος.

122. γυῖα δ' ἔθηκεν ἐλαφρά] ὁ ἀστερίσκος, ὅτι ἐντεῦθεν μετενήνεκται εἰς τὸν ἐπὶ Πατρόκλῳ ἀγῶνα ἐπ' Ὀδυσσέως τρέχοντος (Il. 23. 772).

124. *Τρώεσσι μάχεσθαι] ἀντὶ τοῦ μάχου.

126. Τυδεύς] φασὶν ἐν τῷ Θηβαϊκῷ πολέμῳ Τυδέα τρωθέντα ὑπὸ Μελανίππου τοῦ Ἀστακοῦ σφόδρα ἀγανακτῆσαι· Ἀμφιάρεων δὲ φονεύσαντα αὐτὸν δοῦναι τὴν κεφαλὴν Τυδεῖ· τὸν δὲ δίκην θηρὸς ἀναπτύξαντα ῥοφεῖν τὸν ἐγκέφαλον ὑπὸ θυμοῦ. κατ' ἐκεῖνο δὲ καιροῦ παρεῖναι Ἀθηνᾶν ἀθανασίαν αὐτῷ φέρουσαν ἐξ οὐρανοῦ, καὶ διὰ τὸ μύσος ἀπεστράφθαι. τὸν δὲ θεασάμενον παρακαλέσαι κἂν τῷ παιδὶ αὐτοῦ χαρίσασθαι τὴν ἀθανασίαν. ἱστορεῖ Φερεκύδης.

127. ἀχλὺν δ' αὖ] τὴν ἀορασίαν δή σου τῶν ὀφθαλμῶν ἀφειλόμην. πῶς οὖν φησὶν ἐν τοῖς ἑξῆς ὅτι ἀγνοεῖ τὸν Γλαῦκον Διομήδης, λέγων "τίς δὲ σύ ἐσσι φέριστε" (Il. 6, 123); καί φαμεν ὅτι πρὸς καιρὸν ἀφῄρηται τὴν ἀχλὺν ὑπὸ τῆς Ἀθηνᾶς, ἵνα τρώσῃ τὴν Ἀφροδίτην καὶ Ἄρεα· τρωθέντων δὲ τούτων πάλιν κατὰ τὸ σιωπώμενον ἀντ-αποδίδοται ἡ οἰκεία ἀχλύς, δι' ἣν αἰτίαν ἀγνοεῖ καὶ τὸν Γλαῦκον.

128. ἠδὲ καὶ ἄνδρα] ὅτι Ζηνόδοτος γράφει ἠμὲν θεὸν ἠδ' ἄνθρωπον. ἰδίως δὲ εἴρηκεν ἄνδρα διὰ τὸ καὶ ἄνδρας πολεμεῖν.

129. πειρώμενος] ἀπόπειραν ποιούμενος, ἢ πειρώμενος λανθάνειν ἐν ἀνθρώπου μορφῇ.

130. ἐνθάδε βούλονται τοῦ ἀντικρύ τὴν τελευταίαν συστέλλειν διὰ τὸ μέτρον.

131. ἀτὰρ εἴ κε] ἐὰν δέ. μόνην δὲ βούλεται τρωθῆναι τὴν Ἀφροδίτην διὰ τὸ προειρηκέναι τὸν Δία "τῷ δ' αὖτε φιλομμειδὴς Ἀφροδίτη αἰεὶ παρμέμβλωκε, καὶ αὐτοῦ κῆρας ἀμύνει" (Il. 4, 10). κατὰ χεῖρα τιτρώσκεται ἡ Ἀφροδίτη, ὅτι χειρὶ λαβομένη παρήνει τῇ

14. *ὑπὸ θυμοῦ] om.
17. *αὐτοῦ] αὐτὴν
19. *πῶς οὖν φησὶν] φῶς (sic) φησὶν
22. *κατὰ τὸ σιωπώμενον] καὶ τὰ σιωπώμενα
30. *τρωθῆναι] om.

Ἑλένῃ. καὶ ἄλλως ἠρέθισται ἀκούουσα ἡ πρακτικὴ φρόνησις, καὶ καταφρονεῖν τὸν Διομήδη ἡδονῶν παρασκευάζει.

132. *τήν γ' οὐτάμεν] Ζηνόδοτος τὴν οὐτάσαι. διχῶς Ἀρίσταρχος, καὶ οὕτως, τήν γ' οὐτάμεν, καὶ χωρὶς τοῦ γέ, τὴν οὐτάμεν.

133. ἡ μὲν ἄρ' ὣς εἰποῦσ'] ὣς ἄρα φωνήσασ' supra versum.

136. *ἕλεν μένος] Πτολεμαῖος ὁ τοῦ Ὀροάνδου ἐν τῷ περὶ τῆς ὁπλοποιίας διὰ τοῦ χ προφέρεται, ἔχεν μένος.

138. *χραύσῃ] ξύσῃ, ψαύσῃ.

ὑπεράλμενον] Διονύσιος ἀναστρέφει τὴν ὑπέρ. ὁ δὲ Ἀσκαλωνίτης ἓν ἐποίει, ὃ καὶ πιθανώτερον.

140. *ὅτι πρὸς τὸ σημαινόμενον καὶ οὐ πρὸς τὸ ῥητὸν τοῦτο ἐπήγαγεν.

ἀλλὰ κατὰ σταθμούς] ὅτι σταθμοὺς τὰς κατ' ἀγρὸν ἐπαύλεις. καὶ ὅτι ἐπὶ τὸ συνώνυμον εἴληφεν· ἄνω γὰρ εἴρηκεν "εἰροπόκοις ὀΐεσσι," νῦν δὲ τὰ δ' ἐρῆμα φοβεῖται.

142. ἐξάλλεται] ἔνιοι τὸ ἐξ ἀντὶ τοῦ ἔξω ἀκούουσιν· ἔξω ὢν βαθέης αὐλῆς ἅλλεται εἰς τὸ ἐντός· ὁ μέντοι Ἀπολλώνιος ἐν τῷ περὶ προθέσεως ἓν λέγει εἶναι τὸ ἐξάλλεται.

145. *ὅτι τὴν πόρρωθεν τρῶσιν βολὴν λέγει.

146. *ὅτι Ζηνόδοτος γράφει τοῦ δ' ἑτέρου. ὁ δὲ ποιητὴς οὕτως λέγει "ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα" (Il. 1, 197).

κλῇΐδα τὴν κατάκλειδα, παρὰ τὸ κλείεσθαι ὑπ' αὐτῆς τόν τε αὐχένα καὶ τὸν ὦμον. καὶ Δημοσθένης φησὶ "τὴν κλεῖν κατεαγότα" (de Cor. p. 247, 11).

147. *πρὸς τὴν διαφορὰν τοῦ πλῆξε καὶ ἔβαλεν, ὅτι ἐκ χειρὸς ἐπάταξεν.

148. τοὺς μὲν ἔασ'] πρὸς τὴν ὁμωνυμίαν· καὶ γὰρ Ἀργείων ἐβασίλευε Πολύϊδος ὁ τὸν Μίνως ἀνευρὼν παῖδα μάντις. ἡ δὲ ἀναφορὰ πρὸς τὸ "Αἴθρη Πιτθῆος θυγάτηρ" (Il. 3, 144).

149. *ὀνειροπόλοιο] ὅτι ὀνειροπόλος ὁ διὰ τῶν ἰδίων ὀνείρων μαντευόμενος, οὐχ ὁ ὀνειροκρίτης.

150. τοῖς οὐκ ἐρχομένοις] ἡ διπλῆ πρὸς τὴν ἑρμηνείαν. τὸ δὲ ὅλον, οἷς τισὶ μὴ ἐπανιοῦσι τοῦ πολέμου ὁ γέρων ἔκρινε τοὺς ὀνείρους.

1. *καὶ alterum] om. 3. τὴν οὐτάσαι A, non τήν γ' οὐτάσαι ut Vill. 15. ἐρῆμα] ἐρεῖμα

ἔστι γὰρ τῶν ἀμφιβόλων· ἤτοι γε ἐμαντεύσατο ὡς οὐκ ἐπανερχομένοις, ἢ ἐν ἤθει λέλεκται, καὶ οὐ προεῖπε διὰ τῶν ὀνείρων ὅτι ἀναιρεθήσονται.

153. *ὅτι καὶ ἐπὶ δύο τὸ τηλυγέτω.

156. ἀμφοτέρω] ὅτι Ζηνόδοτος γράφει σὺν τῷ ν̄ ἀμφοτέρων. οὕτως δὲ λέγει, ἀμφοτέρους ἀφείλετο τὸν θυμόν· τὸ γὰρ ἀμφοτέρω νῦν ἀμφοτέρους σημαίνει. ὁμοίως δὲ λέγεται κατὰ τὸ ἐνικόν "ἐπεί μ' ἀφέλεσθέ γε δόντες" (Il. 1, 299).

158. *χηρωσταί] οἱ ἀλλότριοι τοῦ γένους κληρονόμοι.

χηρωσταί] ὡς ἀθληταί. οὕτως καὶ ὁ Ἀσκαλωνίτης· τὰ γὰρ εἰς της λήγοντα ῥηματικὰ ὑπὲρ δύο συλλαβὰς, φύσει μακρᾷ παραληγόμενα, ὀξύνεται, τορευτής βραβευτής ἀθλητής ποιητής ὀρχηστής χρυσωτής. οὕτως οὖν καὶ παρὰ τὸ "ἐεδνώσαιτο θύγατρα" (Od. 2, 53) τὸ ἐεδνωτής, καὶ παρὰ τὸ "χήρωσας δὲ γυναῖκα" (Il. 17, 36) τὸ χηρωστής. μάχεται τὸ κυβερνήτης· τὸ γὰρ ἀήτης ἄλλως γέγονε. τὸ δὲ παρὰ Σοφοκλεῖ ἐν Ἀλεξάνδρῳ (fr. 83.) "στείχων δ' ἀγρώστην ὄχλον" παρώνυμον.

162. *ὅτι Ζηνόδοτος γράφει βουκόλου ἠὲ βοός. παραλλήλως δὲ τὸ εἶδος τῷ γένει τέταχεν.

164. ἀέκοντας] στερήσίς ἐστι τοῦ ἑκόντα τὸ ἀέκοντα· διὸ δασυντέον τὸ ε̄. πταίει οὖν Νικίας ψιλῶν τὸ ε̄· οἴεται γὰρ τῷ ἀκόντα ἐπεντίθεσθαι τὸ ε̄, ὅπερ οὐκ ἔστι· τὸ γὰρ ἄκοντα συναλοιφή ἐστι τοῦ ἀέκοντα. διὰ τί δὲ τὸ ᾱ ἐψιλώθη ἐν ἑτέροις ἔφαμεν.

169. *εὖρε] πρὸς τὸ ἀσύνδετον.

173. *ἡ διπλῆ, ὅτι τὴν Τρωϊκὴν Λυκίαν λέγει.

177. εἰ μή τις] πρὸς τὸ ἀμφίβολον, εἰ μὴ οὗτος αὐτὸς θεός ἐστιν ὁ ἐναντιούμενος, ἢ εἰ μή τις θεὸς ἐγκοτῶν τοῖς Τρωσὶ τῷ πολεμίῳ ἀρήγει.

178. ἐπὶ μῆνις] Ἀρίσταρχος παρολκὴν οἴεται τῆς ἐπί, ὁμοίως τῷ ἐπισμυγερῶς (Od. 3, 195) καὶ "βοῶν ἐπιβουκόλος ἀνήρ" (ib. 422). ὅταν δὲ παρέλκῃ ἡ πρόθεσις, οὐ ποιεῖται ἐξαλλαγὴν τόνου. εἰσὶ δὲ οἳ ἀνεγνώκασιν ὁμοίως τῷ "ἐπεὶ οὔ τοι ἔπι δέος" (Il. 1, 515), ἵνα

4. ὅτι καὶ Pluygers. p. 8] καὶ ὅτι τηλυγέτω] τηλύγετος
6. ἀμφοτέρους] ἀμφοτέροις
9. Scholion sine lemmate in marg. inter. scriptum a m. recentiore; ut videtur.
21. τῷ Lehrsius] τὸ

τὸ ἔπεστι σημαίνηται. ἄλλοι δὲ ἐπίμηνις, ἓν μέρος λόγου ποιοῦντες. ἄμεινον δὲ τῷ Ἀριστάρχῳ συγκατατίθεσθαι.

181. *Ἀρίσταρχος διχῶς, καὶ μίν καὶ μέν, Τυδείδῃ μιν ἐγώ.

183. ἀθετεῖται, ὅτι δεξάμενός τις εἰ μή τις θεός ἐστιν ὁ ἐναντιούμενος, ἐνέγραψεν αὐτόν. οὐ διστάζει δὲ, ἀλλ' ἐπίσταται σαφῶς ὅτι Διομήδης ἐστί· διὸ λέγει "Τυδείδῃ μιν ἔγωγε δαΐφρονι πάντα ἐΐσκω, ἀσπίδι γινώσκων αὐλώπιδί τε τρυφαλείῃ."

187. ὅτι Ζηνόδοτος ἠθέτηκεν αὐτόν. οὐ γὰρ ἐτράπετο ἄλλῃ τὸ βέλος, ἀλλ' ἔτυχεν αὐτοῦ. οὐ λέγει δὲ ὅτι καθόλου ἀπέτυχεν, ἀλλ' ὅτι ἐπὶ καίριον τόπον φερόμενον παρέτρεψεν.

188. *καὶ προηκάμην, φησὶ, καὶ ἔτρωσα τὸν ὦμον.

189. *θώρηκος γυάλοιο] ὅτι περιφραστικῶς πάλιν κύτους.

191. ὅτι εὐκρινὲς γίνεται τὸ ἐν τοῖς ἐπάνω (177) ἀμφίβολον, ὅτι συνεργὸν λέγει τῷ πολεμίῳ θεόν.

194. πρωτοπαγεῖς] πρώτως παγέντες, ὅ ἐστιν ἐξόχως.

ὅτι Ζηνόδοτος ἠθέτηκεν ὡς ταυτολογοῦντος, πρωτοπαγεῖς νεοτευχέες, ἀγνοῶν ὅτι ἐνίοτε παραλλήλως τάσσει τὰς ἰσοδυναμούσας λέξεις.

195. *ὅτι δύο ἵπποις ἐχρῶντο.

196. κρῖ] κριθάς· ἀποκοπὴ τὸ πάθος. εἰδέναι δὲ δεῖ καὶ ζητεῖν πότερον ἐκ τοῦ κρίμνον ἢ ἀπὸ τῆς κριθῆς ἀποκέκοπται τὸ κρῖ· εἰ μὴ γὰρ ἦν τὸ κρῖ οὐδετέρου γένους, οὐκ ἐποιεῖτο τὴν σύνταξιν μετὰ τοῦ λευκόν οὐδετέρου, οἷον κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας. καὶ αὐτὸ γὰρ τὸ κρίμνον οὐδετέρου γένους ἐστίν. φαίη τις πρὸς τοῦτο, οὐδὲν μέγα· δύναται γὰρ καὶ ἐπὶ θηλυκοῦ λαμβάνεσθαι, οἷον τὴν κρῖ λευκὸν οὖσαν, ἀντὶ τοῦ ὥσπερ τὴν λευκὸν θεὸν, τὴν δοῦλον, ἅπερ εἰσὶν Ἀττικά. κρίμνον δὲ τὸ λεπτὸν ἄχυρον τῆς κριθῆς. ἀποδέδεικται οὖν ὅτι τὸ κρῖ ἐκ τοῦ κρίμνον καὶ οὐκ ἐκ τῆς κριθῆς ἐστὶ γεγονός.

ἐρεπτόμενοι] κυρίως ἀπὸ τῆς ἔρας λαμβάνοντες· οὕτω γὰρ δηλοῖ διαιρουμένη ἡ λέξις.

197. *αἰχμητά] ὅτι ἀντὶ τοῦ αἰχμητής, ὡς "αὐτὰρ ὁ αὖτε Θυέστα" (Il. 2, 107).

199. *ἐμβεβαῶτα] ἐμβεβηκότα. οὕτως Ἀρίσταρχος.

16. ἠθέτηκεν Heynius] μετέθηκεν 19. δύο] δυσὶν Vill.
26. δοῦλον Bekkerus] δούλων

200. ἀρχεύειν Τρώεσσι] ὅτι οἱ τὴν Ζέλειαν οἰκοῦντες ὑπὸ τὴν Ἴδην καὶ ὑπὸ Πάνδαρον Τρῶες ἐλέγοντο.

202. φορβῆς] ὡς τροφῆς· τὰ γὰρ εἰς η̄ λήγοντα θηλυκὰ μετὰ συμφώνου δισύλλαβα ὀξύνεται, τῷ ο̄ παραληγόμενα, εἰ γένοιτο ἀπὸ ῥημάτων τῷ ε̄ παραληγομένων μόνῳ, οἷον στρέφω στροφή, τροπή τροφή ῥοπή σπονδή νομή ὁλκή πλοκή. οὕτως καὶ φορβή. προσέθηκα τῷ ε̄ παραληγομένων μόνῳ, ἵνα νῦν ἐκφύγω τὸ πόρπη· τοῦτο γὰρ παρὰ τὸ πείρω.

203. ἄδδην] Νικίας διὰ δύο δ̄ γράφει διὰ τὸ μέτρον, ὁμοίως τῷ "κύσν ἀδδεές" (Il. 21. 481), καὶ ψιλοῖ. Ἀρίσταρχος δὲ δι' ἑνὸς δ̄ καὶ βραχέως καὶ δασέως· τὸ γὰρ ᾱ πρὸ τοῦ δ̄ δεκτικὸν μὲν ψιλοῦται, ὡς τὸ ἀβολέσχης ἀβρανής, μὴ οὕτως δὲ ἔχον δασύνεται "ἄδε δ' Ἕκτορι" (Il. 12, 80) "ἄδος τέ μιν ἵκετο θυμόν" (Il. 11, 88). καὶ τὸ Ἄδωνις δέ τινες δασύνουσι παρὰ τὸ ἥδω. μάχεται τὸ ἀβράφαξυς, δεκτικὸν ἔχον τὸ ᾱ καὶ δασυνόμενον.

208. *στικτέον μετὰ τὸ βαλών.

*ὅτι τρώσας, καὶ οὐ ῥίψας ἁπλῶς τὸ βέλος.

210. *ὅτι θηλυκῶς τὴν Ἴλιον.

211. ὅτι ἀντὶ τοῦ Τρώων τῶν ὑπὸ τὴν Ἴδην, χαριζόμενος δὲ τῷ Ἕκτορι. τινὲς δὲ ἀγνοοῦντες ὅτι λέγονται καὶ οἱ ὑπὸ Πάνδαρον Τρῶες, μεταγράφουσι "Τρώεσσι φέρων χάριν ἱπποδάμοισιν."

μετὰ δὲ τὸ Τρώεσσιν ἀναπαύσασθαι δεῖ· ἡγούμην τῶν Τρώων χάριν φέρων τῷ Ἕκτορι. τὸ δὲ Τρώεσσιν ἤτοι καθολικῶς, ὡς τὸ "Τρώων δ' οἰώθη καὶ Ἀχαιῶν" (Il. 6, 1), καὶ τοῖς ὑφ' Ἕκτορι τεταγμένοις, ὡς τὸ "Τρωσὶ μὲν ἡγεμόνευε μέγας κορυθαίολος Ἕκτωρ" (Il. 2, 816)· ἢ καὶ τοῖς Ζελείταις "οἳ δὲ Ζέλειαν ἔναιον ὑπαὶ πόδα νείατον Ἴδης, Τρῶες, τῶν αὖτ' ἦρχε Λυκάονος ἀγλαὸς υἱός" (ib. 824).

212. *εἰ δέ κε νοστήσω] ἀντὶ τοῦ νοστήσαιμι, ὡς "πληθὺν δ' οὐκ ἂν ἐγὼ ὀνομήνω" (Il. 2, 488). περιττεύει δὲ καὶ ὁ κε σύνδεσμος.

9. δ̄] δδ̄ A. In marg. inter. Ἀρίσταρχος ἄδην, ἄλλοι δὲ ἄδδην διὰ β̄ δδ̄.
22. μετὰ] ἄλλως praefixum in A. μετὰ δὲ] * δὲ om.
23. * ὡς τὸ] τὸ om.
24. Ἕκτορι] *Ἕκτορος
25. * ὡς τὸ] om.
27. * Τρῶες et αὖτ' et ἀγλαὸς] om.
30. ἐγὼ] ἔγωγ' omisso ὀνομήνω. ὁ κε] ὁ καὶ

215. *εἰ μὴ ἐγὼ τάδε] συναπτέον ὡς ἐν τῇ β' "εἰ μὴ ἐγώ σε λαβών" (Il. 2, 261).

219. νὼ] τὸ νώ βαρυτονητέον. ἅπαξ δὲ ἐν Ἰλιάδι καὶ ἅπαξ ἐν Ὀδυσσείᾳ τῷ νώ ἐχρήσατο κατ' αἰτιατικὴν πτῶσιν, ὥσπερ καὶ ἐνθάδε "νὼ ἀναβησόμενοι" (Od. 15, 475). ὁπότε μέντοι γε σὺν τῷ ι λέγεται, καὶ ἐπ' εὐθείας αὐτὸ τάσσει καὶ ἐπ' αἰτιατικῆς, καὶ προπερισπᾶται· "νῶϊ δ' ἐγὼ Σθένελος" (Il. 9, 48) καὶ "οὐδ' ἂν νῶϊ διαδράκοι ἠέλιός περ" (Il. 14, 344). περὶ δὲ τῆς τάσεως τοῦ μονοσυλλάβου, διὰ τί οὐ περιεσπάσθη, ἐν τῷ περὶ ἀντωνυμιῶν (p. 110 = 370) δηλοῦται. καὶ τάχα ἐπεὶ οὐδὲν δυϊκὸν εἰς ω̄ λῆγον περισπᾶται· οὕτως γὰρ ἔχει καὶ τὸ σφώ, τασσόμενον καὶ ἐπ' εὐθείας καὶ ἐπ' αἰτιατικῆς· καὶ παρ' αὐτῷ "σφὼ δὲ μάλ' ἠθέλετον" (Il. 11, 782) "Ζεὺς σφὼ ἐς Ἴδην" (Il. 15, 146).

222. *ὅτι ἐλλείπει ἡ διά· διὰ πεδίου γάρ.

223. ὅτι τοῦτό ἐστι τὸ "φόβον Ἄρηος φορεούσας" (Il. 2, 767), τὴν ἐν πολέμῳ φυγήν· καὶ ὅτι τὸ φοβεῖσθαι καὶ φέβεσθαι ἐπὶ τοῦ φεύγειν Ὅμηρος τίθησιν, οὐκ ἐπὶ τοῦ κατὰ ψυχὴν δέους.

224. *ὅτι δύο ἵπποι.

226. σιγαλόεντα] ἤτοι εὐδιάσειστα, ἢ λαμπρὰ καὶ ποικίλα τῇ κατασκευῇ. τὰ μεγάλως καὶ ποικίλως κατεσκευασμένα. τὰ θαυμαστὰ καὶ σιωπὴν ἐκ τοῦ θαύματος ἐντιθέντα, οἱονεὶ σιγηλόεντά τινα ὄντα.

227. ἵππων ἀποβήσομαι] Ἀρίσταρχος ἀποβήσομαι δὲ ἵππων ἔφη, οἷον τῆς τῶν ἵππων φροντίδος· ἐπιφέρει γοῦν "ἠὲ σὺ τόνδε δέδεξο," τὸν Διομήδη. Ζηνοδότειος δὲ ἡ διὰ τοῦ ε̄ ἐπιβήσομαι.

*οὕτως Ἀρίσταρχος ἀποβήσομαι διὰ τοῦ ᾱ. Et supra versum τῆς φροντίδος τῆς περὶ αὐτούς.

228. δέδεξο] ὅτι εἴωθε περιττεύειν τῇ συλλαβῇ, ὡς ἐπὶ τοῦ πεπίθωνται λελάχωσιν.

230. *ἵππω] ὅτι β' ἵπποις ἐχρῶντο· διὸ καὶ δυϊκῶς λέγει.

231. *ταῦτα ἀφ' ἑτέρας ἀρχῆς.

εἰωθότι] οὕτως εἰωθότι καὶ Ἀρίσταρχος καὶ σχεδὸν ἅπαντες·

1. συναπτεον] τοῖς ἡγουμένοις addit Friedl.
4. *τῷ νώ] om.
5. ἀναβησόμενοι] ἄδησάμενοι
12. ἠθέλετον] ἠθέλετ° (ἠθελέτην Zenodotus).
25. Διομήδη] διομή A, et sic semper.
Ζηνοδότειος] ζηνοδότιος

μᾶλλον γάρ φησιν ὑπὸ τῷ ἐθάδι καὶ συνήθει ἡνιόχῳ οἴσειν τοὺς ἵππους τὸ ἅρμα. καὶ τὴν αἰτίαν ἐπιφέρει "μὴ τὼ μὲν δήσαντε ματήσετον οὐδὲ θέλητον ἐκφερέμεν πολέμοιο τεὸν φθόγγον ποθέοντες." τοιοῦτό ἐστι καὶ τὸ ἐν τῇ Δολωνείᾳ "ἀήθεσσον γὰρ ἔτ' αὐτόν" (Il. 10, 493). διὰ τοῦτό φασιν ἔνιοι καὶ τὸν Τηλέμαχον τῷ Πεισιστράτῳ κελεύειν ζεῦξαι τοὺς ἵππους (Od. 15, 46). εἴη δ' ἂν ὁ τοῦ Αἰνείου ἡνίοχος κατὰ τὸ σιωπώμενον καταβεβηκὼς, καὶ ἔστι παρ' Ὁμήρῳ πολλὰ τοιαῦτα.

233. *ὅτι πεπλεόνακε κατὰ τὸν τόπον τοῦτον τοῖς δυϊκοῖς σχήμασιν.

237. *τέ' ἅρματα] τὸ πλῆρές ἐστι τεά· διὸ βαρυτονητέον· ἐπιφέρει γοῦν "καὶ τεὼ ἵππω."

238. *δεδέξομαι] ὅτι ἀντὶ τοῦ δέξομαι, ἐπιτηρήσω, ὡς λελάχωσιν ἀντὶ τοῦ λάχωσιν.

241. τοὺς δὲ ἴδε Σθένελος] ὡς ἀπὸ τοῦ δίφρου ὑψηλότερος ὢν ἐθεᾶτο. ἢ ὡς ἀσχολουμένου Διομήδους περὶ τοὺς πολεμίους.

245. ἡ διπλῆ πρὸς τὴν ἰδιότητα τῆς φράσεως· ἀκόλουθον γὰρ ἦν εἰπεῖν τὸν μὲν τόξων εὖ εἰδότα. στικτέον δὲ ἐπὶ τὸ ἔχοντας, ἵνα μὴ σολοικισμὸς γένηται, ἐὰν συνάπτωμεν, λείπει δὲ τὸ ἐστίν. τὸ πέλεθρον ἔχει πήχεις ξς' δίμοιρον.

247. *υἱὸς μεγαλήτορος Ἀγχίσαο] ἐν ἄλλῳ υἱὸς μὲν ἀμύμονος Ἀγχίσαο.

249. ἀλλ' ἄγε δὴ χαζώμεθ' ἐφ' ἵππων] οὕτως Ἀρίσταρχος ἐφ' ἵππων, ὡς εἰ ἔλεγεν ἐπ' Ἀθηνῶν ἀντὶ τοῦ ἐπ' Ἀθήνας. λέγει γὰρ ἐπιστραφῶμεν ἐπὶ τοὺς ἵππους, καὶ μὴ κινδύνευε πεζὸς πρὸς τὸν ἐφ' ἅρματος ὀχούμενον.

ὅτι Ἀττικῶς ἐξενήνοχεν ἀντὶ τοῦ ὡς ἐπὶ τοὺς ἵππους. δοκεῖ δὲ Ζηνόδοτος τοῦτον καὶ τὸν ἑξῆς ἠθετηκέναι.

252. *φόβονδ'] ὅτι πάλιν φόβον τὴν φυγὴν εἶπεν.

οὐδὲ σὲ] ὁ Ἀσκαλωνίτης τὸν δέ ὀξύνει, ἵνα ἐγκλιτικῶς ἀναγνῷ. οὐκ ἀναγκαῖον δὲ, ἀλλ' ὀρθοτονεῖν· καὶ γὰρ δύναται συνδεδέσθαι.

253. γενναῖον] σημειοῦνταί τινες ὅτι οὕτως εἴρηται ἐγγενὲς,

4. Δολωνείᾳ] δολωνίᾳ
9. δυϊκοῖς compendio expressum, quod fugit Bekkerum.
19. συνάπτωμεν, λείπει δὲ Friedl.] δὲ συνάπτωμεν, λείπει
20. ξς' δίμοιρον] V. Thes. vol. 6 p. 1178.
23. οὕτως Ἀρίσταρχος ἐφ' ἵππων] Sic etiam in marg. inter.

πάτριον. σημειοῦνται δὲ καὶ τὸ ὀκνείω δ' ἵππων (255) ἀντὶ τοῦ ὀκνηρῶς ἔχω. τινὲς δὲ ἐπὶ τοῦ φόβου τιθέασι τὸν ὄκνον.

255. *ἀλλὰ καὶ αὖτως] ἀλλὰ καίπερ πεζὸς ὑπάρχων.

256. ἔα] συστέλλεται τὸ ᾱ καὶ βαρύνεται. τὸ μὲν οὖν ἐντελὲς τοῦ ἐνεστῶτός ἐστιν ἐῶ ἐᾷς ἐᾷ, σὺν τῷ ῑ γραφόμενον, ὡς τιμῶ τιμᾷς τιμᾷ. τοῦ δὲ παρατατικοῦ εἶων εἶας εἶα, οὐ προσγραφομένου τοῦ ῑ "οὔ μ' εἶας μακάρεσσι" (819)· καὶ τὸ τρίτον ἐν Ἰωνικῇ παραγωγῇ "τὸν δ' οὔτι πατὴρ εἴασκε μάχεσθαι" (Il. 20, 408) καὶ "τόνδε δ' ἔασκεν" (Il. 24, 17). καὶ προστακτικοῦ "ἀλλ' ἔα ὥς οἱ πρῶτα" (Il. 1, 276). εἰ τοίνυν ἐστὶ τοιοῦτο "τρεῖν μ' οὐκ ἔα," μόνον συνεστάλη τὸ ἄλφα, καὶ ὁ παρατατικός ἐστιν ἰσοδυναμῶν ἐνεστῶτι. εἰ δὲ ὁ ἐνεστὼς ἀεί ἐστι περισπώμενος καὶ σὺν τῷ ῑ γραφόμενος, δῆλον ὅτι πολλὰ πάθη· συστολὴ γὰρ τοῦ ᾱ, καὶ ἐκβολὴ τοῦ ῑ, καὶ μεταβολὴ τοῦ τόνου, εἰ μὴ ἄλλως ἐκδεξαίμεθα, ὅτι ἔθος αὐτῷ ταῦτα τὰ τῆς δευτέρας συζυγίας κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον πολλάκις διαλύειν εἰς δύο ᾱᾱ, ἓν τὸ μὲν πρότερον συνεσταλμένον ἐστί, τὸ δὲ δεύτερον ἐκτεταμένον καὶ σὺν τῷ ῑ γραφόμενον, ὁρᾷς "οὐχ ὁράᾳς οἷος κἀγώ" (Il. 21, 108), καὶ ἐπὶ τοῦ τρίτου "ἰσχανάᾳ δακέειν" (Il. 17, 572) καὶ "ἐκπεράᾳ μέγα λαῖτμα" (Od. 9, 323) "οὐκ ἐάᾳ Κρονίδης" (Il. 8, 414). τοῦτο τοίνυν τὸ ἐάᾳ δύναται κατὰ ἀποκοπὴν εἰρῆσθαι "τρεῖν μ' οὐκ ἔα." ἔνθεν καὶ συνέσταλται τὸ ᾱ καὶ βεβάρυνται. οὐκ ἄηθες δὲ καὶ ἐνεστῶτας ἀποκόπτεσθαι καὶ ἄλλους χρόνους, ὡς ἔχει τὸ "οὗτα καταὶ λαπάρην" (Il. 6, 54). εἰ δέ τις ἐπιζητήσειεν ὁμοιότητα ἀπὸ τῶν εἰς ῶ περισπωμένων ἢ βαρυτόνων ἐπὶ τρίτου ἀποκοπὴν, καὶ μὴ εὑρὼν μηδὲ τοῦτο παραδέξαιτο, ἑαυτὸν λήσει· περὶ γὰρ πάθους διαλαμβάνομεν.

257. *πάλιν αὖτις] ὅτι οὐ τὸ αὐτὸ λέγει διὰ τοῦ πάλιν καὶ αὖτις, ἀλλὰ τὸ μὲν αὖτις ἀντὶ τοῦ πάλιν, τὸ δὲ πάλιν τοπικὸν, ἀντὶ τοῦ εἰς τοὐπίσω.

258. *οὕτως εἰ γοῦν διὰ τοῦ γ' Ἀρίσταρχος, εἰ δὴ ἕτερος αὐτῶν φύγῃ. Et gl. εἰ μὴ ἄρα ὁ εἷς.

261. *ὅτι περισσὸς ὁ δὲ σύνδεσμος.

262. *ὅτι ἀπαρέμφατον ἀντὶ προστακτικοῦ τοῦ ἐρύκακε.

2. ὀκνηρῶς] ὀκνειρῶς.
6. τοῦ δὲ παρατατικοῦ additum ex Etym. M.
9. ὥς οἱ] ὅσοι
19. καὶ] ἦτ'
33. ἐρύκακε Bekkerus] ἐρυκακέειν

263. ἐπαΐξαι] ἡ διπλῆ, ὅτι τῷ ἀπαρεμφάτῳ ἀντὶ προστακτικοῦ ἐχρήσατο. Ζηνόδοτος δὲ Αἰνειῶο γράφει.

264. *διὰ τὴν αὐτὴν αἰτίαν.

266. υἷος] προπερισπαστέον· ἀπὸ γὰρ εὐθείας ἐστὶ μὴ εἰρημένης τῆς υἷις, ἧς γενικὴ ὤφειλεν εἶναι τρισύλλαβος ὡς μάντιος. αὕτη τοίνυν συναλοιφὴν παθοῦσα καὶ δισύλλαβος γενομένη βαρύνεται, ἧς ἀκόλουθος δοτικὴ "Νηληΐῳ υἷι ἐοικώς" (Il. 2, 20). καὶ αἰτιατικὴ "ἀλλ' υἷα Κλυτίοιο σαώσομεν" (Il. 15, 427) καὶ πληθυντικὴ εὐθεῖα "υἷες ὁ μὲν Κτεάτου" (Il. 2, 621) καὶ αἰτιατικὴ "υἷάς τ' ὀλλυμένους" (Il. 22, 62). ἀποδείξομεν δὲ καὶ τὸ "υἱάσι δὲ Πριάμοιο" (463) παρὰ τοῦτο κεκλίσθαι ἐν τοῖς περὶ ὀνομάτων, ὅταν καὶ περὶ τῆς καθολικῆς κινήσεως τοῦ ὀνόματος διαλαμβάνωμεν.

ποινὴν] ὅτι ἰδίως τῷ ποινή κέχρηται· κυρίως γὰρ ἐπὶ φόνου "ποινὴν δεξαμένῳ" (Il. 9, 636.) καὶ ὅτι τὸ οὕνεκα ἀντὶ τοῦ τοὔνεκα.

267. *ὁ τρόπος περίφρασις.

269. θήλεας ἵππους] τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα, ἵν' ἀπ' εὐθείας τῆς θῆλυς ᾖ κεκλιμένον· "θῆλυς ἐέρση" (Od. 5, 467) "Ἥρη θῆλυς ἐοῦσα" (Il. 19, 97) "θῆλυν ὑπόρρηνον" (Il. 10, 216). οὕτως Ἀρίσταρχος καὶ ὁ Ἀσκαλωνίτης.

ὅτι οἱ περὶ Ἑλλάνικον ἀνεγίνωσκον θηλέας ὡς ταχέας, ὡς Δωρικῶς ἐκτιθεμένου τοῦ ποιητοῦ. τὸ δὲ τοιοῦτο παρ' Ἡσιόδῳ πλεονάζει, Ὅμηρος δὲ οὐ χρῆται.

272. τὼ δὲ δύ'] ὅτι δύο ἵπποις ἐχρῶντο. ἡ δ' ἀναφορὰ πρὸς τὸ τέτρωρον "Ξάνθε τε καὶ σὺ Πόδαργε" (Il. 8, 185). καὶ ὅτι φόβον τὴν φυγὴν λέγει.

*μήστωρε] οὕτως Ἀρίσταρχος, μήστωρε, δυϊκῶς. ἐπὶ γὰρ τῶν ἵππων.

μήστωρε φόβοιο] τοὺς φυγὴν ἐμποιοῦντας τοῖς πολεμίοις.

278. ἦ μάλα] πρὸς τὴν ἑρμηνείαν· ἦ μάλα σε οὐκ ἐδάμασσε τὸ βέλος, ὅ ἐστιν ὁ ὀϊστός. περισπαστέον δὲ τὸν ῆ· ἔστι γὰρ μᾶλλον βεβαιωτικός. ὑποστιγμὴ δὲ κατὰ τὸ τέλος τοῦ στίχου. κεῖται γὰρ ὁ ῆ ἀντὶ τοῦ εἶ, καὶ βαρύνεται· οἱ δὲ περισπῶντες στίζουσι κατὰ τὸ τέλος.

*ἀντὶ τοῦ εἶ.

2. Αἰνειῶο Friedl.] αἰνείω. Vid. ad v. 323.
13. τῷ] τὸ
20. Ἑλλάνικον] ἑλλανικὸν
34. ἀντὶ τοῦ εἶ (sic)] Haec verba spectant ad ῆ.

283. ἐπὶ] οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν· πρὸς γὰρ τὸ ἄϋσε φέρεται. καὶ εἰ πρὸς τὸ ἄρθρον δὲ συνετάττετο, οὐκ ἀνεστρέφετο, διὸ ὃν προείπομεν πολλάκις λόγον, ὡς ὅτι ἐὰν μεταξὺ πέσῃ μέρος λόγου, οὐ γίνεται ἀναστροφὴ τῆς προθέσεως, ἐὰν μὴ τελευταία στίχου τεθῇ, ὡς τὸ "ἔπτυσε πουλὺ κάτα."

284. κενεῶνα τὸν ὑπὸ τὰς πλευρὰς τόπον, τὴν λαγόνα, παρὰ τὸ κενὸν εἶναι αὐτὸν ὀστέων.

289. ὅτι παρηγμένως λέγει ταλαύρινον πολεμιστήν, καὶ ἔν ἐστιν ἐξ ἀμφοτέρων, ὑπομενητικὸν ἐν τῇ μάχῃ.

ταλαύρινον] Ἀρίσταρχος ψιλοῖ τὸ ῥ· οὐ γάρ, φησί, σύνθετον δεῖ νοεῖν τὸν σχηματισμόν, ἀλλὰ κατὰ ἁπλῆν ἔννοιαν, τὸν εὔτολμον καὶ ἰσχυρόν. ὁμοίως δὲ καὶ Ἀριστοφάνης. Τρύφωνι δὲ ἀρέσκει ὁ σχηματισμὸς σύνθετος εἶναι, παρὰ τὸ ταλαόν καὶ τὴν ῥινόν, ὁμοίως τῷ ταναόπoδα ταναύπoδα. εἴτε δὲ λεκτὸν ἔχει τὸ ἐπὶ τέλους εἴτε παρέλκει, ὀφείλει φυλάττεσθαι τὸ πνεῦμα· οὕτως γὰρ διελάβομεν καὶ περὶ τοῦ μελιηδέος οἴνου, ᾧ καὶ αὐτὸς συγκατατίθεται. ἡ μέντοι παράδοσις ἐπείσθη Ἀριστάρχῳ.

291. ζητεῖται πῶς Διομήδους μὲν ἀκοντίσαντος πεζοῦ, Πανδάρου δὲ ἐπὶ ἅρματος ὄντος, ἐκ τοῦ κοιλοτέρου φερόμενον τὸ δόρυ κατωφερῆ πεποίηκε τὴν τρῶσιν. ἔστι δὲ λέγειν ὅτι πρῶτον μὲν Ἀθηνᾶ ἦν ἡ κατευθύνουσα αὐτό, ᾗ ἦν δυνατὸν τοῦτο ποιῆσαι, ἔπειθ' ὅτι προσεπινεύσας ὁ Πάνδαρος ἕνεκα τοῦ θεάσασθαι εἰ καιρίως τέτρωται ὁ Διομήδης, οὕτως ἐβλήθη διὰ τῆς ῥινὸς τὴν γλῶσσαν. οἱ δὲ, ὅτι ἐν ἀνωμάλοις τόποις μαχομένων εἰκὸς τὰ μὲν ἅρματα ἐν χθαμαλωτέροις τόποις τρέχειν, τοὺς δὲ πεζοὺς ἀπὸ μετεώρου μάχεσθαι, ὥστε καὶ τὸν Διομήδη ἀφ' ὕψους βεβληκέναι.

ὅτι δειλωθεὶς τῇ ὁρμῇ τοῦ ἥρωος ὁ Πάνδαρος συνεκάθισεν.

292. πρυμνὴν] πρυμνὴν ὡς πυκνήν· ἐπίθετον γάρ. ὅταν δὲ ἰδίως ἐπὶ τοῦ πλοίου, βαρύνομεν, ὡς λευκή καὶ λεύκη. ὀξύνεται δὲ ὁ

1. ἄϋσε] ἤϋσε

5. Verba ὡς τὸ "ἔπτυσε πουλὺ κάτα" addidi ex aliis codicibus, πολύ in πουλύ mutato. Callimachi verba esse videri dixi in Thesauro vol. 4 p. 1195. Collatis aliorum grammaticorum locis, quos collegit Schneiderus vol. 2 p. 752, versum fuisse conieci "τῶν πάντων δ' ἔπτυσε πουλὺ κάτα."

11. *τὸν εὔτολμον] τὸν γὰρ εὔτολμον

12. Τρύφωνι Bastius ad Greg. p. 932] τρόφωνει (sic)

13. *τὴν ῥινὸν] τὸ ῥινὸν

16. ᾧ] ὃ

19. *ἐπὶ—ὄντος] ἀπὸ—οὕτως

21. *ἔπειθ'] ἐπειδὴ

24. *ἀνωμάλοις] ἀνομάλοις

27. *δειλωθεὶς] δηλωθεὶς

πρυμνός, ἐπεὶ τὰ εἰς νος λήγοντα μετ' ἐπιπλοκῆς συμφώνου τριγενῆ ἁπλᾶ ὀξύνεται, συχνός πυκνός· οὕτως πρυμνός.

293. *οὕτως Ἀρίσταρχος, ἐξελύθη. ἄλλοι δὲ ἐξεσύθη.

297. Αἰνείας δ' ἀπόρουσεν] Ἡλιόδωρος στίζει εἰς τὸ ἀπόρουσεν, εἶτα ἄρχεται ἀπὸ τοῦ σὺν ἀσπίδι δουρί τε μακρῷ. ἃ γὰρ εἶχε, φησί, πρότερον, ταῦτα τῷ Πανδάρῳ μετέδωκεν. αἴρει γοῦν, φησί, τὴν ἀσπίδα ἀπὸ τοῦ νεκροῦ καὶ καθοπλίζεται, καὶ τὸ βληθὲν ὑπὸ τοῦ Διομήδους δόρυ. τοῦτο δὲ οὐκ ἔστιν ἀληθὲς, ὡς ὅτι ἀπὸ τοῦ Πανδάρου ὁ Αἰνείας αἴρει τὰ ὅπλα· οὐ γὰρ ἐδήλωσεν ὁ ποιητής. ἀπίθανόν τε αὐτὸν ἑαυτὸν τὸν Αἰνείαν γυμνὸν παραδεδωκέναι τοῖς πολεμίοις. ὑπόψυχρόν τε τὸ ἐκδέχεσθαι τὸν Διομήδη ἕως οὗ καθοπλίσηται ὁ Αἰνείας, καὶ μὴ εὐθέως αὐτὸν ἀνελεῖν. διὸ καὶ ὁ Ἀσκαλωνίτης συνάπτει, ὥστε ἐπὶ τοῦ Αἰνείου κεῖσθαι τὸ σὺν ἀσπίδι δουρί τε μακρῷ· καὶ δῆλον ὅτι ὁ Πάνδαρος ὑπ' ἄλλου κατὰ τὸ σιωπώμενον καθώπλιστο, ὁ δὲ Αἰνείας εἰς τὸ μετάφρενον μετενηνόχει τὴν ἀσπίδα, εἶχε δὲ τὸ δόρυ παρακείμενον, ᾗ ἔκειτο ἐν τῷ δίφρῳ, ὥσπερ καὶ Νέστωρ ἡνιοχῶν Διομήδει, ὡς σαφὲς ἐκ τοῦ "Εκτορος προσώπου "αἴ κε λάβωμεν ἀσπίδα Νεστορέην" (Il. 8, 191). οὕτως δὲ καὶ Αὐτομέδων ἡνιοχεῖ τῷ Πατρόκλῳ· παραδοὺς οὖν τὰς ἡνίας Ἀλκιμέδοντι πολεμεῖ τοῖς ἰδίοις ὅπλοις. ταῦτα Ἡρωδιανὸς ἐν τῇ προσῳδίᾳ.

*συναπτέον ὅλον τὸν στίχον.

298. *οἱ] ὅτι ἀντὶ τοῦ αὐτοῦ.

299. ἀμφὶ δ' ἄρ' αὐτῷ βαΐνε] ὅτι ἀπὸ τῶν τετραπόδων ἡ μεταφορὰ, πρὸς τὸ "ὃς Χρύσην ἀμφιβέβηκας" (Il. 1, 37).

ἀλκί ὡς σαρκί, καὶ ἔστι κατὰ μεταπλασμὸν ἀπὸ τοῦ ἀλκῇ. τινὲς δὲ ἀπὸ τοῦ ἀλκίς Αἰολικοῦ αὐτό φασιν· τοῖς γὰρ εἰς η παράκειται τὰ εἰς ις, ὡς ἑορτή καὶ ἑορτίς καὶ ἐν ὑπερθέσει ἐροτίς. ὤφειλε δὲ ἐκτείνειν τὸ ι. εἴτε ἀπ' εὐθείας τῆς ἄλξ πεποίηται, ὡς οἴεται ὁ Ἀσκαλωνίτης. Τρύφων δὲ ἐν τῷ πρώτῳ περὶ τῆς ἀρχαίας ἀναγνώσεώς φησιν ὅτι Ἀρίσταρχος λέγει ὅτι ἔθος αὐτοῖς ἐστι λέγειν τὴν

4. Ἡλιόδωρος] ἰλιόδωρος
* εἰς τὸ] ἕως τοῦ
6. * εἶχε] εἶλε
μετέδωκεν] * παρέδωκεν
10. * ἑαυτὸν] εἶναι
22. αὐτοῦ] καὶ παρεῖται ἡ παρά addit Friedl.
23. ἄρ' αὐτῷ] ἀρ τῷ
25. ἀλκῇ] ἀλκὴ
26. ἀλκίς Bastius ad Greg. p. 769 (ἄλκις Bekkerus)] ἀλκ^{s} A sine accentu.
27. τὰ addidi.
ἐροτίς] Rectus accentus ἔροτις.
30. αὐτοῖς] * τοῖς Αἰολεῦσιν

ἰωκὴν ἰῶκα καὶ τὴν κρόκην κρόκα καὶ τὴν ἀλκὴν ἄλκα ὡς σάρκα. εἰ δὲ σάρκα ὡς ἄλκα, καὶ ἀλκί ὡς σαρκί.

300. *οἱ] ὅτι πάλιν ἀντὶ τοῦ αὐτοῦ.

302. σμερδαλέα ἰάχων] βαρύνειν δεῖ τὴν ἰάχων· ἐνεστῶτος γάρ ἐστι καὶ παρατατικοῦ. οὐ μέντοι περισπασθήσεται, ὡς οἴεται Τυραννίων. διδάσκει τὰ κινήματα. "ἡμεῖς δὲ ἰάχοντες" (Od. 4, 454)· εἰ γὰρ περιεσπᾶτο, ὡς νοοῦντες ἐγίνετο. "ἐπὶ δ' ἴαχε λαὸς ὄπισθε" (Il. 13, 834). "τρὶς δ' ἄϊεν ἰάχοντος" (Il. 11, 463). οὕτως οὖν καὶ τὸ "φθέγξομ' ἐγὼν ἰάχουσα" (Il. 21, 341) ὀφείλομεν προπαροξύνειν.

306. κοτύλην] κοτύλη τὸ κοῖλον τοῦ ὀστέου, ἔνθα ἡ κεφαλὴ τοῦ μηροῦ ἐνστρέφεται.

ἰσχίον τὸ ὑπὸ τὴν ὀσφῦν ὀστέον εἰς ὃ ἔγκειται τὸ ἱερὸν ὀστοῦν, ὅπερ καὶ γλουτὸς καλεῖται καὶ κοτύλη παρὰ τὴν κοιλότητα.

308. ὣσε δ' ἀπὸ ῥινὸν] οὐχ ὡς οἴεται ὁ Ἀσκαλωνίτης, ἀναστραφήσεται ἡ πρόθεσις, ἐπεὶ τὸ ἐξῆς ἐστὶν ἀπῶσε· μεταξὺ γὰρ πέπτωκεν ὁ δέ.

309. *ὅτι ἔστη ἀντὶ τοῦ ἔμεινεν ἐπὶ τὰ γόνατα πεσών.

310. *ὅτι οὐκ ὀρθῶς ἐπὶ Ἕκτορος λέγεται (Il. 11, 356) μετενεχθεὶς ἐντεῦθεν.

311. *καί νύ κεν ἔνθ' ἀπόλοιτο] καὶ ὁ χρόνος καὶ τὸ ῥῆμα ἐνήλλακται, ἀντὶ τοῦ ἀπώλετο ἄν.

315. πρόσθε δέ οἱ] ἔμπροσθεν αὐτοῦ. οὐχ ὡς ἀτρώτῳ δὲ περιβάλλει τὸν πέπλον αὐτῷ, ἀλλ' ἵνα κρύψῃ αὐτόν.

317. *ἕλοιτο] Ἀρίσταρχος ὅλοιτο.

319. *ὅτι ἰδίως συνθεσιάων ἀντὶ τοῦ ἐντολῶν.

322. ἀπὸ] οὐκ ἀναστρεπτέον· δύναται γὰρ καὶ τῇ γενικῇ συντάττεσθαι καὶ σημαίνειν τὸ ἄποθεν, ἵνα ὅμοιον ᾖ τῷ "οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος" (Il. 9, 353). ἢ καὶ παρέλκεται.

323. *ὅτι Ζηνόδοτος γράφει Αἰνειῶ. οὐκ ἔστι δὲ Αἰνειώς ὡς Πετεώς.

325. περὶ] οὐκ ἀναστρεπτέον· κεῖται γὰρ ἀντὶ τῆς ὑπέρ. δεδήλωται δὲ ἡμῖν ἐν τῇ Α ἐντελῶς, ὁπότε διελαμβάνομεν περὶ τοῦ "ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων" (Il. 1, 287).

12. ὀσφῦν] ὀσφὺν

24. ὅλοιτο] Immo ἕλοιτο A tarchi esse debuit, ut docent alii loci. COBET.

26. τῇ addidit Lehrsius.

27. σημαίνειν Bekkerus] σημαίνει τῷ Bekkerus] τὸ.

29. Αἰνειῶο Bekkerus] αἰνείω. Vid. ad p. 211, 2.

329. *κρατερώνυχας ἵππους] ὅτι Ζηνόδοτος γράφει κρατερωνύχεσ' ἵπποις. βίαιος δ' ἡ συναλοιφή. τὸ δὲ ἑξῆς ἐστὶν, αἶψα δὲ Τυδείδην μέθεπε τοὺς ἵππους, τουτέστι κατόπιν ἤλαυνεν.

330. Κύπριν] οἱ μὲν τὴν ἐπιθυμίαν, οἱ δὲ τὴν βαρβαρικὴν ἀφροσύνην αὐτὴν εἶναί λέγουσιν.

332. πόλεμον κατακοιρανέουσιν] ὁ Ἀσκαλωνίτης ἀναστρέφει, ἵνα γένηται κατὰ πόλεμον. δύναται δὲ ἔμφασις γενέσθαι, εἰ συνάπτοιτο τῷ κοιρανέουσιν, ὡς ἀνακοιρανέοντα· καὶ ἔστιν ὅμοιον τὸ "Ἰθάκην κατακοιρανέουσιν" (Od. 1, 247).

333. *ὅτι πολεμικὴ ἡ θεός.

Ἐνυώ] παρὰ τὸ ἐναύειν, ὃ σημαίνει τὸ ἐμφωνεῖν. τινὲς δὲ παρὰ τὸ ἔνω, ὃ σημαίνει τὸ φονεύω, ἔνθεν καὶ αὐτοέντης. παρ' αὐτῆς δὲ καὶ ὁ Ἐνυάλιος.

κακῶς ὅσοι δασύνουσι τὸ ῡ τοῦ ἐνύω· ἄμεινον γὰρ ψιλοῦν· ἀναπέπλασται γὰρ πολεμικὴ θεὸς, ἧς οἱ νεώτεροι ποιηταὶ υἱὸν εἶναί φασι τὸν Ἄρεα, καὶ διὰ τοῦτο καλεῖσθαι Ἐνυάλιον μητρωνυμικῶς.

334. ἀλλ' ὅτε δή ῥ' ἐκίχανε] τὸ πλῆρές ἐστι δή ῥα, οὐχ ὡς οἴεται ὁ Ἀσκαλωνίτης ὅτι τὸ δή ἐπλεόνασε τῷ ῥ· διὸ βαρύνει.

ὀπάζων] ἡ λέξις αὕτη πλείονα σημαίνει, ποτὲ μὲν τὸ περιποιεῖν καὶ διδόναι, ὡς ἐκεῖ "Τρωσί τε καὶ Ἕκτορι κῦδος ὀπάζει·" ποτὲ δὲ τὸ καταφέρεσθαι, ὡς ἐν ἐκείνοις "χειμάρρους κατ' ὄρεσφιν ὀπαζόμενος Διὸς ὄμβρῳ" (Il. 11, 493)· ποτὲ δὲ τὸ ἐπιλέγεσθαι, ὡς ἐκεῖ "ἦ καὶ Νέστορος υἷας ὀπάσσατο κυδαλίμοιο" (Il. 19, 238)· ποτὲ δὲ τὸ διώκειν, ὡς ἐνταῦθα, "ἀλλ' ὅτε δή ῥ' ἐκίχανε πολὺν καθ' ὅμιλον ὀπάζω."

[349. οὗτος ὁ στίχος λέγεται προκέφαλος.

1. κρατερωνύχεσ' ἵπποις] κρατερωνύχεσι sine ἵπποις.

3. ἤλαυνεν Bekkerus] ἐλαύνειν

11–16. Conf. Etym. M. p. 345 et 346.

11. * ἐμφωνεῖν Etym.] ἐκφωνεῖν

18. ἐπλεόνασε τῷ] ἐπλεόνασε τὸ. Post hoc scholion in fine folii 68 b sequitur lemma scholii (v. 335) ἔνθ' ἐπορεξάμενος, foliis proximis 69 a–74 b amissis.

26. Brevia scholiorum excerpta ad versus 349–633 ex codice Atho sumsi, de quo in Praefatione dictum est. Sunt in his nonnulla quae Veneto quoque in codice, quum adhuc integer esset, lecta fuisse credibile sit. Quod manifestius est in eiusdem codicis scholiis, quae ad 17, 279–572. 751–761. 19, 149–320. 24, 418–482. apponemus, quae in quattuor alias codicis Veneti lacunas incidunt.

προκέφαλος] προκέφαλος dicitur quia ab vocabulis ἤ (vel ἦ) οὐχ incipit una syllaba pronuntiandis.

358. *ἰστέον ὅτι κυρίως ἄμπυξ καλεῖται σειρὰ κατάχρυσος καὶ ἀπὸ μετώπου τεινομένη, ᾗ συνδοῦνται αἱ τρίχες.*

362. *ὃς οὐκ ἂν ἀπόσχοιτο οὐδὲ τῆς πρὸς τὸν Δία μάχης.*

392. *Ἡρακλῆς παρεγένετο εἰς Πύλον χρήζων καθαρσίων. οἱ δὲ Πύλιοι ἀποκλείσαντες τὰς πύλας οὐκ εἰσεδέξαντο αὐτόν· ἐφ' ᾧ ὀργισθεὶς ὁ ἥρως ἐπόρθησε Πύλον. συνεμάχουν δὲ τῷ μὲν Νηλεῖ τρεῖς θεοί, Ποσειδῶν, Ἥρα, Ἀϊδωνεύς, τῷ δὲ Ἡρακλεῖ δύο, Ἀθηνᾶ καὶ Ζεύς.*

395. *πελώριος*] *ὁ μέγας· ἔστιν ἀπὸ τοῦ πελάζειν τῷ Ὠρίωνι τῷ ἄστρῳ.*

397. *ἐν τῇ τοῦ Ἅιδου πύλῃ, ὅτε τὸν Κέρβερον ἀναγαγεῖν ἠβούλετο.*

401. *Παιήων παρὰ τὸ παύειν τὰς ἀνίας, ὅ ἐστιν ὀδύνας.*

424. *ἀπὸ τούτων τινὰ τῶν Ἑλληνίδων γυναικῶν πλησίον παρακαθίζουσα καὶ καταψῶσα τῇ χειρὶ, οἱονεὶ ἐξαπατῶσα, ἐν χρυσῇ βελόνῃ τὴν ἀσθενῆ χεῖρα κατέξεσεν.*

425. *ἐπὶ τῇ χρυσῇ πόρπῃ, ἤγουν τῷ κομβίῳ, κατεξέσθη κατὰ τὴν χεῖρα τὴν ἀσθενῆ.*

426. *μείδησεν*] *ἀπὸ τοῦ μείδω ἢ μειδιῶ. τοῦτο παρὰ τὸ ἥδυ τὸ εὐφραίνω, Βοιωτικῶς, τροπῇ τοῦ η εἰς τὴν ει δίφθογγον καὶ πλεονασμῷ τοῦ μ μείδω καὶ μειδιῶ.*

444. *ἀλευάμενος*] *οὕτως Ἀρίσταρχος διὰ τοῦ ο.*

477. *ἔνειμεν*] *τὸ ἔνειμεν τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν· τὸ γὰρ ἁπλοῦν αὐτοῦ ἐστιν εἰμέν· "ἡμεῖς δ' εἰμὲν τοῖοι" (Il. 7, 231) πᾶν δὲ ῥῆμα ὀξυνόμενον ἐν τῇ συνθέσει βαρύνεται.*

479. *προσέθηκε τὸ Ξάνθῳ, ὅπως διαστείλῃ ταύτην τὴν Λυκίαν ἀπὸ τῆς ἐν Ἰδῃ Λυκίας.*

1. *κυρίως ἄμπυξ—τρίχες*] Eadem fere verba in codice Townleiano aliisque.

4. *καθαρσίων*] *καταρσίων* codex. Verbo *καθαρθῆναι* in hac narratione utitur scholiasta supra p. 102, 14.

9. *ἀπὸ τοῦ πελάζειν τῷ Ὠρίωνι*] Etymologia absurda, memorata in Epimerismis Homericis apud Cramerum Anecd. Oxon. vol. 1 p. 333, 3, et in Etym. M. p. 660, 37.

17. *κομβίῳ* (*κομπίῳ* codex)] Inferioris Graecitatis vocabulum, cuius exempla collecta sunt ab Ducangio et in Thesauro vol. 4 p. 1774.

22. *Ἀρίσταρχος*] De Aristarchi scriptura nihil in aliis libris annotatum est.

481. καδδὲ] τοῦτο Αἰολικόν ἐστιν· οἱ γὰρ Ἀττικοὶ μετὰ προθέσει λέγουσιν, οἱ Αἰολεῖς δὲ κατὰ συγκοπήν.

511. ὅτι προενεκτέον ἀρηγὼν ὡς ἀηδών· λέγει γὰρ καὶ ἀλλαχοῦ (Il. 4, 7) ἀρηγόνες ὡς ἀηδόνες.

539. νειαίρῃ] ἐσχάτῃ, ἀπὸ τοῦ νέος. οἱ γὰρ νέοι ἀτελεῖς καὶ ἔσχατοι. τινὲς λέγουσι τὸ ἐπάνω μέρος τῆς κοιλίας, εἰς ὃ νεαρὰ τὰ βρώματα ἀποτίθενται.

543. Φηρῇ] τῇ κοίλῃ οἰκουμένῃ Κορίνθῳ.

579. κατὰ κληῖδα] κατὰ τὴν ἅρμοσιν τοῦ ὤμου ἐπιτυχών.

605. πρὸς Τρῶας] ἀντιπρόσωποι τοῖς Τρωσὶ βλέποντες.

620. λάξ] λὰξ λέγεται τὸ πλατὺ τοῦ ποδὸς, ὁμωνύμως δὲ καὶ ἡ ἀπὸ τούτου πληγὴ λὰξ καλεῖται. ἐλάκτισε δὲ προσελθών.

626. σφείων] τὸ μέτρον ἐπλεόνασε τὸ ε, σφέων.

633. τίς σοι ἀνάγκη πτώσσειν καὶ δειλιᾶν ἐνθάδε ἐόντι, δηλονότι ἐν τῷ πολέμῳ, ὡς ἀπείρῳ ἀνδρὶ τῆς μάχης. λείπει τὸ ὡς. εἰ δὲ σημαίνει τὸ πτώσσειν ἀντὶ τοῦ ἐπέρχεσθαι, ἔστιν ἡ ἑρμηνεία οὕτως, ποιόν σοι ἀνάγκη ἐπέρχεσθαι ἐν τῷ πολέμῳ ὄντι σοι ἀμαθεῖ καὶ ἀπείρῳ τῆς μάχης, ὃ καὶ κρεῖττον.

ἢ καὶ ἄλλως. ὄντι σοι τῆς μάχης ἀπείρῳ ἀνδρὶ τίς σοι ἀνάγκη τοῦ Ἕλληνας ἐμβάλλειν ;]

638. ἀλλ' οἷόν τινα] ταῦτα ἀφ' ἑτέρας ἀρχῆς πάντως ἀναγνωστέον, ἐάν τε δασύνωμεν τὸ οἷον, ὡς Ἀριστοφάνης καὶ Ἀρίσταρχος, ἐάν τε ψιλῶμεν, ὡς Παρμενίσκος. μᾶλλον δὲ ἐκ τοῦ δασυνομένου ὁ θαυμασμὸς νοεῖται, καὶ μάλιστα ὅτι πρόσκειται τὸ τινά.

Νικίας ψιλοῖ, ἐκδεχόμενος τὸ μόνον. ἄλλοι δὲ δασύνουσι θαυμαστικῶς ἐκδεχόμενοι, ὡς καὶ Ἡρακλέων, ἵνα ὅμοιον ᾖ τῷ "ἀλλ' οἷον τὸν Τηλεφίδην" (Od. 11, 518). κέχρηται μὲν οὖν αὐτῷ καὶ ὁμοιωματικῶς "οἷόν τε κρομύοιο λοπόν" (Od. 19, 233) καὶ ἀντὶ τοῦ ὡς "οἷον ἀναΐξας" (Od. 1, 410). Τυραννίων δὲ ἀλλοῖον ἀναγινώσκει ὡς ἑτεροῖον, ὁμοίως τῷ "ἀλλοῖός μοι, ξεῖνε" (Od. 16, 181). ἡμῖν δὲ δοκεῖ θαυμαστικώτερον ἀναγινώσκειν, ὥσπερ καὶ τοῖς περὶ Ἡρακλέωνα, ἵνα ὅμοιον ᾖ τῷ "ὁσσάτιόν τε καὶ οἷον" (758) καὶ "ἀλλ' οἷον

1. μετὰ προθέσει] Hoc corruptum. Attici κατὰ δέ dicunt.

10. ἀντιπρόσωποι] ἀντὶ προσώπου codex.

11. λὰξ λέγεται τὸ πλατὺ τοῦ ποδός] In cod. Paris. 2556 est λὰξ τὸ στῆθος τοῦ ποδὸς, ἤγουν τὸ πλατύ.

27. αὐτῷ] αὐτὸ

τόδ' ἔρεξεν" (Od. 4, 242) "οἷον τὸν Τηλεφίδην." οὕτως ἀρέσκει καὶ Φιλοξένῳ.

*ὅτι τὸ οἷον ἐπὶ θαυμασμοῦ. τινὲς δὲ ἀλλοῖον παρὰ τοὺς νῦν. Ζηνόδοτος δὲ καὶ ἀμέτρως γράφει Ἡρακλείην.

639. θρασυμέμνονα] τολμηρὸν, θρασὺν ἐν τῷ μένειν, ἢ θρασέως ὑπομένοντα ἐν τῇ μάχῃ.

648. *ὅτι θηλυκῶς τὴν Ἴλιον.

654. κλυτοπώλῳ] ἐνδόξους ἵππους ἔχοντι, ἢ οὗ κλυτή ἐστιν ἡ ἐπιπώλησις, οἷον ἀκουστὴ διὰ τὰς ἐπὶ τοῖς ἀποθνήσκουσιν οἰμωγάς. ἢ ἔοικε τῷ ἐπιθέτῳ καὶ κατὰ τοῦ Ἅιδου κεχρῆσθαι διὰ τὴν τῆς Περσεφόνης ἁρπαγήν. ἢ κλυτοπώλῳ τῷ ἱππικῷ. ἁρμόδιον δὲ τὸ ἐπίθετον τῷ ἅμα νοήματι τὰ πανταχοῦ ζῶα καταλαμβάνοντι.

656. καὶ τῶν μὲν ἁμαρτῇ] τὸ ἁμαρτῇ δασέως. περισπᾷ δὲ καὶ ὁ Ἀσκαλωνίτης καὶ οἱ πλειους. ὀξύνει δὲ ὁ Ἀρίσταρχος, βουλόμενος αὐτὸ τοῦ ἁμαρτήδην ἀποκεκόφθαι· διὸ καὶ κατ' αὐτὸν χωρὶς τοῦ ῑ γεγράψεται. ἐπικρατεῖ μέντοι τὸ περισπώμενον, γενόμενον παρὰ τὸ ἅμα καὶ τὸ ἀρτῶ.

657. *ἐκ χειρῶν ἧϊξαν] ὅτι τὰ δόρατα ἧϊξαν.

661. *Ἀρίσταρχος μετὰ τοῦ ν̄ βεβλήκειν.

661, 662. βεβλήκει] ὅτι ἀκαταλλήλως· ἔδει γὰρ εἰπεῖν, μαιμώωσα ὀστέῳ ἐγχριμφθῆναι.

μαιμώωσα] ἐνθουσιῶσα καὶ ὀξέως ὁρμῶσα. ἢ τοῦ αἵματος γευστικῶς ἔχουσα, τοῦ μ̄ πλεονάζοντος.

665. *τὸ μὲν οὔτις] ἔν τισι τό οἱ οὔτις.

στικτέον ἐπεφράσατο ἢ βραχὺ διασταλτέον, ἵν' ᾖ ἐκ παραλλήλου τὸ ἐπεφράσατο καὶ ἐνόησεν.

667. *σπευδόντων] συναπτέον, οἷον ἐπειγομένων αὐτὸν ἐπιβῆναι.

*πόνον] πάλιν πρὸς τὸν πόνον.

670. *ὅτι οἱ νεώτεροι τλήμονα τὸν ἀτυχῆ, ὁ δὲ Ὅμηρος τὸν ὑπομενητικὸν, ἀπὸ τοῦ τλῆναι.

672, 673. ἢ—ἦ] ὁ μὲν πρότερος κεῖται ἀντὶ τοῦ πότερον, διὸ ἐγκλιτέον· τὸν δὲ δεύτερον περισπαστέον.

683. Χρομίου] παροξυτόνως, Ἄλιον προπαροξυτόνως. εἴπομεν

4. καὶ] καὶ καὶ (sic). Conf. p. 124, 14.
15. αὐτὸ] αὐτῷ
20. Versibus 661, 662 διπλαῖ praescriptae.
28. πάλιν πρὸς] I. e. ἡ διπλῆ πάλιν πρὸς—. Explicatius in scholio ad 6, 77.

τὰ τοιαῦτα τριβράχεα ἐπὶ κυρίων παροξύνεσθαι, καὶ ἐσημειούμεθα τὸ "Αλιος Ξένιος Κρόνιος. ἐπεκράτησε δὲ καὶ κατὰ τὴν Ὁμηρικὴν ἀνάγνωσιν τὸ "Αλιος προπαροξυνόμενον.

684. ἕλωρ Δαναοῖσιν] ὅτι οὐ πάντως βρῶμα, πρὸς τὸ "ἑλώρια τεῦχε κύνεσσιν" (Il. 1, 4).

695. *Πελάγων] Πτολεμαῖος ὁ τοῦ Ὀροάνδου διὰ τοῦ σ̄ Σελάγων.

697. *ἀμπνύνθη] ἔν τισι διὰ τοῦ ε̄ ἐμπνύνθη γρ.

698. κεκαφηότα] ἐκπεπνευκότα· κάπος γὰρ τὸ πνεῦμα, ἔνθεν καὶ κῆπος ὁ περιπνεόμενος τόπος.

700. οὕτως Ἀρίσταρχος ἀμφότερα διὰ τοῦ ε̄, προτρέποντο καὶ ἐπὶ νηῶν· λέγει γὰρ οὔτε προτροπάδην ἔφευγον ἐπὶ τὰς ναῦς. ἡ δὲ διπλῆ πρὸς τὸ σημαινόμενον, ὅτι Ἀττικῶς ἐξενήνοχεν, οὐκ ἔφευγον προτροπάδην ἐπὶ τὰς ναῦς. ἔνιοι δὲ ἀγνοοῦντες γράφουσιν ἀπὸ νηῶν. γίνεται δὲ ἀδιανόητον· οὐ γὰρ ἀπὸ τῶν νεῶν φεύγειν ἔμελλον.

703. *Ἀρίσταρχος διὰ τοῦ ᾱ, ἐξενάριξαν.

ἐξενάριξαν] οὕτως διὰ τοῦ ᾱ τὸ ἐξενάριξαν, ὅ τε Ἄρης δηλονότι καὶ ὁ "Εκτωρ.

705. ἀντίθεον] ἡ διπλῆ πρὸς τὴν ὁμωνυμίαν, ὅτι ὁμώνυμος οὗτος τῷ Ἀγαμέμνονος υἱῷ Τεύθραντι.

708. ὅτι Ζηνόδοτος γράφει "Υδῃ. ἔστι δὲ τῆς Λυδίας ἡ "Υδη, ὁ δὲ ἀνὴρ Βοιωτὸς, καὶ κώμη Βοιωτιὰς ἡ "Υλη. καὶ ὅτι οὕτω συνεσταλμένως λέγεται ἡ πόλις, ἐκτέταται δὲ ἐν τῷ καταλόγῳ διὰ μέτρον.

722. κύκλα] οἱ τροχοί.

723. ὀκτάκνημα] κνῆμαι καλοῦνται αἱ ἀπὸ τῆς χοινικίδος ἕως τοῦ τροχοῦ ῥάβδοι.

ἄξων] τὸ ὑποκείμενον τῷ ἅρματι ξύλον, περὶ ὃ στρέφονται οἱ τροχοί.

724. ἴτυς] ἡ ἁψὶς εἰς ἣν αἱ κνῆμαι αἱ ἀπὸ τῆς χοινικίδος διεμπήγνυνται, ἦγουν ἡ τοῦ τροχοῦ περιφέρεια, παρὰ τὸ ἰέναι.

725. ἐπίσσωτρα] οἱ σιδηροῖ κύκλοι οἱ ἄνωθεν περιβαλλόμενοι τοῖς τροχοῖς καὶ ἐφαπτόμενοι τῆς γῆς, οἱ καλούμενοι καυθοί.

*ἔν τισι γράφεται ὀπίσσωτρα διὰ τοῦ ο̄.

4. ὅτι Lehrsius] οὗ
9. *κάπος] κάφος
20. Τεύθραντι seclusit Friedl.
22. κώμη] κόμη
οὕτω Cobetus] οὐ
29. διεμπήγνυνται] *ἐμπήγνυνται
31. *καυθοί Etym. M. p. 364, 29 et Eust. p. 598, 10.] κάνθοι

726. πλῆμναι] τὰ μέσα τῶν συριγγίων εἰς ἃς ἐντίθεται ὁ ἄξων, αἱ καλούμεναι χοινικίδες.

727. δίφρος] ἐφ' οὗ ἑστᾶσιν ὅ τε ἡνίοχος καὶ ὁ παραβάτης.

728. ἄντυγες] αἱ περιφέρειαι τοῦ δίφρου, αἱ ἀψῖδες ὧν ἀντιλαμβάνονται οἱ ἀναβαίνοντες ἐπὶ τὸ ἅρμα.

729. ῥυμός] τὸ ἀπὸ τοῦ δίφρου μέχρι τοῦ ζυγοῦ ξύλον, ἀπὸ τοῦ ἐρύειν.

*ὅτι ὅταν εἴπῃ "ἐν πρώτῳ ῥυμῷ" (Il. 6, 40), τῷ ἄκρῳ λέγει· εἷς γάρ ἐστι ῥυμός. τὸ δὲ πέλεν ἀντὶ τοῦ πέλει.

730. ζυγός] τὸ ἐπικείμενον τοῖς τραχήλοις τῶν ἵππων, παρὰ τὸ δύο εἰς ἓν ἄγειν αὐτόν.

λέπαδνα] πλατεῖς ἱμάντες οἷς ἀναδεσμοῦνται οἱ τράχηλοι τῶν ἵππων πρὸς τὸν ζυγόν. ὡς κόπτω κόπανον, λέπω λέπαδνον.

734. πέπλον] γυναικεῖον ἔνδυμα, τουτέστι χιτῶνα ὃν οὐκ ἐνεδύοντο, ἀλλ' ἐπερονῶντο· ἀρθεισῶν γὰρ τῶν περονῶν καταρρέων φαίνεται ὁ πέπλος εἰς τὸ ἔδαφος. πρέπων πρέπαλος, κατὰ συγκοπὴν πέπαλος, καὶ κατὰ δευτέραν συγκοπὴν πέπλος.

734, 735. οἱ ἀστερίσκοι, ὅτι ἐνταῦθα μὲν καλῶς κεῖνται, ἐν δὲ τῇ κόλῳ μάχῃ (Il. 8, 385) μηδεμιᾶς φαινομένης ἀριστείας οὐ δεόντως. ὁ δὲ Ζηνόδοτος τούτους μὲν ἀθετεῖ, ἐκείνους δὲ καταλείπει. τῷ δὲ τρίτῳ παράκειται καὶ διπλῆ, ὅτι δασύνειν δεῖ τὸ ἡ δέ· ἐπανέλαβε γὰρ, ὡς ἔθος αὐτῷ, τὸν περὶ τῆς Ἀθηνᾶς λόγον.

736. ἡ δὲ χιτῶν' ἐνδῦσα] δασυντέον τὸ ἡ· ἄρθρον γάρ ἐστιν ἀντωνυμικόν. τινὲς δὲ ψιλοῦσι, σύνδεσμον ἐκδεχόμενοι τὸν ἠδέ, κακῶς.

Διὸς νεφεληγερέταο] τὸ ἡμιστίχιον ἢ τοῖς ἐπάνω ἢ τοῖς ἑξῆς προσδοτέον. ἐὰν μὲν οὖν τοῖς ἐπάνω, μόνος ὁ θώραξ ἔσται τοῦ Διός· ἐὰν δὲ τοῖς ἑξῆς, πάντα ἔσται τὰ ὅπλα αὐτοῦ, ὅπερ καὶ πιθανόν. οὕτως δὲ καὶ Ἀρίστarχος.

739. *πέρι] ἀναστρεπτέον τὴν πρόθεσιν, ἵνα πρὸς τὸ ἦν συντάττηται.

742. σμερδνή] καταπληκτικὴ, φοβερά. ὥσπερ ἀλαπάζω ἀλαπαδνός, οὕτως μερίζω μεριδνός καὶ σμερδνός.

743. ἀμφίφαλον—τετραφάληρον] φάλοι οἱ κατὰ τὸ μέτωπον τῆς περικεφαλαίας ἀσπιδίσκοι, φάλαρα οἱ ἐν ταῖς παραγναθίσι

11. *ἓν] om. Etym. M. p. 661, 43.
16. πρέπων — πέπλος] Conf.
27. αὐτοῦ Friedl.] αὐτοῦ τοῦ διός

κρίκοι, δι' ὧν αἱ παραγναθίδες καταλαμβάνονται τῆς περικεφαλαίας.

744. πρυλέεσσ'] πεζοῖς ὁπλίταις. πρύλις, ὡς δαμάσω δάμαλις, περύω πέρυλις καὶ πρύλις.

*ὅτι πεζοὶ οἱ πρυλέες ὅπλα ἔχοντες.

746. δάμνησι] ὁ Σιδώνιος ἄνευ τοῦ ι τὸ δάμνησι, ὁ δὲ Ἀρίσταρχος σὺν τῷ ι.

746, 747. *ὅτι ἐντεῦθεν εἰς τὴν Ὀδύσσειαν (1, 100) μετάκεινται.

748. *ἵππους] ἀντὶ τοῦ τῶν ἵππων.

749. αὐτόμαται δὲ πύλαι] ὅτι πύλαι οὐρανοῦ τὰ νέφη· ὁ γὰρ ὑπὲρ ταῦτα τόπος ὁμωνύμως τῷ στερεμνίῳ οὐρανὸς καλεῖται.

754. ὅτι ὄρος ὁ Ὄλυμπος, καὶ ὅτι ὑπερθετικὸν ἀντὶ ἁπλοῦ, ἀκροτάτῃ ἀντὶ τοῦ ἄκρᾳ. οὐ ζητητέον οὖν πῶς τὸν ὑπὲρ τὰ νέφη τόπον ἀκροτάτην εἴρηκε κεφαλήν· λέγει γὰρ ἄκραν οἱανδήποτε.

757. *καρτερὰ ἔργα] οὕτως Ἀρίσταρχος. ἄλλοι δὲ τάδε ἔργ' αἰδηλα.

759. ἔκηλοι] δασυντέον· παρὰ γὰρ τὸ εἴκων ἐγένετο, ὅπερ ἐστὶ σημαντικὸν τοῦ ὑποχωρῶν καὶ ἡσυχάζων· ὁ δὲ ὑποχωρῶν καὶ ἡσυχάζει. ἄλλως τε τὸ ε̄ πρὸ τοῦ κ̄ δασύνεται, μὴ ὂν ἐκ κλίσεως ἢ προθέσεως ἢ μεμελετηκὸς ἀφαιρεῖσθαι, οἷον ἑκάς ἑκάτη. οὕτως ἄρα καὶ ἔκηλος. μάχεται τὸ ἐκεχειρία, ὅπερ οὐκ ἔχει γνήσιον τὸ κ̄, ἀπὸ τοῦ ἔχειν γενόμενον.

763. *πεπληγυῖα] ὅτι ἀντὶ τοῦ πλήσσουσα τῷ παθητικῷ.

764. *ὅτι ἔνιοι γράφουσι τὴν δ' αὖτε προσέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε.

770. ἠεροειδὲς] ἀναπεπταμένου τοῦ μεταξὺ ἀέρος καὶ μηδενὸς ἐμποδίζοντος. ἢ ἀερῶδες, σκοτεινόν.

774. ἦχι ῥοάς] ὅτι τὸ κατ' ἀμφοτέρων ῥῆμα μεταξὺ τῶν ὀνομάτων τέταχεν· ἔδει γὰρ "ἦχι ῥοὰς Σιμόεις καὶ Σκάμανδρος συμβάλλετον." τούτῳ δὲ τῷ ἔθει πεπλεόνακε καὶ Ἀλκμάν· διὸ καὶ καλεῖται Ἀλκμανικὸν, οὐχ ὅτι αὐτὸς πρῶτος ἐχρήσατο, ἀλλ' ὅτι

14. ὑπὲρ] ὑπὸ Friedl.
15. κεφαλὴν] τοῦτην (sic) addit A, sed superscripto signo delendo. κεφαλήν librarius substituit pro κορυφήν.
18. Conf. Etym. M. p. 321, 50.
19. ὁ δὲ—ἡσυχάζει delet Lehrs.
25. Conf. infra p. 223, 12.
29. τὸ addidit Friedl.

τῷ τοιούτῳ ἔθει πεπλεόνακεν. τὸ δὲ σχῆμα προεπίζευξις· προθεὶς γὰρ ἓν ὄνομα δυϊκὸν ἐπάγει πληθυντικὸν, καὶ λοιπὸν ἀναπληροῖ τῇ ἐπαγωγῇ· "ἦ μὲν δὴ θάρσος μοι" (Od. 14, 216) "ἔνθα μὲν εἰς Ἀχέροντα" (Od. 10, 513) "εἰ δέ κ' Ἄρης ἄρχωσι μάχης" (Il. 20, 138). ἀλλαχοῦ δὲ "μεσσηγὺ Σιμόεντος ἰδὲ Ξάνθοιο ῥοάων" (Il. 6, 4).

776. *ἠέρα πουλὺν] ὅτι ἀντὶ τοῦ πολλὴν σκοτίαν.

784. *στᾶσ'] περισπαστέον· ἔστι γὰρ τὸ πλῆρες στᾶσα.

785. Στέντορι] τινὲς αὐτὸν Θρᾳκά φασιν, Ἑρμῆ δὲ περὶ μεγαλοφωνίας ἐρίσαντα ἀναιρεθῆναι, αὐτὸν δὲ εὑρεῖν καὶ τὴν διὰ κόχλου γραφήν. τινὲς δὲ Ἀρκάδα φασὶν εἶναι τὸν Στέντορα, καὶ ἐν τῷ καταλόγῳ πλάττουσι περὶ αὐτοῦ στίχους. ἔν τισι δὲ οὐκ ἦν ὁ στίχος διὰ τὴν ὑπερβολήν.

*ὅτι ἐνταῦθα μόνον μνημονεύει τοῦ Στέντορος.

787. *ἐλέγχεα ὡς τείχεα· οὐ γὰρ νῦν ἐπιθετικόν.

*εἶδος ἀγητοί] τῷ εἴδει μόνον θαυμαστοί.

*Ἀρίσταρχος κακελεγχέες· τὸ δὲ ἑξῆς διχῶς, εἶδος ἄριστοι καὶ εἶδος ἀγητοί.

795. *ὅτι ἰδίως εἴρηκεν ἀντὶ τοῦ ὃ βαλὼν ἕλκος ἐποίησεν.

796. *ὅτι τελαμῶσιν ἐπὶ τῶν ἀσπίδων ἐχρῶντο.

797. *Ἀρίσταρχος τῷ τείρετο, ἄλλοι δὲ τῷ τρίβετο.

798. ἴσχων] ὡς λέγων ἔχων· οὐδὲ γὰρ δύναται ὀξύνεσθαι ὡς δευτέρου ἀορίστου· ἄνευ γὰρ τοῦ ι ἐλέγετο ἂν σχών.

ζητεῖται πότερον ἴσχων ὡς τρέχων ἢ ὡς νοῶν· εὑρέθη γὰρ ἴσχηκα ὁ παρακείμενος. ἀλλὰ τοῦτο οὐδὲν συμβάλλεται πρὸς τὴν Ὁμηρικὴν ἀνάγνωσιν· παρ' αὐτῷ γὰρ πάντα τὰ κινήματα ὡς ἀπὸ βαρυτόνου "ἴσχεσθ' Ἀργεῖοι" (Il. 3, 82) "ἴσχον γὰρ πυργηδόν" (Il. 15, 618), ἥ τε πληθυντικὴ μετοχὴ "χεῖρας ἀνίσχοντες" (Il. 8, 347).

800. ὅτι οὐ λέγει κατά τι ὅμοιον, ἀλλ' ἀντὶ τοῦ οὐδὲ ὅλως ὅμοιον. τὸν δὲ ἢ περισπαστέον· βούλονται γὰρ αὐτὸν ἰσοδυναμεῖν τῷ δή καὶ βεβαιωτικὸν εἶναι· τοιοῦτος γὰρ ὁ κατ' ἀρχὴν η̄. τὴν δὲ ἀντωνυμίαν ὀρθοτονοῦσιν, ἐπεὶ εἰς σύνθετον μεταλαμβάνεται.

807. ὅτι Ζηνόδοτος ὑποτάσσει τούτῳ στίχον "ῥηϊδίως· τοίη οἱ

5. ἰδὲ] ἠδὲ
12. ὁ στίχος] Versum dicit 786.
17. κακελεγχέες] Sic A, non κάκ' ελεγχέες
28. χεῖρας] χεῖράς τ'
29. ὅτι—ὅλως ὅμοιον] Haec etiam in marg. inter.

ἐγὼν ἐπιτάρροθος ἦα." ἐναντιοῦται δέ· ἡ γὰρ Ἀθηνᾶ οὔ φησι παροτρύνειν, ἀλλὰ κωλύειν. μετηνέχθη δὲ οὐ δεόντως ἐκ τοῦ Ἀγαμέμνονος λόγου (Il. 4, 390).

808. τοῦτον τὸν στίχον οὐχ εὑρῆσθαι καθόλου φασὶν ἐν ταῖς Ἀριστάρχου· καὶ γὰρ ἀντιπράττει καὶ πρὸς τὸ "δαίνυσθαί μιν ἄνωγον ἐνὶ μεγάροισιν ἔκηλον" (805), καὶ οὐχ οἷόν τε ἐπιφέρειν "σοὶ δ' ἤτοι μὲν ἐγὼ παρά θ' ἵσταμαι ἠδὲ φυλάσσω" (809).

812. ἤ νύ σε] ὁ ἤ ὀξύνεται· διαζευκτικὸς γάρ. φυλάσσεται δὲ ἡ ὀξεῖα διὰ τὸ ἐπιφερόμενον νύ ἐγκλιτικόν, ὃ καὶ αὐτὸ ἔσχεν ὀξεῖαν διὰ τὴν σέ ἐγκλιτικὴν οὖσαν.

813. ἔκγονος ὁ υἱὸς, ἔγγονος ὁ υἱωνός.

814. *ὅτι ἔνιοι τὴν δ' αὖτε προσέειπε.

824. *τὸ ἀνά ἀντὶ τῆς κατά.

οἱ μὲν ἀνέστρεψαν, ἵνα γένηται ἀνὰ τὴν μάχην. Ἀρίσταρχος δὲ παρῃτήσατο τὴν ἀνά ἀναστρέψαι, ὁπότε μὴ σημαντικὴ εἴη τοῦ ἀνάστηθι, ἵνα μὴ συνεμπέσῃ τῷ "Ζεῦ ἄνα Δωδωναῖε" (Il. 16, 233). ἔστι δὲ καὶ νῦν ἐκεῖνον προσθεῖναι τὸν λόγον, ὡς ὅτι ὅταν πρόθεσις ἀντὶ ἑτέρας προθέσεως παραλαμβάνηται, οὐκ ἀναστρέφεται "ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι" (Il. 1, 287) "θεῖναι Ἀθηναίης ἐπὶ γούνασι" (Il. 6, 92). οὕτως οὖν κἀνθάδε δύναται ἡ ἀνά ἀντὶ τῆς κατά.

830. *σχεδίην] ἐγγύθεν αὐτοῦ, πλησίον. οὕτως αὐτοῦ καταφρόνησον, μὴ μακρόθεν ἐπ' αὐτὸν βαλών.

831. ἀλλοπρόσαλλον] σύνθετόν ἐστι· διὸ οὐ κατ' ἰδίαν ὁ τόνος τῆς πρώτης λέξεως λέγεται, ὁμοίως δὲ τῷ ἀλλοθρόους ἀλλοειδέας.

832. *πρὸς τὸ στεῦτο, ὅτι τὸ κατὰ διάνοιαν διωρίζετο ἡ λέξις σημαίνει.

834. *ὅτι ἀντὶ τοῦ ἐν τοῖς Τρωσίν ἐστιν, οὐ μετὰ τῶν Τρώων.

836. *πάλιν] ὅτι ἀντὶ τοῦ εἰς τοὐπίσω.

838, 839. ἐμμεμανῖα—καὶ, βριθοσύνη] ἀθετοῦνται στίχοι δύο, ὅτι οὐκ ἀναγκαῖοι καὶ γελοῖοι καί τι ἐναντίον ἔχοντες. τί γὰρ, εἰ χείριστοι ἦσαν ταῖς ψυχαῖς, εὐειδεῖς δὲ καὶ εὔσαρκοι;

839. *ἄνδρα τ' ἄριστον] διὰ τοῦ δέ αἱ Ἀριστάρχου, ἄνδρα δ' ἄριστον.

2. μετηνέχθη Cobetus] κατήχθη
4. Scholion manus recentioris. Conf. 4, 390.
12. Conf. scholion ad v. 764.
28. ἐστιν, οὐ μετὰ Friedl.] ἐστι μετὰ

842. *ἐν ἄλλῳ οὗτος ὁ στίχος μετὰ τέσσαρας στίχους κεῖται.

ὅτι ἀπὸ τῶν ἀνδρῶν σκυλεύοντα τὸν Ἄρη ποιεῖ, καὶ ὅτι τινὲς γράφουσιν ἐξενάριξεν. συντελικὸν δὲ γίνεται, δεῖ δὲ παρατατικῶς· καὶ γὰρ ἐπιφέρει "τὸν μὲν Ἄρης ἐνάριζε μιαίφονος" ἀντὶ τοῦ ἀνῄρει.

845. *Ἄϊδος κυνέην] νέφος δι' οὗ οἱ θεοὶ ἀλλήλοις ἀφανεῖς γίνονται.

852. *γράφεται ὀλέσσαι.

856. ἔγχει] εἴρηται περὶ τῶν τοιούτων δοτικῶν ὅτι ποτὲ κατὰ διάστασιν, ὡς νῦν, καὶ ποτὲ κατὰ συναλοιφήν, καὶ ὅτι τὸ μέτρον πολλάκις αἴτιον· καὶ τὰ ἀντικείμενα, καίτοι γε μέτρου μὴ ἐμποδίζοντος ὡς τὸ "πλήθει πρόσθε βαλόντε" (Il. 23, 639).

857. μίτρῃ] ὅτι κατὰ τὰ κοῖλα μέρη ἐζώννυντο τὴν μίτραν· καὶ ἔστι διδασκαλικὸς ὁ τόπος. ὁ δὲ Ἀρίσταρχος μίτρῃ κατὰ δοτικήν. ἐν δέ τισι τῶν ὑπομνημάτων ὅθι στελλέσκετο μίτρῃ.

862. *βαρυτονητέον τὴν ὑπό· παρέλκεται γάρ.

864. πρὸς τὴν πλοκὴν τοῦ ἑξῆς λόγου, οἷα φαίνεται ἀήρ ἐκ νεφέων δυσαέος ἀνέμου ὀρνυμένου ἐκ καύματος.

867. διασταλτέον ἐπὶ τὸ νεφέεσσιν· οὐ γὰρ σὺν τοῖς νέφεσιν εἰς οὐρανὸν ἀνῄει, ἀλλὰ κατ' αὐτὰ γενόμενος ἑωρᾶτο, ἐξ οὗ τὸ τάχος παρίστησι καὶ τοῦ θεοῦ τὴν δύναμιν. δύναται δὲ ὅλος συναπτόμενος ὁ στίχος δηλοῦν ὅτι νέφεσι κεκαλυμμένος ἀπὸ γῆς ἀνήρχετο.

874. *οὕτως Ἀρίσταρχος μετὰ τοῦ δέ, χάριν δ' ἄνδρεσσι.

875. ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ διὰ σέ, καὶ ὅτι ἐμφαίνει ὡς ἐκ μόνου τοῦ Διὸς γενομένης τῆς Ἀθηνᾶς.

878. πρὸς τὸ σχῆμα· ἔδει γὰρ πειθόμεθα καὶ δεδμήμεθα ἕκαστος.

881. αἱ Ἀριστάρχου ὑπερφίαλον, οὐχ ὑπέρθυμον, ὥσπερ αἱ δημώδεις.

883. Κύπριδα μέν] ῥητορικὸν τὸ μὴ ἐκ τῶν οἰκείων ἄρχεσθαι κατηγοριῶν, ἀλλ' ἐξ ἑτέρων ὡμολογημένων.

885, 887. ἦ—ἦ] διαζευκτικοὶ ἀμφότεροι· διὸ ὀξύνονται διὰ τὰ

1. ἐν ἄλλῳ—] Scholion manus recentioris. Hoc scholio adscriptis numeris α'—ε' corrigitur turbatus in A ordo versuum hic 841, 846, 842–845, 847, de quo dixit Wachsmuthius in Museo Rhenano vol. 18 p. 185.

οὗτος ὁ στίχος] Versum dicit 846 ante versus 842–845 positum.

4. ἀντὶ τοῦ ἀνῄρει seclusit Friedl.

9. ὅτι addidit Bekkerus.

17. οἷα] οἷος Friedl.

ἐπιφερόμενα ἐγκλιτικὰ, χωρὶς εἰ μὴ ὁ δεύτερος βεβαιωτικός· καὶ γὰρ τοῦτο μᾶλλον αἰτεῖ ἡ διάνοια.

887. τὸ ζῶς ὁ Ἀσκαλωνίτης ἀξιοῖ περισπᾶν, οὐχ ὑγιῶς. μόνον γὰρ τὸ σῶς ἐστὶ περισπώμενον μονοσύλλαβον εἰς ῶς λῆγον, ἀρσενικὸν, γεγονὸς ἢ ἐκ τοῦ σόος, ὡς οἴεται Φιλόξενος, ἢ ἐκ τοῦ σάος, ὅπερ κρεῖττον. εἰ δὲ ὁ Ἀσκαλωνίτης περισπώμενον ἀξιοῖ αὐτὸ ἐκ τοῦ ζωός, ἴστω ὅτι τὸ μὲν προκείμενον βαρύτονον ἦν, ἔνθεν περιεσπᾶτο τὸ σῶς· τὸ δὲ ζώς ἐξ ὀξυνομένου, ὥς φησι, τοῦ ζωός γενόμενον δεῖ ὀξύνειν, ἐγκλίνειν δὲ ἐν ταύτῃ τῇ ἀναγνώσει. ἡ μέντοι κλίσις αὐτοῦ ἰσοσύλλαβος εὑρέθη.

τὸ ἔα Ἰωνικόν ἐστιν, ἐκ τοῦ ἦν γεγονός· διὸ συσταλτέον τὸ ἄλφα, ὁμοίως τῷ "τοῖος ἔα ἐν πολέμῳ" (Od. 14, 222), ὃ καὶ διὰ τοῦ η λέγεται "τοῖς ἦα φιλοπτόλεμος." τὸ δὲ μέτρον οὐ κωλύεται· ἀπήρτισε γὰρ εἰς μέρος λόγου, καὶ ἐπέχει τόπον μακρᾶς ὁμοίως τῷ "ἀμφηρεφέα τε φαρέτρην" (Il. 1, 45).

τυπῇσιν] ὡς πληγῇσιν. δοκεῖ δὲ ὡς οὐ πρὸς τὴν ἀναλογίαν σημειοῦσθαι· τὰ γὰρ εἰς πη μονογενῆ δισύλλαβα φιλεῖ βαρύνεσθαι· εἰ δέ τι ὀξύνεται, ἔχει πρὸ τέλους ἢ ι ἢ ο. πῶς οὖν τὸ τυπή μόνον ὀξυνόμενον τῷ υ παρελήχθη;

891. αἰεὶ γάρ τοι] ὅτι ἐντεῦθεν μετενήνεκται ἐν τῇ πρώτῃ ῥαψῳδίᾳ (177) ἐπὶ τὸν πρὸς Ἀχιλλέα ὑπὸ Ἀγαμέμνονος λόγον.

892. ἡ διπλῆ, ὅτι σαφῶς Ἥρας ὁ Ἄρης, οὐκ Ἐνυοῦς, ὥς τινες.

893. *σπουδῇ] ὅτι μετὰ σπουδῆς καὶ κακοπαθείας.

898. ἐνέρτερος] ὅτι Ζηνόδοτος γράφει ἐνέρτατος. οὐ δεῖ δέ· ἡ γὰρ σύγκρισίς ἐστι πρὸς τοὺς Τιτᾶνας ἀνομοιογενεῖς καὶ ἐν ἑνὶ κατηγμένους τόπῳ· τούτων οὖν ἐνέρτερος ὁ μὴ κατὰ γένος ὢν ἐξ αὐτῶν.

Παιήον'] ἡ διπλῆ, ὅτι ἰατρὸν τῶν θεῶν ἕτερον παρὰ τὸν Ἀπόλλωνα παραδίδωσι τοῦτον.

901. *ἐν ἄλλῳ ὁ στίχος οὗτος οὐχ εὕρηται.

905. τὸν δ' Ἥβη λοῦσεν] ἡ διπλῆ, ὅτι παρθενικὸν τὸ λούειν. οὐκ

3. ὑγιῶς] ὑγειῶς
6. περισπώμενον addidit Lehrsius.
8. γενόμενον δεῖ Lehrsius] ἄμεινον δὲ
13. τοῖς ἦα φιλοπτόλεμος] Corruptum ex οὐκ ἀποφώλιος ἦα οὐδὲ φυγοπτόλεμος (Od. 14, 213).
ἀπήρτισε Bekk.] ἀπήρτεσε
16. ὡς οὐ πρὸς Lobeckius Pathol. Prol. p. 13.] ὡς πρὸς
17. πη] καθαρὰ addit Lehrsius.
20. ἐν τῇ πρώτῃ—] Conf. quae ad schol. 1, 177 diximus.
23. κακοπαθείας Cobetus] κακῶ
29. ἐν ἄλλῳ—εὕρηται] Scholion manus recentioris.

οἶδεν ἄρα ὑφ' Ἡρακλέους αὐτὴν γεγαμημένην, ὡς ἐν τοῖς ἠθετημένοις ἐν Ὀδυσσείᾳ (11, 600).

906. ὅτι οὐ δεόντως ἐκ τοῦ περὶ Βριάρεω λόγου (Il. 1, 405) ἐνθάδε μετάκειται ὁ στίχος· οὐ γὰρ καὶ κύδους ἄξιον πέπρακται αὐτῷ· καὶ ὅτι ἄτοπον ἐπὶ τῷ κύδει γαυριᾶν τὸν ὑπὸ θνητοῦ ἡττημένον.

909. *Ἄρηι] οὕτως Ἡρωδιανός φησι μετὰ τοῦ ῑ Ἄρηι.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀρισταρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ τῶν Νικάνορος περὶ στιγμῆς.

ΕΙΣ ΤΗΝ Ζ.

1. Τρώων] ἡ Τροία τὰ μὲν θαλάσσια πρὸς Ἑλλήσποντον ἔχει, τὰ δὲ βόρεια πρὸς Ζέλειαν, τὰ δὲ ὑποκείμενα πρὸς Φρυγίαν, τὰ δὲ μεσημβρινὰ πρὸς Λυδίαν. ὡς φιλέλλην δὲ ἀπάγει τοὺς θεούς, καὶ ἐξέτασιν ἀμφοτέρων ποιεῖ. ἐμενώθη δὲ ἡ μάχη τῆς τῶν θεῶν συμμαχίας οὕτως· Ἥρα μὲν γὰρ καὶ Ἀθηνᾶ εἰς τὸν Ὄλυμπον ἀπίασιν, Ἀπόλλων δὲ εἰς Πέργαμον· ὁ δὲ Ἄρης καὶ ἡ Ἀφροδίτη τέτρωνται ὑπὸ Διομήδους.

2. ἴθυσε μάχη] ἐπ' εὐθείας ἐφέρετο ἡ μάχη, ποτὲ μὲν τῶν Ἀχαιῶν ἀνατρεπόντων τοὺς Τρῶας, ποτὲ δὲ ἀνατρεπομένων ὑπ' αὐτῶν.

* ὅτι ἐλλείπει ἡ διά, ἵν' ᾖ διὰ πεδίου.

3. ἀλλήλων ἰθυνομένων χαλκήρεα δοῦρα] ὅτι ἀντὶ τοῦ ἐπ' ἀλλήλους ἰθυνόντων καὶ παρεῖται ἡ ἐπί πρόθεσις.

4. ὅτι ἐν τοῖς ἀρχαίοις ἐγέγραπτο "μεσσηγὺς ποταμοῖο Σκαμάνδρου καὶ στομαλίμνης" διὸ καὶ ἐν τοῖς ὑπομνήμασι φέρεται. καὶ

3. ὅτι —] In textu et in scholio praescriptus est ἀστερίσκος cum διπλῆ : debebat ἀστερίσκος cum ὀβελῷ.

Huic scholio Villoisonus et Bekkerus absurde praescripserunt ἡ διπλῆ σὺν ἀστερίσκῳ περιεστιγμένῳ, nomine inaudito. In textu est ἀστερίσκος cum διπλῆ, asterisco a manu secunda scripto. Aristarchus ἀστερίσκον cum obelo posuerat.

4. γὰρ καὶ] γάρ τι Friedl.

13. *πρὸς Φρυγίαν] πρὸς om.

*τὰ δὲ μεσημβρινὰ πρὸς Λυδίαν] τὰ δὲ πρὸς μεσημβρίαν Λυδίας Lehrs. Arist. p. 226.

16. *οὕτως] om.

24. τοῖς ἀρχαίοις] τοῖς Ἀριστάρχειοις Lehrsius. τῇ προτέρᾳ τῶν Ἀριστάρχείων Sengebusch. Dissert. p. 28. De Aristarcho hic agi docent sequentia verba ἐν τοῖς ὑπομνήμασι et ὕστερον περιπεσὼν, quae ad alteram referenda sunt editionem Aristarchi: de quo dixit Bernhardyus in Hist. Lit. Gr. vol. 1 p. 197 ed. tert.

25. καὶ ὕστερον] καὶ delet Lehrsius.

ὕστερον δὲ περιπεσὼν ἔγραψε "μεσσηγὺς Σιμόεντος ἰδὲ Ξάνθοιο ῥοάων." τοῖς γὰρ τοῦ ναυστάθμου τόποις ἡ γραφὴ συμφέρει, πρὸς οὓς μάχονται.

5, 6. τρισὶ μεταφοραῖς κέχρηται, ἐπιφαίνων τὴν ὁμοιότητα. ὃ γὰρ δύναται πρὸς ἀσφάλειαν πόλεως τεῖχος, τοῦτο πρὸς σωτηρίαν στρατοῦ γενναῖος ἀνήρ· καὶ πάλιν ὃ δύναται ῥῆξις ἐσθῆτος τὴν σκέπην ἀναιροῦσα, τοῦτο ἐδυνήθη ὁ τὴν φάλαγγα ῥήξας. καὶ πάλιν ὡς ὀνίνησι φῶς τοὺς σκότῳ κατεχομένους, οὕτως τοὺς νικωμένους ὑπὸ τῆς Ἄρεως ἀχλύος ἐπέλαμψεν ἡ Αἴαντος βοήθεια.

9. *ἔβαλε] ὅτι ἀντὶ τοῦ ἔπαισε.

15. *φιλέεσκεν] ὅτι ἀντὶ τοῦ ἐξένιζεν.

17. *διασταλτέον ἐπὶ τὸ ὑπαντιάσας.

ἡ διπλῆ πρὸς τὸ σχῆμα, ἀμφοτέρους τὴν ψυχὴν ἀφείλετο ἀντὶ τοῦ ἀμφοτέρων· τὸ γὰρ ἄμφω ἢ ἀμφότεροι ἢ ἀμφοτέρους σημαίνει.

18. Καλήσιον] ὅτι ὀνοματοθετικὸς ὁ ποιητής· ἀπὸ γὰρ τοῦ καλεῖν ἐπὶ τὰ ξένια Καλήσιος.

19. ἔσκεν ὑφηνίοχος] ὅτι παρέλκει ἡ πρόθεσις ὡς ἐν τῷ "Ποσειδάωνος ὑποδμῶς" (Od. 4, 386).

24. σκότιον] ὅτι τοὺς μὴ ἐκ φανερᾶς συνουσίας, λαθραίας δὲ μίξεως γεγονότας σκοτίους καλεῖ, τοὺς δὲ αὐτοὺς καὶ παρθενίους (Il. 16, 180).

*σκότιον ὡς λόγιον· τὸ γὰρ κύριον πρὸ τέλους ἔχει τὴν ὀξεῖαν.

*ἑ] τὸν Βουκολίωνα.

25. ποιμαίνων ἐπ' ὄεσσι] ὅτι ἀντὶ τοῦ παρ' ὄεσσι, καὶ ὅτι ἐν τῷ τόπῳ τῶν οἰῶν λέγει.

28. καὶ ἀπ' ὤμων τεύχε' ἐσύλα] καὶ ἀπεγύμνου τῶν ὤμων τὰ ὅπλα. ἔστι δὲ ὑπερβατὸν καὶ συνεκδοχὴ ὅλου τοῦ σώματος.

31. ἔγχει] τοῦτο δύναται καὶ τοῖς ἑξῆς συνάπτεσθαι· κοινὸν γὰρ τὸ ἐξενάριξεν.

*οἱ μὲν Ἀρετάονα ἐξεδέξαντο, οἱ δὲ ἄρ', εἶτα Ἐτάονα.

34. ναῖε δὲ Σατνιόεντος] ὅτι Ζηνόδοτος γράφει "ὃς νάε Σατνιόεντος" ὁ Ἔλατος. κακόφωνον δὲ γίνεται.

11. ὅτι addidit Bekkerus.
12. τὸ] τοῦ
13. ἡ διπλῆ πρὸς τὸ σχῆμα Vill.] πρὸς τὸ σχῆμα ἡ διπλῆ
15. ὀνοματοθετικὸς Lehrsius] ὀνοματοθετικῶς
24. Prius ὅτι om.
28. γὰρ] δὲ Friedl.
31. νάε] ναῖε. Vid. schol. ad 13, 172.

35. Ἀχιλλεὺς ὑπὸ τὸν Τρωϊκὸν πόλεμον πορθῶν τὰς περιοίκους τῆς Ἰλίου πόλεις, ἀφίκετο εἰς τὴν πάλαι μὲν Μονηνίαν, νῦν δὲ Πήδασον καλουμένην, καὶ αὐτὴν σὺν ταῖς ἄλλαις ἑλεῖν. ἀπογνόντος δὲ αὐτοῦ τὴν εἰς τὸ τέλος πολιορκίαν διὰ τὴν ὀχυρότητα τοῦ τόπου καὶ μέλλοντος ἀναχωρεῖν, φασὶν εἴσω τῶν τειχῶν οὖσάν τινα παρθένον ἐρασθῆναι τοῦ Ἀχιλλέως, καὶ λαβοῦσαν μῆλον εἰς τοῦτο ἐπιγράψαι, καὶ ῥῖψαι εἰς μέσον τῶν Ἀχαιῶν· ἦν δὲ ἐν αὐτῷ γεγραμμένον "μὴ σπεῦδ', Ἀχιλλεῦ, πρὶν Μονηνίαν ἑλεῖν· ὕδωρ γὰρ οὐκ ἔνεστι· διψῶσιν κακῶς." τὸν δὲ Ἀχιλλέα ἐπιμείναντα οὕτω λαβεῖν τὴν πόλιν τῇ τοῦ ὕδατος σπάνει. ἡ ἱστορία παρὰ Δημητρίῳ καὶ Ἡσιόδῳ.

36. φεύγοντ'] καὶ τοῦτο δύναται τοῖς ἑξῆς συνάπτεσθαι, φεύγοντ' Εὐρύπυλος δέ. ἐπὶ δὲ τῶν τοιούτων νοείσθω ὅτι οὐχ Ὁμηρικὸν τὸ τοῦ συνδέσμου ὑπερβατόν.

37. *πεδίοιο] ὅτι ἐλλείπει ἡ διά, καὶ ἵππῳ δυϊκῶς ὡς ἐπὶ ξυνωρίδος ἔφη.

38, 39. ἀναγκαῖαι διαστολαὶ ἐπὶ τὸ πεδίοιο, μυρικίνῳ, ῥυμῷ, πρὸς πόλιν, ἵν' ᾖ σαφέστερον.

39. ἐνί] οὐκ ἀναγκαῖον ἀναστρέφειν· δύναται γὰρ πρὸς τὸ μυρικίνῳ συντάσσεσθαι.

40. *ὅτι πρώτῳ ἀντὶ τοῦ ἄκρῳ, καὶ ὅτι εἷς ῥυμός.

41. ἀτυζόμενοι φοβέοντο] ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ ἔφευγον· ἐπὶ τούτου γὰρ ἀεὶ τὴν λέξιν τίθησιν. τὸ δὲ ἀτυζόμενοι παρὰ τὸ ἀτῶ ἄττω ἀτύω καὶ ἀτύζω Αἰολικῶς.

43. ἐπὶ στόμα] ἡ διπλῆ, ὅτι ἐξηγήσατο τί ἐστι τὸ πρηνής, ὡς "μῆλ', ὄϊές τε καὶ αἶγες" (Od. 9, 184). στόμα τὸ πρόσωπον· οὕτως Λάκωνες.

45. γούνων] ὡς ἀσθενούσης κατ' ἐκεῖνο τὸ μέρος τῆς ψυχῆς.

50. *πεπύθοιτ'] πρὸς τὸν ἀναδιπλασιασμόν, ὅτι ὡς λελάχωσιν, ἀντὶ τοῦ πύθοιτο.

54. *ἀντίος] οὕτως Ἀρίσταρχος διὰ τοῦ σ, ἄλλοι δὲ διὰ τοῦ ν.

56. *ὁ ᾗ περισπᾶται· διαπορητικὸς γάρ.

59. *ὑποστικτέον ἐπὶ τὸ φέροι, ἵνα στίζωμεν ἐπὶ τὸ ἡμετέρας.

3. *ἀπογνόντος] ταπεινοῦντος
5. *καὶ μέλλοντος] καὶ om.
10. *σπάνει] σπάνῃ
22. *ἀτῶ—ἀτύζω] ἄτω ἄττω ἀττύω καὶ ἀττύζω. Correxi ex Etym. M. p. 168, Eust. p. 623, 34, Philemone p. 278.

61. *παρέπεισεν] γράφεται ἔτρεψεν.

64. *πρὸς τὴν ἐπανάληψιν.

68. *ἐπιβαλλόμενος] ἐπιβολὴν ποιούμενος εἰς ἀναίρεσιν.

*βραχὺ διασταλτέον ἐπὶ τὸ ἐπιβαλλόμενος, πρὸς τὸ σαφέστερον.

71. νεκροὺς ἀμπεδίον συλήσετε τεθνηῶτας] οὕτως Ἀρίσταρχος. ὁ δὲ Ζηνόδοτος "Τρώων ἀμπεδίον συλήσομεν ἔντεα νεκρούς." Ἀθηνοκλέους δὲ ἐν τῷ περὶ Ὁμήρου παρατηρήσαντος ὅτι τῷ μὲν καμάτῳ καὶ ἑαυτὸν ὁ Νέστωρ ὑποβάλλει, λέγων κτείνωμεν, τὸ δὲ κέρδος ἴδιον ποιεῖται τῶν στρατιωτῶν ἐν τῷ συλήσετε, ὁ Χαῖρις Ὁμηρικὸν εἶναί φησι τὸν τῆς ἑρμηνείας χαρακτῆρα, ὡς ἐν τούτοις "ἄλλοι μὲν γὰρ πάντες ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ, σοί τ' ἐπιπείθονται καὶ δεδμήμεσθα ἕκαστος" ἔδει γὰρ δέδμηνται ὡς πείθονται, ἢ ἀνάπαλιν· καὶ πάλιν "ἀλλ' ἄγεθ' ὡς ἂν ἐγὼ εἴπω πειθώμεθα πάντες." "νῦν μὲν δόρπον ἕλεσθε κατὰ στρατόν" καὶ ἀλλαχοῦ· οὐδὲ γὰρ ἄλλως ἀκμάζει ὁ Νέστωρ, ἀλλ' ὑπὸ γήρως ἔοικεν ἀπειρηκέναι. ταῦτα ὁ Δίδυμος.

76. οἰωνοπόλων ὄχ' ἄριστος] Ἀμμώνιος ὡς Ἀριστάρχειον προφέρεται καὶ ταύτην τὴν γραφήν "μάντις τ' οἰωνοπόλος τε." ἔργον δὲ τὸ σαφὲς εἰπεῖν· διὸ διχῶς.

77. *πόνος] ὅτι τὸ κατὰ τὸν πόλεμον ἔργον πόνον εἴρηκε πάλιν.

78. ἐγκέκλιται] ἐρήρεισται, ἐκ μεταφορᾶς τῶν καμνόντων ἀρρωστίαις καὶ προσαναπαυομένων ἰσχυροτέροις σώμασιν, ἢ τῶν ζυγοστατουμένων.

ἐγκέκλιται] ἐπίκειται, ἔγκειται, ἐμπέπηκται, ἐν τῇ ὑμετέρᾳ φροντίδι περικέκλεισται ἡ σωτηρία τῶν πραγμάτων.

79. *πᾶσαν ἐπ' ἰθύν] εἰς πᾶσαν ὁρμήν.

87. *ξυνάγουσα] ὅτι ὁ χρόνος ἐνήλλακται, ἀντὶ τοῦ συναγαγοῦσα.

87, 88. συναπτέον τὸ "ἡ δὲ ξυνάγουσα γεραιάς" τῷ "νηὸν

3. ἐπιβολὴν Bekk.] ὅτι ἐπιβολὴν

6. Verba οὕτως Ἀρίσταρχος τεθνηῶτας in margine inter. sunt repetita.

10. συλήσετε, ὁ Χαῖρις Vill.] συλήσεται ὄχερις

18. Ἀριστάρχειον Schmidt. Did. p. 129 (ut ad 8, 503)] ἀρίσταρχος

28. ὁ] om.

30. Eadem fere compendifacta leguntur in margine interiore, οὕτω συναπτέον—Ἀθηναίης. λιπούσης γὰρ —ταῖς γεραιαῖς—τὰς θύρας. ἐὰν δὲ—στίχοι, ἡ φράσις σόλοικος :—in formam crucis redacta ab librario Christiano.

'Αθηναίης," ἵνα διαστέλλωμεν ἐν πόλει ἄκρῃ· λειπούσης γὰρ τῆς εἰς προθέσεως καὶ τοῦ καί συνδέσμου γίνεται ὁ λόγος, ἡ δὲ ξυνάγουσα τὰς γεραιὰς εἰς τὸν τῆς 'Αθηνᾶς ναὸν, καὶ ἀνοίξασα τὰς θύρας τοῦ ἱεροῦ οἴκου, τὸν πέπλον ἀναθέτω. ἐὰν δὲ συνάπτωνται οἱ δύο στίχοι, νηὸν 'Αθηναίης καὶ οἴξασα κλῆῖδι θύρας, ἡ φράσις σόλοικος, τὸν ναὸν ἀνοίξασα, τὰς θύρας αὐτοῦ.

88. ἐν πόλει ἄκρῃ] διάλυσις ἢ μετατύπωσις ὁ τροπος.

φασὶ δὲ τὸ διοπετὲς ἀνδρὸς δορὰν ἠμφιέσθαι, ἔχειν δὲ στέμματα καὶ ἠλακάτην, ἐν δὲ τῇ κεφαλῇ πόλιν, καὶ ἐν τῇ δεξιᾷ χειρὶ δόρυ.

90. πέπλον, ὅς οἱ] τὴν ὅς ὀξυτονητέον διὰ τὴν οἱ ἀντωνυμίαν, ἥτις νῦν ἐγκλιτική ἐστιν.

92. ἐπὶ] ἡ διπλῆ, ὅτι ἀντὶ τῆς παρά, ἵν' ᾖ παρὰ γούνασιν· ὀρθὰ γὰρ τὰ Παλλάδια κατεσκεύασται. καὶ ἔστιν ὅμοιον τῷ "ἡ μὲν ἐπ' ἐσχάρῃ" (Od. 6, 52) ἀντὶ τοῦ παρ' ἐσχάρῃ· ἡ γὰρ ἐπί τὴν ἐπάνω σχέσιν σημαίνει. διὸ οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν.

96. *αἵ κεν] 'Αρίσταρχος ὥς κεν Τυδέος.

*'Ιλίου ἱρῆς] ὅτι θηλυκῶς τὴν Ἴλιον.

97. τινὲς οὕτως διεῖλον, ἄγριον, εἶτα αἰχμητὴν κρατερόν, εἶτα μήστωρα φόβοιο. 'Απολλόδωρος δὲ διχῶς, ἄγριον αἰχμητὴν, εἶτα κρατερὸν μήστωρα φόβοιο, ἵνα ᾖ ἰσχυρὸν ἐν τῷ μήσασθαι φυγὴν τοῖς πολεμίοις· εἰ μέντοι βούλοιντό τινες ταῦτα συνάψαι, ἴστωσαν ὅτι λείψουσι σύνδεσμοι.

*φόβοιο] ὅτι ἀντὶ τοῦ φυγῆς.

109. ἤτοι στικτέον ἐπὶ τὸ κατελθέμεν, ἵνα ἀφ' ἑτέρας ἀρχῆς λέγηται τὸ ὡς ἐλέλιχθεν ἀντὶ τοῦ οὕτως ἐλέλιχθεν· ἢ συναπτέον, ἵν' ᾖ τὸ ὡς ἀντὶ τοῦ ὅτε. βέλτιον δὲ τὸ πρότερον.

112. ὅτι Ζηνόδοτος γράφει "ἀνέρες ἔστε θοοὶ, καὶ ἀμύνετον ἄστεϊ λώβην." συγχεῖται δὲ τὸ δυϊκὸν πρὸς πολλοὺς λεγόμενον.

113. *διχῶς 'Αρίσταρχος, καὶ διὰ τοῦ κε, ὄφρα κ' ἐγώ, καὶ διὰ τοῦ ἄν.

114. καὶ πῶς οὐδὲν εἶπε τοῖς βουλευταῖς, ἀλλὰ ταῖς γυναιξίν; νοητέον οὖν ἤτοι κατὰ τὸ σιωπώμενον κἀκείνοις αὐτὸν εἰρηκέναι, ἢ ὡς ἐπὶ στρατείας καὶ παρατάξεως τοῦ πρέποντος χάριν τοῦτο προστεθεικέναι.

6. αὐτοῦ] αῦ A.
8. *ἔχειν] om.
24. τὸ] τῷ
26. ὅτε] σ.

117. ὅτι περιφερεῖς καὶ ἀνδρομήκεις αἱ ἀσπιδες ἕως σφυρῶν καὶ αὐχένος καλύπτουσαι.

119. Γλαῦκος δ'] ὅτι μετατιθέασί τινες ἀλλαχόσε ταύτην τὴν σύστασιν.

121. ἰόντες] Ζηνόδοτος καὶ Ἀριστοφάνης δυϊκῶς ἰόντε. ἐν δὲ τοῖς ἔμπροσθεν εἰρήκαμεν Ἀριστάρχου εἶναι τὴν δυϊκὴν γραφήν.

123. ὅτι οὐ καθόλου τὴν ἀχλὺν ἀφῃρέθη πρὸς τῆς Ἀθηνᾶς.

128. εἰ δέ τις ἀθανάτων γε κατ' οὐρανὸν εἰλήλουθας] οὕτως Ἀρίσταρχος, οἷον καταβέβηκας τὸν οὐρανόν. διὸ διὰ τοῦ ν̄ γράφει, κατ' οὐρανόν.

* συναπτέον ὅλον τὸν στίχον.

131. θεοῖσιν] σημειοῦνταί τινες ὅτι ὡς περὶ θεοῦ τοῦ Διονύσου διαλέγεται. ὁμώνυμος δὲ οὗτος ὁ Λυκοῦργος ἐκείνῳ "τὸν Λυκοῦργος ἔπεφνεν" (Il. 7, 142) καὶ ὁ Δρύας δὲ τῷ Λαπίθῃ (Il. 1, 263).

Διόνυσος ὁ Διὸς καὶ Σεμέλης παῖς ἐν Κυβέλοις τῆς Φρυγίας ὑπὸ τῆς Ῥέας τυχὼν καθαρμῶν, καὶ διαθεὶς τὰς τελετὰς, καὶ λαβὼν πᾶσαν παρὰ τῆς θεᾶς τὴν διασκευὴν, ἀνὰ πᾶσαν ἐφέρετο τὴν γῆν, χορειῶν τε καὶ τιμῶν τυγχάνων προηγεῖτο πάντων ἀνθρώπων. παραγενόμενον δὲ αὐτὸν εἰς τὴν Θρᾴκην Λυκοῦργος ὁ Δρύαντος λυπήσας Ἥρας μίσει, μύωπι ἀπελαύνει αὐτὸν τῆς γῆς καὶ καθάπτεται αὐτοῦ καὶ τῶν τιθηνῶν· ἐτύγχανον γὰρ αὐτῷ συνοργιάζουσαι. θηλάτῳ δὲ ἐλαυνόμενος μάστιγι τὸν θεὸν ἔσπευδε τιμωρήσασθαι· ὁ δὲ ὑπὸ δέους εἰς τὴν θάλασσαν καταδύνει, καὶ ὑπὸ Θέτιδος ὑπολαμβάνεται καὶ Εὐρυνόμης. ὁ οὖν Λυκοῦργος οὐκ ἀμισθὶ δυσσεβήσας ἔδωκε τὴν ἐξ ἀνθρώπων δίκην· ἀφῃρέθη γὰρ πρὸς τοῦ Διὸς τὸν ὀφθαλμόν. τῆς ἱστορίας πολλοὶ ἐμνήσθησαν, προηγουμένως δὲ ὁ τὴν Εὐρώπειαν πεποιηκὼς Εὔμηλος.

132. μαινομένοιο] ἤτοι μανιοποιοῦ, βακχείας παρασκευαστικοῦ, ἢ βακχευτοῦ.

133. Νυσήϊον] τὴν λεγομένην Νῦσαν. ὄρος δὲ λέγει τῆς Θρᾴκης νῦν.

6. Ἀριστάρχου] καὶ Ἀριστάρχου Duentzer. Zenod. p. 68.

7. ὅτι om. et τῆς θεοῦ praebet pro Ἀθηνᾶς. Recte margo interior.

8. οὐρανὸν] οὐρανοῦ

18. * χορειῶν τε καὶ] χορεύων καὶ

20. * καθάπτεται — τιθηνῶν] καθάπτει αὐτὸν τῶν τούτου τιθηνῶν

24. ἀμισθὶ] ἀμισθεῖ

26. Εὐρώπειαν] εὐρωπίαν: v. Thes. vol. 3 p. 2437.

30. Νῦσαν] νύσαν hic et infra.

ἐν ἄλλῳ ἡ Νύσα ἐν μέν τισι χώραις ὄρος, ὡς ἐν Βοιωτίᾳ καὶ Θρᾴκῃ καὶ Ἀραβίᾳ καὶ Ἰνδικῇ καὶ Λιβύῃ καὶ Νάξῳ, ὅπου δὲ πόλις, ὡς ἐν Καρίᾳ καὶ ἐν τῷ Καυκασίῳ ὄρει, ὅπου δὲ νῆσος, ὡς ἐν τῷ Νείλῳ ποταμῷ. οὐ δεδήλωκε δὲ ὁ ποιητὴς ἐν ποίᾳ Νύσῃ τὰ περὶ τὴν Λυκούργου δίωξιν ἐγένετο.

134. θύσθλα] οἱ μὲν τοὺς κλάδους, οἱ δὲ ἀμπέλους, οἱ δὲ τοὺς θύρσους, τουτέστι τὰς βακχικὰς δράκας, ἅ ἐστι Διονυσιακὰ μυστήρια· ἔνιοι δὲ πάντα κοινῶς τὰ πρὸς τὴν τελετήν.

διασταλτέον μετὰ τὸ κατέχευαν· τὸ δὲ ἑξῆς συναπτέον, ὑπ' ἀνδροφόνοιο Λυκούργου θεινόμεναι βουπλῆγι.

135. βουπλῆγι] προπερισπωμένως· ἡ γὰρ εὐθεῖα ὀξύνεται, βουπλήξ· τὰ γὰρ παρὰ παρακείμενον συντιθέμενα φιλεῖ ὀξύνεσθαι, ὁπότε καὶ μίαν συλλαβὴν ἀποφέρεται τοῦ ῥήματος, ἀδμής ἡμιθνής κναμοτρώξ. οὕτως καὶ μεθυπλήξ ὤπλήξ.

*ὅτι Ζηνόδοτος γράφει χολωθείς, καὶ ὅτι περισσὸς ὁ δέ.

146. τοίη δέ] ὅτι δύο μέρη λόγου τὸ τοίη δέ, τοίη καὶ δέ· διὸ οὐ περισπαστέον τὸ τοιήδε.

148. τηλεθόωσα] Ἀριστοφάνης γράφει τηλεθόωντα, καὶ ἐπὶ τῶν φύλλων ἀκούει, καὶ τὸ ὥρῃ μετὰ τοῦ ι γράφει κατὰ δοτικήν.

149. ἠμὲν φύει, ἠδ' ἀπολήγει] ἀντὶ τοῦ καί. δύναται δὲ καὶ ἄρθρα εἶναι· βέλτιον δὲ τὸ σύνδεσμον παραλαβεῖν.

150. ὑποστικτέον εἰς τὸ ἐθέλεις, ἵνα ᾖ τὸ δαήμεναι ἀντὶ προστακτικοῦ τοῦ δάηθι.

Ἀρίσταρχος περισπᾷ εἰδῇς, καὶ οὕτως ἐπεκράτησεν ἡ προσῳδία· ἦν γὰρ καὶ λόγον ἔχουσα.

152. ἔστι] τὸ ἔστι ἐπὶ τῆς πρώτης συλλαβῆς ἔχει τὴν ὀξεῖαν, ὅταν ἄρχηται "ἔστι δέ τις προπάροιθε πόλιος" (Il. 2, 811) καὶ ὅταν ὑποτάσσηται τῇ οὔ ἀποφάσει "ὡς οὐκ ἔσθ' ὅδε μῦθος" (Od.

1. ἐν ἄλλῳ] ἐν ἀλλ' αὐτ'
2. * Νάξῳ] μαζῶ
*πόλις—ποταμῷ] νῆσος ὡς ἐν καυκασίῳ ὄρει καὶ ἐν τῷ νείλῳ ποταμῷ
6. * οἱ δὲ ἀμπέλους] om.
7. δράκας] δρᾶικας
12. συντιθέμενα] ἐπιθετικὰ addit Lehrsius. Compendifecit epitomator canonem Herodiani quem integriorem servarunt Arcadius p. 19, 5. τὰ εἰς ῆξ σύνθετα παρὰ ῥῆμα ὀξύνεται, εἰ ἐπιθετικὰ εἴη, βουπλήξ κυμοπλήξ (sic cod. Havn. pro κωμοπλήξ) μεθυπλήξ. τὸ ὕσπληξ καὶ ἀντίπηξ βαρύνεται, ὅτι οὐκ ἐπιθετικά. et copiosius Choeroboscus p. 308, 309 ed. Gaisf.
14. ὤπλήξ] Sic A, non ὕσπληξ ut Bekkerus. Fortasse κυμοπλήξ. Alia tentavit Lehrs. Herod. p. 236.

23, 62). εἰ μέντοι γε μὴ εἴη τὸ τοιοῦτο, οὐκέτι ἐπὶ τῆς πρώτης συλλαβῆς ἔχει τὴν ὀξεῖαν, οἷον "ὃ δὴ τετελεσμένον ἐστίν."

ὅτι Ἐφύρην τὴν Κόρινθον ἐξ ἡρωϊκοῦ προσώπου εἶπεν. ἔστι δὲ καί τις Θεσπρωτίας Ἔφυρα πόλις. Ἄργος δὲ ἱππόβοτον τὴν Πελοπόννησον καλεῖ, τὴν δὲ Θετταλίαν Ἄργος Πελασγικόν.

153. Σίσυφος] Διὸς τὴν Ἀσωποῦ θυγατέρα Αἴγιναν ἀπὸ Φλιοῦντος εἰς Οἰνώνην διὰ τῆς Κορίνθου μεταβιβάσαντος, Σίσυφος ζητοῦντι τῷ Ἀσωπῷ τὴν ἁρπαγὴν ἐπιδεικνύει τέχνῃ, καὶ διὰ τοῦτο ἐπεσπάσατο εἰς ὀργὴν καθ' ἑαυτοῦ τὸν Δία. ἐπιπέμπει οὖν αὐτῷ τὸν θάνατον. ὁ δὲ Σίσυφος αἰσθόμενος τὴν ἔφοδον, δεσμοῖς καρτεροῖς ἀποδεσμεῖ τὸν θάνατον. διὰ τοῦτο οὖν συνέβαινεν οὐδένα τῶν ἀνθρώπων ἀποθνήσκειν, ἕως λύει τὸν θάνατον ὁ Ἄρης καὶ αὐτῷ τὸν Σίσυφον παραδίδωσιν. πρὶν ἢ δὲ ἀποθανεῖν τὸν Σίσυφον, ἐντέλλεται τῇ γυναικὶ Μερόπῃ τὰ νενομισμένα μὴ πέμπειν εἰς Ἅιδου. καὶ μετὰ χρόνον οὐκ ἀποδιδούσης τῷ Σισύφῳ τῆς γυναικὸς ὁ Ἅιδης πυθόμενος μεθίησιν αὐτὸν ὡς τῇ γυναικὶ μεμψόμενον. ὁ δὲ εἰς Κόρινθον ἀφικόμενος οὐκέτι ὀπίσω ἄγει, πρὶν ἢ γηραιὸν αὐτὸν ἀποθανόντα * * κυλινδεῖν ἠνάγκασεν εἰς Ἅιδου λίθον πρὸς τὸ μὴ πάλιν ἀποδρᾶναι. ἡ ἱστορία παρὰ Φερεκύδει.

ἡ διπλῆ, ὅτι τὸν συνετὸν καὶ κερδαλέον κέρδιστον λέγει. οἱ δὲ νεώτεροι τὸν φιλοκερδῆ ἐξεδέξαντο.

κέρδιστος] συνετώτατος, ἐντρεχέστατος· οὐ γὰρ ἂν τὸν πρόγονον αὐτοῦ πανουργότατον ἔλεγεν.

154. ἡ διπλῆ πρὸς τὴν ἐπανάληψιν τοῦ ὀνόματος. καὶ ὅτι ἐν Ἰλιάδι συνεχῶς ταῖς ἐπαναλήψεσι κέχρηται, ἐν δὲ Ὀδυσσείᾳ ἅπαξ κατ' ἀρχάς "Αἰθίοπες τοὶ διχθά" (Od. 1, 23).

155. *Ἰακῶς τὸ τίκτεν Ἀρίσταρχος.

Βελλεροφόντην] οὗτος πρότερον ἐκαλεῖτο Ἱππόνους· ἀνελὼν δὲ Βέλλερον τὸν Κορινθίων δυνάστην Βελλεροφόντης ἐκλήθη. ἦν δὲ φύσει μὲν παῖς Ποσειδῶνος, ἐπίκλησιν δὲ Γλαύκου. λαβὼν δὲ παρὰ Ποσειδῶνος τὸν Μεδούσης τῆς Γοργόνος Πήγασον πτερωτὸν ἵππον

7. *Οἰνώνην] βιώνην
11. *διὰ] om.
12. *ἕως — παραδίδωσιν] ἕως ἂν αὐτὸν Ἅιδης τῷ θανάτῳ παρέδωκε καὶ τὸν θάνατον τῶν δεσμῶν ἀπέλυσε
14. *μὴ πέμπειν Bekkerus] αυτ πεμπειν. *αὐτῷ πέμπειν
15. *μεθίησιν] μεθίστησιν
17. Lacunam post ἀποθανόντα indicavit Mueller. ad Fragm. Histor. vol. 1 p. 91.
18. *πρὸς τὸ] πρὸς τῷ

(διὰ γὰρ τοῦτο ἔσχε καὶ τὴν προσηγορίαν, ὅτι ἐκπεπηδήκει ἐκ τοῦ τῆς Γοργόνος τραχήλου), τούτῳ ἐπωχεῖτο. δράσας δὲ ἐμφύλιον φόνον, Βέλλερον γάρ τινα, ὡς ἔφην, τῶν πολιτῶν ἀποκτείνας φεύγει εἰς Ἄργος· τυχὼν δὲ καθαρσίων παρὰ Προίτου τοῦ βασιλέως μετ' αὐτοῦ διέτριβεν. Ἄντεια δὲ ἡ Προίτου γυνὴ, ἐρασθεῖσα τοῦ Βελλεροφόντου ἐδέετο ὅπως αὐτῷ συνευνασθῇ· ὁ δὲ δεξιούμενος τὸ ὅσιον ἀντέλεγεν, ἡ δὲ Ἄντεια δείσασα μὴ τῷ Προίτῳ προλαβὼν ἐξεύποι τοὺς αὐτῆς ἔρωτας, ἔφθασε τὸν Βελλεροφόντην κατείπασα ὡς ἄρα εἴη βεβιασμένη πρὸς αὐτοῦ. ὁ δὲ Προῖτος αὐτόχειρ μὲν οὐκ ἐβουλήθη τὸν Βελλεροφόντην ἀποκτεῖναι, πέμπει δὲ αὐτὸν εἰς Λυκίαν πρὸς τὸν πενθερὸν Ἰοβάτην, ἀδοκήτως καθ' ἑαυτοῦ κομίζοντα γράμματα. ὁ δὲ πολλοῖς αὐτὸν ἐγγυμνάσας ἄθλοις, ὡς οὐχ ἑώρα φθειρόμενον, ὑπετόπησε τὴν κατ' αὐτοῦ στρατηγηθεῖσαν δεινὴν καταβολήν· τοσοῦτον γὰρ κακῶν ὄχλον τῇ δυνάμει κατηγωνίσατο· ἔδωκε δὲ αὐτῷ πρὸς γάμον τὴν ἰδίαν θυγατέρα Κασάνδραν καὶ τῆς βασιλείας μοῖράν τινα. λέγεται δὲ αὐτὸν ἐπαρθέντα ἐφ' οἷς ἔπραξε, θελῆσαι ἐπὶ τοῦ Πηγάσου τὸν οὐρανὸν κατοπτεῦσαι. τὰ γὰρ νῶτα, ὡς ἔφαμεν, πτερωτὰ εἶχεν ὁ ἵππος· τὸν δὲ Δία μηνίσαντα οἵστρον ἐμβαλεῖν τῷ Πηγάσῳ, ὥστε ἐκπεσεῖν μὲν τὸν Βελλεροφόντην καὶ κατενεχθῆναι εἰς τὸ τῆς Λυκίας πεδίον τὸ ἀπ' αὐτοῦ καλούμενον ἀλήϊον πεδίον, ἀλᾶσθαι δὲ κατὰ τοῦτο πηρωθέντα, τὸν δὲ ἵππον λαβεῖν τὴν Ἠῶ δεηθεῖσαν τοῦ Διὸς δῶρον πρὸς τὸ ἀκόπως περιιέναι τὰς τοῦ κόσμου περιόδους. ἡ δὲ ἱστορία παρ' Ἀσκληπιάδῃ ἐν Τραγῳδουμένοις.

157. *Ἀρίσταρχος Ἰακῶς κακὰ μήσατο.

158. *τὸ πολὺ φέρτατος καὶ τὰ ἑξῆς ἐπὶ τοῦ Προίτου παραδεκτέον.

159. *γάρ μιν] γρ. γάρ οἱ.

160. Ἄντεια] ἡ διπλῆ, ὅτι Ὅμηρος Ἄντειαν, οἱ δὲ νεώτεροι Σθενέβοιαν, καὶ ὅτι ἀκαίρως τὸ δῖα· μάχεται γὰρ ἡ μάχλος. προπερισπαστέον τὸ δῖα, καὶ τὸ Ἄντεια προενεκτέον ὡς Κράτεια.

1. *ἐκπεπηδήκει] ἐκπεπηδήκοι
*τοῦ] om.
2. *ἐπωχεῖτο] ἐπὶ ἐλευσίνου θρεψάσῃ Κορίνθῳ
8. κατείπασα] *κατειποῦσα
10. *εἰς Λυκίαν] om.
11. *καθ' ἑαυτοῦ] κατ' αὐτοῦ
12. *πολλοῖς] πολὺς
13. καταβολὴν] *διαβολὴν codex Darmstad. in Actis Monac. vol. 2 p. 522 et ed. Romana.
15. *Κασάνδραν] πασάνδραν. Eadem varietas in aliis scholiis ad v. 192.
18. *τὸν δὲ] δὲ τὸν
25. φέρτατος] In textu φέρτερος, superscripto ατος

ἔνιοι δὲ ὑπονοήσαντες ἀτόπως ἔχειν τὸ δῖα, κατὰ κόσμον ποιητικὸν προσέρριπται, ὡς καὶ ἐπὶ τοῦ "δῖα Κλυταιμήστρη" (Od. 3, 266).

169. γράψας ἐν πίνακι πτυκτῷ] ὅτι ἔμφασίς ἐστι τοῦ τῆς λέξεως γράμμασι χρῆσθαι· οὐ δεῖ δὲ τοῦτο δέξασθαι, ἀλλ' ἐστὶ γράψαι τὸ ξέσαι. οἷον οὖν ἐγχαράξας εἴδωλα δι' ὧν ἔδει γνῶναι τὸν πενθερὸν τοῦ Προίτου.

170. δεῖξαι δ' ἠνώγειν] οὕτως σὺν τῷ ν ἠνώγειν Ἀρίσταρχος· ἠνώγεεν γάρ.

*ὅτι τοῦτον οἱ νεώτεροι Ἰοβάτην φασίν.

171. ὑπ' ἀμύμονι πομπῇ] Ἰξίων ἐν τῷ πρώτῳ τῷ πρὸς τὰς ἐξηγήσεις προφέρεται μετ' ἀμύμονι.

174. ἐννῆμαρ] ἡ διπλῆ, ὅτι ἐπίφορός ἐστι πρὸς τὸν ἐννέα ἀριθμόν.

*Ἀρίσταρχος καὶ ξείνισσε καὶ ξείνιζε.

176. καὶ τότε μιν ἐρέεινε] ὅτι ἔθος ἦν παρὰ τοῖς παλαιοῖς ξενίζειν πρότερον, εἶτα πυνθάνεσθαι τίνος ἕνεκεν παραγεγόνασιν οἱ ξένοι.

σῆμα] ὅτι σημεῖα λέγει, οὐ γράμματα· εἴδωλα ἄρα ἐνέγραψεν.

181. *ὅτι ἓν σῶμα ἡ Χίμαιρα.

183. ὅτι οὐδὲν περὶ τῆς κατὰ τὸν Πήγασον ἱστορίας ἐμφαίνει.

187. *ἀνερχομένῳ] οὕτως Ἀρίσταρχος· ἄλλοι δὲ διὰ τοῦ ε, ἐπερχομένῳ.

188. βέλτιον τοῖς ἑξῆς συντάττειν τοῦτον τὸν στίχον.

189. *πρὸς τὸ πάλιν, ὅτι οὐ χρονικῶς.

191. γίνωσκε θεοῦ γόνον] ὅτι ἐκ τῶν πραττομένων τοῦτο συνέβαλεν. εἰ δὲ προσέκειτο καὶ ὁ Πήγασος, πολὺ πλέον αὐτοῦ τὴν δόξαν ἐπιστώσατο.

194. τέμενος τάμον] ἡ διπλῆ, ὅτι παρετυμολογεῖ τὸ τέμενος ἀπὸ τοῦ τεμεῖν καὶ ἀφορίσαι.

195. *γράφεται ὄφρα νέμοιτο.

1. ἔχειν τὸ δῖα] γράφουσι Διάντεια, κακῶς· ἀγνοοῦσι γὰρ ὅτι τὸ δῖα addit Cobetus. Paulo aliter Lehrsius Herod. p. 236.

3. τοῦ Friedl.] τοῖς

5. ξέσαι] ξύσαι Cobetus.

12. ὅτι ἐπίφορος] τὸ ἐπιφερόμενον in marg. inter. ubi hoc scholion repetitur. ὅτι εὐεπίφορος Cobetus. Quod usitatum scholiastis adiectivum est.

20. Post haec scholion excidisse videtur Aristonici de Aristarchi scriptura μαχήσατο pro μαχέσσατο: quod colligi potest ex scholio ad 2, 198.

ἀνερχομένῳ A in textu. Aristarcho ἀπερχομένῳ tribuit Townl.

198. Λαοδαμείῃ μέν] ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντηκεν.

199. ὅτι καθ' Ὅμηρον Σαρπηδὼν υἱὸς Εὐρώπης οὐκ ἔστιν, οὐδ' ἀδελφὸς Μίνωος, ὡς οἱ νεώτεροι· καὶ γὰρ οἱ χρόνοι εὔδηλοι.

200. ὅτι παρετυμολογεῖ τὸ ἀλήϊον ἀπὸ τῆς γενομένης ἐν αὐτῷ τοῦ Βελλεροφόντου πλάνης. τὸ δὲ ἀλήϊον οἱ μὲν ἐψίλωσαν ἀπὸ τῆς ἄλης τοῦ Βελλεροφόντου, οἱ δὲ ἐδάσυναν ἀπὸ τοῦ τοὺς ἄλας ἐκεῖ πήγνυσθαι· βέλτιον δὲ τὸ πρότερον.

202. πάτον] ὡς λόγον· τὰ γὰρ εἰς τος λήγοντα δισύλλαβα, βραχεῖα παραληγόμενα, μονογενῆ βαρύνεται, κρότος κότος μίτος νότος πότος. οὕτως ἄρα καὶ πάτος. δοκεῖ ἀντικεῖσθαι τὸ στρατός· τὸ γὰρ βροτός κατὰ δύο τρόπους ἀποφεύγει, ὅτι καὶ κοινὸν καὶ ἔχει ἀντέμφασιν.

205. *ἔκτα] ἀποκοπὴ τοῦ "ἔκταν' ἐπὶ προμάχων" (Il. 18, 456).

210. ὅτι οἱ μὲν ἥρωες Ἔφυραν παράγονται λέγοντες, αὐτὸς δὲ Κόρινθον λέγει τὴν πόλιν.

211. αἵματος] σπέρματος· τὸ γὰρ αἷμα εἰς θορὸν μεταβάλλεται. οἱ γοῦν συνεχῶς ἀφροδισιάζοντες τὸ τελευταῖον αἷμα φέρουσιν· τὸ γὰρ μεταβαλλόμενον ἀναλώσαντες τὸ ἀμετάβλητον ἐξέλκουσιν.

213. ἔγχος μὲν κατέπηξεν] γραφικῶς ἔχει καὶ τοῦτο. ἵνα δὲ μηκέτι πόλεμος εἶναι δοκῇ, καταπήγνυσι τὸ ἔγχος ὁ Διομήδης.

217. *ξείνισεν ἐν μεγάροισι] γρ. ξείνισ' ἐνὶ μεγάροισι.

218. *ὅτι περιττὸς ὁ καί σύνδεσμος.

219. Οἰνεὺς μὲν] σημειοῦνταί τινες ὅτι πρὸς τὸ πρῶτον ἀπήντηκεν.

226. στικτέον κατὰ τὸ τέλος τοῦ στίχου. ἀμφίβολον δὲ τὸ λεγόμενον. ἤτοι γὰρ ἀλλήλων παρακελεύεται φείσασθαι τόν τε Διομήδη καὶ τὸν Γλαῦκον, καὶ πάλιν ἀλλήλων τὰ πλήθη τοὺς Λυκίους καὶ τοὺς Ἀργείους, ἵν' ὥσπερ σπονδὰς ἔχωσιν οὗτοι οἱ βασιλεῖς καὶ τὰ πλήθη· ἢ καὶ ἐναλλὰξ, καὶ οἱ βασιλεῖς τῶν πληθῶν καὶ τὰ πλήθη τῶν βασιλέων, ὡς δὲ συντομώτερον εἰπεῖν, πάντες πάντων, Διομήδης Γλαῦκος, Ἀργεῖοι Λύκιοι. μειοῦνται γὰρ αἱ τῆς φιλίας συνθῆκαι, εἰ μόνοι οἱ βασιλεῖς ἀλλήλων ἀφέξονται.

*οὕτως Ἀρίσταρχος ἀλλήλων. Ζηνοδότειος δέ ἐστιν ἡ ἀλλήλους.

*ἀλεώμεθα] ἀντὶ τοῦ φειδώμεθα.

32. Ἀρίσταρχος addidit Cobetus. Aristarchus legit ἔγχεσι δ' ἀλλήλων, Zenodotus ἔγχεσι δ' ἀλλήλους. In textu ἔγχεα, superscripto σι

227. πολλοὶ μὲν γὰρ] οἷον οὐκ ἐπείγει πρὸς ἀλλήλους ἡμᾶς ἀμφοτέρους μάχεσθαι.

229. δύνηαι] ὡς λέγηαι καὶ φέρηαι· "σὺ δέ κεν κακὸν οἶτον ὄλεα" (Il. 3, 417). Τυραννίων δὲ προπερισπᾷ· καὶ δῆλον ὅτι καὶ τὸ πρῶτον αὐτοῦ πρόσωπον δώσει δυνῶμαι ὡς νικῶμαι. ἀλλ' εἰ ἅπαξ ἐστὶ τὸ ὁριστικὸν κατὰ χρῆσιν, δύναμαι δύνασαι, καὶ ὁμολογεῖται ἀπὸ τῶν εἰς μι, ὁμοτονήσει τούτοις καὶ τὰ ὑποτακτικά. οὕτως καὶ Ἀρίσταρχος καὶ οἱ ἄλλοι.

236. ἑκατόμβοι'] ἑκατὸν βοῶν ἄξια· οὐ γὰρ νομίσμασιν· ὅθεν καὶ ἀλφεσίβοιαι. οἱ δὲ παρ' Ἀθηναίοις νόμισμα ἔχον βοῦν.

ἐννεαβοίων] ἐννήα βοῶν· κεκώλυται δὲ ὑπὸ τοῦ μέτρου εἰπεῖν δεκαβοίων.

237. Σκαιάς τε πύλας καὶ φηγὸν ἵκανεν] ὅτι τὰς Σκαιὰς ὀνοματικῶς Δαρδανίας λέγει.

239. πρὸς τὸ σχῆμα, ὅτι ἀντὶ τοῦ περὶ παίδων καὶ κασιγνήτων ἐρωτῶσαι.

ἔτας τε] ὁ Ἀσκαλωνίτης ψιλοῖ ἐφ' οὗ ἂν τάσσηται, φησί, σημαινομένου. πολλὰ γὰρ ἡ λέξις σημαίνει. εἰ δὲ καὶ ἐπὶ τῶν ἑταίρων, φησί, πάλιν ψιλωτέον, ἐπεὶ συγκοπὴ ἐγένετο ὡς ἀπὸ τοῦ ἥλατο ἅλτο. πιθανώτερον δέ ἐστι, φησίν, ἐνθάδε ἀκούειν ἐπὶ τῶν συγγενῶν. Ἀλεξίων δὲ δασύνει. ὁ δὲ Ἀρίσταρχος οὐδὲν ἄντικρυς περὶ τοῦ πνεύματος ἀπεφήνατο. ἡμῖν δὲ δοκεῖ ἀφορμῇ ἐκείνῃ χρήσασθαι. εἰ ἄδηλόν ἐστι τὸ πνεῦμα, τὰ δὲ τοιαῦτα πολλάκις ἐκ συναλοιφῶν κρίνεται, εὑρέθη δὲ διὰ ψιλοῦ ἡ συναλοιφὴ, οὐδέποτε δὲ διὰ δασέος, δῆλον ὅτι διὰ τοῦτο συγκαταθετέον τῷ Ἀσκαλωνίτῃ ψιλοῦντι. παρὰ γοῦν Αἰσχύλῳ (fr. 314) οὕτως εὕρομεν "οὔτε δῆμος οὔτ' ἔτης ἀνήρ" καὶ παρ' Εὐριπίδῃ (fr. 1003) τὸ "πόλει μὲν ἄρχων, φωτὶ δ' οὐκ ἔτῃ πρέπων."

241. πάσας ἐξείης] ὅτι ἔν τισι γράφεται πᾶσι μάλ' ἐξείης, κατὰ τὸ ἑξῆς λέγων τοῖς θεοῖς εὔχεσθαι, ἀλλὰ μὴ κατὰ τὸ τυχόν.

242. ἀλλ' ὅτε δή] τὸ ἑξῆς, ἀλλ' ὅτε δὴ Πριάμοιο, (251) ἔνθα οἱ ἠπιόδωρος· τὰ δὲ λοιπὰ ὡς διὰ μέσου λεγόμενα διορθωτέον.

5. δώσει Bekkerus] δώδει
15. Addidi ὅτι, ut Bekkerus fecit in scholio simillimo p. 248, 28.
26. *οὔτ' ἔτης ex Eustathio] οὐτέτις
27. πόλει μὲν ἄρχων] πόλεως μὲν ἀρχῷ Herwerdenus.
οὐκ ἔτῃ ex Eustathio p. 641, 60] οὐκέτι
28. πρέπων ex Eustathio] πρέπον

243. ξεστῇς αἰθούσῃσι] στοαῖς ταῖς καταλαμπομέναις ὑπὸ του ἡλίου, ἢ αἰθούσαις διὰ τὸ αἴθεσθαι ἐν αὐταις φῶς τοῦ χειμῶνος, ἢ διὰ τὴν τοῦ ἡλίου βολήν.

244. ἔνεσαν] ὡς ἔλεξαν. οὕτως καὶ Ἀρίσταρχος· ἀληθὲς γάρ ἐστιν ὡς πᾶς παρῳχημένος δισύλλαβος, παθὼν κατὰ τὴν ἀρχὴν καὶ βραχεῖαν ἀναδεξάμενος, ἀναδίδωσι τὸν τόνον, κατεῖχε κάτεχε. οὕτως οὖν ἀνέγνωμεν "ἥμενον εἰσεῖδε" (Il. 14, 158) προπερισπωμένως, τὸ δὲ ἕτερον "τὰ φρονέων, μνηστῆρσι μεθήμενος, εἴσιδ' Ἀθήνην" (Od. 1, 118) προπαροξυτόνως.

246. *παρὰ μνηστῇς ἀλόχοισι] ἐν ἄλλῳ παρ' αἰδοίης ἀλόχοισι.

248. *τέγεοι ὡς τέλεοι· τέγος γὰρ ὡς τέλος, καὶ τέγειος ὡς τέλειος.

δώδεκ' ἔσαν τέγεοι θάλαμοι] ὅτι ὑπερῷοι ἦσαν, διὸ τέγεοι, ἵνα μὴ διοδεύωνται. ἐπιμελῶς δὲ Ὅμηρος καὶ διὰ τὴς Ἰλιάδος καὶ διὰ τῆς Ὀδυσσείας τοὺς γυναικείους θαλάμους ὑπερῴους συνίστησιν.

*παρ' αἰδοίῃσ' ἀλόχοισιν] οὕτως Ἀρίσταρχος, παρ' αἰδοίῃσ'.

*ἐν ἄλλῳ παρὰ μνηστῇσ' ἀλόχοισι.

251. ἠπιοδωρος] δῶρον παρὰ τῆς φύσεως ἔχουσα τὸ εἶναι ἠπία, ὅτι κλαυθμυριζομένοις τοῖς παισὶ τὸν μαζὸν προτείνει.

252. *ὅτι πρὸς Λαοδίκην πορευομένη. "εἰς Ἀγαμέμνονα" (Il. 7, 312).

255. δυσώνυμοι] οὐδὲ γὰρ ὄνομα αὐτῶν ὀνομάζειν θέλει, ὡς καὶ ἡ Πηνελόπη "κακοίλιον οὐκ ὀνομαστήν" φησιν (Od. 19, 260).

257. *ἄκρης πόλιος] ὅτι διαλελυμένως ἄκρην πόλιν εἶπε τὴν ἀκρόπολιν.

260. δὲ κ' αὐτός] τοῦτο διχῶς ἀναγινώσκεται. ὅσοι γὰρ ἡγοῦνται ἐγκεῖσθαι τὸν κε ἐγκλιτικὸν, ῥωννύουσι τοῦ δέ τὴν ὀξεῖαν, ὡς καὶ ὁ Ἀσκαλωνίτης· οὕτως γὰρ καὶ τὸ ἐν τῇ Ὀδυσσείᾳ (3, 255) ἀναγινώσκει "ἤτοι μὲν τόδε κ' αὐτὸς ὀΐεαι." ὅσοι δὲ τὸν καί κατὰ κρᾶσιν καὶ ἔκθλιψιν, καὶ αὐτός—καὐτός, ἐγκλίνουσι τὸν δέ.

*τὸ δε καὐτός διχῶς, καὶ βαρέως καὶ ὀξέως.

15. διοδεύωνται] διοπτεύωνται Lehrsius.
21. In textu ἐσάγουσα, i. e. ἐς ἄγουσα, ut legit Aristarchus.
23. *ὡς] om.
24. *φησὶν] om.
27. Conf. schol. ad 20, 311.
30. μὲν] μέντοι
32. δε addidit Cobetus.
διχῶς] I.e. δὲ vel δέ

*ὅτι τὸ πλῆρές ἐστι κε αὐτός. Ὁμηρικὸν δὲ τὸ τὸν κε περιττὸν εἶναι.

261. μένος] ἡ προθυμία, παρὰ τὸ μένω ῥῆμα, ὃ δηλοῖ τὸ προθυμοῦμαι, ὅθεν παρακείμενος μέμακα, μετοχὴ μεμακώς, ἐνδείᾳ τοῦ κ μεμαώς· "μεμαὼς πόλιν ἐξαλαπάξαι" (Il. 4, 40). μέσος παρακείμενος οὕτως μέμονα ὁ παρακείμενος. καὶ ὡς φθείρω φθαρτός, οὕτω μένω ματός, καὶ αὐτόματος ἐν συνθέσει.

262. *ὅτι ἄκρως Δώριον τὸ τύνη.

264. *ἄειρε] ἀντὶ τοῦ πρόσφερε, δίδου.

265. μή μ' ἀπογυιώσῃς] ἡ διπλῆ πρὸς τὸ δοκοῦν μάχεσθαι· ἡ γὰρ Ἑκάβη λέγει "μένος μέγα οἶνος ἀέξει," ὁ δὲ Ἕκτωρ "μή μ' ἀπογυιώσῃς." ἔστι δὲ διάφορα τὰ λέγοντα πρόσωπα, καὶ ἑκάτερον πρός τι εἴρηται.

266. *ἀνίπτοισιν] οὕτως Ἀρίσταρχος καὶ Ἡρωδιανός. Ζηνόδοτος διὰ τοῦ η ἀνίπτῃσιν.

*ὅτι Ζηνόδοτος γράφει ἀνίπτῃσιν. οὐκ ἔστι δὲ ἡ εὐθεῖα ἀνίπτη.

269. εὐχετάασθαι] Ἀρίσταρχος τὸ δεύτερον ἄλφα συστέλλει, καὶ ὁ Ἀσκαλωνίτης· ἄλλοι δὲ ἐκτείνουσιν, οὐχ ὑγιῶς. ὅσα γὰρ εἰς θαι λήγει ἀπαρέμφατα μὴ κατ' Αἰολίδα διάλεκτον, τρίτην ἀπὸ τέλους ἔχοντα τὴν ὀξεῖαν, φιλεῖ πρὸ τέλους βραχύνεσθαι, λέγεσθαι τίθεσθαι ἵστασθαι κίχρασθαι πίμπρασθαι. ὅσα δὲ πρὸ τέλους ἔχει φύσει μακράν, προπερισπᾶσθαι θέλει, νικᾶσθαι φιλεῖσθαι· τὰ γὰρ τοιαῦτα δίζησθαι φίλησθαι ὑποφαίνει Αἰολικὸν χαρακτῆρα. ὅθεν οἱ ἀξιοῦντες ἐκτείνειν τὸ δεύτερον ᾱ ἐν τῷ εὐχετάασθαι πάντως καὶ προπερισπῶσιν· εἰ δὲ δεδώκασι τρίτην ἀπὸ τέλους τὴν ὀξεῖαν, δώσουσι καὶ τὴν παραλήγουσαν βραχυνομένην. οὕτως οὖν πάντα τὰ τοιαῦτα ἀναγνωστέον· "ἀλλ' ἤτοι σε γυναῖκας ἐγὼ δεδάασθαι ἄνωγα" (Od. 16, 316)· "ἐν μεγάροισι δ' ἔκητι σέθεν κακὰ μηχανάασθαι" (Od. 3, 213)· ἄλλοτε μέν σε καὶ αἰτιάασθαι

1. κε—κε Friedl.] καὶ—καὶ

13. πρός τι ἔχοντα] Addit ἔχοντα, sed punctis notatum.

14. καὶ Ἡρωδιανὸς] ὁ δὲ Ἡρωδιανὸς Villoisonus et Bekkerus, qui non animadverterant post Ἡρωδιανός excidisse Ζηνόδοτος δέ, quod addidi: v. Schmidt. Did. p. 129. Hiller. Quaest. Herod. p. 13 et La Roche *Textkr.* p. 128, 388.

16. ὅτι] Praefixa est διπλῆ περιεστιγμένη.

ἀνίπτη] Sic A, non ἀνίπτης, ut Vill.

18. ὑγιῶς] ὑγειῶς

ἄνωγα" (Il. 10, 120)· "καὶ ἑδριάασθαι ἄνωγον" (Od. 3, 35). "μήτε μνάασθαι ἄκοιτιν" (Od. 1, 39).

270. *γεραιάς] γρ. καὶ γεραιράς.

273. *ἐπὶ γούνασιν] ὅτι πάλιν ἀντὶ τοῦ παρὰ γούνασιν.

277. *Ἰλίου ἱρῆς] ὅτι θηλυκῶς τὴν Ἴλιον.

278. *φόβοιο] ὅτι πάλιν φόβον τὴν φυγήν.

280. Πάριν μετελεύσομαι] ἵνα μὴ δι' Ἀνδρομάχην δοκῇ τῆς μητρὸς ὑπεξίστασθαι. καλῶς δὲ τὰ ἀναγκαῖα προκρίνει τῶν ἡδέων.

282. γαῖα χάνοι] διασταίη ἡ γῆ, ὥστε χάσματος γενομένου καταποθῆναι. ἢ καταπίοι ἡ γῆ.

284. ὅτι τὸ σημαινόμενον, εἰ ἐκεῖνον ἴδοιμι τετελευτηκότα, δόξαιμι ἂν ἐκλελῆσθαι τῆς κακοπαθείας καὶ χωρὶς αὐτῆς γεγονέναι. ἔνιοι δὲ ἀγνοήσαντες γράφουσιν ἀτέρπου.

285. *Ζηνόδοτος φίλον ἦτορ.

288. κατεβήσετο] superscriptum κατεβήσατο.

*ἐν ταῖς Ἀριστάρχου φέρεται καὶ ἑτέρως, ἡ δ' εἰς οἶκον ἰοῦσα παρίστατο φωριαμοῖσιν.

289. ἔσαν οἱ] ὅτι ἐγκεκλιμένως ἀναγνωστέον οὕτως δύο τόνοις, καίτοι πυρριχιακῆς οὔσης τῆς λέξεως, ἵνα μὴ ἄρθρον νοηθῇ τὸ οἱ, ἀλλ' ἀντωνυμία.

291. ἦγαγε Σιδονίηθεν] δεδιὼς γὰρ τὸν διωγμὸν διὰ Φοινίκης καὶ Αἰγύπτου ἦλθεν, ὡς καὶ οἱ Ἀργοναῦται διὰ τοῦ Ἴστρου. τῆς περιεργασίας δὲ Ἀλεξάνδρου τὸ μὴ μόνον ὠνήσασθαι πέπλους, ἀλλὰ καὶ πρίασθαι τὰς ἐργαζομένας.

*ὅτι ἀπὸ μιᾶς πόλεως τῆς Σιδῶνος τὴν Φοινίκην σημαίνει.

292. ἀνήγαγεν] ὅτι τὸν ἐκ Πελοποννήσου ἐπὶ Ἴλιον πλοῦν ἀναγωγὴν λέγει.

299. *βραχὺ διασταλτέον ἐπὶ τὸ Κισσηΐς.

303. *ἐπὶ γούνασιν] ὅτι πάλιν παρὰ γούνασιν.

305. ἐρυσίπτολι] πλεονασμὸς τοῦ ε· οἱ δὲ παρὰ Καλλιμάχῳ τὸν οὐκ ἀγαθὸν ἐρυσίπτολιν. ἄλλως ἡ ποιοῦσα ἐριπεῖν τὰς πόλεις.

4. παρὰ γούνασιν (ut ad v. 303)] παραγεγόνασιν

7. ἵνα—ἡδέων] Haec verba sine lemmate in fine scholii proximi in A leguntur.

δοκῇ — ὑπεξίστασθαι] δοκεῖ — δέξασθαι

12. αὐτῆς Bekkerus] αὐτ^

18. ὅτι—] Haec observatio repetitur in scholio Odyss. 15, 105 ad verba ἔνθ' ἔσάν οἱ—.

23. *μόνον] om.

ἄμεινον δὲ ῥυσίπτολι, καὶ οἰκεῖον ταῖς περὶ σωτηρίαν εὐχομέναις τῆς πόλεως. καὶ ἀλλαχοῦ "Ἀθηναίῃ λητίδι" (Il. 10, 460).

311. ὣς ἔφατ' εὐχομένη] ἀθετεῖται, ὅτι πρὸς οὐδὲν τὸ ἐπιφώνημα καὶ οὐκ εἰθισμένον· κατὰ μὲν γὰρ τὸ ἐναντίον ὁ Ζεὺς ἐπιβεβαιοῖ κατανεύων· καὶ ἑξῆς δ' ἐπιλεγομένου "ὣς αἱ μέν ῥ' εὔχοντο" σαφῶς γίνεται περισσὸς ὁ στίχος. γελοία δὲ καὶ ἡ ἀνανεύουσα Ἀθηνᾶ.

317. *πόλει ἄκρῃ] ὅτι πάλιν διῃρημένως εἴρηκεν.

319. *"ὅτι ὑφ' ἓν ἑνδεκάπηχυ ἀναγνωστέον· τὸ γὰρ διπλάσιον δυωκαιεικοσίπηχυ (Il. 15, 677).

οἱ μὲν διαιροῦσιν, ἔχει, εἶτα δεκάπηχυ· οἱ δὲ ἑνδεκάπηχυ. ὁ μὲν οὖν Ἀσκαλωνίτης οὐδεμίαν προκρίνει· οἱ δὲ περὶ Ἡρακλέωνα καὶ Ἀλεξίωνα πιθανωτέραν ἡγοῦνται τὴν τοῦ ἕνδεκα ἀριθμοῦ διαστολήν, ἐπειδήπερ τὰ ναύμαχα, τὰ ἐκ δύο συμβληθέντα καὶ κολληθέντα, λέγεται δυωκαιεικοσίπηχυ.

320. πόρκης] ὁ κρίκος ὁ συνέχων τὸν σίδηρον πρὸς τὸ ξύλον τοῦ δόρατος, διὰ τὸ πείρειν τὸ δόρυ δι' αὐτοῦ.

322. βραχὺ διασταλτέον ἐπὶ τὸ θώρηκα· πρεπωδέστερον γὰρ ἐπὶ τοῦ τόξου τὸ ἀφόωντα.

325. τὸν δ' Ἕκτωρ νείκεσσεν] ὅτι κυκλικῶς κατακέχρηται· οὐδὲν γὰρ λέγεται ἐπιπληκτικόν.

326. ὅτι ἄπορον ποῖον χόλον. λύοιτο δ' ἂν ἐξ ὑποθέσεως. μήποτ' οὖν ἀκούων τοὺς Τρῶας καταρᾶσθαι αὐτῷ ἐχολοῦτο· ἀμείβεται γοῦν "οὗτοι ἐγὼ τόσσον χόλῳ οὐδὲ νεμέσσει" (335).

330. *εἴ τινά που] Ἀρίσταρχος ὅν τινά που.

331. *πυρὸς δηΐοιο θέρηται] ὅτι ἐλλείπει ἡ ὑπό πρόθεσις, ὑπὸ πυρός.

335. Τρώων τόσσον χόλῳ] ὅτι σαφὲς γέγονε τὸ ἐν τοῖς ἐπάνω ἄδηλον διὰ τοῦ "δαιμόνι', οὐ μὲν καλὰ χόλον τόνδ' ἔνθεο θυμῷ" (326).

336. ἤμην] προσπνευστέον τὸ η̄· ἐνδιατρίβειν γὰρ σημαίνει καὶ τὸ καθῆσθαι. ὅσοι δὲ ἠθέλησαν σημαντικὸν εἶναι τοῦ ὑπάρχειν ἐψίλωσαν· ὃ σπανίως εὑρίσκεται κατὰ τὴν χρῆσιν τῶν Ἑλλήνων, οὗ τὰ ὑποδείγματα δίδομεν ἐν τῷ περὶ τῶν εἰς μι. ὁ μέντοι ποιητὴς οὐκ ἐχρήσατο.

10. δυωκαιεικοσίπηχυ] δύο καὶ εἰκοσίπηχυ hic et infra.

ἄχεϊ προτραπέσθαι] διὰ τὴν λύπην τοῦ δυσημερήματος ἤθελον ἀποτραπῆναι μικρὸν τῆς μάχης. ἔνιοι δὲ εἶξαι.

*οἱονεὶ εἶξαι τῇ συμφορᾷ καὶ σχολάσαι τῆς μάχης.

337. ὅτι οὐ κατὰ τὸ ῥητὸν παραγήοχε τὴν παραμυθίαν, δεῖ δὲ κατὰ τὸ σιωπώμενον νοῆσαι· διὸ καὶ εὑρίσκεται περὶ τὰ ὅπλα ἀσχολούμενος.

343. *ἐν ἄλλῳ προσηύδα δῖα γυναικῶν.

348. ἀπόερσε] ψιλωτέον· τὰ γὰρ φωνήεντα καταλήγοντα εἰς τὸ ρ̄ ἐπιφερομένου τοῦ σ ψιλοῦσθαι φιλεῖ, ἄρσαντες—οὕτως γὰρ ἐλέγομεν περὶ τούτου καὶ ἐν τῇ Α ῥαψῳδίᾳ (136)—, Ἀρσινόη, "ἐν δὲ σταθμοὺς ἄρσε" (Od. 21, 45), ὄρσας, "ὄρσεο, κυλλοπόδιον" (Il. 21, 331). ταύτῃ ἀναλογώτερον τὸ ἔερσα τρισύλλαβον· πιθανῶς δὲ παρέδραμε τὴν τῶν αὐτῇ εἰργασμένων αἰσχύνην.

353. *καί μιν] γρ. κέν μιν.

*ἐπαυρήσεσθαι] τῆς ἰδίας ἀνοίας δηλονότι.

354. *ἀλλ' ἄγε νῦν] οὕτω νῦν αἱ Ἀριστάρχου.

355. τὸ δᾶερ ὡς ἄνερ· τοιαῦται γὰρ αἱ εἰς ερ̄ κλητικαί· τὴν δὲ σέ ἀντωνυμίαν ὀξυτονοῦσι, τουτέστιν ὀρθοτονοῦσιν, ἐπεὶ πρός τί ἐστιν. ἔστι μὲν οὖν ἀληθὲς ὅτι ἀντιδιασταλτική ἐστι νῦν ἡ ἀντωνυμία· ἡ μέντοι κοινὴ ἀνάγνωσις ἀνέγνω ἐγκλιτικῶς ἀεὶ τὴν τοιαύτην σύνταξιν. ὃ δὲ λέγω, τοιοῦτόν ἐστι. τὸ ἐπεί σε εὑρέθη συνεχῶς οὕτως ἀνεγνωσμένον, ἐγκλιτικῶς ἀεί, μὴ ἐπιφερομένου συνδέσμου "ἐπεί σ' εἶασεν Ἀχιλλεύς" (Il. 24, 684) "ἐπεί σε πρῶτα κιχάνω" (Od. 13, 228) "ἐπεί σε φυγὼν ἱκέτευσα" (Od. 15, 277) "ἐπεί σε λέοντα" (Il. 21, 483). οὕτως δὲ καὶ "ἐπεί σε μάλιστα πόνος φρένας." καί μοι δοκοῦσι τῷ πρώτῳ προσώπῳ ἀκολουθεῖν οἱ οὕτως ἀνεγνωκότες, πιθανῶς πάνυ. διὰ γὰρ τῆς φωνῆς τὸ πρῶτον πρόσωπον ἐπιδείκνυται τό τε ὀρθοτονούμενον καὶ τὸ ἐγκλιτικόν, εἴ γε ἡ ἐμὲ αἰτιατικὴ, ὅτε φυλάσσει τὸ ε, ὀρθοτονεῖται, εἰ δὲ ἀποβάλοι, ἐγκλι-

3. συμφορᾷ] συμφᾷ° A.

4. παραγήοχε] παραγείοχε

12. ἔερσα] éερσα sine spiritu. De spiritu ἔερσα vel ἕερσα dissentiunt grammatici.

τρισύλλαβον] τρισύλλ^{α}, quod τρισύλλαβον est, non τρισυλλάβως, quod scripsit Vill.

14. κέν μιν] καί μιν, sed correctum a m. rec. in marg.

17. κλητικαὶ Bekkerus] ἐγκλητικαὶ, ex quo Villoisonus fecerat ἐγκλιτικαί. Recte vero lin. 22 idem ἐγκλιτικῶς scripsit pro ἐγκλητικῶς, quod frequens in hoc codice vitium est, de quo sufficiet in universum monuisse.

28. εἴ γε Bekkerus] εἰ γὰρ

τική ἐστιν. εὑρέθη τοίνυν μετὰ τοῦ ἐπεί συνδέσμου παρὰ τῷ ποιητῇ κατὰ ταύτην τὴν σύνταξιν ἀποβάλλουσα τὸ ε̄· "Ἕκτορ, ἐπεί με κατ' αἶσαν" (Il. 3, 59) "ἐπεί μ' ἀφέλεσθέ γε δόντες" (Il. 1, 299). τούτῳ τοίνυν τῷ λόγῳ πιθανὸν ἂν εἴη κατακολουθήσαντας ἡμᾶς ἀναγινώσκειν ἐγκλιτικῶς "ἐπεί σε μάλιστα."

357. οἷσιν ἐπί] ὁ Ἀσκαλωνίτης ἀναστρέφει, ἵν' ᾖ ἐφ' οἷς. δύναται δὲ τὸ ἐξῆς εἶναι ἐπέθηκεν· οὕτως γὰρ βούλονται καὶ οἱ περὶ Ἡρακλέωνα· ἢ περισσὴν λαμβάνειν τὴν ἐπί, ἥτις πάλιν οὐκ ἀναστραφήσεται, δι' ὃν εἴπομεν λόγον· τοῦτο γὰρ βούλεται καὶ ὁ Ἀλεξίων. οὐδὲν μέντοι κεκώλυκε καὶ τὸ τοῦ Ἀσκαλωνίτου, ἐπεὶ οὐχ ὁρῶ τινὰ λόγον ἀναγκαστικόν.

360. *οὐ δέ] ὅτι ὁ δέ ἀντὶ τοῦ γάρ· οὐ γάρ με πείσεις.

362. *Τρώεσσ'] τὸ τέλειον Τρώεσσι· διὸ προπαροξύνεται.

*τὸ ποθήν ὡς κριθήν.

366. *οἰκῆας] οἰκέτας.

367. *τ' οἶδ'] τὸ τέλειον τε οἶδα.

ἔτι σφιν] οὕτως ἔτι σφιν. εἷς τόνος, καίτοι ἐχρῆν δύο διὰ τὸ ἐπιφέρεσθαι ἀντωνυμίαν ἀπὸ τοῦ σφ̄ ἀρχομένην, ὁμοίως τῷ "ὄθι σφίσι πέφραδ' Ἀχιλλεύς" (Il. 23. 138) "ἦρχε δ' ἄρα σφιν ἄναξ ἀνδρῶν Ἀγαμέμνων" (Il. 14, 134). σεσημείωται οὖν αὕτη ἡ ἀνάγνωσις μόνη, ὡς ἐν ἄλλοις ὁ Ἡρωδιανὸς λέγει.

370. *εὖ ναιετάοντας] ὅτι ἀντὶ τοῦ εὖ ναιομένους.

371. οὐδ' εὗρ' Ἀνδρομάχην] ἐκκλίνων τὸ ὁμοειδὲς πιθανῶς ἐποίησε τὴν Ἀνδρομάχην μὴ εὑρισκομένην ἔνδον. ἅμα δὲ καὶ κρίνειν τὸν ἀκροατὴν ἀξιοῖ ὅσης ἐπλήρωσε μὲν λύπης εὑρὼν Ἑλένην, Ἀνδρομάχην δὲ οὔ. ἀπῄει δὲ κατηφὴς, τῶν φιλτάτων μὴ θεαθέντων· ἐν γὰρ τῷ τείχει παραδόξως συντυγχάνει αὐτοῖς.

373. *ἐκ παραλλήλου τὸ αὐτό.

*ἐφειστήκει] Ἀρίσταρχος χωρὶς τοῦ ῐ ἐφεστήκει.

394. *πολύδωρος] πολλὰ ἔδνα παρὰ τοῦ ἀνδρὸς λαβοῦσα.

396. τὸ Ἠετίων εἰ μὲν τοῖς ἄνω συντάττοιμεν, ἐμφανέστερον ποιεῖ τὸ ἀκατάλληλον τῆς ἐπαναλήψεως, ἥτις ὁμοιόπτωτος ὀφείλει γίνεσθαι· εἰ δὲ τοῖς μετὰ ταῦτα, δύναται εἶναι ὁ λόγος καὶ τὸ ἐξῆς, μεγαλήτορος Ἠετίωνος, ὅστις Ἠετίων ᾤκει ὑπὸ Πλάκῳ.

10. τὸ Lehrsius] ὁ 17. οὕτως] οὕτως ε
31. Ἠετίων Friedl.] ἠετίωνος

Ἠετίων, ὃς ἔναιεν] ἡ διπλῆ πρὸς τὴν ἐπανάληψιν, ὅτι πλεονάζει ἐν Ἰλιάδι, καὶ τὸ τῶν πτώσεων ἀκατάλληλον.

ὑπὸ Πλάκῳ] Γράνικος, οἱ δὲ Ἄτραμυς, Πελασγὸς τὸ γένος, ἀφίκετό ποτε ὑπὸ τὴν ἐν τῇ Λυκίᾳ Ἴδην, καὶ πόλιν κτίσας ἐκεῖσε ἀφ' ἑαυτοῦ προσηγόρευσεν Ἀδραμύττιον. γεννήσας δὲ θυγατέρα Θήβην τῷ ὀνόματι, παρὰ τὴν ἀκμὴν τοῦ γάμου ἔθετο γυμνικὸν ἀγῶνα καὶ τὸν ταύτης γάμον τῷ ἀριστεύσαντι. Ἡρακλῆς δὲ κατ' ἐκεῖνο καιροῦ φανεὶς ἔλαβε τὴν Θήβην γυναῖκα, καὶ κτίσας πόλιν ὑπὸ τὸ Πλάκιον καλούμενον ὄρος τῆς Λυκίας Πλακίαν Θήβην αὐτὴν ἀπὸ τῆς γυναικὸς ἐκάλεσεν. ἡ ἱστορία παρὰ Δικαιάρχῳ.

398. *ἔχεθ' Ἕκτορι] ὅτι ἀντὶ τοῦ εἶχετο ὑφ' Ἕκτορος. ἡ γὰρ γυνὴ ἔχεται, ὁ δὲ ἀνὴρ ἔχει.

400. κόλπῳ] ὅτι κόλπον τὰς ἀγκάλας νῦν εἶπεν. εἴωθε δὲ καὶ τὸ ἄνω τοῦ πέπλου οὕτως καλεῖν· "κόλπον ἀνιεμένη" (Il. 22, 80).

*ἀταλάφρονα] ἁπαλὰ φρονοῦντα, μὴ δυνάμενον τλῆναι καὶ κακοπαθεῖν.

*αὕτως] οὕτως ὡς οἱ παῖδες.

402. *καλέεσκε Σκαμάνδριον] σημείωσαι τὸ μέτρον.

403. *ὅτι παρετυμολογεῖ.

408. *καὶ ἔμ' ἄμμορον] ὅτι τινὲς γράφουσι καὶ ἐμὸν μόρον, οὐκ εὖ.

413. διὰ τί διηγεῖται τῷ ἐπισταμένῳ; ὅτι οὐκ ἔστιν ἀναλογισμὸς τοῦ συμφέροντος ταῖς ἀσθενούσαις ψυχαῖς. αὗται δὲ πρὸς τὸ πενθεῖν εἰσὶ καὶ τὸ δεῖσθαι διὰ τὴν ταραχήν.

414. ἁμὸν] Δημήτριός φησιν ἀντὶ τοῦ ἐμόν· διὸ καὶ ἄντικρυς ψιλοῖ. πιθανώτερον δέ ἐστι Δωρικώτερον εἶναι, ἀντὶ τοῦ ἡμέτερον, ἁμόν. οὕτως Ἀπολλώνιος.

415. *εὖ ναιετάωσαν] ὅτι ἀντὶ τοῦ εὖ ναιομένην.

*ναιετάωσαν] Ἀρίσταρχος διὰ τοῦ ō ναιετόωσαν.

417. ὅτι διδάσκει τί τὸ ἐξενάριξεν· ἐπιφέρει γὰρ "ἀλλ' ἄρα μιν κατέκηε σὺν ἔντεσιν."

422. ἰῷ] ὡς σοφῷ Ἀρίσταρχος· καὶ ἐπεκράτησεν αὐτοῦ ἡ ἀνά-

3. Ἄτραμυς Mueller. Fragm. Hist. vol. 2 p. 238] ἀτράμους (*Ἀδράμυστος ὁ Πελασγός). V. Thes. vol. 1, 2 p. 2397 et Museum Rhen. vol. 8 p. 322, 597.

9. Λυκίας] *Κιλικίας

32. Scholion valde decurtatum, de quo v. Lehrs. Herod. p. 240.

γνωσις. ἐκεῖνο μέντοι ἀναγκαῖον προσθεῖναι, ὅτι τὸ ἴα βαρυτόνως ἀνέγνω ὁ ἀνὴρ καὶ τὸ μία· "οὐδ' ἴα γῆρυς" (Il. 4, 437) καὶ "μία δ' οἵη" (Il. 18, 565)· τὰς μέντοι δοτικὰς περιέσπασεν "ἰῇ ἄρα γινόμεθ' αἴσῃ" (Il. 22, 477) καὶ "ἰῇ δ' ἐν νυκτὶ γένοντο" (Il. 18, 251). καὶ φασί γε τὸ τοιοῦτο εἶδος Ἰώνων εἶναι. τινὲς δὲ ἐτόλμησαν λέγειν αὐτὸ Ἀττικὸν, λέγω δὲ τὸ ἐπὶ τῶν τοιούτων θηλυκῶν καταβιβασμὸν γίνεσθαι τόνου. οὕτως οὖν καὶ "μέσην ἐς ἄγυιαν" (Il. 20, 254) ἀνέγνω, "ἐϋκτιμένας" δὲ "κατ' ἀγυιάς" (391). μήποτ' οὖν ἐπεὶ καὶ τὸ ἰῇ ἐπὶ τῆς δοτικῆς περιέσπασε, συνεξομοιῶν τῷ τοῦ θηλυκοῦ τόνῳ, κατὰ τὴν αὐτὴν πτῶσιν καὶ τὸ οὐδέτερον οὕτως ἀνέγνω ὁμοτόνως.

428. *βάλ' Ἄρτεμις] αἰφνιδίως ἐτελεύτησε· τοὺς γὰρ αἰφνιδίους θανάτους ἀναφέρουσιν εἰς Ἀπόλλωνα καὶ Ἄρτεμιν.

432. *θήῃς] οὕτως Ἀρίσταρχος διὰ τοῦ η̄, θήῃς.

433. ἀθετοῦνται στίχοι ἑπτὰ ἕως τοῦ (439) "ἦ νυ καὶ αὐτῶν θυμός," ὅτι ἀνοίκειοι οἱ λόγοι τῇ Ἀνδρομάχῃ· ἀντιστρατηγεῖ γὰρ τῷ Ἕκτορι. καὶ ψεῦδος παρέχουσιν· οὐ γὰρ παρέδωκεν εὐεπίδρομον τὸ τεῖχος κατὰ τοῦτο τὸ μέρος, οὐδ' οὕτως ἐστὶ πλησίον ἡ μάχη τοῦ τείχους. καὶ ὁ Ἕκτωρ (441) πρὸς τὰ πρότερα ἀπαντᾷ λέγων "ἦ καὶ ἐμοὶ τάδε πάντα."

434. *ἀμβατός] οὕτως Ἀρίσταρχος, ἀμβατός. Καλλίστρατος διὰ τοῦ η̄, ἀμβατή.

435. *τῇ γ' ἐλθόντες] γρ. καὶ διὰ τοῦ δ̄, καὶ διὰ τοῦ γ̄.

437. Ἀτρεΐδας] ὁ Ἰξίων ἐν τῷ πρὸς τοὺς ἠθετημένους Ἀτρείδα προφέρεται δυϊκῶς.

438, 439. ἦ—ἦ] διὰ τὸ πού καὶ νύ τὸν ἦ ὀξυτονητέον, ὃς δύναται εἶναι διαζευκτικὸς ἢ καὶ παραδιαζευκτικός.

439. *ἐν ἐνίοις ἦ νυ καὶ αὐτοὺς θυμός.

441. ὅτι πρὸς τὴν λέγουσαν "ἀλλ' ἄγε νῦν ἐλέαιρε" καὶ "μὴ παῖδ' ὀρφανικὸν θείης" οἰκείως ἀπήντηκεν· ὁ δὲ διασκευαστὴς ἐπλανήθη.

442. ἑλκεσιπέπλους] αἱ ἐν τῷ βαδίζειν ἐπισύρουσαι τοὺς πέπλους.

6. δὲ τὸ Bekkerus] τὸ om.
17. παρέχουσιν] περιέχουσιν Lehrsius.
21. ἀμβατός—ἀμβατή] ἄμβατος—ἀμβάτη
26. πού καὶ νύ] ποῦ καὶ νύ
29. ἐλέαιρε] ἐλέαινε

444. μάθον ἔμμεναι ἐσθλός] διδακταὶ γὰρ αἱ ἀρεταί. ἄμεινον δὲ τὸ ἔμαθον ἀντὶ τοῦ εἴωθα.

445. τὸ αἰεί τοῖς ἐπάνω προσδοτέον, ἵνα μὴ ὑπερβατὸν γένηται τοῦ καί συνδέσμου, καὶ αἰεὶ πρώτοισι. κοινὸν μέντοι νοεῖται κατ' ἀμφοτέρων τὸ ἀεί, ὥσπερ καὶ τὸ μάθον.

446. *ἀρνύμενος] ἀντὶ τοῦ περικτώμενος.

448. ἔσσεται ἦμαρ] οὐκ ἐκφοβεῖ, ἀλλὰ πρὸς τὸ μέλλον εὐπαράμυθον ποιεῖ. οὐχ ὁρίζει δὲ τὸν χρόνον τῆς ἁλώσεως· ὧν γὰρ δεινῶν χρόνος οὐχ ὁρίζεται, τούτων ἧττον ἐλύπησεν ἡ προσδοκία, ὥσπερ ἔστιν ἰδεῖν καὶ ἐπὶ τοῦ θανάτου· προειδότες γὰρ ὅτι τεθνηξόμεθα διὰ τὸ μὴ εἰδέναι τὸ πότε ἧττον ἀχθόμεθα.

* ὅτι θηλυκῶς τὴν Ἴλιον.

457. ὕδωρ φορέοις] ὅτι κατὰ τὸ προστυχὸν οὕτως εἰπόντος Ὁμήρου οἱ νεώτεροι τῷ ὄντι ὑδροφοροῦσαν εἰσάγουσιν αὐτήν.

*Μεσσηὶς καὶ Ὑπέρεια κρῆναι Ἄργους.

459. εἴπῃσιν] ὅτι τὸ εἴπῃσιν ἀντὶ τοῦ εἴποι ἄν. ἡ δὲ ἀναφορὰ πρὸς Φιλητᾶν γράφοντα "θρώσκων τις κατὰ κῦμα μέλαιναν φρῖχ' ὑπαλύξει" (Π. 21, 126). οὗτος γὰρ μὴ νοήσας ὅτι τὸ ὑπαΐξει ἐστὶ τὸ ἐφορμῆσαι ὑπὸ τὴν φρῖκα, τουτέστι τὸ τοῦ ὕδατος ἐπανάστημα, ὃς φάγοι ἂν Λυκάονος τοῦ δημοῦ, τὴν φρῖκα ἐδέξατο, τὴν ὑπὸ τοῦ ψύχους γινομένην φρίκην, καί φησι τοὺς πιμελώδεις τῶν ἰχθύων ὑπομένειν τὸ ψῦχος, ὥστε ὃς ἂν τὸ τοῦ Λυκάονος λίπος φάγοι, ἐκκλίνει τὴν φρίκην.

464. χυτὴ] ὅτι οὐ πᾶσα γῆ οὕτως λέγεται παρ' αὐτῷ, ἀλλ' ἡ τοῖς νεκροῖς ἐπιχεομένη.

465. πρίν γέ τι] Διονύσιος ὁ Σιδώνιος τὸν γέ ἐκ πλήρους ποιεῖ· οὕτως καὶ Ἀλεξίων καὶ οἱ περὶ Ἡρακλέωνα· οὐ γὰρ πιθανὸν ἐγκεῖσθαι τὸ ἔτι· οὐ γὰρ δή γε καὶ πρότερον συνέβη ταῦτα τῇ Ἀνδρομάχῃ. ἔστιν οὖν τὸ τί καθ' ὕπαρξίν τινα λεγόμενον, ἢ καὶ παρελκόμενον, ὁμοίως τῷ "ἦ νύ τοι οὔ τι μέλει Τρώων πόνος" (Π. 22, 11) καὶ "μή τι φόβονδ' ἀγόρευε" (Π. 5, 252) καὶ "μή τί μευ ἠΰτε παιδός" (Π. 7, 235), οὐχ ὑγιῶς οὖν ὁ Πτολεμαῖος οἴεται συναλοιφὴν εἶναι.

15. Μεσσηὶς] μεσηὶς
ἐν Ἄργει οὖσα in marg. exter.
17. Φιλητᾶν] φιλητὰ
30. τῷ] τὸ
32. ὑγιῶς] ὑγειῶς

469. διασταλτέον χαλκόν τε· μέρος γὰρ ἐστὶ περιόδου ἐπανειλημμένον μετοχικόν. ἀτυχθεὶς ὄψιν καὶ ταρβήσας χαλκὸν καὶ λόφον νοήσας.

472. ἀπὸ κρατὸς κόρυθ' εἵλετο] σημειοῦνταί τινες τοῦτον διὰ τὸ τὸν τραγικὸν Ἀστυδάμαντα παράγειν τὸν Ἕκτορα λέγοντα "δέξαι κυνῆν μοι πρὸς πόλεμον δὲ καὶ φοβηθῇ παῖς."

475. *Ἀρίσταρχος διὰ τοῦ δ̄, εἶπε δ' ἐπευξάμενος.

478. *ὧδε βίην τ' ἀγαθόν] ἄλλοι ὧδε βίην ἀγαθόν τε.

479. *πατρὸς δ' ὅγε] Ἀρίσταρχος πατρός γ' ὅδε.

479, 480. καὶ ποτέ τις εἴποι] τὸ ἐξῆς, καί ποτέ τις εἴποι ἐκ πολέμου ἀνιόντα. καὶ οὐ λείπει τὸ ἰδών, ἀλλ' ἔστι συνήθης Ἀττικοῖς ἡ φράσις. Εὐριπίδης Ῥήσῳ (390) "χαίρω δέ σ' εὐτυχοῦντα καὶ προσήμενον πύργοισιν ἐχθρόν," καὶ αὐτὸς Ὅμηρος ἀλλαχοῦ "ἤχθετο γάρ ῥα Τρωσὶν δαμναμένους" (Il. 13, 352). ἤλλακται δὲ πτῶσις, ἀντὶ τοῦ ἐκ πολέμου ἀνιόντος.

480. ἔναρα βροτόεντα] τὰ ἀπὸ πολέμου λάφυρα· ἐναρίζειν γάρ ἐστι τὸ φονεύειν. διὰ τοῦτο καὶ οἱ νεκροὶ ἔναροι.

βροτόεντα] ᾑμαγμένα· βρότος γὰρ τὸ ἀπὸ φόνου αἷμα. ἢ ᾑματωμένα.

483. κηώδεϊ] ἐν ᾧ τὰ βρέφη κοιμίζεται.

484. δακρυόεν γελάσασα] δυνατῶς ῥηθὲν ἀνερμήνευτόν ἐστιν· οὐ γὰρ ἁπλοῦν τὸ πάθος, ἀλλὰ σύνθετον ἐξ ἐναντίων παθῶν, ἡδοναὶ καὶ λῦπαι· εἰς γέλωτα μὲν γὰρ αὐτὴν προσήγαγε τὸ βρέφος, εἰς δάκρυον δὲ ἡ περὶ τοῦ Ἕκτορος ἀγωνία.

489. φαίνεται καὶ τὴν μαθηματικὴν πρῶτος εἰδὼς Ὅμηρος, ἐν οἷς τὴν ἐπὶ γενέσεως ὥραν περιέχειν τὰ ἀποτελέσματα λέγει.

490–493. τέσσαρσι στίχοις ἑξῆς ἀστερίσκοι παράκεινται, ὅτι νῦν μὲν ὀρθῶς κεῖνται καὶ πρὸ τῆς μνηστηροφονίας (Od. 21, 350), ἐν δὲ τῇ Α ῥαψῳδίᾳ τῆς Ὀδυσσείας (356–359) οὐκέτι.

491. ἠλακάτην] τὸ τῶν γυναικῶν ἐργαλεῖον ᾧ περιελίσσουσι τὸ

1. διασταλτέον εἰς τὸ ὄψιν ἀτυχθεὶς· μέρος γάρ ἐστι περιόδου ἐπανειλημμένον μετοχικὸν τὸ ταρβήσας χαλκόν. τὸ δὲ ἰδὲ λόφον ἱππιοχαίτην τοῖς ἑξῆς προσδοτέον· διὸ διασταλτέον καὶ ἐπὶ τὸ χαλκόν τε. στικτέον δὲ ἐπὶ τὸ νοήσας Friedl. Nic. p. 188.

5. Astydamantis verba corrupta. Prima sic correxit Porsonus δέξαι κυνῆν μοι, πρόσπολ', ὧδε προσμολών, unde κυνῆν scripsi pro κοινήν. Versus alter fortasse fuit μὴ καὶ φοβηθῇ παῖς—.

26. περιέχειν τὰ Bekk.] περιέχοντα

ἔριον. λέγει δέ ποτε οὕτως καὶ τὸ βέλος ἐν τῷ συνθέτῳ ὀνόματι χρυσηλάκατον· σημαίνει γὰρ τὴν χρυσᾶ βέλη ἔχουσαν Ἄρτεμιν.

492. ἐνθάδε πόλεμος, ἐπὶ δὲ Τηλεμάχου (Od. 1, 358) μῦθος· ἐπὶ δὲ τῆς θέσεως τοῦ τόξου (Od. 21, 352) "τόξον δ' ἄνδρεσσι μελήσει."

493. *πᾶσιν, ἐμοὶ δὲ μάλιστα] ἀντὶ τοῦ πλέω πάντων τῶν ἐν Ἰλίῳ.

500. *γόον] ἀντὶ τοῦ ἐγόων συνεστάλη.

506–511. καὶ τούτοις ὁμοίως ἀστερίσκοι παράκεινται, ὅτι τὴν παραβολὴν ὅλην ἐπὶ Ἕκτορος βληθέντος λίθῳ ὑπ' Αἴαντος μετήνεγκεν ἐντεῦθεν (Il. 15, 263–268). ἡ δὲ διπλῆ πρὸς τὸ ἀκοστήσας, ὅτι ἄλλοι ἄλλως ἀπέδωκαν· ἔστι δὲ ἤτοι ἐν ἄχει γενόμενος διὰ τὴν στάσιν, ἢ ἄκος τι καὶ βοήθημα τῆς στάσεως ζητῶν.

506. ἀκοστήσας] ἄκος τῆς στάσεως λαβὼν, τουτέστιν ἴαμα, καὶ κριθιάσας. κυρίως δὲ πᾶσαι αἱ τροφαὶ ἀκοσταὶ καλοῦνται παρὰ Θεσσαλοῖς, ὡς καὶ Νίκανδρος, παρὰ τὸ ἵστασθαι τὰ σώματα τρεφόμενα. ἐν ἄλλῳ, καιρῷ παραλαβών. βέλτιον δὲ, δυσχεράνας ἐπὶ τῇ τῆς φάτνης στάσει. οἱ δὲ ἀγοστήσας ὁ ῥυπανθείς· ἀγοστὸς γὰρ ὁ ῥύπος. ἢ ἡσυχάσας, παρὰ τὴν ἀκήν.

507. πεδίοιο] ἡ διπλῆ, ὅτι ἐλλείπει ἡ διά, καὶ τὸ κροαίνων οὐκ ἔστιν ἐπιθυμῶν, ὡς Ἀρχίλοχος ἐξέλαβεν, ἀλλ' ἐπικροτῶν τοῖς ποσὶ διὰ τοῦ πεδίου.

ἄλλως. οἱ νεώτεροι ἐπιθυμεῖν τὸ κροαίνειν, καὶ Ἀρχίλοχος.

508. ποταμοῖο] λείπει ὕδατι· ἢ ποταμὸν εἴρηκε τὸ τοῦ ποταμοῦ ὕδωρ.

509. χαῖται] δοκεῖ ἡ κόμη μεγαλοπρεπείας αἰτία εἶναι τοῖς ἵπποις.

510, 511. *ὁ δ' ἀγλαΐηφι πεποιθώς] πρὸς τὸ σχῆμα, ὅτι ἀντὶ τοῦ τὸν δὲ ἀγλαΐηφι πεποιθότα.

511. ῥίμφα ἑ γοῦνα φέρει] Ζηνόδοτος ῥίμφ' ἐὰ γοῦνα φέρει· Ποσειδώνιος δὲ ὁ ἀναγνωστὴς Ἀριστάρχου ἄνευ διαιρέσεως τὸ ε

15. πᾶσαι αἱ] αἱ πᾶσαι αἱ
17. ἐν ἄλλῳ] Sic infra p. 251, 18. 255, 16 et alibi.
18. *ὁ ῥυπανθεὶς] om.
23. καὶ] ὡς Bekkerus.
28. Scholion sine lemmate positum et in duo divisum, prius in margine sinistro πρὸς τὸ σχῆμα, alterum in margine dextro ἀντὶ τοῦ ἀγλαΐηφι πεποιθότα. Recte in unum coniunxit Bekkerus, addito ὅτι et τὸν δέ. Scholion simile est p. 237, 15.

ψιλῶς προφέρεται, παρέλκειν αὐτὸ λέγων ὡς ἐν τῷ "ἠὲ σὺ τόνδε δέδεξο" (Il. 5, 228), καὶ λύεται τὸ σολοικοφανές. ὁ δὲ Ὅμηρος ὑπὸ τῶν γονάτων καὶ ποδῶν φέρεσθαι λέγει· "τὸν μὲν ἄρ' ὣς εἰπόντα πόδες φέρον" (Il. 15, 405).

*ὅτι μετέβη τὴν πτῶσιν. τὸ γὰρ ἑ αὐτὸν σημαίνει.

513. *ὥστ' ἠλέκτωρ] διασταλτέον ἐπὶ τὸ ἠλέκτωρ· λάμπειν γὰρ αὐτόν φησιν ὡς ἥλιον.

ἠλέκτωρ] ὁ ἥλιος παρὰ τὸ λέχους μὴ μεταλαμβάνειν.

514. ποδες φέρον] ὅτι ὑπὸ τῶν ποδῶν φέρεται, οὐκ αὐτὸς τοὺς πόδας φέρει, πρὸς ἔλεγχον Ζηνοδότου.

518. ἠθεῖ'] ταῦτά τινες προσαγορευτικά· οὐδέποτε δὲ περί τινος αὐτά φησιν, τέττα φίλου, ἄττα τροφέως, πάππα πατρός, ἠθεῖε ἀδελφοῦ. γέγονε δὲ τὸ ἠθεῖος ἢ παρὰ τὸ θεῖος κατὰ πλεονασμὸν τοῦ η̄ ἠθεῖος,—πλεονάζει γὰρ τὸ η̄ ἐν πολλαῖς λέξεσιν, ὡς μύει ἠμύει "τῷ κε τάχ' ἠμύσειε πόλις" (Il. 2, 373), πεδανός ἠπεδανός, εὐγενής εὐηγενής "τείχει ὕπο Τρώων εὐηγενέων ἀπολέσθαι" (Il. 23, 81), βαιός ἠβαιός—ἢ παρὰ τὸ ἔθος ἔθειος ὡς τέλος τέλειος, ὄρος ὄρειος, ὄνειδος ὀνείδειος, καὶ τροπῇ τοῦ ε̄ εἰς τὸ η̄ καὶ καταβιβασμῷ τοῦ τόνου γίνεται ἠθεῖος· ἀναλογώτερον δέ ἐστιν ἐκ τοῦ θεῖος αὐτὸ κανονίζειν ἤπερ ἐκ τοῦ ἔθος· ἐκ γὰρ τοῦ θεῖος καὶ ἡ αὐτὴ τάσις σώζεται καὶ ὀλίγα πάθη δίδονται, ἐκ δὲ τοῦ ἔθος καὶ ἀλλότριος ὁ τόνος καὶ πολλὰ τὰ πάθη δίδονται.

ἠθεῖε] Ἀρίσταρχος προπερισπᾷ ὡς οἰκεῖε. καὶ ἴσως παρὰ τὸ θεῖος, λέγω δὲ τὸ σημαντικὸν τοῦ ἐπαίνου, κατὰ πλεονασμὸν τοῦ η̄ ἐγένετο, εἰ καὶ νεωτέρου ἐστὶ πρὸς πρεσβύτερον ἀδελφὸν ἔχουσα σεβασμὸν προσφώνησις. οὐκ ἀγνοῶ δὲ ὅτι συγχεῖται ἐν τοῖς μεθ' Ὅμηρον.

*ἦ] τὸ ἦ πευστικῶς καὶ ἠθικῶς.

522. *ἀλλ' ἐπεὶ ἄλκιμός ἐσσι, ἑκὼν μεθίεις.

527. *βραχὺ διασταλτέον ἐπὶ τὸ δώῃ· θεοῖς γὰρ κρητῆρα στήσασθαι λέγει.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀρισταρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ ἐκ τῶν Νικάνορος περὶ στιγμῆς.

5. ὅτι (i. e. ἡ διπλῆ ὅτι) addidi.
12. πάππα] πάπα
16. Post ἀπολέσθαι in A signum scholii finiti :—
18. ὀνείδειος Bekkerus] ὀνείδιος
20. τάσις Bekkerus] στάσις
24. τοῦ η̄ Lehrsius] τοῦ θ̄

ΕΙΣ ΤΗΝ Η.

5. ἐπεί κε] ὅτι ἐν τισι γράφεται ἐπήν. ἐὰν δὲ οὕτως ἔχῃ, προενεκτέον ὑφ' ἓν, κεκάμωσιν, ὡς λελάχωσιν.

*οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ ἐπήν κε.

6. ἐλαύνοντες] κατ' ἔνια τῶν ὑπομνημάτων ἐρέσσοντες. τὸ δὲ λέλυνται ἐπὶ τὰ γυῖα ἀνενεκτέον.

ὑπὸ] οὐκ ἀναστρεπτέον διὰ τὸν σύνδεσμον, ἄλλως τε καὶ τὸ ἑξῆς ἐστὶν ὑπολέλυντο.

*πρὸς τὸ σχῆμα, ὡς "σπάρτα λέλυνται" (Il. 2, 135).

7. *τώ] Ἀμμώνιος ἐν τῷ πρὸς Ἀθηνοκλέα τοὶ Τρώεσσι προφέρεται πληθυντικῶς. *τὼ οὕτως Ἀρίσταρχος τώ δυϊκῶς.

8. *ἑλέτην ὁ μέν] βραχὺ διασταλτέον ἐπὶ τὸ ἑλέτην· ἡ γὰρ σύλληψις εἰς διάλυσιν τρέπεται.

ὅτι ἑλέτην συλληπτικῶς, ὕστερον δὲ προσδιασαφεῖ. καὶ ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντηκε· τὸν γὰρ Ἀλέξανδρον κατείρηκεν.

Ἀρηϊθόοιο] Ἀρηίθοος ὁ Βοιώτιος, ἄριστος τῶν κατ' αὐτὸν ἀνθρώπων, διαβὰς εἰς τὴν Ἀρκαδίαν (ἦν γὰρ ἀψιμαχία τις Βοιωτοῖς πολίταις καὶ τοῖς Ἀρκάσι περὶ γῆς ὅρων) πλείστην ἐντεῦθεν κατεσύρατο λείαν. καταφρόνησιν δὲ αὐτοῦ μεγάλην ἐμβαλόντος Ἀρκάσι, Λυκοῦργος ὁ τῶν ἐνταῦθα κράτιστος ἀνὴρ λόχον ποιήσας ἔπεισε τὴν πολλὴν τοῦ Ἀρηϊθόου φάλαγγα, ἀνεῖλέ τε αὐτὸν, καὶ ὑπολαβὼν τὴν λείαν ἔτι καὶ πρὸς ἄμυναν παντευχίαν μετὰ καὶ τῆς κορύνης. ἡ ἱστορία παρὰ Φερεκύδει.

9. Ἄρνῃ] ὅτι Ζηνόδοτος ἐν μὲν τῷ καταλόγῳ (Il. 2, 507) πεποίηκεν "οἵ τε πολυστάφυλον Ἀσκρην ἔχον," ἐνθάδε δὲ εἴασε τὴν Ἄρνην. διὸ ἡ διπλῆ ἐν τῷ Ἄρνῃ.

9, 10. ἡ διπλῆ, ὅτι οὗτος τοῦ Ἀρηϊθόου ὁμώνυμός ἐστι τοῦ ὑπὸ Νέστορος λεγομένου "τεύχε' ἔχων ὤμοισιν Ἀρηϊθόοιο ἄνακτος" (137)· καὶ ὅτι ἐνθάδε μόνον ἐφ' ἡρωΐνης τὸ ἐπίθετον, καὶ ἐν τῷ ἀθετουμένῳ "Αἴθρη Πιτθῆος θυγάτηρ, Κλυμένη δὲ βοῶπις" (Il. 3, 144).

12. *ὅτι περικεφαλαίας εἶδος ἡ στεφάνη.

στεφάνης] στεφάνη εἶδος περικεφαλαίας· ἔστι δὲ καὶ κόσμος

11. τώ δυϊκῶς] τὸ δυϊκῶς
17. πολίταις] *τοῖς αὐτοῦ πολίταις
18. *ὅρων] ὅρον
26. διὸ—Ἄρνῃ delet Cobetus.

γυναικεῖος. τίθεται δὲ καὶ ἐπὶ ὄρους ἐξοχῆς· "ὄν τε κατὰ στεφάνης ποταμὸς χειμάρροος ὦσῃ" (Il. 13, 138).

*λῦσε δὲ] Ἀρίσταρχος λύντο δὲ γυῖα.

15. Δεξιάδην] εἴτε ὄνομα πατρωνυμικὸν τὸ Δεξιάδην εἴτε ποιότητος ἢ τόπου ἐπίρρημα, δύναται καὶ τοῖς ἄνω καὶ τοῖς ἑπομένοις συνάπτεσθαι. ἢ γὰρ Ἰφίνοον Δεξιάδην, ἢ βάλε δεξιάδην ὦμον, ἢ δεξιάδην ἐπιάλμενον, ἀπὸ τῶν δεξιῶν μερῶν ἐφαλλόμενον.

16. *ὦμον] κατὰ τὸν ὦμον.

*λύντο] ὅτι λύντο εἶπεν ἀντὶ τοῦ ἐλύθη.

20. *ὅτι θηλυκῶς τὴν Ἴλιον.

22. φηγῷ] ἡ διπλῆ, ὅτι πρὸ τῶν πυλῶν τὴν φηγὸν ταύτην ὑποτίθεται· πρὸ πολλοῦ δὲ ὁ Ἀπόλλων ἐστὶν ἐπὶ τῆς Περγάμου.

ἀξιοπίστως ἔθηκε τὸν τόπον. παρὰ γὰρ τὸ φαγῶ, ὅ ἐστι καίω· τὰ γὰρ ἔσω τῶν βαλάνων ἐσθίοντες τὰ ἔξω ἔκαιον πρὸς θέρμην· ὅθεν καὶ βαλανεῖα. καὶ οἱ ἑταῖροι Ὀδυσσέως ἐπιλειφθέντες ἐκ τοῦ πλεῖν αὐτῇ κέχρηνται τῇ τροφῇ.

26. ἑτεραλκέα] οὕτως ἡ νίκη λέγεται ὅταν οἱ νικῶντες νικῶνται ἢ ἀνάπαλιν. ἐν ἄλλῳ, τὴν τοῖς ἑτέροις ἀλκὴν καὶ δύναμιν παρέχουσαν. ἢ ὅταν οἱ πρώην νικηθέντες νικήσωσιν.

28. ἐπὶ δὲ τὸ εἴη ἤτοι στικτέον ἢ ὑποστικτέον.

31. *βαρυτονητέον τὸ ὥς· δηλοῖ γὰρ τὸ οὕτως.

32. ὑμῖν ἀθανάτῃσι] ὅτι Ζηνόδοτος ἀθανάτοισιν. ἐν μέντοι τῇ Ἀριστοφάνους ὑμῖν ἀμφοτέρῃσιν εἶχε, τῇ Ἀθηνᾷ καὶ τῇ Ἥρᾳ, οὐκ ἀπιθάνως.

33. *ὅτι Ζηνόδοτος γράφει τὸν δ' ἠμείβετ' ἔπειτα.

39. προκαλέσσεται οἰόθεν οἷος] ὅτι συνέσταλται διὰ τοῦ ε̄ τὸ η̄.

3. λύντο] λῦντο

7. ἀπὸ] ἢ ἀπὸ Friedl. Nic. p. 189.

8. κατὰ τὸν ὦμον] Haec verba sine lemmate leguntur in marg. interiore.

9. ἐλύθη] ἐλῦ$^{\theta}$

13. *καίω] κλυῶ (sic) A.

22. ἐν—τῇ Ἀριστοφάνους—εἶχε] Pro ἡ Ἀριστοφάνους—εἶχε dictum. Similiter p. 72, 21. 94, 1. 142, 1.

23. τῇ Ἀθηνᾷ καὶ τῇ Ἥρᾳ Bekk.] τὴν Ἀθηνᾶν καὶ τὴν Ἥραν

25. Hoc scholion sic scriptum

$^{\tau}$ὁ ζηνόδοτος :
γρ. τὸν δ' ἠμειβετ$^{\circ}$
ἔπειτα

in margine versuum in textu (32, 33) incipientium $\frac{\text{ὑμῖν}}{\text{τὸν}}$

Fortasse igitur duo scholia sunt, prius sic redintegrandum, ὅτι Ζηνόδοτος ἀθανάτοισιν, alterum non ad Zenodotum pertinens, sed diversam aliorum librorum scripturam memorans γρ. (i. e. γράφεται) τὸν δ' ἠμείβετ' ἔπειτα.

ἔστι γὰρ προκαλέσσηται· καὶ πρὸς τὸ σχῆμα, μονόθεν μόνος ἀντὶ τοῦ μόνος πρὸς μονον.

41. *ἀγασσάμενοι] Ἀρίσταρχος διὰ τοῦ ō ἀγασσόμενοι.

ὅτι τὸ ἀγάσσασθαι ποτὲ μὲν ἐπὶ τοῦ ἀποδέχεσθαι, ποτὲ δὲ ἐπὶ τοῦ φθονεῖν τίθησι. περιττεύει δὲ καὶ ὁ κε σύνδεσμος.

44. σύνθετο θυμῷ] ὅτι μαντικῶς συνῆκεν οὐκ ἀκούσας αὐτῶν τῆς φωνῆς. μυθεύεται τῶν ἐξ Ἑκάβης γεγονότων Πριάμῳ παίδων τὸν Ἕλενον καὶ τὴν Κασάνδραν διδύμους γεγενῆσθαι· τῶν δὲ γενεθλίων αὐτοῖς συντελουμένων ἐν τῷ τοῦ Θυμβραίου Ἀπόλλωνος ἱερῷ λέγεται τὸν Ἕλενον καὶ τὴν Κασάνδραν ἐν τῷ ναῷ παίζοντας κατακοιμηθῆναι, ὑπὸ δὲ μέθης ἐκείνων ἐκλαθομένων περὶ τῶν παίδων οἴκαδε χωρισθῆναι· τῇ δὲ ὑστεραίᾳ ἐλθόντας εἰς τὸ ἱερὸν θεάσασθαι τοὺς παῖδας ταῖς τῶν ὄφεων γλώτταις τοὺς πόρους τῶν αἰσθητηρίων καθαιρομένους. ὡς οὖν διὰ τὸ παράδοξον αἱ γυναῖκες ἀνέκραγον, συνέβη ἀπαλλαγῆναι τοὺς ὄφεις καὶ καταδῦναι ἐν ταῖς παρακειμέναις βάφναις, τοὺς δὲ παῖδας ἀμφοτέρους τῆς μαντικῆς οὕτω μεταλαβεῖν. ἡ ἱστορία παρὰ Ἀντικλείδῃ.

46. *ἰών] ὅτι ἀντὶ τοῦ πορευθείς.

52. ἐπισπεῖν] ὡς ἐπιπλεῖν. μονοσύλλαβον γὰρ τὸ σπεῖν ἀπαρέμφατον· πᾶν δὲ ἀπαρέμφατον συντιθέμενον φυλάσσει τὸν αὐτὸν τόνον.

53. ἀθετεῖται· διὰ γὰρ τῆς μαντικῆς αὐτῶν συνῆκεν, ὡς εἴρηται.

56. μέσσου δουρὸς ἑλών] μέσου τοῦ δόρατος ἐπιλαβόμενος πρὸς ἔνδειξιν τοῦ μὴ πρὸς πολεμικὴν χρῆσιν ἔχειν αὐτό, ἀλλὰ πρὸς ἔμφασιν τοῦ διαλεχθῆναι. ἔδει δὲ εἰπεῖν μέσον λαβὼν τὸ δόρυ.

62. *πεφρικυῖαι] γράφεται καὶ βεβριθυῖαι.

φρίσσει τις φόβῳ ἢ ψύχει ἢ ὀργῇ. ἐμψύχως οὖν τὰς φάλαγγας φρίσσειν φησί.

63. πόντον ἔπι φρίξ] ὁ Ἀσκαλωνίτης ἀναστρέφει πόντον ἔπι· οὕτως καὶ οἱ ἄλλοι. καὶ ἄμεινον· οὐδὲν γὰρ ἔσται τὸ ἐπιφρίξ, χωρὶς εἰ μὴ παρέλκῃ ἡ πρόθεσις, ὅπερ οὐ πιθανόν· οὐ γὰρ κατεπείγει. φρὶξ δὲ ἡ ἐξ ἐπιπολῆς κίνησις τοῦ κύματος ἀρχομένου, ἢ τὸ ἐπιπο-

5. ὁ κε] ὁ καὶ
9. *Θυμβραίου] θυμβρίου
12. *ὑστεραίᾳ] ὑστέρᾳ
13. *καθαιρομένους] καθαιρουμένους
22. εἴρηται] Ad v. 44.
27. φρίσσει — φησί] Scholion scholio proximo ad v. 63 subiectum est.
29. πόντον ἔπι] ἐπὶ πόντον

λάζου τῷ κύματι ἀφρῶδες, ὅταν ἄνεμος ἄρχηται πνεῖν. βέλτιον δὲ τὴν πρώτην ἔγερσιν τῶν κυμάτων ἀκούειν.

64. μελάνει] ὡς οἰδάνει, ὁ Ἀσκαλωνίτης· ἐκ γὰρ τοῦ μελαίνει, φησὶν, ἐνδείᾳ τοῦ ῑ ἐγένετο.

*Ἀρίσταρχος πόντον διὰ τοῦ ν̄, καὶ ὑπ' αὐτῇ, τῇ φρικί. ἄλλοι δὲ πόντος ὑπ' αὐτοῦ.

ὅτι ἐὰν μὲν γράφηται πόντος ὑπ' αὐτοῦ, ἔσται μελαίνεται ὁ πόντος ὑπὸ τοῦ Ζεφύρου· ἐὰν δὲ πόντον ὑπ' αὐτῇ, ἔσται μελαίνει δὲ πόντον ὁ Ζέφυρος ὑπὸ τῇ φρίκῃ.

70. *τεκμαίρεται] ἐπιτελεῖ· τέκμωρ γὰρ τὸ τέλος.

73. ὑμῖν μὲν γὰρ ἔασιν] αἱ Ἀριστάρχου οὕτως, ὑμῖν δ' ἐν γὰρ ἔασιν· καὶ ἔστι τὸ ἑξῆς, ὑμῖν δ' ἔνεισι γὰρ, ἢ ἐν ὑμῖν δέ εἰσι γὰρ ἀριστῆες.

74. *γρ. καὶ τῶν εἰ καί τινα θυμός.

75. πρόμος ἔμμεναι Ἕκτορι δίῳ] ὅτι ἰδίως ὡς περὶ ἑτέρου· καὶ ὅτι πρόμον τὸν πρόμαχον κατὰ συγκοπήν. καὶ ὅτι ἀκαίρως δῖον ἑαυτὸν ὁ Ἕκτωρ.

76. ἐπιμάρτυρος] ὅτι οὕτως λέγει ὁ μάρτυρος, ἀφ' οὗ οἱ μάρτυροι· ἀπὸ δὲ τοῦ μάρτυς μάρτυρες.

79. ὄφρα πυρός με] ὅτι καθόλου διὰ πυρὸς οἵδε γινομένας τὰς ταφάς.

80. *λελάχωσι] ὅτι ἀντὶ τοῦ λαχεῖν ποιήσωσιν. ἀναδιπλασιασμὸς λελάχωσι.

82. *ὅτι θηλυκῶς τὴν Ἴλιον.

85. ταρχύσωσι] θάψωσι. τάρχεα τὰ νενομισμένα τοῖς νεκροῖς, ἀπὸ τῆς ταραχῆς.

85, 86, 87. διαστολαὶ Ἀχαιοὶ, Ἑλλησπόντῳ, καὶ κοινὸν κατὰ πάντων τὸ ὄφρα, ἵνα ταρχύσωσι καὶ χέωσι καὶ εἴπῃ ποτέ τις.

86. ὅτι οὐ κατεκομίζετο τὰ ὀστᾶ εἰς τὰς πατρίδας. πλατεῖ δὲ καθ' ὃ μέρος ἐστὶ πλατὺς, καὶ ἀντὶ τοῦ παρὰ πλατεῖ.

Ἀθάμας ὁ Αἰόλου μὲν παῖς, βασιλεὺς δὲ Θηβῶν, γήμας Ἰνὼ τὴν Κάδμου παῖδας ἔσχε δύο, Λέαρχον καὶ Μελικέρτην· κατὰ Ἥρας δὲ πρόσταγμα ἀποπεμψάμενος τὴν Ἰνὼ καὶ ἐπιγήμας Νεφέλην ἔσχεν ἐξ αὐτῆς δύο παῖδας, Ἕλλην τε καὶ Φρῖξον. μιγνύμενον δὲ αὐτὸν λάθρα τῇ Ἰνοῖ κατοπτεύσασα ἡ Νεφέλη ᾤχετο,

13. εἰ καί τινα] νῦν εἴ τινα Cobetus.
30. *παῖδας] παῖδα παῖδας
31. *Νεφέλην] νεφέλῃ
32. Φρῖξον] φρίξον hic et infra.
33. *κατοπτεύσασα] κατάπτευσα

πάλιν δὲ τῆς οἰκίας ἐπικρατήσασα ἡ Ἰνὼ ἐπεβούλευσε τοῖς τῆς Νεφέλης παισίν· εὑροῦσα δέ τινα μηχανὴν ἔφρυγε τὰ σπέρματα. καὶ δὴ πολλῆς οὔσης ἀκαρπίας ἐν τῇ χώρᾳ ἔπεμπεν ὁ Ἀθάμας εἰς Πυθὼ θεοπρόπους· ἡ δὲ Ἰνὼ συνέπεισε τούτους τεχνήσασθαί τινα χρησμὸν κατὰ τοῦ Φρίξου, ὡς θῦμα τῆς αὐτοῦ γονῆς προσενεγκὼν ἀπαλλαγήσεται τοῦ δεινοῦ. πυθόμενος οὖν παρὰ τῶν θεοπρόπων ὁ Ἀθάμας τὸ λόγιον, μεταπέμπεται ἐκ τῶν ἀγρῶν τὸν Φρῖξον· πρόφασιν δὲ ἐκέλευσεν αὐτὸν ἄγειν ὅ τι κάλλιστον πρόβατον ἐν τοῖς θρέμμασιν εἰς ἱερουργίαν ὑπάρχει. μυθολογεῖται δὲ ὅτι παραγενομένῳ τῷ Φρίξῳ μετὰ τῆς ἀδελφῆς κατά τινος δαίμονος ἐπιφάνειαν ἀνθρωπίνῃ φωνῇ λαλῆσαι τὸν κριὸν, καὶ πᾶσαν αὐτῷ τὴν ἐπιβουλὴν ἀναγγεῖλαι, κελεῦσαί τε αὐτῷ μετὰ τῆς ἀδελφῆς ἐπικαθίσαι τῷ νώτῳ, ὅπως τὸν ἐπικείμενον κίνδυνον ἐκφυγεῖν δυνηθῶσιν. οὗ καὶ γενομένου λέγεται τὸν κριὸν μετὰ πολλῆς βίας διὰ μέσου τοῦ ἀέρος ποιήσασθαι τὴν πορείαν, τὴν δὲ Ἕλλην μὴ δυναμένην ἀντέχειν καταπεσεῖν εἰς τὸ ὑποκείμενον πέλαγος, προσαγορευθῆναι δὲ τοῦτο διὰ τὴν προειρημένην Ἑλλήσποντον. τὸν δὲ κριὸν κομίσαντα εἰς Κόλχους ἐκ τοῦ πόντου τὸν Φρῖξον τελευτῆσαι. ἐπὶ τούτου λέγεται τὸ δέρας τοὺς Ἀργοναύτας ἀποσταλῆναι ἀπὸ τῆς Θετταλίας μετὰ Ἰάσονος· τὸν δὲ Ἀθάμαντα πυθόμενόν φασιν ἕκαστον τῶν συντεθέντων ὑπὸ τῆς Ἰνοῦς, μὴ φείσασθαι μηδὲ τῶν ἐξ αὐτῆς γενομένων αὐτῷ παίδων, ἀλλ' αὐτοχειρὶ μὲν ἀποκτεῖναι Λέαρχον, ἐπιδιῶξαι δὲ μετὰ ξίφους καὶ τὴν Ἰνώ. τὴν δὲ καταλαμβανομένην σωτηρίαν ἐπισπάσασθαι, σὺν τῷ υἱεῖ ῥίψασαν ἑαυτὴν εἰς τὴν θάλασσαν, καὶ τυχεῖν ἐκ θεῶν τῶν ἐναλίων τιμῶν· ὕστερον δὲ αὐτὴν προσαγορευθῆναι διὰ τὸν ἐκ τῆς θαλάσσης ἀφρὸν Λευκοθέαν, τὸν δὲ Μελικέρτην Παλαίμονα, εἶναι δὲ αὐτὸν σωτῆρα τῶν τὸ πέλαγος πλεόντων ἀνθρώπων. ἡ ἱστορία παρὰ Φιλοστεφάνῳ.

89. *μὲν] ὅτι ὁ μέν ἀντὶ τοῦ δέ, ὅ ἐστιν ἀντὶ τοῦ δή.

*Ἀρίσταρχος διὰ τοῦ η̄ κατατεθνηῶτος.

93. αἴδεσθεν μὲν ἀνήνασθαι] δειλῶν γάρ· δεῖσαν δὲ διὰ τὰς σπον-

5. *προσενεγκὼν ἀπαλλαγήσεται] λαβεῖν· ἀπαλλαγήσεσθαι δὲ καὶ

9. *μυθολογεῖται] θυμολογεῖται

12. *ἐπικαθίσαι τῷ νώτῳ] περικαθίσαι τὰ νῶτα

16. *τοῦτο] om.

22. Λέαρχον hic et p. 253, 31] *Κλέαρχον : v. Stiehle in Philologo vol. 4 p. 408.

27. *σωτῆρα] ἀπτῆρα

29. In Townl. τὸ μὲν ἀντὶ τοῦ μήν.

δὰς, ἢ περιμένοντες κέλευσιν, ὡς δῆλον ἀπὸ τῶν ἑξῆς, ἢ ὑπὸ θεοῦ ὡρμῆσθαι αὐτὸν ὑπονοοῦντες πρὸ ὀλίγου ἡττώμενον· καὶ γὰρ καὶ τοῦ Διομήδους ἀκηκόασι τὸ "παρὰ γάρ οἱ κεῖνος Ἄρης" (Il. 5, 604). ἢ διὰ τὸ "νὺξ δ' ἤδη τελέθει" (282)· καὶ παροιμία "ὅ τοι θρασὺς πρὸς ἔργον ἐκ πολλοῦ κακός." ὁ Ἐπίχαρμος "ὅ τοι κακὸς θαρρεῖ μάλ' αὐτόθεν, ἔπειτα φεύγει." ἔστιν δὲ τὸ ἔπος ἰσόκωλον, ὅπερ ἐστὶ φράσις δύο ἢ πλειόνων κώλων ἀπηκριβωμένων ἀλλήλοις πρὸς ἀντιστρόφου ἐμφέρειαν· δεύτερον δέ "χρὴ ξεῖνον παρεόντα" (Od. 15, 74), τρίτον, ὁμοιόπτωτον καὶ ὁμότονον "Ἄλλῳ ἐπ' ἰχθυόεντι" (Il. 20, 392). τινὲς δείσαντες Ἀγαμέμνονα, ὡς καὶ "σιγῇ δεδιότες" (Il. 4, 431).

95. νείκει ὀνειδίζων] ἓν τισι τῶν ὑπομνημάτων νείκε᾽ ὀνειδίζων ἔξω τοῦ ι, ὥστε κατὰ συναλοιφὴν νοεῖσθαι τὸ ὑγιὲς νείκεε.

*ἔν τισιν νείκε᾽ ὀνειδίζων.

96. ἀπειλητῆρες] καυχηταὶ, ἀπειλεῖν εἰδότες καὶ ἐπαγγέλλεσθαι. τοὺς δὲ τοιούτους καὶ καυχηματίας λέγουσιν. ἐν ἄλλῳ, ὑβρισταί.

97. *αἰνόθεν αἰνῶς] ἐκ δεινοῦ δεινὰ, ἢ καὶ τῶν δεινῶν δεινότερα. τῶν δεινοτάτων δεινή ἐστιν ἡ λώβη.

99. ὕδωρ καὶ γαῖα γένοισθε] ἀναλυθείητε εἰς ὕδωρ καὶ γῆν, διαλυθείητε καὶ ἀποθάνοιτε. βέλτιον δὲ ἀκούειν, ἐξ ὧν ἐγένεσθε, εἰς ταῦτα πάλιν ἀναστοιχειωθείητε. τῶν στοιχείων ὕδωρ καὶ γῆ κατὰ φύσιν ἀκίνητα, τὰ δὲ ἄλλα κινητὰ δι' ἑαυτῶν· ταῦτα οὖν φησὶ τὴν ἀκινησίαν ὀνειδίζων. καὶ Ξενοφάνης "πάντες γὰρ γαίης τε καὶ ὕδατος ἐκγενόμεσθα· ἐκ γῆς γὰρ πάντα καὶ εἰς γῆν τελευτᾷ." ἢ ὅτι τὸ ὕδωρ τὰς ψυχὰς διαφθείρει.

102. ὅτι τῷ ἀπηρτισμένῳ κέχρηται, νίκης πείρατ' ἔχονται, οὐκ ἔχεται.

104. βιότοιο τελευτή] γράφεται καὶ θανάτοιο τελευτή, οἷον θανάσιμον τέλος.

109. ἀφραίνεις] παραφρονεῖς, μωραίνεις, ἀσυνετεῖς· φιλοδόξως

1. κέλευσιν] *τὴν ἐκ τῶν βασιλέων κέλευσιν
*ἀπὸ] ἐπὶ
2. *πρὸ ὀλίγου—Ἄρης] om.
5. Epicharmi verba metro soluta attulit Eustathius p. 667, 42, omisso ὅ τοι et addito δέ post ἔπειτα. Frustra Ahrensius ἄπωθεν pro αὐτόθεν.
6. ἔπος Bekkerus] ὑπὸ
15. καὶ addidit Bekkerus.
24. γῆς—γῆν] γαίης—γῆς πάντα recte ap. Sext. Emp. 10, 313. p. 685.
28. γρ. καὶ—τέλος] Haec repetuntur in marg. inter.

γὰρ, οὐ φρονίμως ἐπὶ τῇ μάχῃ ἐσπούδακεν. δεῖ οὖν τὸ κατὰ δύναμιν, οὐ τὸ κατὰ προθυμίαν σκοπεῖν.

110. *Ἀρίσταρχος ἀνὰ δ' ἄνσχεο, ἀνάσχου δέ.

ἀνὰ δὲ σχέο κηδόμενός περ] τὸ σχέο τὴν ὀξεῖαν ἴσχει ἐφ' ἑαυτοῦ νῦν. ὅταν μέντοι ἀπολάβῃ τὴν πρόθεσιν, τὸ τηνικαῦτα ἀναπέμπει τὸν τόνον, ἀνάσχεο.

111. *μηδ' ἔθελ'] ὅτι τὸ ἐθέλω ἀεὶ ἀπὸ τοῦ ε ἄρχεται.

113. *τούτῳ γε, τῷ Ἕκτορι.

*γρ. καὶ τοῦτόν γε.

114. *Ζηνόδοτος χωρὶς τοῦ ν ἀμείνω γράφει.

ἔρριγ' ἀντιβολῆσαι] γράφεται καὶ διὰ τοῦ μ, ἀντιμολῆσαι. βέλτιον δ' ἂν, φασὶν, εἴρητο Ὁμήρῳ, ὅπερ μέγα φέρτατός ἐστιν· ἐπ' αὐτοῦ γὰρ ψιλῶς λεγόμενον τοῦ Μενελάου ἔχει τι ὀνειδιστικόν.

116. *ὅτι πρόμον τὸν πρόμαχον κοινῶς λέγει.

117. εἴπερ ἀδειής τ' ἐστί] γράφεται καὶ διὰ τοῦ γ, ἀδειής γε. (sic etiam margo inter.) ἀφ' ἑτέρας δὲ ἀρχῆς ταῦτα· διόπερ ὑποστικτέον ἀκόρητος· ὁ γὰρ λόγος, εἰ καὶ πάνυ ἄφοβος καὶ ἀπλήρωτος πολέμου ἐστὶν, ἀγαπητῶς ὑπολαμβάνω αὐτὸν φεύξεσθαι.

118. γόνυ κάμψειν] ἀναπαύσεσθαι, ἢ συγκάμψειν τὰ γόνατα διὰ τὸ κεκοπῶσθαι ἐν τῷ διώκεσθαι.

*γόνυ κάμψειν ἀντὶ τοῦ φυγεῖν.

127. ὅς ποτε μ' εἰρόμενος] ὅτι Ζηνόδοτος γράφει μέγα δ' ἔστενεν, ἐξ οὗ φανερός ἐστιν ἀνεγνωκὼς μειρόμενος, οἷον στερόμενος. ὁ δὲ Ὅμηρος τὸ μείρεσθαι οὐκ ἐπὶ τοῦ στέρεσθαι τίθησιν, ἀλλ' ἐπὶ τοῦ μερίζεσθαι· "καὶ ἥμισυ μείρεο τιμῆς" (Il. 9, 616). δέον οὖν εἰρόμενος, ἐρωτῶν. προκρίνει δὲ ὁ Ἀρίσταρχος τὴν μέγ' ἐγήθεεν γραφήν.

ὅς ποτέ μ' εἰρόμενος] τὸ πλῆρες, ἐμὲ εἰρόμενός τε.

128. γενεήν τε τόκον τε] πατέρα καὶ παῖδα. τὸ μὲν γὰρ ἐπαινεῖν τοὺς προγόνους κολακικὸν, τὸ δὲ λέγειν ὅτι μεμαρτύρηκα ὑμῖν εὐγένειαν ἐπίφθονον.

3. ἀνὰ δ' ἄνσχεο] In cod. Townl. Ἀρίσταρχος καὶ Ἡρωδιανὸς ἀνὰ δ' ἴσχεο. Apud Hesychium ἀνὰ δ' ἴσχεο (sic Musurus pro ἀνίσχεο): ἀνάσχου δέ. Aristarchus haud dubie ἀνὰ δὲ σχέο probaverat.

5. ἀναπέμπει Bekkerus] ἀναπέμπειν

8. τούτῳ Bekkerus] ὅτι τούτῳ

19. *συγκάμψειν] συγκάμψαι

26. μέγ' ἐγήθεεν (vel μέγα γήθεεν)] μεγ' γήθησεν (sic)

129, 130. ἀκούσαι—ἀείραι] παροξυτονητέον ἀμφότερα· ἔφαμεν γὰρ τὴν αι δίφθογγον ἐν εὐκτικοῖς μακρὰν εἶναι.

130. φίλας ἀνὰ χεῖρας] ἐν ταῖς ἐξητασμέναις Ἀριστάρχου βαρείας χεῖρας, τὰς βεβαρημένας ὑπὸ γήρως νῦν καὶ δυσκινήτους. ἀλλαχοῦ δὲ τὰς ἐρρωμένας· "βαρείας χεῖρας ἐποίσειν" (Il. 1, 89).

133. ὠκυρόῳ κελάδοντι] ὅτι ἰδίως τὰ ἐπίθετα προτάξας τὸ κύριον ἐπήγαγεν (135) "Ἰαρδάνου ἀμφὶ ῥέεθρα."

135. Φειᾶς] ὅτι ἐν Ὀδυσσείᾳ (15, 296) πληθυντικῶς "ἡ δὲ Φεαῖς ἐπέβαλλεν ἐπειγομένη Διὸς οὔρῳ," ὡς Μυκήνην καὶ Μυκήνας. περισπαστέον· ἐνικὴ γάρ ἐστι γενική· προδηλον κἀκ τῆς συντάξεως τοῦ τείχεσσι, παρὰ τοῖς τῆς Φειᾶς τείχεσι. Φειὰ δὲ πόλις τῆς Ἤλιδος, οἱ δὲ τῆς Ἀρκαδίας, παρ' ἣν ὁ Ἰάρδανος ῥεῖ. ἀλλὰ καὶ ἡ Φειὰ παραθαλάσσιός ἐστι, καὶ Ἰάρδανος οὐχ ὁρᾶται ποταμὸς αὐτόθι. ἄμεινον οὖν ὡς Δίδυμος, Φηρᾶς πὰρ τείχεσσιν Ἰαρδάνου ἀμφὶ ῥέεθρα· οὕτω γὰρ καὶ Φερεκύδης ἱστορεῖ.

136. *πρόμος] ὅτι πρόμος ἀντὶ τοῦ πρόμαχος κοινῶς.

138. ὅτι πυκναὶ ἐν Ἰλιάδι αἱ ἐπαναλήψεις, ἅπαξ δὲ ἐν Ὀδυσσείᾳ· καὶ ὅτι οὗτος ὁ Ἀρηΐθοος Ἀρκὰς ὢν ὁμώνυμός ἐστι τῷ Βοιωτῷ.

140. οὔνεκ' ἄρ' οὐ] τοῖς ἐπάνω συναπτέον· αἰτία γὰρ τῆς τοῦ Κορυνήτου ὀνομασίας αὕτη. καὶ τὸν ἑξῆς δὲ ὁμοίως συνάπτειν δεῖ "ἀλλὰ σιδηρείῃ κορύνῃ," βραχὺ μόνον διαστέλλοντα.

143. ὑποφθάς] ὅτι ἀντὶ τοῦ ὑποφθάσας Ἰακῶς. Ἀρίσταρχος δέ φησι καὶ ἀναστάς, οἷον ἐκ λόχου ἀναστάς.

146. *τεύχεα δ' ἐξενάριξε] οὕτως Ἀρίσταρχος. ἄλλοι δὲ διὰ τοῦ τέ, τεύχεά τ' ἐξενάριξε.

ὅτι κυρίως τὸ ἐξενάριξε νῦν, τὰ ἔναρα περιεῖλεν.

148. *ἐγήρα] ὅτι ἀντὶ τοῦ ἐγήρασε τὸν παρατατικὸν ἔταξεν.

149. δῶκε δ'] ὅτι οὕτως εἴωθε φράζειν. καὶ ὅτι περιττὸς ὁ δέ. τινὲς δὲ γράφουσι δῶκεν Ἐρευθαλίωνι.

153. ὅτι Ζηνόδοτος θάρσει ἐμῷ. ἀδιανόητον δὲ γίνεται, ἡ ψυχή με ἀνέπεισε τῷ θάρσει τῷ ἐμῷ.

3. ταῖς ἐξητασμέναις] V. Lehrs. Arist. p. 23.
8. Ἰαρδάνου] Ἰορδάνου
14. Ἰάρδανος] Ἰορδάνης
15. Φηρᾶς—Ἰαρδάνου] φηρᾶ σπάρτη καὶ δαρδάνου
19. οὗτος Bekk.] οὕτως
24. In marg. inter γρ. καὶ ἀναστάς.
32. με ἀνέπεισε] νέαν ἔπεισε

156. πολλός] ἀπὸ τῶν ἀριθμουμένων ἐπὶ τὰ μετρούμενα μεταβαίνει μεγέθη, ὡς τὸ "τύμβον δ' οὐ μάλα πολλὸν ἔσω πονέεσθαι ἄνωγα" (Il. 23, 245).

σημειοῦνταί τινες διὰ τὸ παρήορος, ὅτι παρηρτημένος καὶ κεχυμένος.

παρηωρημένος τῷ σώματι, τουτέστιν ἐκλελυμένος. ἐν ἄλλῳ, νῦν ἀντὶ τοῦ παραιωρούμενος καὶ εἰς μῆκος ἐκτεταμένος. λέγει δὲ οὕτως ποτὲ καὶ τὸν παρεζευγμένον ἐκτὸς τοῦ ζυγοῦ ἵππον καὶ τὸν ἄφρονα.

161. πρὸς τὸ νείκεσσεν, ὅτι ἀντὶ τοῦ ἐπέπληξεν, οὐδέποτε δὲ ἐπὶ τοῦ ἔκρινεν, ὡς ἐν τῷ "ὃς νείκεσσέν τε θεάς" (Il. 24, 29). καὶ ὅτι παρέλκει συνήθως αὐτῷ τὸ πάντες.

163. ἐπί] οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν· μεταξὺ γὰρ πέπτωκεν ὁ δὲ σύνδεσμος.

167. ἐπ'] οὐδὲ ἐνθάδε ἀναστρεπτέον, καὶ ὅτι συνήλειπται.

*ψιλωτέον τὸ Εὐαίμονος εἰς ἰδιότητα. προείρηται δέ.

171. *πεπάλασθε] οὕτως Ἀρίσταρχος καὶ Ἡρωδιανὸς διὰ τοῦ σ̄, πεπάλασθε, οὐ διὰ τοῦ χ̄.

οἷον κλήρῳ διακληρώσασθε. ἀπὸ τοῦ ἀναπάλλεσθαι τοὺς κλήρους πεπάλασθε λέγει. τὸ δὲ ὅς κε λάχῃσι τινὲς γράφουσι διὰ τοῦ ω̄, ἵνα λείπῃ τὸ τίς, ὡς πολλαχοῦ παρ' αὐτῷ.

ὅτι τηρεῖ τὴν διαφορὰν τοῦ κληρώσασθαι καὶ λαχεῖν. καὶ πρὸς τὸ λάχῃσιν, ὅτι ὃς ἂν λάχῃ. ἡ δὲ ἀναφορὰ πρὸς τὸ "ἰχθὺς ὅς κε φάγῃσι" (Il. 21, 127) πρὸς Φιλητᾶν.

174. *οὕτως συνάπτειν δεῖ, ὅς κε λάχῃσιν, οὗτος γὰρ δὴ ὀνήσει.

στικτέον κατὰ τὸ τέλος τοῦ στίχου· τὸ δὲ ἑξῆς λεγόμενον, οὗτος γὰρ δὴ ὀνήσει, ἤτοι περὶ τοῦ κλήρου ἐστὶν ἢ τοῦ λαχόντος, ὃ καὶ βέλτιον· ἐπιφέρει γὰρ "καὶ δ' αὐτὸς ὃν θυμὸν ὀνήσεται." ἄλλως μέντοι γε ὕποπτος οὗτος ὁ στίχος ἦν· δυσέλπιδας γὰρ τούτους ποιεῖ. τὸ δὲ ἐν τῷ πρώτῳ στίχῳ δοκοῦν ἀκατάλληλον εἶναι "κληρώθητε ὃς ἂν λάχῃσι" σύνηθες Ὁμήρῳ ἐστίν, οἷον κληρώθητε, λάχοι γὰρ ἄν τις. τὸ δὲ διαμπερές πρόσκειται ἀντὶ τοῦ διηνεκῶς, οἷον πάντες.

1. *μεταβαίνει] om.
7. *παραιωρούμενος] παρεωρούμενος
14. συνήλειπται Bekkerus] συνείληπται
15. εἰς ἰδιότητα] V. Lehrs. Arist. p. 318.
19. τὸ δὲ ὅς κε Bekkerus] τὸ δὲ καὶ ὥς κε
τινὲς] τινὲς δὲ
23. Φιλητᾶν] φιλιτᾶν
28. γε] τε
τούτους] τούτοις Lehrsius.
29. ὃς ἄν] ὃς ἐὰν

ταῦτα δέ τινες ὑπιδόμενοι ἀφ' ἑτέρας ἀρχῆς ποιοῦσιν ἀναγινώσκειν, διαμπερὲς ὅς κε λάχῃσιν, οὗτος γὰρ δὴ ὀνήσει, ἵν' ᾖ τὸ ἑξῆς, οὗτος γὰρ δὴ διαμπερὲς ὀνήσει, ὅς κε λάχῃσι. οἱ δὲ καὶ οὕτως· ὅς κε λάχῃσιν, οὗτος γὰρ δὴ ὀνήσει, δῆλον ὅτι μετὰ τὸ διαμπερές στίζοντες. ταῦτα ὁ Νικάνωρ.

175. οἱ δὲ κλῆρον—] τοῦ κλήρου διὰ πάντων ἐρχομένου ἀντὶ τοῦ πάντες.

*ἐσημήναντο] ὅτι σημείοις χρῶνται, οὐ γράμμασιν.

177. *διχῶς, καὶ θεοῖσι δέ καὶ θεοῖς ἰδέ.

ὁ Ἀσκαλωνίτης διαστέλλει ἰδὲ χεῖρας ἀνέσχον, ὡς "ἰδὲ κλέος ἐσθλὸν ἄροιτο" (Π. 5, 3), ἵνα γένηται καὶ χεῖρας ἀνέσχον. Ἀλεξίων δὲ τὴν κατειθισμένην παραλαμβάνει, λαοὶ δ' ἠρήσαντο, θεοῖσι δὲ χεῖρας ἀνέσχον. οὕτως καὶ οἱ περὶ Ἡρακλέωνα. οὐκ ἀποδοκιμάζει μέντοι τὴν ἑτέραν ὁ Ἀλεξίων· καὶ ἡμῖν οὕτως δοκεῖ.

180. *Μυκήνης] ὅτι ἀλλαχοῦ πληθυντικῶς Μυκήνας.

182. *ὅτι ἀνέσειον τοὺς κλήρους, οὐκ ἐξηροῦντο, ὡς ἡμεῖς νῦν.

184. ἐνδέξια] ὅταν ἀντὶ ἐπιρρήματος ᾖ τοῦ ἐπιδεξίως τὸ ἐνδέξια, τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα.

186. *διχῶς, ἀλλ' ὅτε δή ῥ' ἵκοντο, καὶ ἀλλ' ὅτε δὴ τὸν ἵκανε.

187. ἐπιγράψας] ὅτι οὐ γράμμασι τῆς λέξεως, ἀλλ' ἐγχαράξας σημεῖα· εἰ γὰρ κοινῶς ᾔδεσαν γράμματα, ἔδει τὸν κήρυκα ἀναγνῶναι καὶ τοὺς ἄλλους οἷς ἐπεδείκνυτο ὁ κλῆρος.

193. *Ἀρίσταρχος δύνω, ἄλλοι δὲ δύω.

195. σιγῇ ἐφ' ὑμείων ἕως τοῦ ἔλπομαι ἐν Σαλαμῖνι (199) στίχοι πέντε ἀθετοῦνται, ὅτι οὐ κατὰ τὸν Αἴαντα οἱ λόγοι, καὶ ἑαυτῷ ἀνθυποφέρει γελοίως.

197. *ἑκὼν] Ἀρίσταρχος διὰ τοῦ Λ ἑλών.

*Ἀρίσταρχος καὶ αἱ πλείους ἑλών.

198. οὐδέ τ' ἀϊδρείῃ] διὰ τοῦ ῑ εἶχον αἱ Ἀριστάρχου· ἡ δὲ Ἀριστοφάνους οὐδὲ μὲν ἰδρείῃ. ἠθέτηντο δὲ καὶ παρὰ Ἀριστοφάνει καὶ Ζηνοδότῳ.

1. ὑπιδόμενοι] ὑπειδόμενοι
8. Hoc scholion in utroque margine legitur, sed manu diversa.
17. τοῦ ἐ. τὸ Bekk.] ἀντὶ τοῦ ἐ.
19. ἵκοντο] Immo ἵκανε.
30. In marg. a m. rec. γρ. ουδέ τε (τι Bekk.), ἰδρείῃ διὰ τοῦ ῑ] I. e. ἰδρίῃ

ἐμὲ] ἐν ὀρθῇ τάσει ἀναγνωστέον, ἵνα ᾖ ἀντιδιαστολὴ πρὸς ἄπειρα πολέμου τινὰ πρόσωπα.

199. γενέσθαι τε] ἀλλεπάλληλοι ὀξεῖαι, καίτοι σπονδειακόν ἐστιν, ἀλλ᾽ ἴσως ἵνα ἐκφύγωμεν τὸν διπλασιασμὸν τοῦ ῥήματος, λέγω δὲ τοῦ τετραφέμεν τε, ὡς καὶ ἐν τῇ T τῆς Ὀδυσσείας (320) παραλόγως ἐνεκλίναμεν ἐν τῷ "ἠῶθεν δὲ μάλ᾽ ἦρι λοέσσαί τε χρῖσαί τε," ἵνα μὴ πληθυντικὸν ῥῆμα ὑπολάβωμεν.

202. Ἴδηθεν] ἡ διπλῆ, ὅτι τὸ θεν παρέλκει νῦν· ἔστι γὰρ ἀντὶ τοῦ Ἴδης.

210. *ἔριδος μένεϊ] περιφραστικῶς ἔριδι.

212. *προσώπασι] ἀντὶ τοῦ προσώπῳ.

213. *βιβάς] οὕτως Ἀρίσταρχος, βιβάς.

214. *Ἀρίσταρχος τὸν δὲ καὶ Ἀργεῖοι μὲν ἐγήθεον.

221. Ὕλῃ] ὅτι ἐνταῦθα συνεσταλμένως, ἐν δὲ τῷ καταλόγῳ (Il. 2, 500) ἐκτεταμένως "ἠδ᾽ Ὕλην καὶ Πετεῶνα."

228. ῥηξήνορα] τὸν ῥηγνύντα τῇ ἠνορέῃ, τουτέστι τῇ ἀνδρείᾳ· ἢ τὸν ῥέξαι τι ἤτοι πρᾶξαι τῇ ἠνορέῃ δυνάμενον.

238. βῶν] οὕτως αἱ Ἀριστάρχου βῶν σὺν τῷ ν̄. ἡ Ἀριστοφάνους βοῦν. τινὲς δὲ ἔξω τοῦ ν̄ βῶ, καὶ μήποτε πιθανῶς, ἀντὶ τοῦ βόα.

*οὕτως Ἀρίσταρχος βῶν ἀντὶ τοῦ ἀσπίδα.

βῶν] βοῦν Δωρικῶς τὴν ἀσπίδα, ὅτι ἐκ βοείων ἐστὶ δερμάτων, συνεκδοχικῶς τὸ ὅπλον.

238, 239. βῶν ἀζαλέην] ὅτι τὴν ἀσπίδα ξηρὰν λέγει βῶν διὰ τὸ ἐκ βοείων εἶναι δερμάτων· καὶ ὅτι προτάξας θηλυκὸν οὐδέτερον ἐπήνεγκεν, τό μοί ἐστι, πρὸς τὸ σημαινόμενον. τὸ δὲ ταλαύρινον παρῆκται, εὔτολμον· οὐ γὰρ ἡ ῥινὸς ἔγκειται, ὡς ᾠήθησάν τινες.

240. *γράφεται καὶ ἐπαΐξειν.

241. *δηΐῳ μέλπεσθαι Ἀρηϊ] Ἀρίσταρχος σὺν τῷ ν̄ δηΐων, πληθυντικῶς.

κυρίως μὲν παίζειν ἢ τέρπεσθαι, νῦν δὲ οἷον κινεῖσθαι εὐχερῶς καὶ ἐμπείρως κατὰ τὴν μάχην.

255. *ἐπὶ τὸ τέλος τοῦ στίχου βραχὺ διασταλτέον.

ὅτι κυρίως ἔγχη τὰ δόρατα, οὐχ ὥς τινες τὰ ξίφη. λέγει δὲ τὰ ἐνεχόμενα ταῖς ἀσπίσιν, ἃ προήκαντο.

22. *τὸ ὅπλον] τῷ ὅπλῳ Cobetus. Similiter in scholio v. 255.
30. κυρίως] ἡ διπλῆ, ὅτι κυρίως

255–257. τὼ δ' ἐκσπασσαμένω—σύν ῥ' ἔπεσον—ἢ συσὶ κάπροισιν] τοὺς στίχους τούτους οὐ προσίενται ἔνιοι, ὥσπερ οὐδὲ Ζηνόδοτος, ἀλλὰ τὸ τῆς συνεπείας οὕτως ἔχει παρ' αὐτῷ ὥσπερ καὶ ὁ Ἀριστόνικος ἐκτίθησιν, ἣν περιττὸν ἐνομίσαμεν γράψαι.

259. * χαλκόν] Ἀρίσταρχος διὰ τοῦ σ̄ χαλκός.

272. *Ἀρίσταρχος ἀσπίδ' ἐνιχριμφθείς.

273. καί νύ κε δὴ ξιφέεσσ'] ὅτι ἀρτίως ἐπὶ τὸ τοῖς ξίφεσι χρῆσθαι ἐληλύθασιν. ὅταν δὲ λέγῃ "τὼ δ' ἐκσπασσαμένω δολίχ' ἔγχεα" (255), τὰ δόρατα λέγει ἐκ τῶν ἀσπίδων ἀπεσπάσαντο.

276. Ταλθύβιός τε καὶ Ἰδαῖος] ὁ μὲν Ἰδαῖος εἰκότως προσέρχεται, τὸν Ἕκτορα σώσων κινδυνεύοντα· ὁ δὲ Ταλθύβιος οὐκέτι, τὴν νίκην τοῦ Αἴαντος ἀφαιρούμενος. φαμὲν δὲ ὅτι οὐδέπω ἀκριβὴς ἦν ἡ νίκη περὶ τὸν Αἴαντα· ἐπὶ ξίφη γὰρ αὐτοὺς ὁρμῆσαι λέγει, ἔνθα τύχης, οὐ τέχνης κρίσις· ἀπὸ ἴσου γὰρ ἡ κρίσις. ἔτι τε καὶ τὸν Ἕκτορα ὁρᾷ ὑπὸ θεῶν βοηθούμενον· ἀλλὰ καὶ διὰ τὸ τῆς νυκτὸς κατάστημα.

*ὅτι πρὸς τὸ δεύτερον πρῶτον· ὁ γὰρ Ταλθύβιός ἐστιν Ἀχαϊκός.

282. ὅτι ἐντεῦθεν εἰς τὰ ἑξῆς (293) μετενήνεκται· ὁ μὲν γὰρ κῆρυξ αἰτίαν λέγει δι' ἣν οὐ πολεμητέον, ὁ δὲ Ἕκτωρ ἑαυτὸν μετὰ προφάσεως μὴ συλλυέτω.

πιθέσθαι] παροξυντέον· μέσος γάρ ἐστι δεύτερος ἀόριστος.

285. * αὐτὸς γὰρ] ἐν ἄλλῳ οὗτος γάρ.

289. πινυτήν] Ἀρίσταρχος ὡς καλήν, καὶ ἐπεκράτησεν οὕτως ἡ παράδοσις. ὑποστικτέον πινυτήν, ἵνα περισσὸς ὁ σύνδεσμος ᾖ· ἢ ὑποστικτέον καὶ κατὰ τὸ τέλος τοῦ στίχου, ἵνα γένηται ἀνταπόδοσις αὖτη, νῦν μὲν παυσώμεσθα.

290. *ἐν ἄλλῳ νῦν μὲν παύσωμεν πόλεμον καὶ δηϊοτῆτα.

293. *ὅτι ἀπὸ τοῦ λόγου τοῦ κήρυκος (282) μετενήνεκται.

295. ἀθετεῖται ὡς καθαιρῶν τὰ προειρημένα "ὡς σύ τ' εὐφρήνῃς πάντας." ἔχει δὲ καὶ διλογίαν ἔτας καὶ ἑταίρους.

298. θεῖον δύσονται ἀγῶνα] ὅτι οὕτως τὴν ἄγυριν καὶ συναγωγὴν τῶν θεῶν, διὰ τὸ πολλῶν θεῶν ἐν ταὐτῷ εἶναι ἀγάλματα.

7. τὸ addidit Bekker.
12. * ἀφαιρούμενος. φαμὲν δὲ ὅτι] προαιρούμενος, ἀλλ' ὅτι
13. ἔνθα—γὰρ ἡ κρίσις post κατάστημα in A.
15. ὁρᾷ] ὁρῶν
* ἀλλὰ] om.

303. δῶκε ξίφος] σημειοῦνταί τινες ὅτι ἀφώπλισεν ἑαυτὸν δοὺς τὸ ξίφος ὁ Ἕκτωρ.

304. *ἐϋτμήτῳ] Ἀρίσταρχος διὰ τοῦ κ, ἐϋκμήτῳ.

305. φοίνικι φαεινόν] ὅτι ἀντὶ τοῦ φοινικῷ ἄνθει πεφωτισμένον, ὅ ἐστι κεχρωτισμένον.

306. τὼ δὲ διακρινθέντε ὁ μὲν] ὅτι οὕτως εἴρηκεν ἀντὶ τοῦ τῶν δὲ διακριθέντων ὁ μέν, ὅ δέ. καὶ ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντηκεν.

308. ὡς εἶδον ζωόν] οἷον ἀνέλπιστον πρᾶγμα. καλῶς δὲ ἐπὶ μὲν Ἕκτορος τὴν ἀνέλπιστον σωτηρίαν ἐδήλωσεν, ἐπὶ δὲ Αἴαντος τὴν ἐπὶ τῇ νίκῃ ἡδονήν.

310. *ἀελπτέοντες] οὐκ ἐλπίζοντες, ἀλλ' ἀπεγνωκότες.

312. *εἰς Ἀγαμέμνονα] ὅτι ἀντὶ τοῦ πρὸς Ἀγαμέμνονα.

314. *τοῖσι δὲ] ὅτι ὁ δὲ περισσός.

319. *πόνου] ὅτι ἀντὶ τοῦ ἔργου.

328. *πολλοὶ γάρ] ὅτι ἀπὸ τοῦ γάρ αἰτιώδους εἰσέβαλεν ἀρχαϊκῶς.

330. ψυχαὶ δ' Ἄϊδόσδε κατῆλθον] ὅτι συμφώνως τῷ κατὰ τὴν ἀρχὴν τῆς Ἰλιάδος (1, 3) "πολλὰς δ' ἰφθίμους ψυχάς." οὐκ ἄρα γραπτέον κεφαλάς.

331. *τὸ σέ παρέλκει.

333. *κατακήομεν] ὅτι οἱ ἀρχαῖοι ἔκαιον τὰ σώματα.

334, 335. ἀθετοῦνται, ὅτι οὐ διὰ τοῦτο ἐκαίοντο, ὅπως τὰ ὀστᾶ κομίσωνται, ἀλλὰ συνηθείᾳ· καὶ γὰρ οἱ ἐπὶ τῆς ἰδίας τελευτῶντες ἐκαίοντο. καθόλου οὖν οἵδε πυρὶ καιομένους τοὺς πάλαι, καὶ ἐνταῦθα τιθεμένους ὅπου καὶ ἐτελεύτησαν. ἐναντιοῦται δὲ καὶ τὰ ἑξῆς "τύμβον δ' ἀμφὶ πυρὴν ἄκριτον ἐκ πεδίου," ἀδιαχώριστον, ἀδιάστατον, τουτέστι πολυάνδριον· πῶς οὖν "ὥς κ' ὀστέα παισὶν ἕκαστος;"

ἀπο προ νέων] τὰς δύο προθέσεις ἐγκλίνειν δεῖ, ἵνα ἡ μὲν ἀπό συντάσσηται τῇ νεῶν γενικῇ, ἡ δὲ πρό παρέλκηται.

336. *Ἀρίσταρχος διὰ τοῦ τ τύμβον τ' ἀμφί.

διασταλτέον ἐπὶ τὸ χεύομεν· τὸ δ' ἐξαγαγόντες ἤτοι ὕλην πρὸς τὴν τειχοποιίαν, ἢ ἀντὶ τοῦ προελθόντες πολὺ εἰς τὸ πεδίον, ἵνα

6. ὅτι] om.
12. ἀπεγνωκότες Bekkerus] ἐπεγνωκότες
26. ἐναντιοῦται Friedl.] ἐναντιοῦνται
29. ἀπο προ] Sic sine accentibus.

ἡ μὲν ἐξ πρόθεσις ἀντὶ τοῦ ἔξω ἐπιρρήματος κέηται, τὸ δὲ ἀγαγόντες ἐν ἴσῳ τῷ πορευθέντες· περιλαμβάνουσι γὰρ τῷ ναυστάθμῳ καὶ τοῦ πεδίου μέρος. τὸ δεύτερον ἄμεινον.

339. πύλας] ὅτι πληθυντικῶς, καὶ ὅτι μία ὑπόκειται πύλη ἐν τῷ τείχει. τινὲς δὲ γράφουσιν ἔπτ' ἀραρυίας.

345. *ὅτι διαλελυμένως τῇ ἀκροπόλει.

346. δεινὴ, τετρηχυῖα] βραχὺ διασταλτέον κατ' ἀμφότερα· μᾶλλον γὰρ οὕτως ἐμφαίνει. τὸ τετρηχυῖα τεταραγμένη, ἢ διὰ τὰ προλεχθέντα, ἢ διὰ τὸ "πολύκλητοι δ' ἔσαν" (Il. 4, 438), ἢ διὰ τὸ διχογνωμονεῖν περὶ Ἑλένης, ὡς Ἀντήνωρ καὶ Ἀντίμαχος. δηλοῖ ὡς οὐχ οἱ βασιλεῖς συνήγαγον αὐτοὺς, ἀλλ' ἀγανακτοῦντες ἦκον εἰς τὰ βασίλεια.

347. *ἀντίον ηὔδα] γράφεται ἦρχ' ἀγορεύειν.

353. ἀθετεῖται, ὅτι ἀγνοήσας τις ὅτι ὑπακοῦσαι δεῖ τῷ οὔ νύ τι κέρδιον ἡμῖν τὸ ἔσται, ὡς ἐλλείποντος τοῦ λόγου προσανεπλήρωσεν· καὶ ὅτι τὸ ἵνα οὐχ ὁμηρικῶς παρείληπται ἀντὶ τοῦ ἐάν.

*Ἀρίσταρχος ἐκτελέεσθαι, ἵν' ἂν μή.

359. *εἰ δ' ἐτεόν] οὕτως Ἀρίσταρχος, ἄλλοι δίχα τοῦ δ, εἰ ἐτεόν. ὑποστικτέον κατὰ τὸ τέλος τοῦ στίχου, καὶ γραπτέον τὴν ἀρχὴν μετὰ τοῦ δέ συνδέσμου, εἰ δ' ἐτεὸν δὴ τοῦτον· τὸ γὰρ ἀσύνδετον ἀπρεπὲς ἐνθάδε.

362. ἀπόφημι] ὡς ἄπειμι· τὰ γὰρ ὀξυνόμενα τῶν ῥημάτων ἐν τῇ συνθέσει ἀναδίδωσι τὸν τόνον.

ἐν ἄλλῳ. καὶ ἐνταῦθα οὗτοι οἱ στίχοι κεῖνται "κέκλυτέ μευ Τρῶες καὶ Δάρδανοι ἠδ' ἐπίκουροι, ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει."

370. *κατὰ πτόλιν] γράφεται κατὰ στρατόν.

379. ἐν ἄλλῳ καὶ οὗτος ὁ στίχος "δόρπον ἔπειθ' εἵλοντο κατὰ στρατὸν ἐν τελέεσσι."

385. Ἀτρεΐδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν] ἐν ἄλλῳ εὐκνήμιδες Ἀχαιοί.

17. ἵν'] ἵνα

24–26. Manus recentissima addidit in marg. exter. A.

καὶ ἐνταῦθα] Hoc dicit quia hi versus iam supra leguntur 348, 349.

28, 29. A m. recentissima in marg. A. Similiter alibi versus in textu codicis omissi in margine supplentur: v. exempla ab Wachsmuthio collecta in Museo Rhenano vol. 18 p. 184.

30, 31. A m. recentissima in marg. A.

390. τὸ ὡς πρὶν ὄφελλ' ἀπολέσθαι εἴτε καὶ τοῖς Ἕλλησιν εἰς ἐπήκοον λέγει ὁ κῆρυξ πρὸς τὸ συγγνωμονεῖν τοῖς ἄλλοις Τρωσὶν ὡς καὶ αὐτοῖς ὀργιζομένοις, εἴτε καθ' ἑαυτὸν καὶ ἠρέμα, ὡς Δημόκριτος ἀξιοῖ ἁπλεπὲς ἡγησάμενος τὸ φανερῶς λέγεσθαι, ἀμφότερα προστικτέον ὡς διὰ μέσου ἀναπεφωνημένου· τὸ γὰρ ἔξῃς, ἠγάγετο Τροίηνδε, πάντ' ἐθέλει δόμεναι.

ὅτι σαφῶς ὑπὸ τῶν Τρώων ἐμισεῖτο Ἀλέξανδρος, πρὸς Ζηνόδοτον γράφοντα "ἀλλὰ μάλα Τρῶες ἐλεήμονες" (Il. 3, 56).

392. *ὅτι οὐ προγεγάμηται ἑτέρῳ καθ' Ὅμηρον ἡ Ἑλένη.

393. *οὕτως ἦ μήν· βούλεται γὰρ λέγειν, Τρῶές γε μὴν ἕλωνται.

ἄλλως. περισπᾶται ὁ ἦ· ἰσοδυναμεῖ γὰρ τῷ βεβαιωτικῷ. ὅμοιον δέ ἐστι τὸ "ἦ μὴν καὶ πόνος ἐστίν" (Il. 2, 291).

398, 399. *ὅτι ἐντεῦθεν μετάκεινται εἰς τὴν ἀποπρεσβείαν (Il. 9, 694).

402. *ἐφῆπται] ἐγγύς. πᾶν γὰρ τὸ ἁπτόμενον ἐγγὺς οὐ ἅπτεται.

407. ὑποκρίνονται] ἡ διπλῆ, ὅτι πρόθεσις ἐνήλλακται, ἀντὶ τοῦ ἀποκρίνονται.

408. βραχὺ διασταλτέον ἐπὶ τὸ νεκροῖσιν· καὶ γὰρ ἡμῖν οὕτως σύνηθες διαστέλλειν, περὶ δὲ τῶν νεκρῶν οὐ φθονῶ θάπτειν. καὶ ἄλλως συναπτόμενα σόλοικον ποιεῖ τὸν λόγον.

409. ὁ νοῦς, οὐ φειδόμεθα ὥστε ἐκμειλίσσειν ὑμᾶς τοὺς νεκρούς.

*Ἀρίσταρχος τεθνηώτων, ἄλλοι δὲ τεθνειώτων.

410. *πυρὸς μειλισσέμεν ὦκα] ὅτι διὰ πυρὸς ἐθάπτοντο πάντες.

415. *Ἴλιον ἰρήν] ὅτι θηλυκῶς τὴν Ἴλιον.

420. *ὤτρυνον νέκυας] ὅτι Ἀρίσταρχος νέκυς ἐκτεταμένως, καὶ ὀτρύνοντο, οὐκ ὄτρυνον.

422. ἀκαλαρρείταο] ἡσύχως καὶ πράως ῥέοντος· ἀκαλὸν γὰρ τὸ ἥσυχον λέγουσιν.

ὅτι αὐτὸς μὲν ἐξ Ὠκεανοῦ ἀνατέλλειν καὶ εἰς Ὠκεανὸν φησι καταδύεσθαι τὸν ἥλιον· ὁπόταν δὲ πρόσωπον ἡρωϊκὸν εἰσάγῃ, ὑπὲρ γῆς καὶ ὑπὸ γῆν. τὸ αὐτὸ δὲ ποιεῖ καὶ ἐν Ὀδυσσείᾳ.

4. ἀμφότερα—ἠγάγετο] ἀνυποκρίτως στικτέον ὡς διὰ μέσου ἀναπεφωνημένου· τὸ γὰρ ἔξῃς ὅσα ἠγάγετο Friedl.

8. μάλα] μᾶλλον

11. τῷ] om.

19. φθονῶ] φρονῶ

28. πράως] πρᾶος

32. γῆς—γῆν Friedl.] γῆν—γῆς

425. *νίζοντες ἄπο] τὸ ἐξῆς ἐστιν ἀπονίζοντες· διὸ ἀναστρεπτέον.

426. δάκρυα θερμὰ χέοντες] βαρβάρων ἴδιον ὁ θρῆνος, ἐπὶ δὲ τῶν Ἑλλήνων ἀχνύμενοί φησιν (431).

427. *οἱ δὲ σιωπῇ] ἐν ἄλλῳ ἀλλὰ σιωπῇ.

428. πυρκαϊῆς] οὕτως αἱ Ἀριστάρχου κατὰ γενικήν· αἱ δὲ Ζηνοδότου πυρκαϊῇ, καὶ ἔστι χαριέστερον, ὡς τὸ "ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν" (Il. 23, 165).

ἐπενήνεον] γράφεται καὶ ἐπινήνεον, καὶ ἔστιν Ἰακόν.

429. ὅτι ἐκαίοντο οἱ νεκροὶ, καὶ ὅτι θηλυκῶς τὴν Ἴλιον.

433. ἀμφιλύκη νύξ] τὸ καλούμενον λυκόφως, τὸ πρὸς ὄρθρον. τουτέστιν ὁ βαθὺς ὄρθρος, παρὰ τὴν λύγην, ὅ ἐστι σκοτίαν, οἱονεὶ λυγόφως τι ὄν, τὸ μὴ καθαρὸν φῶς, ἀλλ' ἔτι σκοτῶδες. ἡ διπλῆ δὲ, ὅτι ἅπαξ μόνον ἐνταῦθα τῇ λέξει κέχρηται.

436. *ὅτι πολυάνδριον. πῶς οὖν "ὥς κ' ὀστέα παισὶν ἕκαστος εἰκαδ' ἄγῃ" (334);

ἐκ πεδίου] ἐν τῇ κατὰ Ἀριστοφάνη οὕτως ἐγέγραπτο, ἄκριτον ἐν πεδίῳ, περὶ δ' αὐτὸν τεῖχος ἔδειμαν, καὶ μήποτε ἄμεινον οὕτως.

443. οἱ δὲ θεοὶ παρὰ Ζηνί ἕως τοῦ "ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον" (464) ἀθετοῦνται στίχοι κβ', ὅτι περὶ τῆς ἀναιρέσεως τοῦ τείχους λέγει πρὸ τῆς τειχομαχίας (Il. 12, 4) ὡς ἂν μὴ προειρηκὼς ἐνθάδε.

446. ἦ ῥά τις ἔστι βροτῶν] ἆρα ἔτι, φησὶ, τὶς τῶν ἀνθρώπων κοινώσεται διὰ τῶν θυσιῶν ἃ βούλεται τοῖς θεοῖς;

447. ἀθανάτοισι] ὅτι ὡς καὶ αὐτὸς οὐκ ὢν ἀθάνατος λέγει. καὶ ἐν ἄλλοις δὲ κέχρηται τῷ γένει.

451. οὕτως Ἀρίσταρχος ὅσην τ' ἐπικίδναται θηλυκῶς, Ζηνοδότειος δὲ ἡ "ὅσον τ' ἐπικίδναται."

*Ἀρίσταρχος ὅσην, ἄλλοι δὲ ὅσον.

452. τοῦ δ' ἐπιλήσονται τό τ' ἐγὼ] χωρὶς τοῦ τέ ἐν ταῖς Ἀριστάρχου τὸ ἐγὼ καὶ Φοῖβος, κατ' ἔνια δὲ τῶν ὑπομνημάτων τὸ δ' ἐγώ. καθόλου δὲ τὴν τῶν θεῶν ἀγορὰν ἠθέτουν οἱ περὶ Ζηνόδοτον καὶ Ἀριστοφάνη καὶ αὐτὸς Ἀρίσταρχος.

*τό τ' ἐγώ] Ἀρίσταρχος τὸ ἐγώ.

453. *ἥρῳ] ὅτι δισυλλάβως καὶ ἐν Ὀδυσσείᾳ (8, 483) "ἥρῳ Δημοδόκῳ."

5. In marg. inter. οὕτως Ἀρίσταρχος. 6. πυρκαΐας (sic) κατὰ γενικήν

465. *δύσετο] σημειοῦνταί τινες ὅτι ἀντὶ τοῦ ἐδύετο.

466. βουφόνεον] βουφονεῖν ἐστὶν οὐ τὸ θύειν θεοῖς (ἄτοπον γὰρ ἐπὶ θυσίας φόνον λέγειν), ἀλλὰ τὸ φονεύειν βοῦς εἰς δείπνου κατασκευήν.

468. Λήμνιοι τὰς ἐξ ἔθους τῇ Ἀφροδίτῃ θυσίας μὴ ἀποδιδόντες καθ' αὑτῶν θάνατον ἐνομοθέτησαν· τὴν γὰρ θεὸν ὀργισθεῖσαν λέγεται τοῖς μὲν ἀνδράσιν ἱμερόν τινα τῶν Θρᾳκίων ἐμβαλεῖν γυναικῶν, τῶν δὲ ἰδίων ἀμελῆσαι καὶ καθέζεσθαι ἐφ' ἡσυχίας. διέβαινον οἷν εἰς τὴν Θρᾴκην περιέποντες καὶ σεβόμενοι τὰ ἐνταῦθα. ταῖς δὲ γυναιξὶ τῶν Λημνίων ἔκτοπον λύσσαν ἐμπεσεῖν, ὥστε ψηφίσασθαι πάσας ἀνδροκτονεῖν. καὶ μὴ ἀποτυχεῖν. γενομένου δὲ τούτου τοῦ ἀτυχήματος περὶ τοὺς ἄνδρας, λέγεται τὸν Ἰάσονα μετὰ τῆς Ἀργοῦς ἐξοκείλαντα τῇ κρατίστῃ πασῶν Ὑψιπύλῃ μιγῆναι, ἐξ ἧς φασὶ γενέσθαι τὸν Εὔνηον. ἡ δὲ ἱστορία παρὰ Ἀσκληπιάδῃ ἐν τοῖς τραγῳδουμένοις.

473. ὅτι ἀμοιβαῖς ἐχρῶντο οἱ παλαιοὶ καὶ οὐ νομίσμασιν.

474. ὅτι ῥινοῖς ταῖς βύρσαις, αὐταῖς δὲ βουσὶν ἀντὶ τοῦ ζώσαις. ἰστέον δὲ ὅτι ὁπόταν περὶ πλήθους θρεμμάτων διαλέγωνται οἱ ποιηταί, κατὰ τὸ θηλυκὸν προφέρονται.

475. *Ἀρίσταρχος διὰ τοῦ ō ἀνδραπόδοισι. ἀθετεῖται, ὅτι νεωτερικὴ ὀνομασία τοῦ ἀνδράποδον· οὐδὲ γὰρ παρὰ τοῖς ἐπιβεβληκόσιν Ὁμήρῳ νοεῖται. λυπεῖ δὲ καὶ τὸ ἄλλοι πλεονάζον.

481. *Ἀρίσταρχος πιέμεναι πρὶν λείψω.

482. κοίμησαν] ὅτι διέστειλε τὸ κοιμηθῆναι καὶ τὸ ὑπνῶσαι. τοῦτο δὲ πρὸς τὸ ἐν Ὀδυσσείᾳ (20, 4) "Εὐρυνόμη δ' ἄρ' ἐπὶ χλαῖναν βάλε κοιμηθέντι·" ἐπιφέρει γὰρ "κεῖτ' ἐγρηγορόων." Ζηνόδοτος δὲ καὶ τοῦτον καὶ τὸν πρῶτον τῆς ἑξῆς ῥαψῳδίας ἦρκε στίχον.

ὕπνου δῶρον] αὐτὸ τὸ κοίμημα, ὅπερ ἡμῖν ὁ σωματοειδὴς ὕπνος δωρεῖται.

1. ὅτι addidit Bekk.

9. σεβόμενοι] σημώμενοι (* συμμιγνύμενοι ταῖς ἐνταῦθα καὶ δὴ τῆς ἐπιβουλῆς ταύτης ἐπιτυχεῖν)

11. * ἀνδροκτονεῖν] ἀνδροκτείνειν

22. νοεῖται] κεῖται Friedl.

23. In fine scholii Lehrsius Arist. p. 33 addit ἠθετεῖτο καὶ παρὰ Ζηνοδότῳ καὶ Ἀριστοφάνει, collato Eustathio p. 692, 20.

24. πιέμεναι—λείψω] πινέμεναι—λεῖψαι Cobetus.

27. ἐγρηγορόων] ἐγρηγορῶν

28. ἦρκε Bekkerus] εἴρηκεν

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀρισταρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ ἐκ τῶν Νικάνορος περὶ στιγμῆς.

ΕΙΣ ΤΗΝ Θ.

τὴν ῥαψῳδίαν ταύτην κόλον μάχην καλοῦσι· συντέμνει γὰρ τὴν διήγησιν, συναχθόμενος τοῖς Ἀχαιοῖς.

1. Ἠὼς] *σημαίνει πολλά. ὁτὲ μὲν τὸ κατάστημα τῆς ἡμέρας, ὡς ἔχει ἐνταῦθα· ὁτὲ δὲ καὶ ἡ σωματικὴ θεὸς, ὡς ἔχει ἐπὶ τοῦ "ἠὼς δ' ἐκ λεχέων παρ' ἀγαυοῦ Τιθωνοῖο" (Il. 11, 1)· ὁτὲ δὲ τὸ ἀπ' ἀνατολῆς ἕως μεσημβρίας τοῦ ἡλίου διάστημα, ὡς ἐν τῷ "ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ" (66)· ὁτὲ δὲ τὸ τῆς νυκτὸς καὶ ἡμέρας διάστημα, ὡς ἐν τῷ "ἠὼς δέ μοί ἐστιν ἤδε δυωδεκάτη, ὅτ' ἐς Ἴλιον εἰλήλουθα" (Il. 21, 80).*

κροκόπεπλος] ὅταν πολὺ σκότους ἔχῃ, ὀλίγον δὲ φωτός. τὸ δὲ ῥοδοδάκτυλος ἐναντίον. ποιητικὴ δέ ἐστι περίφρασις, ὡς εἰ εἶπεν ἡμέρα μὲν γέγονεν. τὸ δὲ ἐκίδνατο ἐν παρατάσει· σφαιροειδὴς γὰρ οὖσα ἡ γῆ οὐ πᾶσα ὑφ' ἓν φωτίζεται.

Ἠὼς] *ὅτι Ζηνόδοτος μετατίθησι τὴν ἀνατολὴν κάτω πρὸς τὸ "οἱ δ' ἄρα δεῖπνον ἕλοντο" (53), ὥστε τὴν τῶν θεῶν ἀγορὰν ὀψὲ γίνεσθαι ἀπρεπῶς.*

3. * *ἀκροτάτῃ] ὅτι ἀντὶ τοῦ ἄκρᾳ, καὶ ὅτι λείπει ἡ ἐπί, καὶ ὅτι τὰ ἐπίθετα ὡς ἐπὶ ὄρους.*

4. *θεοὶ δ' ὑπὸ πάντες ἄκουσαν] ἡ ὑπό φέρεται ἐπὶ τὸ ἄκουον· διὸ οὐκ ἀναστρεπτέον. τὸ αὐτὸ δὲ καὶ ἐπὶ πάσης προθέσεως ἔστιν ἰδεῖν ἐχούσης σύνταξιν πρὸς τὰ ἐπιφερόμενα. "οἳ κατὰ βοῦς Ὑπερίονος Ἠελίοιο ἦσθιον" (Od. 1, 8). καὶ γὰρ διαφέρει τὸ ἀκούειν ἁπλῶς λεγόμενον τοῦ ὑπακούειν, ᾧ ἐκ μὲν τοῦ ἀκούειν οἷόν τ' ἐστὶν ἐκδέξασθαι καὶ τὸ μόνον ἀκοῦσαι, μὴ μέντοι πείθεσθαι τοῖς λεγομένοις. οὕτως οὖν τινὲς ἐδέξαντο "οὐδ' ἐσάκουσε πολύτλας δῖος Ὀδυσσεύς" (97)· ἀκούσας γὰρ οὐκ ἐπείσθη. διὸ ἐν ἑτέροις Ὀδυσσεὺς ἐπαινούμενος ὑπὸ τοῦ Διομήδους παραιτεῖται καὶ τὸ ἐπισκώπτεσθαι, ἐν οἷς*

2. Ἀρισταρχείου] *ἀριστάρχου*
3. *ἐκ τῶν*] *ἐκ* om.
10. * *ὡς ἐν τῷ "ὄφρα—διάστημα*] om.
20. *ἀπρεπῶς*] *ἀπρεπές*, sed superscripto *ω*
23. *ἐπὶ τὸ* Lehrsius] *καὶ ἐπὶ τοῦ*

φησὶ "Τυδείδη μή τ' ἄρ με μάλ' αἴνεε μή τέ τι νείκει" (Il. 10, 249). ἐν μέντοι τῷ ὑπακούειν τὸ πάντως πείθεσθαι τοῖς λεγομένοις ἤτοι ἑκόντας ἢ ἄκοντας. οὕτως οὖν ἔχει καὶ τὸ ὑπήκοος, ὥσπερ ὑποτεταγμένος τινί. τοῦτο δὲ ἀπαιτεῖ ἡ διάνοια· οἱ γὰρ θεοὶ ὑπήκουον τῷ Διὶ ὡς ὑποτεταγμένοι.

7. *θεός] Ἀρίσταρχος θεῶν.

8. *διακέρσαι] διακόψαι· ὅθεν καὶ κέρμα τὸ εἰς μικρὰ διακεκομμένον.

10. *ἀπάνευθε] ἐν τῇ Ἀριστοφάνους ἀπάτερθε, Ζηνόδοτος μετόπισθε.

12. *τὸ οὐ κατὰ κόσμον βέλτιον τοῖς ἑξῆς συνάπτειν· συλλαβὼν γὰρ αὐτόν.

13. ἐς Τάρταρον] ὡς τὰ οὐράνια τρία διαστήματα ἔχει, ἀέρα μέχρι νεφελῶν, εἶτα αἰθέρα μέχρι τῶν φαινομένων, οὕτως καὶ ἀπὸ γῆς εἰς Ἅιδου, ἀπὸ δὲ Ἅιδου εἰς Τάρταρον. ἐναντίος δὲ Ὀλύμπῳ ὁ Τάρταρος· ὁ μὲν γὰρ οὔποτ' ἀνέμοισι τινάσσεται οὐδέ ποτ' ὄμβρῳ (Od. 6, 43), ὁ δὲ καὶ τετάρακται καὶ ψυχρὸς εἶναι δοκεῖ· καὶ γοῦν τὸ σφόδρα ῥιγοῦν ταρταρίζειν φασί. καὶ ὁ μὲν ὅλος καταλάμπεται, ὁ δὲ ἠεροειδής ἐστι.

Τάρταρος τὸ ὑπὸ τὴν γῆν ἐσκοτισμένον μέρος κατώτατον τοῦ Ἅιδου, καὶ ἐν βαθυτάτῳ κείμενον τόπῳ. ἢ τὸν χαλεπὸν καὶ δυσχερῆ λέγει. ὠνόμασται δὲ διὰ τὸ ἐκτεταράχθαι καὶ συγκεχύσθαι τὰ ἐν αὐτῷ πάντα. οἱ δὲ τὸ ἀφώτιστον τῆς οἰκουμένης μέρος ἀπεδέξαντο.

16. τόσσον ἔνερθ' Ἀΐδεω] τοσοῦτόν φησι τὸν Τάρταρον ἀφεστάναι τοῦ Ἅιδου ὅσον ὁ οὐρανὸς τῆς γῆς. διὰ δὲ τούτων σφαιροειδῆ τὸν κόσμον συνίστησι, κέντρου λόγον ἐπέχουσαν εἰσαγαγὼν τὴν γῆν, καὶ τὰς ἀπ' αὐτῆς ἐκβαλλομένας εὐθείας εἰς ἑκάτερα τὰ πέρατα ἴσας λέγων εἶναι.

4. ὑποτεταγμένος Vill.] ὑποτεταγμένως

11. τὸ] ὅτι τὸ Vill. male.

13. Huic scholio adscripta est figura

15. *ἐναντίος] ἐναντίως

19. *ἠεροειδής] ἠερόεις

22. ἐκτεταράχθαι] ἐκτετάχθαι

28. *ἐκβαλλομένας] ἐμβαλλομένας

πρὸς τὴν καθ' Ὅμηρον τοῦ κόσμου τάξιν. καὶ ὅτι οὐδὲν τοιοῦτον ἐπὶ τοῦ Ὀλύμπου λέγει. καὶ ὅτι λείπει τὸ ὕπερθεν, ὅσον ἐστὶν ὕπερθεν.

18. πειρήσασθε] πεῖραν λάβετε. τῷ ἀποτόμως ἀπειλοῦντι καὶ τὴν ῥώμην οὐκ ἄτοπον ἐνδείκνυσθαι. μεγάλα δὲ ὄντα τὰ προστάγματα μείζοσιν ὑπερβολαῖς ἐπιστώσατο.

εἴδετε] ὡς λέγετε. ἢ συστολὰς μὲν τὰ τοιαῦτα παραληπτέον, ἢ ἐναλλαγὰς ἐγκλίσεων, "ὄφρ' εὖ πᾶσαι εἴδετ' ἀκούουσαι" (Il. 18, 52)· "μηδ' ὡς Πάτροκλον λίπετ' αὐτόθι τεθνειῶτα" (Il. 19, 403)· "ὄφρα καὶ Αὐτομέδοντα σαώσετον ἐκ πολέμου" (Il. 17, 452)· "αἴ κέν πως ἀρνῶν κνίσης αἰγῶν τε τελείων βούλεται ἀντιάσας" (Il. 1, 66).

19. ὅτι εἰ μὴ ἐκδεξόμεθα Ὄλυμπον τὸ ἐπὶ Μακεδονίας ὄρος, οὐ συμφωνήσει τῇ διαθέσει ταύτῃ· ἐπὶ γὰρ τοῦ οὐρανοῦ στάς φησι τὸν Ὄλυμπον ἀνέλκειν τῆς σειρᾶς ἐκ τοῦ ῥίου ἐκδεθείσης. καὶ ὅτι ἡ ἐξ περισσή.

χρυσῆν προσέθηκε, βουλόμενος τὸ πρᾶγμα ποιητικὸν δεῖξαι. καὶ οἱ μὲν κυρίως οὕτως· οἱ δὲ ἀλληγορικῶς τὸν ἥλιον.

κατὰ τὸν μῦθον ὁ Ζεὺς ἑαυτὸν τάσσει ἐπὶ τοῦ οὐρανοῦ, ὃ κλήρῳ λαχὼν στοιχεῖον εἶχεν, τοὺς δὲ λοιποὺς θεοὺς ἐπὶ τῆς γῆς ὡς αὐτῆς κοινῆς ὑπαρχούσης, ὥστε ἢ αὐτὸν καθελκυσθῆναι ὑπ' ἐκείνων, ἢ ἐκείνους ὑπ' αὐτοῦ.

22. *Ζῆν' ὕπατον μήστωρ'] ὅτι ἀντὶ τοῦ ἐμέ, ὡς περὶ ἄλλου.

*κάμοιτε] γράφεται καὶ πάθοιτε.

23. πρόφρων ἐθέλοιμι] Ἀρίσταρχος διὰ τοῦ ω̄ ἐθέλωμι. Πτολεμαῖος δὲ ὁ τοῦ Ὀροάνδου ἀντὶ τοῦ πρόφρων πρόσσω γράφει.

*ὅταν θελήσω ἐρύσαι φησίν.

25, 26. ὅτι Ζηνόδοτος ἀμφοτέρους ἠθέτηκεν. δι' αὐτῶν δὲ διδασκόμεθα πῶς σπάσει τὴν γῆν σὺν τῇ θαλάσσῃ.

ἐνταῦθα οἱ μέν φασι τὸν Ὅμηρον αἰνίττεσθαι μοναρχίαν, καὶ δηλοῦν

6. *μείζοσιν ὑπερβολαῖς ἐπιστώσατο] om.
9. λίπετ'] εἶπετ'
10. Αὐτομέδοντα] αὐτώι μοι
13. ἐκδεξόμεθα Bekk.] ἐκδεξώμεθα
15. σειρᾶς] πειρᾶς
19. Lemma σειρὴν ἐξ οὐρανῶθεν (sic) κρέμασαντες καὶ τὰ ἑξῆς
21. ὑπ' ἐκείνων ἢ ἐκείνους ὑπ' αὐτοῦ addidit Monro.
25. In marg. inter. Ἀρίσταρχος ἐθέλωμι. Recepto ἐθέλωμι Cobetus ὅτε δή κεν ἐγώ vel ὅτε κεν καὶ ἐγώ
29. πῶς σπάσει Lehrsius] πᾶσαν

ὡς ἑνὸς ἐξῆπται τὰ πάντα· οἱ δὲ ζητοῦσι πῶς πάντων περιγίνεται ὁ Ζεὺς ὁ ὑπὸ τριῶν μόνων δεθείς, καθά φησιν ἐν τῇ Α (400). ῥητέον οὖν ὅτι ἐκεῖ μὲν ἐξ ἐπιβουλῆς ἡ ἰσχύς, ἐνταῦθα δὲ ἐκ τοῦ φανερῶς κρατεῖν.

28. ἐντεῦθεν ἕως τοῦ "πρόφρονι μυθέομαι" (40) ἀθετοῦνται στίχοι ιγ', ὅτι ἐξ ἄλλων τόπων μετάκεινται. καὶ ἐν τοῖς κατὰ μέρος διαπίπτει, οὐκ ὀρθῶς χρώμενος ταῖς λέξεσιν, "ὀδυσσαμένοιο τεοῖο." τοῦτο γάρ ἐστι τοῦ σοῦ, θέλει δὲ ὁ λόγος ὀργισθέντος σοῦ, ἀσυνάρθρως.

29. ἀγασσάμενοι] γράφεται καὶ φρασσάμενοι· μᾶλλον δὲ τὸ ἀγασσάμενοι τοῖς ἑξῆς συνᾴδει.

31. τούτους πάλιν μετ' ὀλίγα ἡ Ἥρα παραγίνεται λέγουσα. αἱ τοιαῦται δὲ προσφωνήσεις σημαίνουσι τὴν Ἀθηνᾶν ἐκ μόνου Διὸς γεγενῆσθαι· καὶ γὰρ οὔτε Ὅμηρος οὔτε Ἡσίοδος μητέρα αὐτῆς παραδίδωσιν.

35. *ὡς σὺ κελεύεις] οὕτως Ἀρίσταρχος. ἄλλοι δὲ εἰ σὺ κελεύεις.

39. Τριτογένεια] Ὅμηρος μὲν τὴν τὸ τρεῖν καὶ εὐλαβεῖσθαι γεννῶσαν τοῖς ἀνθρώποις (πολεμικὴ γὰρ ἡ θεός), οἱ δὲ νεώτεροί φασι τὴν παρὰ τῷ Τρίτωνι ποταμῷ γεννηθεῖσαν, ὅς ἐστι τῆς Λιβύης.

39, 40. θάρσει Τριτογένεια] ὅτι ὑπὸ Διὸς πάλιν λέγονται πρὸς Ἀθηνᾶν πρὸ τῆς Ἕκτορος τελευτῆς (Il. 22, 183)· ἐναντιοῦνται δὲ ἐνθάδε τοῖς ὑποκειμένοις.

*εἰρωνεύεται αὐτήν.

43. χρυσὸν δ' αὐτὸς ἔδυνε] ὅτι ἀντὶ τοῦ χρυσῆν πανοπλίαν· καὶ ὅτι ἐνθάδε λεγομένου τοῦ Διὸς ἀνειληφέναι τὴν ἰδίαν πανοπλίαν, οὐκέτι ἑξῆς (387) ἐγχωρεῖ τὴν αὐτὴν ταύτην πανοπλιαν ἀνειληφέναι τὴν Ἀθηνᾶν· καὶ ὅτι τὸ γέντο ἐκ τῶν συμφραζομένων νοεῖται τεταγμένον ἀντὶ τοῦ ἔλαβεν.

45. *οὐκ ἄκοντε] οὐκ ἀπρόθυμοι.

46. ὅτι οὐδέποτε εἶπε μεσσηγὺς γαίης τε καὶ Ὀλύμπου νιφοεντος, οὐδὲ τὸν Ὄλυμπον ἀστερόεντα· διαφέρει γὰρ κατ' αὐτὸν ὁ Ὄλυμπος τοῦ οὐρανοῦ.

47, 48. Ἴδην—Γάργαρον] πρὸς τὴν ἰδιότητα τῆς φράσεως,

14. τούτους] ἀστερίσκος, ὅτι τούτους Cobetus. 20. *τὸ] om.

ἀντὶ τοῦ τῆς Ἴδης εἰς Γάργαρον ἦλθεν· προτάξας γὰρ τὸ γενικὸν τὸ εἰδικὸν ἐπήνεγκεν. μέρη γὰρ τῆς Ἴδης ἄλλα τε καὶ τὸ Γάργαρον.

47. *πολυπίδακα] πίδακές εἰσιν αἱ τῶν ὑδάτων ἀναδόσεις αἱ μικραί.

48. Γάργαρον] τὸ ἀκρωτήριον τῆς Ἴδης, ἤτοι ἀπὸ τοῦ γαργαρίζειν καὶ ἀναδιδόναι τὰ ὕδατα, ἢ ἀπὸ μεταφορᾶς τοῦ ἐν τοῖς στόμασιν ἡμῶν γαργαρεῶνος τῆς λεγομένης σταφυλῆς· καὶ γὰρ τὸ σῶμα τοῦτο ἀπὸ παχέος εἰς λεπτὸν καὶ ὀξὺ λήγει· τρία δέ εἰσιν ἀκρωτήρια τῆς Ἴδης, Λεκτόν, Γάργαρον, Φαλάκρη. τούτου μνημονεύει Καλλίμαχος ἐν πρώτῳ αἰτίων.

53. ὅτι πρὸ τούτου τὴν ἀνατολὴν τίθησι Ζηνόδοτος· τὸ δὲ συνεχὲς τοῦ λόγου οὕτως ἐστίν, ἡμέρας ἐνστάσης ὁ μὲν Ζεὺς θεῶν ἀγορὰν ἐποιεῖτο, οἱ δὲ Ἀχαιοὶ δεῖπνον εἵλαντο.

54. ἀπὸ δ' αὐτοῦ θωρήσσοντο] ἐξωπλίζοντο καὶ ἀνελάμβανον τὰ ὅπλα, ὅπερ ἀγνοήσαντές τινες γράφουσι τοὶ δ' αὐτόθι θωρήσσοντο.

55. *Ἀρίσταρχος διὰ τοῦ ō ὁπλίζοντο.

56. παυρότεροι] ὅτι ἐλάσσους ἀεὶ τοὺς Τρῶας σὺν τοῖς ἐπικούροις λέγει. ἡ δὲ ἀναφορὰ πρὸς ἐκεῖνα τὰ ἀθετούμενα "πολλέων ἐκ πολίων ἐγχέσπαλοι ἄνδρες" (Il. 2, 131)· καὶ πρὸς Ζηνόδοτον γράφοντα (562) "μυρία δ' ἐν πεδίῳ."

57. *χρειοῖ] ὡς Λητοῖ· ἡ γὰρ εὐθεῖα "χρειὼ ἐμεῖο γένηται" (Il. 1, 341).

58. πᾶσαι δ' ὠΐγνυντο πύλαι] ὅτι μία ἐστὶ πύλη, καὶ πληθυντικῶς εἶπε πύλαι. τὸ δὲ πᾶσαι ἀντὶ νοῦ ὅλαι, ὡς "θριξὶ δὲ πάντα νέκυν καταείνυον" (Il. 23, 135).

60. ἵκοντο] γρ. ἵκανον.

62. ὅτι ταυτὸν ἐξ ἐπαναλήψεως εἶπεν· προειπὼν γὰρ ῥινούς, ἐπενήνοχεν "ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι," ἐξ ἀμφοτέρων ταὐτὰ σημαίνων.

65. ῥέε δ' αἵματι γαῖα] ὅτι ἀντὶ τοῦ ἐρρεῖτο ἡ γῆ, καὶ ἔτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντηκεν.

66. ἡ διπλῆ, ὅτι νῦν τὴν πρὸ μεσημβρίας ὥραν ἠῶ λέγει.

ἀέξετο] αὔξησιν ἐλάμβανεν ἡ ἡμέρα, ὅ ἐστιν ἕως οὗ ὑψοῦτο ὁ ἥλιος ὁ τὴν ἡμέραν ποιῶν.

68. ὅτι οὐδέποτε ἐν Ὀλύμπῳ τὸν ἥλιον, ἀλλ' ἐν οὐρανῷ· οὐκ ἄρα

ὁ αὐτὸς τῷ οὐρανῷ· τὸ δ' ἀμφιβεβήκει γράφεται καὶ σὺν τῷ ν̄, ἀμφιβεβήκειν.

69. τάλαντα] τὴν τοῦ Διὸς διάνοιαν.

70. ἐν δ' ἐτίθη δύο κῆρε] μίαν ὑπὲρ ἑκατέρου στρατεύματος· καὶ ὅτι τὰς θανατηφόρους μοίρας λέγει. ὁ δὲ Αἰσχύλος νομίσας λέγεσθαι τὰς ψυχὰς, ἐποίησε τὴν Ψυχοστασίαν, ἐν ᾗ ἐστὶν ὁ Ζεὺς ἱστὰς ἐν τῷ ζυγῷ τὴν τοῦ Μέμνονος καὶ Ἀχιλλέως ψυχήν.

73, 74. ἀθετοῦνται, ὅτι ὑπὲρ ἑκάστου στρατεύματος κῆρα ζυγοστατεῖ ὁ Ζεὺς, οὐ πλείους, ὡς ἐπὶ Ἀχιλλέως καὶ Ἕκτορος (Il. 22, 210)· ὁ δὲ διασκευαστὴς ἐξέλαβε πολλάς. εἰ δέ τις δύο ὑπὲρ ἑκατέρου ἵστασθαι φήσει, ῥυόμενος τὴν σύγχυσιν τοῦ δυϊκοῦ σχήματος, ἄλογον· πρὸς τί γὰρ δύο, ἀλλ' οὐ μία;

74. *ἐν ἑνίοις διὰ τοῦ ε ἔζεσθεν.

77. *εἷλεν] ἐν ἄλλῳ, δέος ἦρει.

81. *ἐτείρετο] ἔν τισι τῶν ὑπομνημάτων ἐδάμνατο.

84. καίριόν ἐστι] εὔκαιρον πρὸς θάνατόν ἐστι τοῖς ἵπποις τὸ μέρος τοῦτο, ὅ ἐστιν ἐπικίνδυνον.

85. *βέλος δ'] ὅτι ὁ δέ ἀντὶ τοῦ γάρ· βέλος γάρ.

ἀπέταμνε] δεινός ἐστιν Ὅμηρος καὶ διὰ μιᾶς λέξεως ὅλον τὸν ἄνδρα σημαίνειν· διὰ γὰρ τοῦ ἀπέταμνε τὴν ἀσθένειαν τοῦ γέροντος δηλοῖ καὶ ἐντεῦθεν τὸ βραδὺ τῆς ἐνεργείας. προσηκόντως οὖν ἐπὶ τοῦ πρεσβύτου ἐχρήσατο τῷ παρατατικῷ χρόνῳ, εἰπὼν τὸ ἀΐσσων, ἐπὶ δὲ τοῦ νέου Αὐτομέδοντος (Il. 16, 474) τῷ συντελικῷ, εἰπὼν ἄϊξε καὶ ἀπέκοψε, συντόμως τὸ πρᾶγμα δηλῶν.

87. παρηορίας] τὰς τοῦ παρηόρου ἵππου ἡνίας, τὰς παραζεύξεις, ὅ ἐστι τοὺς ἔξωθεν παρατεταμένους ἱμάντας.

*παρηορίας] ὡς παρηγορίας.

*ἡνίοχον] ὅτι τὸν παραιβάτην Ἕκτορα ἡνίοχον εἶπεν.

93. πολυμήχαν' Ὀδυσσεῦ] πρὸς ἐπιστροφὴν τὸ ἐπίθετον τέθειται· δεῖ γὰρ τὸν στρατιώτην τοιοῦτον εἶναι. γεωργὸς μὲν γὰρ ἀπὸ τοῦ καλῶς ἐν πόᾳ τὴν ἅρπην καὶ τὰ ἄλλα τῆς γεωργίας ὅπλα κινεῖν γινώσκεται, κυβερνήτης δὲ ἀπὸ τοῦ πόδα νηὸς ἰθύνειν καλῶς, τέκτων ἀπὸ τῆς εὐθεσίας τῶν λίθων καὶ τῆς εὐπριστίας τῶν ξύλων καὶ τῆς

1. γρ. σὺν τῷ ν̄ ἀμφιβεβήκειν etiam in marg.

4. ἐν δ' ἐτίθη] Sic A in lemmate: ἐν δὲ τίθει in textu.

20. *σημαίνειν] σημαίνει

29. *τέθειται—πολυπειρίας] om.

κλίνης καὶ τοῦ δουρείου ἵππου, ναυπηγὸς ἀπὸ τῆς σχεδίας, κυνηγὸς ἀπὸ τῆς κυνηγεσίας καὶ τῆς ὀρεσινομίας, μάντις ἀπὸ τῶν ἐκβάσεων, μάγειρος ἀπὸ τοῦ ὡς δεῖ ὀπτᾶν καὶ δαιτρεύειν, ἰατρὸς ἀπὸ τοῦ νόσους γινώσκειν καὶ τάμνειν ἰούς, μουσικὸς καὶ ἀοιδὸς ἐξ ᾠδῶν κάλλους καὶ μύθων, πύκτης καὶ παλαιστὴς ἐξ εὐστροφίας καὶ χειρῶν συμπλοκῆς, τοξότης ἀπὸ διασκέψεως ἀρίστης, ἀκοντιστὴς ἀπὸ τοῦ εὖ πάλλειν τὸ δόρυ, ῥήτωρ ἀπὸ πιθανότητος, στρατηγὸς ἀπὸ φρονήσεως καὶ ἀνδρείας, στρατιώτης ἀπὸ πολυμηχανίας καὶ πολυπειρίας. ἔστι δὲ γεωργὸς μέν· "ἐν ποίῃ δρέπανον μέν" (Od. 16, 368). β. κυβερνήτης· "αἰεὶ γὰρ πόδα νηός" (Od. 10, 32). γ. τέκτων ἀπὸ τῆς κλίνης (Od. 23, 189). δ. ναυπηγὸς ἀπὸ τῆς σχεδίας (Od. 5, 243). ε. κυνηγὸς ἀπὸ τοῦ Παρνασσοῦ (Od. 19, 430). ϛ. μάντις· "φήμην τίς μοι φάσθω" (Od. 20, 100). ζ. μάγειρος· "δαιτρεῦσαί τε καὶ ὀπτῆσαι" (Od. 15, 323). η. ἰατρός· "ὄφρα οἱ εἴη ἰοὺς χρίεσθαι" (Od. 1, 262). θ. μουσικός· "μῦθον ὥστ' ἀοιδός" (Od. 11, 368). ι. πύκτης· "πὺξ μὲν ἐνίκησα Κλυτομήδεα" (Il. 23, 634). ια. παλαιστής· "Ἄγκαῖον δὲ πάλῃ Πλευρώνιον" (ib. 635). ιβ. δισκευτὴς παρὰ Φαίαξιν (Od. 8, 186). ιγ. τοξότης· "εὖ μὲν τόξον οἶδα" (ib. 215). ιδ. ἀκοντιστής· "δουρὶ δ' ἀκοντίζω" (ib. 229). ιε. ῥήτωρ· "καὶ ἔπεα νιφάδεσσιν ἐοικότα" (Il. 3, 222). ις. ἀστρολόγος· "Πληϊάδας θ' ὁρόωντι" (Od. 5, 272).

94. μετὰ νῶτα βαλὼν, κακὸς ὣς, ἐν ὁμίλῳ] βραχὺ διασταλτέον ἐπὶ τὸ βαλών, εἶτα κακὸς ὥς· χωριζόμενον σαφέστερον ποιεῖ τὸν λόγον. ἀμφίβολον δέ ἐστι καὶ οὕτως τὸ λεγόμενον· ἤτοι γὰρ ὡς δειλὸς ἐν πλήθει φεύγεις, οἷον μετὰ ταραχῆς, ἢ ὡς ἐν ὄχλῳ εὐπερικαλύπτως· ἢ τὸ ἑξῆς ἐστὶ, πῇ φεύγεις ἐν ὁμίλῳ, οἷον καὶ σὺ μετὰ τοῦ πλήθους ὡς εἷς τῶν πολλῶν.

95. τινὲς διαστέλλουσιν ἐπὶ τὸ φεύγοντι. κἂν συνάπτωμεν δὲ ὅλον τὸν στίχον, σαφὴς ἡ διάνοια. ἴσμεν γὰρ ὅτι οὐ τὸ μετάφρενον φεύγει.

9. *γεωργὸς μὲν] μὲν om.
12. φήμην] φημι
14. εἴη] ει
19. ἀκοντίζω] ἀκοντίζων
20. *ἔπεα—ις'] om.
22. βαλὼν—χωριζόμενον Lehrsius] βαλὼν, καὶ ὡς χαριζόμενος
25. εὐπερικαλύπτως Lehrsius] ἀπαρακαλύπτως
28. ἐπὶ τὸ Bekk.] ἐπὶ τῷ
κἂν Bekkerus] καὶ
29. σαφὴς ἡ διάνοια addidit Friedl.
γὰρ addidit Vill.

97. οὐδ' ἐσάκουσεν] οὐδὲ ἤκουσεν. ἐζήτηται δὲ πότερον οὐκ ἀντελάβετο καθόλου τῆς φωνῆς διὰ τὸν θόρυβον, ἢ ἀκούσας παρεπέμψατο· ὅπερ δέχεται ὁ Ἀρίσταρχος.

οὐδ' ἐσάκουσε] πρὸς τὸ ἀμφίβολον, πότερον οὐκ ἀντελάβετο καθόλου τῆς φωνῆς διὰ τὸν θόρυβον, ἢ ἀκούσας παρεπέμψατο· ὅπερ δέχεται ὁ Ἀρίσταρχος.

ἐζήτηται δὲ πότερον ἄρα οὐδ' ὅλως ἤκουσεν ὁ Ὀδυσσεὺς, ἢ οὐκ ἐπείσθη. ῥητέον ὅτι οἱ λέγοντες ὅτι ἀκούσας οὐκ ἐπείσθη δειλίαν τοῦ ἥρωος κατηγοροῦσιν ἀγνοοῦντες τὸ "οὐδ' ἐσάκουσεν." οὐ γὰρ τὸ παρακοῦσαι, ἀλλὰ τὸ μὴ αἰσθέσθαι τελείως δηλοῖ· καὶ γὰρ οὐκ ἦν δειλὸς τῶν ἄλλων ἔσχατος φεύγων καὶ τῇ βραδυτῆτι τὸ φιλοκίνδυνον ἐπιδεικνύμενος.

99. *αὐτός] ὅτι ἐν ἴσῳ τῷ μόνος.

103. *γῆρας ὀπάζει] οὕτως Ἀρίσταρχος ὀπάζει· ὁ δὲ Ἰξίων ἐπείγει.

*ἐν ἄλλῳ γῆρας ἱκάνει.

104. ἠπεδανὸς] ἀσθενὴς, ἢ ἄτεχνος, οἱονεὶ ἀπεδανός, ὁ μὴ δυνάμενος δι' ὑπερβολὴν ἀσθενείας ἐν τῷ πέδῳ (ὅ ἐστιν ἐδάφει) στῆναι. ἔμπεδος γὰρ λέγεται ὁ ἐν τῷ πέδῳ δι' ἰσχὺν ἑστώς.

106. *ὅτι ἐλλείπει ἡ διά.

βραχὺ διασταλτέον ἐπὶ τὸ ἵπποι· μᾶλλον γὰρ ἐμφαίνει τὴν τοῦ εἰσίν ἔλλειψιν. καὶ ἄλλως συναπτόμενον ἀκατάλληλόν ἐστι τὸ ἐπιστάμενοι. οὐ μὴν ἡ διά πρόθεσις ἐνταῦθα λείπει, ἵν' ᾖ διὰ πεδίου, ἀλλὰ τὸ ἑξῆς ἐστὶν ἔνθα καὶ ἔνθα πεδίου. τοιοῦτο καὶ τὸ ἐν τῷ ἕκτῳ "πολλὰ δ' ἄρ' ἔνθα καὶ ἔνθα ἴθυσε μάχη πεδίοιο" (Il. 6, 2).

107. κραιπνὰ μάλ' ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεσθαι] ὅτι ἀντὶ τοῦ φεύγειν ἀεὶ τὸ φέβεσθαι παρ' αὐτῷ, καὶ ὅτι ἐντεῦθεν τὸ "φόβον Ἄρηος φορεούσας" (Il. 2, 767).

108. οὕς ποτ' ἀπ' Αἰνείαν ἐλόμην] ἀθετεῖται, ὅτι ἄτοπον προστι-

1. ἐζήτηται] ἐξηγεῖται A. Correctum ex scholio proximo.

5. παρεπέμψατο] γὰρ ἐπαρεπέμψατο A. Correctum ex scholio proximo.

7. *ἐζήτηται] ἐξηγεῖται

8. *ῥητέον—ἐπείσθη] om.

19. *δι'] δὲ

21. τὸ Bekk.] τῷ

24. τοιοῦτο καὶ τὸ ἐν τῷ ἕκτῳ "πολλά"] τοιούτῳ καὶ τὸ ἑβδόμῳ πολλὰ A. Bekkerus scripserat τοιοῦτο καὶ τὸ πολλά.

θέναι τὴν ἱστορίαν τῷ εἰδότι, καὶ ὁ καιρὸς δεῖται συντομίας· καὶ ὅτι τὸ ποτέ χρονικὴν ἔχει ἔμφασιν, τῆς ἀφαιρέσεως γεγονυίας τῇ πρὸ ταύτης ἡμέρᾳ.

109. *Ἀρίσταρχος κομείτων.

τούτω μὲν θεράποντε] ὅτι τετήρηται παρ' αὐτῷ καθαρῶς τὰ δυϊκά, καὶ νῦν ὡς ἐπὶ δύο ἵππων διαλέγεται.

τώδε] παροξύνεται τὸ τώδε παραλόγως· ἀληθὲς γὰρ ὡς ὅτι τὰ διὰ τοῦ δε ἐπεκτεταμένα, εἰ ἔχοι πρὸ τέλους φύσει μακράν, προπερισπᾶται. ὅπερ ὤφειλε κἀπὶ τοῦ τώδε δὲ νῶϊ εἶναι, ἀλλ' ὅμως πάλιν ἐπεκράτει καὶ ἐπὶ τούτου πρὸ τέλους ἡ ὀξεῖα. ταῦτα ὁ Ἡρωδιανὸς ἐν τῇ ζ', ὅπου περὶ τοῦ ἰῷ διαλαμβάνει.

114. *Εὐρυμέδων] ὅτι ὁμώνυμος οὗτος τῷ Ἀγαμέμνονος ἡνιόχῳ (Il. 4, 228).

116. *φοινικόεντα] ἐν ἄλλῳ σιγαλόεντα.

118. *ἰθὺς μεμαῶτος] ἄντικρυς βουλευομένου ὁρμᾶν.

124. *ὅτι ἐλλείπει ἡ περί, καὶ ὅτι ἀντὶ τοῦ Ἕκτορος φρένας.

125. καὶ ἀχνύμενός περ ἑταίρου] οὐκ ἔστιν ἡ περὶ πρόθεσις, ἀλλ' ὁ πέρ σύνδεσμος ἐναντιωματικὸς καὶ ἐγκλιτικός· διὸ τὸ τέλος τῆς μετοχῆς ὀξυτονητέον.

*ἑταίρου] ὅτι καὶ ἐνθάδε λείπει ἡ περί.

128. Ἀρχεπτόλεμον] ὅτι Ζηνόδοτος ἐνθάδε μὲν γράφει Ἐρασιπτόλεμον, ἐν δὲ τοῖς μετὰ ταῦτα εἴασεν Ἀρχεπτόλεμον.

130. *ἔργα γένοντο] ὅτι κατὰ τοῦ οὐδετέρου τὸ πληθυντικὸν, ὡς "σπάρτα λέλυνται" (Il. 2, 135).

131. σήκασθεν] εἰς σηκὸν κατεκλείσθησαν. σηκὸς δὲ εἴρηται οἱονεὶ στηκός τις ὤν, ἀπὸ τοῦ ἵστασθαι ἐν αὐτῷ τὰ θρέμματα. ἔνθεν καὶ οἱ νεώτεροι τῶν ποιητῶν σηκὸν λέγουσι τὸν ναὸν, ἀπὸ τοῦ ἵστασθαι ἐν αὐτῷ τὰ ἀγάλματα.

ὅτι τὸ σήκασθεν αὐτὸς ἐπεξηγεῖται εἰπὼν ἠὔτε ἄρνες.

133. βραχὺ διασταλτέον ἐπὶ τὸ δεινόν· κεῖται γὰρ ἀντὶ μεσότητος, δεινῶς βροντήσας. ἐπὶ δὲ τοῦ κεραυνοῦ ἓν ἀρκεῖ ἐπίθετον τὸ ἀργῆτα.

135. *θεείου καιομένοιο] τοῦ κεραυνίου πυρός.

4. κομείτων] κομείτων A in textu. Scribe Ἀρίσταρχος κομείτην et refer ad versum 113, ubi alii legebant θεράποντ' ἐκομείτην. COBET.

10. ἐπεκράτει Bekkerus] κατ' ἐπικρατεῖ

θεείου] θείου. προσληπτέον δὲ κεραυνοῦ· ὅπου γὰρ ἂν κεραυνὸς πέσῃ, ὡς θεῖον ὄζει ἐν ἐκείνῳ τῷ τόπῳ.

137. *Ἀρίσταρχος φύγον, ἄλλοι δὲ φύγεν. ἐν ἄλλῳ δὲ τὸ φοινικόεντα.

139. φόβονδ' ἔχε] ὅτι πάλιν φόβον τὴν φυγήν· καὶ ὅτι Ζηνόδοτος γράφει ἄγε νῦϊ φόβονδε, ὅ ἐστιν ἡμεῖς ἢ ἡμᾶς, ὧν οὐδέτερον ἁρμόζει.

143. ὁ λόγος· οὐδεὶς ἀνὴρ τὸν τοῦ Διὸς νόον ἐπισπάσαιτο ἢ φυλάξαιτο, ὥστε τὰ συμφέροντα αὐτῷ γενέσθαι.

149. *φοβούμενος] ὅτι σαφῶς ἀντὶ τοῦ φεύγων.

150. ἀπειλήσει] καυχήσεται, κομπάσει. σημαίνει δὲ ἡ λέξις πλείονα· ἐπὶ καυχήσεως μέν, ὡς νῦν· ἐπὶ δ' εὐχῆς, ὡς ἐν ἐκείνοις "οὐδ' ἠπείλησεν ἄνακτι" (Il. 23, 863)· ἐπὶ δ' ὀργῆς, ὡς ἐν τῷ "ἠπείλει κἀκεῖνος ἐναντίον πολεμίζων ἐνθάδ' ἐλεύσεσθαι" (Il. 15, 179).

*τότε μοι χάνοι εὐρεῖα χθών] τότε ἡ γῆ χανοῦσα εὐρέως δέξαιτό με.

ὅτι οὐκ ἐν τῷ καθόλου εὐρεῖαν λέγει, ἀλλ' ἐμοὶ εὐρεῖα ἡ γῆ γένοιτο, ἀντὶ τοῦ εὐρὺ χάσμα ποιήσειεν.

152. *ἐπὶ τὸ δαΐφρονος στικτέον· μᾶλλον γὰρ ἐμφαίνει.

157. φύγαδε] ὡς ἄλαδε· καὶ ἤτοι τὴν φυγὴν φύγα εἶπεν, ὡς τὴν σκέπην σκέπα· ἢ ὡς τὸ οἴκονδε οἴκαδε, οὕτως φυγήνδε φύγαδε.

*τράπε] οὕτως διὰ τοῦ ᾱ τράπε αἱ Ἀριστάρχου.

161. ἡ σέ ἐγκλιτική ἐστιν· ἀπολέλυται γὰρ νῦν. καὶ τὸ τίον δὲ ποιητικώτερον ἀπέβαλε τὸν κατ' ἀρχὴν χρόνον, διὸ ἐπὶ τὴν τι ἡ ὀξεῖα ἵσταται. περὶ δὲ τῶν τοιούτων ῥημάτων ἔφαμεν ὅτι ἴση ἐστὶν ἡ χρῆσις παρὰ τῷ ποιητῇ.

163. ἀντ'] κακῶς ὅσοι ἀναστρέφουσιν· ἡ γὰρ ἀντ' ἀναστρέφεται οὔποτε. εἰ δὲ τὸ ἄντα ἐπίρρημα ἐκδέχονται, ἐναντίον τῇ διανοίᾳ παραλήψονται.

*Ἀρίσταρχος ἀντιτέτυξο.

164. ἀθετοῦνται στίχοι τρεῖς, ὅτι εὐτελεῖς εἰσὶ τῇ κατασκευῇ, καὶ τὸ "πάρος τοι δαίμονα δώσω" τελείως ἐστὶν οὐ κατὰ τὸν ποιητήν· ἀνάρμοστα δὲ καὶ τὰ λεγόμενα τοῖς προσώποις.

14. πολεμίζων] πτολεμίζων
16. εὐρέως Vill.] εὐμαρῶς
29. οὔποτε Lehrsius] ποτε
31. ἀντιτέτυξο Vill.] ἀντὶ τοῦ τέτυξο

*τούτους καὶ Ἀριστοφάνης ἠθέτηκεν.

166. *δαίμονα δώσω] ἐν τῇ Ζηνοδότου πότμον ἐφήσω.

168. ὅτι ὑποτάσσουσιν "ἢ μήτε στρέψαι μήτ' ἀντίβιον μαχέσασθαι." οὐκ ἔστι δέ· τὸ γὰρ διάνδιχα οὐκ ἔστι δύο ἐμερίμνησεν ἐναντία, ἀλλ' ἐπὶ τὸ αὐτὸ φερόμενα, στρέψαι τοὺς ἵππους καὶ μάχεσθαι.

170. *ἀπ' Ἰδαίων] γράφεται καὶ ἐπ' Ἰδαίων.

171. βραχὺ διασταλτέον ἐπὶ τὸ Τρώεσσιν· αὐτὸ γὰρ τὸ σημεῖον, πρὸς τὸ σημαινόμενον ὑπαντήσας, εἴρηκε νίκην. ἐὰν δὲ συνάπτωμεν, γίνεται σολοικοφανές.

178. ἀβλήχρ'] Ἡρακλείδης ὁ Μιλήσιος βαρύνει ὡς ἄσιτα· λόγῳ δὲ χρῆται τούτῳ, ὡς ὅτι βληχρόν ἐστι τὸ ἰσχυρὸν, ὅπερ κατὰ στέρησιν ὀφείλει λέγεσθαι ἄβληχρος ὡς ἄκακος· σημαίνει γὰρ τὸ ἀσθενές. ἡ μέντοι παράδοσις ὀξύνει τὸ ἀβληχρά καὶ ἀβληχρήν, πεισθεῖσα πρῶτον τῷ παρασχηματισμῷ ὡς ἁπλῷ. οὕτως γὰρ παρεσχηματίσθη, ὡς πενιχρά, ψυχρά, λέγω δὲ θηλυκῶς. οὕτως ἀβληχρά, οὐ κοινωνοῦντός ποτε τοῦ γένους, λέγω δὲ ὁ ἄβληχρος καὶ ἡ ἄβληχρος. ἄλλως τε ἤδη αὐτὸ τὸ βληχρός σημαίνει ὡς ἐπὶ τὸ πλεῖστον μᾶλλον τὸ ἀσθενές. Ἀλκαῖος θ' "βληχρῶν ἀνέμων ἀχείμαντοι πνοαί" καὶ ὁ Νίκανδρος "βληχρὸν γὰρ μυὸς οἷα μυληβόρου ἐν χροΐ νύγμα." τοῦτο δὴ πλεονάσαν τῷ ᾱ φυλάξει τὸν αὐτὸν τόνον λαλητός ἀλαλητός στεροπή ἀστεροπή· οὐκ ἐκεῖνο μέντοι διηνεκὲς λέγομεν ὅτι πλεονασμὸς τοῦ ᾱ φυλάσσει τὸν αὐτὸν τόνον ἀεί. οἶδα γὰρ τὸ ἄβορος, ἄγαυρος, ἀσταφίς.

οὐδενόσωρα] οὐδεμιᾶς φροντίδος ἄξια, ἀπὸ τῶν ὡρῶν· ὥρα γὰρ ἡ φροντίς.

ὡς κυνόσουρα ὑφ' ἓν κατὰ σύνθεσιν, εἰ καὶ σπάνιος ἡ τοιαύτη σύνθεσις ἐξ ἀποφάσεως καὶ συνδέσμου καὶ τῆς ἑνός γενικῆς ἐντελοῦς· οὐδέποτε γὰρ οὕτως αὕτη ἡ γενικὴ συντίθεται· ἀλλ' οἵ γε ποιηταὶ τολμῶσι ξένας συνθέσεις.

185. Ξάνθε τε καὶ σὺ Πόδαργε καὶ Αἴθων Λάμπε τε δῖε]

2. ἐν τῇ Ζηνοδότου] ἐν ζηνοδ̄ A.
20. *πνοαί Eustathius] πνοιαί
21. τοῦτο Bekk.] τούτῳ
22. λαλητὸς—τὸν αὐτὸν τόνον] Haec ex Eustathio supplevit Lehrsius.
24. ἄβορος] Hoc suspectum: v. Lehrs. Herod. p. 242. ἀμαυρός Lobeck. Pathol. Prol. p. 209. ἀσταφίς Lobeck.] ἄσταχυς
31. δῖε] δῖον

ἀθετεῖται, ὅτι οὐδαμοῦ Ὅμηρος τεθρίππου χρῆσιν παρεισάγει. μάχεται δὲ καὶ τὰ ἐπαγόμενα δυϊκὰ, καὶ ἡ προσφώνησις εὐήθης. βραχὺ δὲ διασταλτέον καθ' ἕκαστον ὄνομα. κἂν συνάπτηται δὲ, τὸ ψυχρὸν ἐκεῖνο οὐ δύναται νοεῖσθαι, ὅτι δύο μέν ἐστιν ἐπίθετα, δύο δὲ κύρια, ἐπεὶ οἱ σύνδεσμοι παρακείμενοι χωρίζουσιν αὐτὰ ἀπ' ἀλλήλων· τὰ δὲ κύρια πρὸς τὰ ἐπίθετα οὐδέποτε συνδεῖται.

186. *ἀποτίνετον] ὅτι ἐπὶ δυεῖν ἡ φράσις, ἀλλ' οὐκ ἐπὶ τεσσάρων.

189, 190. τὸ ἑξῆς τοῦτό ἐστιν· ἢ ἐμοί, ὅς πέρ οἱ θαλερὸς πόσις εὔχομαι εἶναι, οἴνόν τ' ἐγκεράσασα πιεῖν ὅτε μοι θυμὸς ἀνώγει. ἰστέον δὲ ὅτι πρὸ τοῦ εὑρεθῆναι τὴν τῶν ποτηρίων χρείαν κέρασιν οἴνόν τ' ἐγκεράσασα ἔπινον.

ἀθετεῖται, ὅτι γελοιότατος ἐπὶ ἵππων ὁ στίχος, ὅτι οἶνον ἵπποι οὐ πίνουσι. καὶ ὅτε θυμὸς ἀνώγοι εἰς μέθην γελοῖον.

*καὶ παρὰ Ἀριστοφάνει ἀθετεῖται.

191. ἐφομαρτεῖτον καὶ σπεύδετον] ὅτι ὡς πρὸς δύο τοῖς δυϊκοῖς σχήμασι χρῆται· διὸ ἀθετητέον τὸν προκείμενον στίχον, ἐν ᾧ τέσσαρά ἐστιν ὀνόματα.

*ὄφρα λάβωμεν] οὕτως Ἀρίσταρχος· ἄλλοι δὲ αἴ κε λάβωμεν.

192. ἀσπίδα Νεστορέην] αὐτὸν τὸν Νέστορα περιφραστικῶς. ἔνιοι δὲ τὸ ὅπλον· ἡφαιστότευκτον γὰρ ἦν.

193. *πᾶσαν] ὅτι ἀντὶ τοῦ ὅλην.

κανόνας] ῥάβδους αἷς ἐκράτουν τὰς ἀσπίδας· οὔπω γὰρ ἐχρῶντο τοῖς πόρπαξιν, οὓς ὄχανα ἐκάλουν· ὕστερον γὰρ οὗτοι ἐπενοήθησαν ὑπὸ Καρῶν, ὡς καὶ Ἀνακρέων φησὶ "καριοεργέος ὀχάνοιο."

195. τὸν Ἥφαιστος κάμε τεύχων] ὅτι ἡφαιστότευκτα τὰ πλα· ἀπὸ γὰρ Γλαύκου ἔλαβεν. καὶ ἀπὸ τῶν ὅπλων ἐπὶ τοὺς ἄνδρας ἀναφέρεται, καὶ οὐκ ἔστιν ἀλληγορία.

199. *μακρὸν Ὄλυμπον] ὅτι μακρὸν Ὄλυμπον ὡς ὄρος.

203. Ἑλίκη πόλις ἐν Πελοποννήσῳ Ποσειδῶνος, ἀφ' ἧς αὐτὸν Ἑλικώνιον ὁ ποιητὴς καλεῖ.

206, 207. Τρῶας ἀπώσασθαι καὶ ἐρυκέμεν εὐρύοπα Ζῆν αὐτοῦ κ'

1. ἀθετεῖται] Hic et in scholio versus 189 in A obeli signo expressum in textu et in scholio.

13. ἀθετεῖται ὅτι addidit Cobetus.

14. εἰς] οἷον εἰς Lehrsius.

ἔνθ' ἀκάχοιτο] ἡ διὰ τὸν εἰ σύνδεσμον ἀποτελουμένη ὑποστιγμὴ πίπτει μετὰ τὸ Ζῆν' ὄνομα. ἀλλ' εἰ μὲν ἐκ πλήρους ἔκειτο, οὐδὲν ἂν ἐζητεῖτο· ἐπεὶ δὲ συνήλειπται καὶ ὑπὸ τῶν γραμματικῶν μετενήνεκται τὸ ν̄ εἰς τὸν ἑξῆς στίχον, δύο παρηκολούθησεν ἄλογα, ἓν μὲν ὅτι μεταξὺ μιᾶς συλλαβῆς τῆς ναῡ ὑποστιγμὴ πέπτωκεν, καὶ αὕτη χρόνου ἔχουσα διάστημα, ᾧ παραπλήσια κἀκεῖνα "ὣς ἔφαθ', αἱ δ' ἐπέμυξαν" (Π. 4, 20)· "ὣς ἔφαθ', οὐδ' ἀπίθησεν" (Π. 2, 166)· ἕτερον δὲ ὅτι συμβήσεται κατ' ἀρχὰς τοῦ στίχου μετὰ τὸ ν̄ μόνον στοιχεῖον διάστημα εἶναι τῆς ὑποστιγμῆς.

*πρὸς τὴν συναλοιφὴν ἀντὶ τοῦ Ζῆνα.

αὐτοῦ κ' ἔνθ' ἀκάχοιτο καθήμενος] ὅτι Ζηνόδοτος ἀνάπαλιν αὐτοῦ κ' ἔνθα κάθοιτ' ἀκαχήμενος.

209. ἀπτοεπές] ὅτι δασύνουσιν ἀπτοεπές, καθαπτομένη τοῖς ἔπεσιν. Ἀρίσταρχος δὲ ψιλοῖ. ἐμφαντικώτερον δὲ τὸ ψιλοῦν, καὶ ἴσως ἦν παρὰ τὸ πτοεῖσθαι, ἡ ἄγαν πτοοῦσα. ἢ παρὰ τὸ ἀπτὸν τὸ ἰσχυρόν, ὥστε εἶναι δεινοεπές.

213. *διχῶς Ἀρίσταρχος, καὶ ἔεργε καὶ ἔρυκε.

τῶν δ' ὅσον ἐκ νηῶν ἀπὸ πύργου τάφρος ἔεργεν] διχῶς αἱ Ἀριστάρχου, ἔεργεν καὶ ἔρυκεν. καὶ τὸ δι' ἀμφοτέρων σημαινόμενόν ἐστι τοιοῦτον· τῶν Ἀχαιῶν ὅσον ἀπὸ τοῦ τείχους ἡ τάφρος ὥριζεν, ἐπλήθυεν ὁμοίως ἵππων καὶ ἀνδρῶν συνελαυνομένων καὶ συνειργομένων ὑπὸ τοῦ Ἕκτορος. Ζηνόδοτος δὲ γράφει τῶν δ' ὅσον ἐκ νηῶν ἀπὸ πύργου τάφρος ἔεργεν. ἔνιοι δὲ τὰ δύο διαστήματα πεπληρῶσθαί φασι τῶν Ἑλλήνων, τό τε ἀπὸ τῶν νεῶν ἕως τοῦ τείχους καὶ τὸ ἀπὸ τοῦ τείχους ἕως τῆς τάφρου, ὃ δὴ στεῖνος προσαγορεύει.

1. ἡ Bekkerus] εἰ
2. Ζῆν'] ζῆν
3. συνήλειπται Bekkerus] συνείληπται
11. αὐτοῦ] ν αὐτοῦ, quod est εὐρύοπα Ζῆ | ν' αὐτοῦ
αὐτοῦ κ' Lehrsius] τοῦ κ'
13. ὅτι δασύνουσιν] Legendum videtur ἀπτοεπές: ἡ διπλῆ ὅτι ἅπαξ εἴρηται τὸ ἀπτοεπές. Quod Aristonici scholion fuit. Tum sequitur aliud, ἀπτοεπές: δασύνουσιν—. COBET.
19. σημαινόμενον] σημαινομένων
22. Post Ἕκτορος pergit A τάφρος ἔεργε: διχῶς αἱ Ἀριστάρχου, ἔεργε καὶ ἔρυκε. καὶ τὸ δι' ἀμφοτέρων σημαινομένων ἐστὶν τοιοῦτον· τῶν ὅσον ἀπὸ τοῦ τείχους ἡ τάφρος. ὥριζεν ἐπλήθυεν ὁμοίως ἵππων καὶ ἀνδρῶν συνελαυνομένων καὶ συνειργομένων ὑπὸ τοῦ Ἕκτορος. Ζηνόδοτος δὲ γράφει τῶν δ' ὅσων ἐν (sic) νηῶν καὶ (sic) καὶ πύργου, omissis post πύργου verbis τάφρος ἔεργεν. Librarius quum lemma scholii repetivisset, omnia denuo descripsit.
24. *τὸ ἀπὸ] τὸ om.
25. ὃ] ᾧ

ἄλλως. ὅτι ἔν τισι γράφεται ἀπὸ τάφρου πύργος ἔεργεν. οὐ δύναται δὲ τὸ ἐκ νηῶν συναφὲς εἶναι τῷ ἀπὸ τάφρου· πρὸς γὰρ ταῖς ναυσὶ μᾶλλον ὁ πύργος ἢ ἡ τάφρος· καὶ ἔστι τὸ λεγόμενον, τὸ μεταξὺ τοῦ τείχους καὶ τῆς τάφρου πλῆρες ἦν ἵππων καὶ ἀνδρῶν. ἐκ νηῶν δὲ λέγει ἀπὸ τοῦ κατὰ τὰς ναῦς τόπου. σημειωτέον δὲ ὅτι μεταξὺ τοῦ τείχους καὶ τῆς τάφρου διάστημα ἀπελείπετο κατὰ τὴν τοποθεσίαν τῆς νεωλκίας.

βραχὺ διασταλτέον ἐπὶ τὸ νηῶν. σαφεστέραν γὰρ ποιεῖ τὴν διάνοιαν, τοιαύτην οὖσαν· ὅσον ἡ τάφρος ἀπέχει τοῦ τείχους καὶ τῶν νηῶν, τοῦτο πλῆρες ἦν πεζῶν τε καὶ ἵππων, λείποντος τοῦ καί συνδέσμου· τὸ γὰρ ἔεργέν ἐστι περιώριζεν. ἐντὸς τῶν τε νηῶν καὶ τοῦ τείχους μεταξὺ κενὸν ἦν εἰς δίοδον, τὸ μὲν πλάτος πλεθριαῖον ὑπάρχον, τὸ δὲ μῆκος δι' ὅλου τοῦ ναυστάθμου. πάλιν δὲ οὕτως τοῦ τείχους ἐκτὸς ἦν διάστημα βραχύ, μεθ' ὃ ἡ τάφρος ὤρυκτο. τοσοῦτον μέντοι εἰκάζει τὸ διάστημα ἐκεῖνο ὡς ἐντὸς βέλους εἶναι τὴν τάφρον, καὶ ἐφικνεῖσθαι τὰ βαλλόμενα τοῦ τείχους ἀπὸ τῶν ἐπιόντων. ἀμφότερα οὖν τὰ διαστήματα ἑκατέρωθεν τοῦ τείχους, τὸ μὲν πρὸς τὴν τάφρον, τὸ δὲ πρὸς τὰς ναῦς ἐπεπλήρωτο. οὕτως Νικάνωρ.

217. κηλέῳ] ὡς μελέῳ. γέγονε δὲ παρὰ τὸ κᾶλον καὶ κῆλον κήλειον, ὡς παρὰ τὸ μῆλον μήλειον δέρος, καὶ Ἰωνικῶς κήλεον καὶ κηλέῳ. ἐκεῖνο γοῦν ἐντελές ἐστι τὸ "σὺν πυρὶ κηλείῳ χάριν Ἕκτορος" (Il. 15, 744).

221. πρὸς τὸ ἔχων ἐν χειρί, τί ποτε σημαίνει; ὁ μὲν Ἀπολλόδωρος, ὅτι περιειλήσας εἶχεν ἐν τῇ χειρί· ὁ δὲ Διονύσιος, πρὸς τὸ κατασείειν εὐθέτως λαβόμενος τοῦ φάρους. φᾶρος δέ ἐστι πορφυροῦν ἱμάτιον, ὃ μεταχειρίζεται ὁ βασιλεὺς ἕνεκα τοῦ εὐχερῶς ἑαυτὸν σημᾶναι τοῖς Ἕλλησιν, ἐπειδὴ ἀδύνατον ἦν διὰ βοῆς αὐτοὺς καταστεῖλαι.

223. πρὸς τὴν τάξιν τῆς νεωλκίας ἡ παρατήρησις, καὶ πρὸς τὸ γεγωνέμεν, ὅτι οὐ ψιλῶς ἐστὶ φωνεῖν, ἀλλ' ἀκουστὸν φθέγγεσθαι.

229. ὅτε δὴ φάμεν] οὐκ ἀναγκαῖον ὀξύνειν τὸν δή, ἵνα κρᾶσις γένηται, ὁμοίως τῷ "μήτε σὺ Πηλείδῃθελε" (Il. 1, 277)· ἐπὶ

1. οὐ addidit Lehrsius.
7 et 29. νεωλκίας] νεολκίας
15. ἐντὸς Friedl.] ἑνὸς
20. παρὰ τὸ] ^{α}π
κήλειον—μήλειον] κηλὶ—μηλὶ
24. χειρί] χειρίας
25. εὐθέτως Friedl.] εὐθέες

μὲν γὰρ τοῦ ἐθέλω πᾶσα ἀνάγκη τὸ ε̄ μένειν κατὰ τὸν ποιητήν, ὡς εἴρηται· ἐπὶ δὲ τούτου τοῦ παρῳχημένου δύναται ποιητικῶς ἀποβεβλῆσθαι τὸ ε̄, ὥστε ἐπὶ τὴν φᾱ συλλαβὴν θετέον τὴν προσῳδίαν, καὶ ἔστιν ὅμοιον τῷ ἐν Ὀδυσσείᾳ "Τηλεμάχῳ ὁδὸς ἥδε· φάμεν δέ οἱ οὐ τελέεσθαι" (Od. 16, 347).

230. ἃς ὁπότ' ἐν Λήμνῳ] ὅτι τοῦτο γινόμενον μὲν οὐ παρέστησεν, ὡς γενόμενον δὲ παραδίδωσιν.

*τὸ ὁπότε ἀντὶ τοῦ ὅτε.

*ἠγοράασθε] ἐν ἄλλῳ εὐχετάασθε.

231. ἀθετεῖται, ὅτι περιττὸς ὁ στίχος· ἐκ γὰρ τοῦ πίνειν, οὐκ ἐκ τοῦ ἐσθίειν τὸ καυχᾶσθαι συμβαίνει.

233. *Τρώων ἀνθ' ἑκατόν] πρὸς τὴν ἀνάγνωσιν, ὅτι οὕτως προενεκτέον.

Τρώων ἄνθ' ἑκατόν τε] ἐπὶ τὴν ανθ̄ συλλαβὴν ἡ ὀξεῖα, ἵνα τὸ πλῆρες ᾖ ἄντα. οὕτως δὲ ἀξιοῖ Δημήτριος ὁ γονύπεσος· καὶ ἐμοὶ δὲ οὕτως ἀρέσκει. τὸ τῆς διανοίας, ἄντικρυς γὰρ Τρώων ἑκατὸν καὶ δικοσίων εἷς ἕκαστος στήσεσθαί φησιν. οὐ γὰρ κωλύεται ἡ τοῦ ἄντα σύνταξις, εἴ γε ἐπὶ γενικὴν φέρεται.

235. Ἕκτορος ὃς τάχα νῆας] ὅτι ἐκλύει καὶ ἀπαμβλύνει τὸν ὀνειδισμὸν ὁ στίχος· κρείσσων γὰρ καθολικώτερον ἔασαι, οὐδήποτε ἀνδρὸς, ἀλλ' οὐχὶ τοῦ διαφορωτάτου.

ἧττον ἄν φησιν Ἀρίσταρχος ὀνειδιστικὸν εἶναι, εἴπερ οὕτως ἐγέγραπτο "Ἕκτορος, ᾧ δὴ κῦδος Ὀλύμπιος αὐτὸς ὀπάζει." ἠθέτητο δὲ καὶ παρὰ Ἀριστοφάνει.

239. ἔρρων] ὅτι τὸ ἔρρων οὐκ ἔστι ψιλῶς παραγινόμενος, ἀλλὰ μετὰ φθορᾶς· δυσαρεστεῖ γὰρ τῇ παρουσίᾳ.

240. δημόν] δημόν Ἀρίσταρχος κατ' ὀξεῖαν τάσιν ἐπὶ τοῦ λίπους· τὸ γὰρ ἐπὶ τοῦ πλήθους βαρύνει. οὕτως καὶ ὁ Ἀσκαλωνίτης, λέγων τὸ μὲν παρὰ τὸ δέμας γεγενῆσθαι, οἱονεὶ σῶμά τι τυγχάνον, ἢ παρὰ τὸν δασμόν· τὸ δὲ ἐπὶ τοῦ λίπους παρὰ τὸ δαίω· εὔκαυστον γὰρ τὸ λίπος. δύναιτο δ' ἄν τις καὶ ἄλλως ἐτυμολογεῖν, εἰ παρὰ τὸ δέω

4. Τηλεμάχῳ — τελέεσθαι] τηλέμαχος δ' ὡς εἶδεν, φάμεν δέ οἱ οὐ τελέομεν

8. ὅτε] *ποτέ

10. ὅτι, quod Cobetus addidit, refertur ad obelum in textu et in scholio praescriptum, pro quo ἀθετεῖται posui.

15. γονύπεσος] γόνυπεσὸς (sic) A.

19. ὀβελὸς in textu praefixus, i. e. ἀθετεῖται.

γένοιτο, δέεμος, καὶ ἐν συναλοιφῇ δῆμος, τὸ συνδεδεμένον πλῆθος· τὸ γὰρ ἐναντίον λύη ἀπὸ τῆς διαλύσεως.

246. *ἀπολέσθαι] Ἀρίσταρχος ἀπολεῖσθαι.

247. τελειότατον] μέγιστον, ἢ ἐντελῆ σημεῖα φαίνοντα, ἐπιτελεστικώτατον. λέγεται δὲ κατὰ τὴν τοῦ Διὸς γένεσιν τὸν ἀετὸν γεννηθῆναι, ἔν τε τῇ πρὸς τοὺς γίγαντας μάχῃ παραπτῆναι· διόπερ ἐν τῇ διανεμήσει τῶν πτηνῶν Ζεὺς τὸν ἀετὸν εἵλετο, ᾧ καὶ προστάττει καὶ ἀγγέλῳ αὐτῷ χρῆται πρὸς ἐκείνους οὓς ἐπιφανείας ἀξιοῖ· ὅθεν καὶ ἀετὸς ἐκλήθη, οὐχ ὥς τινες παρὰ τὸ ἀΐσσειν, ἀλλὰ παρὰ τὸ τὸ ἐτεὸν δηλοῦν, τὸ ἀληθές.

249. *κάββαλε νεβρόν] ἐν ἄλλῳ θήκατο νεβρόν.

250. τινὲς τῷ ὑπὸ πάντων φωνουμένῳ, παρόσον αὐτός ἐστιν ὁ ἀήρ.

ὅτι οὐκ ἔστι καθολικὸν ἐπίθετον ὁ πανομφαῖος, ὁ κληδόνιος καὶ πάσης κληδόνος παραίτιος· καὶ ὅτι ἅπαξ ἐνταῦθα τὸ ἐπίθετον.

257. *φύγαδε ὡς οἴκαδε.

260. *ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ] ἐν ἄλλῳ ὑπερώησαν δέ οἱ ἵπποι.

261. *τάφρον ἐξήλασαν δηλονότι.

266. ὅτι πάντων ὑποστρεψάντων μόνος ὁ Ὀδυσσεὺς παρέμεινε πρὸς ταῖς ναυσὶν, ὥστε τὸ ἐπάνω εὐκρινὲς γίνεσθαι, τὸ "ὣς ἔφατ' οὐδ' ἐσάκουσεν" (97), ὅτι ἑκουσίως παρεπέμψατο.

*παλίντονα τόξα τιταίνων] εἰς τοὐπίσω τεινόμενα· εἶδος δὲ τοξείας.

267. *στῆ δὲ παρ' Αἴαντος] γρ. στῆ δ' ἄρ' ὑπ' Αἴαντος.

269. βραχὺ διασταλτέον ἐπὶ τὸ παπτήνας, ὑποστικτέον δὲ ἐν ὑποκρίσει βεβλήκει.

270. *βεβλήκει] Ἀρίσταρχος βεβλήκοι.

*ὅτι σαφῶς ἀντὶ τοῦ ἐκ βολῆς ἐπιτύχοι.

276. Πολυαιμονίδην Ἀμοπάονα καὶ Μελάνιππον] ψιλωτέον πάντα, ἵνα κύρια γένηται· παραιτητέον δὲ τοὺς διαλύοντας τὸ Ἀμοπάονα· πιθανώτερον γάρ ἐστι κύριον αὐτὸ παραλαβεῖν, ἵνα τὸ προκείμενον αὐτοῦ πατρωνυμικὸν τυγχάνῃ.

2. λύη Lehrs. Herod. p. 245] λύει
7. ᾧ] ὃ
9. τὸ τὸ Bekk.] τὸ
14. κληδόνιος—κληδόνος] κληδώνιος—κληδῶνος
23. τεινόμενα Lehrsius] τεινομένων

*Ἀμοπάονα] τὸ Ἀμοπάονα ἐν ἑνὶ μέρει λόγου ἀναγνωστέον. κύριον γάρ.

283. ἡ σέ ἀντωνυμία ἐγκλιτική ἐστι· τὸ δὲ ὅ παρὰ τῷ ποιητῇ κείμενόν ἐστιν ἀντὶ τοῦ ὅς.

284. παρὰ Ζηνοδότῳ οὐδὲ ἦν· ἠθέτητο δὲ καὶ παρὰ Ἀριστοφάνει, ὅτι ἄκαιρος ἡ γενεαλογία, καὶ οὐκ ἔχουσα προτροπὴν, ἀλλὰ τοὐναντίον ὀνειδισμὸν καὶ ἀποτροπήν.

Ἡρακλῆς, πορθήσας Ἴλιον, Ἡσιόνην τὴν Λαομέδοντος θυγατέρα, Πριάμου δὲ ἀδελφὴν ἔλαβεν αἰχμάλωτον, καὶ ἔδωκεν αὐτὴν γέρας Τελαμῶνι ὡς συστρατεύσαντι αὐτῷ, ἀφ' ἧς ἔσχε Τεῦκρον ὁ Τελαμών. ὡς οὖν ἀπὸ Τρωϊκῆς γυναικὸς τεχθέντα τὸν παῖδα Τεῦκρον ἐκάλεσαν, προαναπέμψαντες τὸν τόνον καὶ ποιήσαντες κύριον· Τευκροὶ γὰρ οἱ Τρῶες ἀπὸ τοῦ βασιλεύοντος αὐτῶν Τεύκρου· ἡ δὲ ἱστορία ἀκριβέστερον εἴρηταί παρά τε ἄλλοις πολλοῖς καὶ παρὰ Ἀπολλωνίῳ τῷ γραμματικῷ ἐν τῷ δευτέρῳ τῶν γενῶν. ἐζήτηται δὲ πῶς ἐξ ἁπάντων ἐπαινέσας τὸν Τεῦκρον νῦν ἐπιφέρει νόθον. ἡμεῖς δέ φαμεν τοῦτο μὴ εἶναι πρὸς αἰσχύνης διὰ τὸ παρὰ τοῖς παλαιοῖς ἔθος κρατοῦν· ἐτίμων γὰρ τοὺς νόθους ἐπ' ἴσης τοῖς γνησίοις. ἄλλως τε εἰ καὶ αἰχμάλωτος ἡ Ἡσιόνη, ἀλλὰ βασιλίς. ἔτι δὲ καὶ αὐξήσεως ἕνεκεν τοῦτο εἰρῆσθαί φαμεν, ὅτι τῇ ἀρετῇ καὶ τοὺς γνησίους ὑπερέβαλεν.

290. ἢ τρίποδ' ἠὲ δύω ἵππους] παραδιαζευκτικὸς ὁ ἤ, ὡς τὸ "ἠὲ δύο ἢ τρεῖς ἄνδρας ἔρυσθαι" (Od. 5, 484).

*ὅτι δύο ἵπποις ἐχρῶντο.

*οἱ περὶ Ζηνόδοτον καὶ Ἀριστοφάνη ἵππω.

293. *σπεύδοντα] ἀντὶ τοῦ προθύμως ἐνεργοῦντα.

296. δεδεγμένος] οὕτως αἱ Ἀριστάρχου διὰ τοῦ γ̄ δεδεγμένος. Ἡρωδιανὸς διὰ τοῦ χ̄ δεδεχμένος. καί φησι Διογένης ἐν τοῖς ὑπομνήμασιν ὅτι εἰρωνευόμενος λέγει, οἷον δεξιούμενος τοῖς τόξοις· τὸ γὰρ δεδέχθαι δεξιοῦσθαί ἐστιν. οὐκ ἄχαρις ἡ ἐξήγησις.

299. *βαλέειν] ὅτι ἀντὶ τοῦ παῖσαι τὸ βαλεῖν.

5. Genuina scholii forma fuit, ut monet Cobetus, ἀθετεῖται, ὅτι ἄκαιρος—ἀποτροπήν. παρὰ Ζηνοδότῳ οὐδὲ ἦν—Ἀριστοφάνει.
14. Ἀπολλωνίῳ] Ἀπολλοδώρῳ Heynius.
19. Ἡσιόνη] ἰσιώνη
23. ἔρυσθαι] ἔρυσθε
28. Ἡρωδιανὸς—φησι] ἡρωδιανοῦ —φασι
30. δεδέχθαι] δεδέχεσθαι
31. τὸ Lehrsius Arist. p. 61] καὶ

κύνα] διὰ τὸ θρασὺ καὶ πολύλαλον· "ἐξ αὖ νῦν ἔφυγες θάνατον, κύον" (Il. 13, 362) καὶ τὸ "ὡς δ' ὅτε τίς τε κύων συὸς ἀγρίου" (338).

301. *πρὸς τὸ βαλέειν.

304. *Αἰσύμηθεν] Ἀρίσταρχος Αἰσύμνηθεν, καὶ ἡ Ζηνοδότου καὶ ἡ Ἀριστοφάνους.

306. μήκων δ' ὡς] ἤτοι τὸ ἑξῆς ἐστὶν, ἑτέρωσε δὲ κάρη βάλεν ὡς μήκων, ἤτ' ἐνὶ κήπῳ καρπῷ βριθομένη ἐστί. λείπει γὰρ τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ἔστιν ἡ μετοχὴ ἀντὶ ῥήματος. ἔσται δὲ οὕτως δὶς ἡ ἀνταπόδοσις λεγομένη· καὶ γὰρ ἑξῆς ἐπιφέρει "ὣς ἑτέρωσ' ἤμυσε κάρη·" καὶ ἐν ἄλλοις δὲ εἴωθεν. κατὰ δὴ ταύτην τὴν ἐξήγησιν ἐπὶ μὲν τὸ βάλεν διαστελοῦμεν, ἐπὶ δὲ τὸ εἰαρινῇσιν ὑποστίξομεν. δύναται δὲ καὶ ὑποστίζεσθαι ἀμφότερα ἐν ὑποκρίσει, ἵνα μία ἀνταπόδοσις ᾖ ἡ ἐπιφερομένη· ἔσται δὲ τὸ ἑξῆς, ὡς δὲ μήκων ἑτέρωσε κάρη βάλεν, ὣς ἑτέρωσ' ἤμυσε κάρη. ἢ περισσόν ἐστι τὸ ἡ ἄρθρον καὶ ὁ τέ σύνδεσμος· ὁ δὲ λόγος, ὡς δὲ μήκων ἑτέρωσε κάρη βάλεν [ὣς ἑτέρωσ' ἤμυσε κάρη, βάλλει] καρπῷ βριθομένη, ὡς ἑτέρωσ' ἤμυσε. βέλτιον δὲ ὑποστίζειν.

ὅλον ὅλῳ παραβέβληται. ἔστι δὲ διάκενος ὁ μήκων· διὸ βαρεῖται. ἔστι δὲ κοινὸν τὸ κάρη βάλεν.

307. ἡ διπλῆ, ὅτι ἔξωθεν προσληπτέον τὸ ἔστιν, εἰ μὴ ἡ μετοχὴ ἀντὶ ῥήματος παρείληπται, βριθομένη ἀντὶ τοῦ βρίθεται. ἢ κοινὸν τὸ κάρη βάλεν.

308. *ἑτέρωσ'] ὅτι τὸ πλῆρες ἑτέρωσε.

311. διχῶς, ἀλλ' ὄγε τοῦ μὲν ἅμαρτε, καὶ ἀλλ' ὄγε καὶ τόθ' ἅμαρτε.

312. Ἀρχεπτόλεμον] ὅτι ἐνταῦθα καταλέλοιπε Ζηνόδοτος Ἀρχεπτόλεμον, πεποίηκε δὲ ἄνω (128) Ἰφιτίδην Ἐρασιπτόλεμον.

313. *πρὸς τὸ βάλεν ἀντὶ τοῦ ἔπαισεν.

*βραχὺ διασταλτέον μετὰ τὴν δε συλλαβήν.

316. *ὅτι ἐλλείπει ἡ περί, περὶ ἡνιόχου.

317. *ἑταίρου] λείπει ἡ περί, περὶ ἑταίρου.

321. ὁ δὲ] Ὁμηρικὸν ἔθος ὡς περὶ ἑτέρου λεγόμενον.

1. αὖ] οὖ

12. ὑποστίξομεν] ὑποστίξωμεν

δύναται—ὑποκρίσει] Haec recte habere non possunt: v. Friedl. p. 67, 196.

16. ὣς—βάλλει delet Friedl.

σμερδαλέα ἰάχων, ὁ δέ] ὅτι ὡς περὶ ἑτέρου "ὁ δὲ χερμάδιον," ἐπὶ τὸ αὐτὸ ἀναφέρων πρόσωπον, ὡς εἰ ἔλεγεν οὗτος δὲ αὐτὸς χερμάδιον λάβε χειρί.

322. *βαλέειν] ὅτι ἐπὶ τοῦ τρῶσαι.

325. ὅτι αὐερύοντα σαφῶς εἰς τοὐπίσω ἕλκοντα· καὶ παλίντονα τόξα ἀπὸ τούτου. οὐ πάντως διασταλτέον ἐπὶ τὸ αὐερύοντα, ὡς ἀξιοῖ Νεοτέλης· ἀμφότερα γὰρ συμβέβηκε πρὸς τὸν ὦμον, καὶ τὸ βληθῆναι αὐτὸν καὶ τὸ ἐρύσαι. ὁ μέντοι Νεοτέλης Σκυθικὴν εἶναι τὴν τοξείαν ἔφασκεν, τοῦ τόξου πρὸς τὸν ὦμον ἑλκομένου.

328. ὅτι ἐν τοῖς ἑξῆς (Il. 15, 469) τούτου μνημονεύει "νευρὴν δ' ἐξέρρηξε νεοστρεφέα." καὶ ὅτι οὕτως εἶπε τὸ ἐνάρκησεν ἐν ἴσῳ τῷ ναρκᾶν ἐποίησε τὴν χεῖρα κατὰ τὸν καρπόν.

τινὲς προπεριέσπασαν τὸ χειρ, ἵν' ἔχῃ ἐντέλειαν πτώσεως αἰτιατικῆς. ὁ μέντοι Ἀσκαλωνίτης ὀξύνει, καὶ εὐθεῖαν παραλαμβάνει, ἵνα καὶ σχῆμα γένηται.

νάρκησε δὲ χείρ] ποῖος ὦμος βέβληται; δῆλον ὅτι ὁ ἀριστερὸς, δι' ὧν φησι "τόξον δέ οἱ ἔκπεσε χειρός." ἄλλως τε τὸν προβεβλημένον ὦμον εἰκὸς πεπλῆχθαι, οὐχὶ τὸν συνεσταλμένον ἐν τῷ τοξεύειν. τινὲς δὲ χεῖρα κατ' αἰτιατικήν.

331. περίβη] ὅτι ἀπὸ τῶν ὑπερμαχούντων τοῖς ἐκγόνοις ζώων, πρὸς τὸ "Χρύσην ἀμφιβέβηκας" (Il. 1, 37).

337. Ἕκτωρ δ' ἐν πρώτοισι] αἱ Ἀριστάρχου χωρὶς τοῦ ν, Ἕκτωρ δὲ πρώτοισι· καὶ ἔστιν, ὁ δὲ Ἕκτωρ ἐπὶ τοὺς πρώτους ὥρμα.

338. ὡς δ' ὅτε τίς τε κύων] οὐ δεόντως, φασὶ, τῷ κυνὶ ἓν ζῶον διώκοντι παραβάλλει τὸν Ἕκτορα διώκοντα πολλούς. ἄλλως τε οὐκ ἔδει εἰκάζειν τὸν διώκοντα κυνὶ, τοὺς δὲ διωκομένους ἀλκιμωτέρῳ ζώῳ, τῷ λέοντι. ῥητέον δὲ πρὸς μὲν τὸ πρότερον ὅτι ὁ Ἕκτωρ εἴκασται κυνὶ ἑνὶ καὶ ὁ διωκόμενος θηρὶ ἑνί· φησὶ γὰρ "αἰὲν ἀποκτείνων τὸν ὀπίστατον" (342). πρὸς δὲ τὸ δεύτερον ὅτι ἡ παραβολὴ οὐ πρὸς ἰσχὺν, ἀλλὰ πρὸς τάχος· κύνες γὰρ ἐν ταῖς θήραις ἐπιτήδειοι πρὸς δίωξιν· διὰ τοῦτο ὁ Ἕκτωρ διώκοντι εἴκασται κυνί.

11. τῷ ναρκᾶν ἐποίησε addidit Lehrsius.
21. ἀμφιβέβηκας] ἀμφιβέβηκεν
26. *πολλοὺς—διώκοντα] om.
28. *τῷ λέοντι] καὶ πρώην λέοντι
*ὁ Ἕκτωρ] ὁ om.
30. *τὸ δεύτερον] τὸν δεύτερον
31. *πρὸς τάχος] τάχους

339. διώκων] γράφεται πεποιθώς.

340. ἰσχία τε γλουτούς τε] τὸ ἡμιστίχιον ἢ τοῖς ἄνω συναπτέον, ἵν' ᾖ σχῆμα, ἅπτηται ἰσχία ἀντὶ τοῦ ἰσχίων, ὡς "Ἥρη δὲ μάστιγι θοῶς ἐπεμαίετ' ἄρ' ἵππους" (Il. 5, 748)· ἢ τοῖς ἑξῆς προσδοτέον, ἵνα τὸ δοκεύει κοινὸν ᾖ.

σημειοῦνταί τινες ὅτι ὑγιῶς διέσταλκε.

οὕτω διὰ τοῦ ν̄ ἐλισσόμενον· τὸν γὰρ ὖν ἐπιστρεφόμενον παρατηρεῖ.

346. μετὰ τὸ κεκλόμενοι στικτέον· ἑτέραν γὰρ πεποίηκε περίοδον τὴν ἑξῆς, ὡς εἴ γε διὰ τοῦ δ ἐγράφετο, μέγα δ' εὐχετόωντο, ἐστίξαμεν ἂν ἐπὶ τὸ ἀνίσχοντες. καὶ τάχα γραφικὸν ἁμάρτημα γέγονεν.

349. ὁ Ζηνόδοτος γράφει Γοργόνος ὄμματ' ἔχων ἠὲ βροτολοιγοῦ Ἄρηος. ὁ δὲ Ὅμηρος χωρὶς τοῦ ν̄ λέγει "τῇ δ' ἐπὶ μὲν Γοργώ" (Il. 11, 36) ὡς Σαπφώ· διὸ λέγει Γοργοῦς ὡς Σαπφοῦς. Ἀρίσταρχος δὲ γράφει σὺν τῷ ῑ, οἴματ' ἔχων· καί φασι παρὰ τὴν οἶμον γεγενῆσθαι, τὰς ὁδοὺς καὶ τὰ ὁρμήματα. αἱ μέντοι πλείους τῶν δημωδῶν εἶχον Γοργοῦς ὄμματ' ἔχων, οἷς συλλαμβάνει καὶ τὸ ἀλλαχοῦ λεγόμενον "τῇ δ' ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις." χαλεπὸν οὖν τὸ σαφὲς εἰπεῖν.

352. νῶι] ἡμῖν κοινῇ διαλέκτῳ· Δωριεῖς γάρ φασιν ἄμμες, Αἰολεῖς ἄμμε, Ἀττικοὶ δὲ νώ, Ἴωνες ἡμέας. ἔστι δὲ ἀντωνυμία δυϊκὴ ὀρθῆς καὶ αἰτιατικῆς πτώσεως, ἡμῶν καὶ ἡμῖν.

353. * Δαναῶν] γρ. Ἀργείων.

κεκαδήσομεθ' ὑστάτιόν περ] δύναται καὶ τοῖς ἑξῆς συνάπτεσθαι, ἵνα ᾖ ὑστάτιον οἷτον· βέλτιον δὲ ὡς σύνηθες τοῖς ἄνω. ἡ δὲ διάνοια, οὐκέθ' ἡμεῖς τῶν Ἑλλήνων ἀποστησόμεθα τό γε πανύστατον νῦν. ὑστάτιον ἀντὶ τοῦ ὕστατον, ὡς μάλλιον τῶν ἄλλων.

355. ἀνεκτῶς] ὡς ἀνδρικῶς Ἀρίσταρχος περισπᾷ. λέλεκται δὲ ἡμῖν περὶ τῆς προσῳδίας, ὁπότε διελάβομεν περὶ τοῦ "ἦ δὴ λοίγια ἔργα τάδ' ἔσσεται, οὐκέτ' ἀνεκτά" (Il. 1, 573).

5. δοκεύει] δοκεύειν

15. In marg. inter. Ἀρίσταρχος Γοργοῦς οἴματ' ἔχων λέγει delet Friedl.

21. νῶϊ : ἡμῖν—] Hoc pertinet ad νῶϊν v. 374 COBET.

ἄμμες] ἀμὲς Cobetus.

28. μάλλιον τῶν ἄλλων (τ' ἄλλ')] ἀλλοῖον τὸν ἄλλον Cobetus.

361. σχέτλιος] σημειοῦνταί τινες ὅτι ἀντὶ τοῦ ἀγνώμων, οὐκ ἐν τῷ καθόλου δὲ, ἀλλ' εἰς ταύτην μόνην.

367. πυλάρταο] ἰσχυρῶς συναρμόζοντος καὶ κλείοντος τὰς πύλας, διὰ τὸ μηδένα ὑποστρέφειν ἐξ Ἅιδου.

368. ἐξ Ἐρέβευς ἄξοντα κύνα στυγεροῦ Ἀΐδαο] ὅτι τούτου μόνου τοῦ ἄθλου μέμνηται κατὰ τὸ ῥητὸν, τίνες ἦσαν, καὶ ὅτι κύνα μόνον λέγει, Κέρβερον δὲ οὐκ ὀνομάζει, ὡς οἱ νεώτεροι. ἀπὸ δὲ τοῦ μείζονος ἄθλου πάντας δηλοῖ. οἶδε δὲ τὸν κύνα καὶ τὴν φύσιν αὐτοῦ. Πίνδαρος γοῦν ἑκατὸν, Ἡσίοδος δὲ πεντήκοντα ἔχειν αὐτὸν κεφαλὰς φησιν.

τὸν Κέρβερον. τελεσθέντων Ἡρακλέους ἄθλων ἐν μηνὶ καὶ ἔτεσιν ὀκτὼ, μὴ προσδεχόμενος Εὐρυσθεὺς τόν τε τῶν Αὐγέου βοσκημάτων ἆθλον καὶ τὸν τῆς Ὕδρας, ἑνδέκατον ἐπέταξεν ἆθλον αὐτῷ, τὸν Κέρβερον ἐξ Ἅιδου κομίζειν.

369. Στυγὸς] Στὺξ μία τῶν Ὠκεανοῦ θυγατέρων, ἣν ὁ Ζεὺς φρικωδέστατον ὅρκον τῶν θεῶν ἐποίησε τιμήσας αὐτὴν, ὥς φησιν Ἡσίοδος ἐν Θεογονίᾳ (775). ἔστι δὲ καὶ κρήνη ἐν Ἅιδου.

371, 372. ἀθετοῦνται δύο στίχοι, ὅτι οὐκ ἔδει κατὰ μέρος διηγήσασθαι, καὶ ταῦτα πρὸς τὴν καλῶς εἰδυῖαν· καὶ μὴν οὐδὲ ἡμεῖς περισσόν τι προσιστοροῦμεν.

* οὐδὲ παρὰ Ζηνοδότῳ ἦσαν.

6. τίνες ἦσαν delet Lehrsius.
8. * καὶ τὴν] ἢ τὴν
10. φησιν] φασίν
11. Post hoc scholion A addit locum Apollodori 2, 5, 12 ab interpolatore illatum, in libris Apollodori partim rectius partim vitiosius scriptum quam apud scholiastam, εἶχεν δὲ οὗτος (i. e. Κέρβερος) τρεῖς μὲν κυνῶν κεφαλὰς, τὴν δὲ οὐρὰν δράκοντος, τὰ δὲ τοῦ νώτου παντοίων εἶχεν ὄφεων κεφαλάς. μέλλων οὖν ἐπὶ τοῦτον ἀπιέναι ἦλθεν πρὸς Εὔμολπον εἰς Ἐλευσῖνα, βουλόμενος μυηθῆναι. ἦν δὲ οὐκ ἐξὸν ξένοις τότε μυεῖσθαι, ἐπειδὴ περ Θυέστης ὁ Πυλίου παῖς παραγενόμενος ἐμυεῖτο. μὴ δυνάμενος οὖν ἰδεῖν τὰ μυστήρια ἐπεί περ οὐκ ἠγνίσθη εἰς τὸν τῶν κενταύρων φόνον ἀγνισθεὶς ὑπὸ Εὐμόλπου τότε ἐμυήθη καὶ παραγενόμενος ἐπὶ τὸ Τέναρον τῆς Λακωνικῆς ἀκρωτήριον, οὗ τῆς Ἅιδου καταβάσεως στόμιον, διὰ τούτου κατῆει. ὡς δ' εἶδον αὐτὸν αἱ ψυχαὶ χωρὶς Μελεάγρου καὶ Μεδούσης τῆς Γοργόνος εὐθὺς ἔφυγον· ἐπὶ δὲ τὴν Γοργόνα τὸ ξίφος ὡς ζῶσαν ἕλκει καὶ παρὰ Ἑρμοῦ μανθάνει ὅτι ἐστὶ κενὸν εἴδωλον. πλησίον δὲ τῶν Ἅιδου πυλῶν γινόμενος Θησέα ἐγείρει καθήμενον ἐπὶ ἀκινήτου θρόνου, ὁμοίως δὲ καὶ Πειρίθουν ἠβουλήθη καὶ τῆς γῆς πολὺ σειομένης οὐκ ἠδυνήθη, ἀπεκύλισε δὲ καὶ τὸν Ἀσκαλάφου πέτρον. βουλόμενος δὲ αἷμα ταῖς ψυχαῖς παραθέσθαι μίαν τῶν Ἅιδου βοῶν ἀπέσφαξεν.
11. * ἔτεσιν] ἐτησίων
12. Αὐγέου] αὐγαίου
17. * δὲ καὶ] καὶ om.
21. Verba οὐδὲ παρὰ Ζηνοδότῳ ἦσαν separatim scripta leguntur in marg. inter.

373. ἔσται μὰν ὅταν] πρὸς τὸ τῆς ἑρμηνείας ἴδιον, ὡς ἐκεῖ "ἔσσεται ἦμαρ ὅταν ποτ' ὀλώλῃ Ἴλιος ἱρή" (Il. 6, 448) ἀντὶ τοῦ ὅτ' ὀλεῖται.

376. *ἴδωμαι] γράφεται ἴδωμεν.

377. ὅτι Ζηνόδοτος γράφει σὺν τῷ ῡ νῶϊν. τοῦτο δὲ τίθεται ἀντὶ τοῦ ἡμῖν ἢ ἡμῶν· οὐδέτερον δὲ ἁρμόζει· τὸ γὰρ νῶϊ ἐστὶν ἢ ἡμεῖς ἢ ἡμᾶς.

378. *προφανέντε] γρ. προφανείσα.

γηθήσει προφανεῖσα] Ἀρίσταρχος προφανέντε ὡς "πληγέντε κεραυνῷ" (455) δυϊκῶς· ὁ δὲ Ζηνόδοτος γηθήσει προφανείσας ἰδὼν ἐς δοῦπον ἀκόντων, συστέλλων τὴν τελευταίαν, παροξυτόνως προφερόμενος [μετ' ἐκτάσεως τοῦ ᾱ]. ἔστι δὲ ἄκρατον Δώριον. σπάνιον δὲ τὸ τοιοῦτο παρὰ τῷ ποιητῇ.

379. ἦ τις καὶ Τρώων] περισπαστέον τὸν ἦ σύνδεσμον, ἵνα διαπορητικὸς γένηται. καὶ βεβαιωτικὸς δὲ ὢν περισπασθήσεται.

385. ἀθετοῦνται στίχοι τρεῖς, ὅτι ἐν τῇ τοῦ Διομήδους ἀριστείᾳ (Il. 5, 734) καλῶς ἐπεξείργασται· πράττεται γάρ τινα. ἐνταῦθα δὲ πρὸς οὐδὲν ἀναλαμβάνει τὴν παντευχίαν. ἠθέτει δὲ καὶ Ἀριστοφάνης· Ζηνόδοτος δὲ οὐδὲ ἔγραφεν.

389. λάζετο] Πτολεμαῖος ὁ τοῦ Ὀροάνδου ἐν τῷ περὶ τοῦ Ὁμηρικοῦ χαρακτῆρος διὰ τοῦ ῡ προφέρεται λάζυτο. καὶ ἔστιν οὐκ ἀδόκιμος ἡ φράσις.

390, 391. ἀθετοῦνται καὶ οὗτοι, ὅτι ἀκαίρως ἐκεῖθεν (Il. 5, 746) μετηνέχθησαν.

393. πύλαι μύκον οὐρανοῦ] ὅτι πύλας οὐρανοῦ τὰ νέφη ὑποτίθεται· τὸν γὰρ ὑπὲρ τὰ νέφη τόπον ὁμωνύμως τῷ στερεμνίῳ οὐρανὸν καλεῖ. πρὸς τὰ περὶ Ὀλύμπου.

399. ὅτι οὐκ ἔστι κοινὸν νῦν ἐπίθετον τὸ ταχεῖα, ἀλλὰ πορεύου ταχέως.

401. *ὡς καὶ τετελεσμένον ἔσται] γρ. τὸ δὲ καὶ τετελεσμένον ἔσται.

402. σφωϊν] ἐγκλιτικὴ νῦν ἐστὶν ἡ ἀντωνυμία· τρίτου γὰρ προσ-

5. In marg. inter. est ἀντὶ τοῦ ἡμῶν.
12. μετ' ἐκτάσεως τοῦ ᾱ seclusi.
13. Δώριον] δόριον
τὸ τοιοῦτο Vill.] τῷ τοιούτῳ
15. ὢν Bekkerus] ἦ
21. *ῡ—λάζυτο] οἳ—λάζοιτο
22. φράσις] *ἡ γραφή

ὥπου, τὰ δὲ τρίτα δυϊκὰ τό τε σφωέ καὶ σφωΐν ἐγκλιτικά ἐστιν. ὅτε μέντοι δευτέρου γίνεται τὸ σφωΐν, προπερισπᾶται. ὀρθοτονεῖται γὰρ τὸ "γυιώσειν μὲν σφῶϊν" (416).

405. ἔλκε᾽ ἀπαλθήσεσθον] ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου ἔλκε᾽ ἀπαλθήσονται· καὶ μήποτε κρεῖττον. τὰ ἕλκη ἀπαλθήσονται.

406. ᾧ πατρί] καίπερ ὀργιζόμενος οὐ τὴν ἀρχὴν οὐδὲ τὴν ἰσχύν, ἀλλὰ τὴν φύσιν προβάλλεται.

ὄφρ᾽ εἰδῇ] ὅτι τῷ τοῦ Διὸς προσώπῳ ἁρμόζουσιν οἱ λόγοι, τῷ δὲ τῆς Ἰριδος (420) οὐκέτι.

408. ἐνικλᾶν] ἐμποδίζειν. ἡ μεταφορὰ ἀπὸ τῶν εἰς τὰς ἀσπίδας ἀποθρανομένων δοράτων. οὕτως δὲ γραπτέον, ὅττι κεν εἴπω, οἷον κατακάμπτειν καὶ μὴ ἐᾶν τὰ ὑπ᾽ ἐμοῦ εἰρημένα· καὶ πάλιν ἐξῆς ἐν οἷς ἡ Ἶρίς φησιν, ὅττι κεν εἴπῃ γράφεται (422).

*Ἀρίσταρχος ὅττι κεν εἴπω.

409. ἀελλόπος] κατ᾽ ἔλλειψιν τοῦ ῡ, ἀελλόπους, ταχεῖα, ἀέλλαις κατὰ τὸ τάχος παραπλησία.

411. πρώτῃσιν δὲ πύλῃσιν] οὐχ ὡς καὶ ἄλλων οὐσῶν, ἀλλ᾽ ἀντὶ τοῦ ἄκραι, ὡς τὸ "ἄξαντ᾽ ἐν πρώτῳ ῥυμῷ" (Il. 6, 40.) ἀντὶ τοῦ ἄκρῳ.

415. εἰ τελέει περ] εἰ ἀντὶ τοῦ ὡς, ἵν᾽ ᾖ σύμφωνον τῷ "ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται" (401). αἱ δὲ Ἀριστάρχου διὰ τοῦ η, ᾗ τελέει περ· καὶ γὰρ ὁ Ζεύς φησι "τὸ δὲ καὶ τετελεσμένον ἔσται."

420. ἀθετοῦνται στίχοι πέντε, ὅτι ἐκ τῶν ἐπάνω (406) μετάκεινται. ἱκανὸν δὲ ἦν εἰπεῖν ὅτι οὐκ ἐᾷ ὁ Ζεὺς, καὶ προσυνίστανται ἐπιεικὲς ὂν τὸ τῆς Ἰριδος πρόσωπον· οὐ γὰρ ἂν εἶπεν κύον ἀδδεές.

423. *οὕτως σύ διὰ τοῦ ῡ, τὸ δὲ ἀδεές δι᾽ ἑνὸς δ ὁ Ἀρίσταρχος.

428. *νῶϊ] ὅτι τινὲς γράφουσι σὺν τῷ ν, κακῶς.

*οὕτως νῶϊ χωρὶς τοῦ ν.

ὅταν εἰς τὴν ἀξίαν ἀτενίσῃ τῶν θεῶν, τότε φησὶν αὐτοὺς μὴ κινεῖσθαι τῇ περὶ θνητῶν, ὡς οὐδὲ ἂν ἡμεῖς περὶ μυρμήκων· ὅταν δὲ

19. τῷ] τὸ

20. In marg. inter. Ἀρίσταρχος διὰ τοῦ η ᾗ τελέει περ.

24. προσυνίστανται Cobetus] ἀποσυνίστανται. ἀποκαθίστανται Lehrsius.

26. σύ διὰ τοῦ ῡ] Alii legebant σοί, omisso γε.

27. τινὲς] Id est Zenodotus, cuius errorem hic et alibi notavit Aristarchus: de quo dixit Cobetus Mnem. nov. vol. 2 p. 194.

28. οὕτως Cobetus] ὅτι οὕτως

ἐπιλογίσηται τὴν ποιητικὴν, ἔπεται τοῖς μύθοις καὶ τὴν ὑπόθεσιν ἐκτραγῳδεῖ, συμμαχίας καὶ θεομαχίας παράγων.

434. κάπησιν] φάτναις, παρὰ τὸ ἐν αὐταῖς ἱσταμένους τοὺς ἵππους κάπτειν, ὅ ἐστιν ἐσθίειν.

435. *ὅτι τὰ ὀχήματα ἅρματα λέγουσι.

ἐνώπια παμφανόωντα] τοὺς παροδίους τοίχους, τουτέστι τοὺς ἀντικρὺ τῆς εἰσόδου· οὗτοι γὰρ μόνοι φαίνονται τοῖς παριοῦσιν. τινὲς δὲ τὸ ἐξῆς ἅρματα παμφανόωντα, οὐκ εὖ.

βραχὺ διασταλτέον ἐπὶ τὸ πρὸς ἐνώπια, ἵνα ᾖ ἅρματα παμφανόωντα. ἰστέον δὲ ὅτι τὰ ὀχήματα ἅρματα λέγει.

439. δίωκε] ὅτι κυρίως διώκειν λέγεται, ὅταν προφεύγῃ τις· νῦν δὲ ἐπὶ τοῦ συντόνως ἐλαύνοντος.

441. *ἀμβωμοῖσι] ἐν τοῖς Διογένους ἀμβώνεσσι.

*οὕτως Ἀρίσταρχος βωμοῖσι.

Χρύσιππος ὑφ' ἓν προφέρεται, ὁ μέντοι Ἀρίσταρχος δύο μέρη λόγου παραλαμβάνει καὶ προπερισπᾷ· λέγει γοῦν καὶ ἀλλαχοῦ "χρύσειοι δ' ἄρα κοῦροι ἐϋδμήτων ἐπὶ βωμῶν" (Od. 7, 100). χρὴ μέντοι γινώσκειν ὅτι διὰ τοῦ μ̄ γράφεται, κἂν παράθεσις ᾖ ὁμοίως τῷ "ἂμ φόνον, ἂν νέκυας" (Il. 10, 298). τὸ δὲ αἴτιον ἐν τοῖς περὶ ὀρθογραφίας εἴρηται.

λῖτα] μεταπλασμός ἐστιν, ἔνθεν βαρύνεται, ἐπεὶ πᾶσα αἰτιατικὴ ἑνικὴ ἀπαθὴς εἰς α̈ λήγουσα βαρύνεται, ὑπεσταλμένης τῆς τινά. ἀπαθὴς διὰ τὸ εὐφυᾶ διφυᾶ καὶ τὰ τοιαῦτα. τὸ δὲ ἐξῆς ἐστὶ καταπετάσας καὶ καλύψας λιτῷ περιβολαίῳ.

444. Διὸς ἀμφὶς] πρὸς τὴν καθέδραν, ὅτι ἑκατέρωθεν τοῦ Διὸς Ἥρα καὶ Ἀθηνᾶ.

448. οὐ μέν θην] τινὲς ἐν ἐρωτήσει, καὶ περὶ τῆς προτέρας νοοῦσι μάχης. οἷον οὐκ ἀπήρκεσεν ὑμῖν ἐκεῖνα· οἱ δὲ ἐν ἀποφάσει καὶ περὶ τῆς νῦν κερτομικῶς.

ὅτι Ζηνόδοτος γράφει κἀμέτην διὰ τοῦ η̄ ἀντὶ τοῦ ἔκαμον. τὸ δὲ κάμετον πρὸς τὸ πρόσωπον ἀντὶ τοῦ ἐκάμετε, ὃ καὶ συμφωνεῖ.

5. Comparandum scholion ad 4, 226. ὅτι τὰ ὀχήματα νῦν χωρὶς τῶν ἵππων ἅρματα εἴρηκε.

6. *παροδίους] παριδίους

19. τῷ] τὸ

ἂμ φόνον] ἀν φόνον

31. πρὸς τὸ πρόσωπον] δευτέρου προσώπου Cobetus.

449. *τοῖσιν κότον] Ἀρίσταρχος τοῖον κότον, καὶ ἔχει τινὰ ἔμφασιν.

450. πάντως, οἷον ἐμόν γε μένος καὶ τὰ ἑξῆς] ἡ δὲ τοῦ πάντων μείζονος θεοῦ δύναμις, φησί, τηλικαύτη ὑπάρχει ὡς μηδὲ ὑπὸ πάντων τῶν θεῶν δύνασθαι καταγωνισθῆναι.

*ἀντὶ τοῦ ἐκ παντὸς τρόπου οὐκ ἄν με τρέψειαν.

454. *τὸ δέ κεν τετελεσμένον ἦεν] ἐν ἄλλῳ καί κεν τετελεσμένον ἔπλεν.

455. *πληγέντε κερανῷ] ἀντὶ τοῦ πληγείσα.

ὅτι ἀρσενικῶς τὸ δυϊκὸν ἐσχημάτισται, πληγέντε ἀντὶ τοῦ πληγείσα. καὶ Ἡσίοδος "προλιπόντ' ἀνθρώπων" (O. 199) ἐπὶ αἰδοῦς καὶ νεμέσεως, ἀντὶ τοῦ προλιποῦσαι.

459. *ἀκέων] ὅτι ἀντὶ τοῦ ἀκέουσα.

460. *σκυζομένη] παρὰ τὸ ἐπεισάγειν τὸ ἐπισκύνιον.

463–465. *ὅτι ἐντεῦθεν ἄνω (30) μετάκεινται.

463. *οὐκ ἀλαπαδνόν] γράφεται οὐκ ἐπιεικτόν.

470. *ἠοῦς] ἅμα ἡμέρᾳ, οἱονεὶ ὄρθρου. σημαίνει δὲ τὸ αὔριον.

ἠοῦς δή] ὅτι Ζηνόδοτος γράφει ἄας δὴ καὶ μᾶλλον, ἀντὶ τοῦ ἐσαύριον. ἔστι δὲ ἡ λέξις οὐχ Ὁμηρική.

471. * αἴ κ' ἐθέλῃσθα] ἐν ἄλλῳ ἦν ἐθέλῃσθα.

474. ὄρθαι] ἀπὸ βαρυτόνου τοῦ ὄρω κέκλιται. ὅτι δέ ἐστι βαρύτονον τὸ ὄρω, πρόδηλον ἐκ τοῦ "ὅτε τ' ὦρετο" (Il. 12, 279) "ὦρτο πολὺ πρῶτος μέν" (Il. 7, 162).

475, 476. ἀθετοῦνται στίχοι δύο, ὅτι διὰ τοῦ ἤματι τῷ πλείονος χρόνου ὑπέρθεσιν σημαίνει, τῇ δὲ ἑξῆς ἐπὶ τὸν τάφρον παράγει τὸν Ἀχιλλέα. καὶ ἀκριβολογεῖν οὐκ ἀναγκαῖον κατὰ τίνα καιρὸν ἐξαναστήσεται, ἀρκεῖ δὲ "πρὶν ὄρθαι παρὰ ναῦφι ποδωκέα Πηλείωνα." τό τε ἐπιφερόμενον ψεῦδός τι ἔχει· οὐ γὰρ ἐν τῷ στείνει μάχονται. στείνει δὲ εἴωθε λέγειν τὴν στενὴν ὁδόν· λέγει δὲ τὴν ὑπὸ πολλοῦ πλήθους στενοχωρίαν. αἰνοτάτῳ δὲ τῷ χαλεπῷ διὰ τὸν φόβον.

476. θανόντος] γρ. πεσόντος.

479. γαίης καὶ πόντοιο] δείκνυσιν ὁ ποιητὴς ὅτι συναπολήγει γῇ καὶ θάλασσα, ὡς ἂν τοῦ ὕδατος περικεχυμένου τῇ γῇ σφαιρικῶς καὶ καλύπτοντος αὐτὴν πλὴν τῶν ἀνεχουσῶν ἠπείρων ἐν αἷς κατοικοῦμεν.

*Ἰαπετός] εἷς τῶν Τιτάνων.

3. *ἡ δὲ] εἰ δὲ 9, 10. πληγείσα] πληγεῖσαι 22. ὦρτο] ὦρετο

Διὸς μεταστήσαντος τὸν πατέρα Κρόνον τῆς βασιλείας καὶ τὴν τῶν θεῶν ἀρχὴν παραλαβόντος, Γίγαντες οἱ Γῆς παῖδες, ἀγανακτήσαντες, ἐν Ταρτησσῷ (πόλις δέ ἐστιν αὕτη παρὰ τῷ Ὠκεανῷ) μέγαν κατὰ Διὸς πόλεμον παρασκευάζουσι. Ζεὺς δὲ συναντήσας αὐτοῖς καταγωνίζεται πάντας, καὶ μεταστήσας αὐτοὺς εἰς Ἔρεβος τῷ πατρὶ Κρόνῳ τὴν τούτων βασιλείαν παραδίδωσιν. Ὀφίωνα δὲ τὸν δοκοῦντα πάντας ὑπερέχειν κατηγωνίσατο, ὅρος ἐπιθεὶς αὐτῷ τὸ ἀπ' αὐτοῦ Ὀφιώνιον προσαγορευθέν.

480. Ὑπερίονος] τοῦ ἡλίου, ἤτοι ὅτι Ὑπερίονός ἐστι καὶ Θείας παῖς, ὡς Ἡσίοδος (Th. 374)· ἐντεῦθεν γὰρ αὐτὸν πατρωνυμικῶς Ὑπεριονίδην καλεῖ· ἢ ὑπερίων ὁ ὑπεράνω ἡμῶν ἰὼν καὶ περιπολῶν τὸν κόσμον· διὰ τούτου γὰρ τὰ ὅλα συνέχεται.

*τοῦ ὑπὲρ ἡμᾶς ὄντος ἡλίου.

485. ὅτι αὐτὸς μὲν εἰς Ὠκεανὸν δύνοντα καὶ ἐξ Ὠκεανοῦ ἀνίσχοντα λέγει τὸν ἥλιον, ἐξ ἡρωϊκοῦ δὲ προσώπου οὐκέτι.

488. τρίλλιστος] ὅτι τὰ τρία ἐπὶ πλήθους τάσσει· τρίλλιστος οὖν πολυλιτάνευτος.

*πλεονάζει τὸ λ. ὁ πολυλιτάνευτος.

491. ὄθι δὴ νεκύων διεφαίνετο χῶρος] ἔξωθεν δεῖ λαβεῖν τὴν ἀπόπρόθεσιν, ἵν' ᾖ, ὅπου καθαρὸς καὶ διαφανὴς ἦν ὁ τόπος ἀπὸ τῶν νεκρῶν.

ἐν καθαρῷ, ὅθι δή] ὅτι οὐκέτι γέγονε νεκρῶν ἀναίρεσις. πρὸς Ἴστρον.

493. τόν ῥ' Ἕκτωρ] ὅτι Ζηνόδοτος περιγράφει ἀπὸ τούτου τέσσαρας στίχους κατὰ τὸ ἑξῆς διὰ τὸ καὶ ἐν ἄλλῳ τόπῳ γεγράφθαι (Il. 6, 318). ὁ δὲ Ἀρίσταρχος οἰκειότερον ἐνταῦθα κεῖσθαι λέγει διὰ τὸ ἐν τῷ στρατεύματι διαλέγεσθαι.

496. *ἔπεα Τρώεσσι μετηύδα] γράφεται ἔπεα πτερόεντ' ἀγόρευεν.

499. *ὅτι θηλυκῶς τὴν Ἴλιον.

501. ἐπὶ ῥηγμῖνι θαλάσσης] ὅτι Ζηνόδοτος γράφει ἐπεὶ Διὸς ἐτράπετο φρήν. ἐξ ἄλλου δὲ στίχου (Il. 10, 45) τὸ ἡμιστίχιον

1. τὴν—ἀρχὴν] τῆς—ἀρχῆς
3. τῷ Ὠκεανῷ] τ' ὠκεαν'. In Vat. 915 (Philol. vol. 11 p. 169) in marg. ἐν ἄλλῳ Παρνασῷ. πόλις δὲ αὕτη κατὰ τὸν Ὠκεανόν.
7. *αὐτῷ τὸ ἀπ' αὐτοῦ Ὀφιώνιον] ἀφ' οὗ ὀφιώνιον
8. προσαγορευθέν Bekkerus] προσηγορεύθη
11. *ἰὼν] ὢν
15. προσώπου addidit Bekkerus.

ἐστι νῦν ἀναρμόστως προστεθειμένον· οὐ γὰρ κατὰ Διὸς προαίρεσιν νὺξ ἐγένετο.

503. *ἐφοπλισόμεσθα] ὅτι Ζηνόδοτος γράφει ἐφοπλίζεσθον. συγχεῖ δὲ τὸ δυϊκόν.

505. *ὅτι οὐ μέλλοντα σημαίνει τὸ ἄξεσθε, ἀλλ' ἐν ἴσῳ τῷ ἄγετε.

ἴφια] εὔχρηστα. οἱ δὲ ἰσχυροποιά. ἢ εὐθηνοῦντα καὶ λιπαρά.

507. σῖτον] οὐκ ἔστιν ἐπὶ τοῦ σίτου κοινὸν τὸ ἄξεσθε· οὐδὲν γὰρ τῶν ἀψύχων ἄγεται, φέρεται δὲ μᾶλλον. προσυπακουστέον οὖν τὸ φέρετε.

510. *διὰ νύκτα] διὰ νυκτός.

512. *ἀσπουδί] ὅτι ἀντὶ τοῦ μὴ ῥᾳδίως, μήπως χωρὶς σπουδῆς.

513. ἀλλ' ὥς τις τούτων γε βέλος] ὅτι βέλος εἴρηκε τὸ τρῶμα ὁμωνύμως τῷ τιτρώσκοντι.

*οἴκοθι πέσσοι] καὶ μέχρις οἴκου κατάσχοι τὴν πληγήν.

αἱ Ἀριστοφάνους πέσσοι. Παρμενίσκος δὲ ἐν τῷ α πρὸς Κράτητα ὡς Ἀριστάρχειον προφέρεται ἀλλ' ὥς τις κείνων γε.

515. *νηὸς ἐπιθρώσκων] γρ. νηὸς ἀποθρώσκων.

517. *ἀγγελλόντων] ὅτι ἀντὶ τοῦ ἀγγελλέτωσαν.

519. λέξασθαι προτὶ ἄστυ] ὅτι ἀντὶ τοῦ ἐγκοιμηθῆναι. θεοδμήτων δὲ, καθὸ ὑπὸ θεῶν ᾠκοδομήθη τὸ τεῖχος τῆς Ἰλίου.

προτὶ ἄστυ] γρ. περὶ ἄστυ.

520. θηλύτεραι] αἱ πρὸς τὰ ἀφροδίσια καταφορώτεραι ὡς πρὸς σύγκρισιν τῶν ἀλόγων ζώων· τὰ μὲν γὰρ ἄλογα ὡρισμένον ἔχει καιρὸν ἐν ᾧ μίγνυται, αὗται δὲ διηνεκῶς πλησιάζουσιν.

521. *καιόντων] ὅτι ἀντὶ τοῦ καιέτωσαν.

524. ἀθετοῦνται δύο στίχοι, διότι τῇ ἑξῆς οὐδὲν λέγει, καὶ τὸ ὑποτακτικὸν ἄρθρον ἀντὶ προτακτικοῦ παρείληπται, ὃς μέν ἀντὶ τοῦ ὁ μέν. ὁ δὲ νοῦς ἐστὶ τοιοῦτος· περὶ μὲν τῶν νῦν καὶ σήμερον συντετέλεσταί μοι ὁ λόγος καὶ οὐδὲν παραλέλειπται· περὶ δὲ τῶν εἰς αὔριον ὑπὸ τὴν ἕω μηνύσω.

12. Verba χωρὶς σπουδῆς etiam in marg. inter.

13. τούτων] τοῦτον

16. αἱ Ἀριστοφάνους] Sic etiam in schol. Od. 5, 83. ἡ Ἀριστοφάνους utrobique Nauckius Aristoph. p. 21.

17. ὡς Ἀριστάρχειον] ὡς Ἀριστάρχειον γραφὴν Vill. ἡ Ἀριστάρχειος est p. 294, 14.

526. εὔχομαι ἐλπόμενος] ὅτι Ζηνόδοτος γράφει ἔλπομαι εὐχόμενος. οὐ κατὰ τὸν Ἕκτορα δὲ τὸν οὕτως ἐπηρμένον λέγει, ἐλπίζω εὐχόμενος τοῖς θεοῖς· ἐπιεικὲς γάρ· τοὐναντίον γὰρ οἰκεῖον, εὔχομαι ἐλπόμενος, καυχῶμαι ἐλπιδοποιούμενος ὑπὸ τοῦ Διὸς καὶ τῶν ἄλλων θεῶν.

* οὕτως ἡ γραφὴ, εὔχομαι ἐλπόμενος, οὐ τὸ ἐναντίον.

527. κηρεσσιφορήτους] συνθέτως ἀνέγνω ὁ Ἀρίσταρχος καὶ οἱ πλείους· ἴσως δὲ ἐπεὶ ἀναλύει αὐτό "οὓς κῆρες φορέουσιν·" ἔθος γὰρ αὐτῷ πολλάκις τὰ σύνθετα ἀναλύειν. οὐδέποτε δὲ δοτικὴ ἐπεκτεταμένη κατ' ἀρχὴν συντέθειται, οἷον πᾶσι καὶ πάντεσσι-πασιμέλουσα (Od. 12, 70), οὐχὶ παρὰ τὴν πάντεσσι ἡ σύνθεσις· Ναυσικάα, Ναυσίθοος, ἐγχεσίμωροι, τειχεσιπλήτης. κατ' ἀρχὴν δὲ προσέθηκα διὰ τὸ παρ' Ἐπιχάρμῳ κατὰ τέλος συντεθειμένον "γυναικάνδρεσσι ποθεινοί." εἴπερ οὖν τοῦτο ἀληθὲς, δῆλον ὅτι παράλογον τὸ κηρεσσιφορήτους κατὰ σύνθεσιν ἀναγνωσθέν. ἀλλ' ὅμως ἐπεκράτησεν ἡ Ἀριστάρχειος, δι' ὃν εἴπομεν λόγον.

528. ἀθετεῖται, ὅτι περισσός· ἐν γὰρ τῷ κηρεσσιφορήτους τὸ αὐτὸ συντόμως εἴρηκεν. ὁ δὲ Ζηνόδοτος οὐδὲ ἔγραφεν αὐτόν.

529. * ἐπὶ νυκτί] γράφεται ἐπὶ νύκτα.

532. ὅτι τὸ εἴσομαι πολλὰ σημαίνει, νῦν μὲν γνώσομαι, ἐν ἄλλοις δὲ πορεύσομαι ("εἴσομαι ἐξ ἀλόθεν" Il. 21, 335), καὶ ἀντὶ τοῦ ἐφάνη· "εἴσατο ὡς ὅτε ῥινεός" (Od. 5, 281).

534. * φέρωμαι] ἐν ἄλλῳ φεροίμην.

535–537. ὅτι ἡ τούτους δεῖ τοὺς τρεῖς στίχους μένειν, οἷς τὸ

8. δοτικὴ ἐπεκτεταμένη] δοτικῇ ἐκτεταμένῃ

23. ὅτ —] Absurde Villoisonus et Bekkerus ἡ διπλῆ ὅτι, quum proxima scholiastae verba non διπλῆν, quam Villoisonus textui ter appinxit, sed ἀντίσιγμα παρακεῖσθαι doceant

- ⊃ αὔριον —
- ⊃ μείνῃ —
- ⊃ κείσεται —

tribus vero proximis στιγμὰς, ab Villoisono omissas,

- • ἠελίου —
- • εἴην —
- • τιοίμην —

post quos sequitur versus sine puncto scriptus ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισι. Sed ex scholiastae verbis εἰς γὰρ τὴν αὐτὴν γεγραμμένοι εἰσὶ διάνοιαν intelligitur τοὺς δευτέρους τρεῖς, quos Aristarchus, ut ait scholiasta, ἐγκρίνει, hos esse ἠελίου— | εἴην— | ὡς νῦν —. Hi igitur, ut recte monuit Pluygersius p. 3 et 6, punctis erant notandi, tertii vero versus, τιοίμην δ' ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων, nulla erat ratio habenda, quum non lectus sit ab Aristarcho, sed post Aristarchi demum editionem emissam ab interpolatore illatus ex 13, 827. Originem erroris probabiliter explicuit Pluygersius p. 6. "Ex scholio Aristonici constat versum τιοίμην—Ἀπόλλων non

ἀντίσιγμα παράκειται, ἢ τοὺς ἑξῆς τρεῖς, οἷς αἱ στιγμαὶ παράκειν-ται· εἰς γὰρ τὴν αὐτὴν γεγραμμένοι εἰσὶ διάνοιαν. ἐγκρίνει δὲ μᾶλ-λον ὁ Ἀρίσταρχος τοὺς δευτέρους διὰ τὸ καυχηματικωτέρους εἶναι τοὺς λόγους· ὁ δὲ Ζηνόδοτος τοὺς πρώτους τρεῖς οὐδὲ ἔγραφεν. τὰ αὐτὰ δὲ λέγει περὶ τῶν στίχων τούτων ὁ Δίδυμος ἃ καὶ ὁ Ἀριστό- 5
νικος· διὸ οὐκ ἐγράψαμεν τὰ Διδύμου.

538. οὕτως διὰ τοῦ εἰ τὸ εἰ γὰρ ἐγὼν ὥς, καὶ τὸ ἀγήρως διὰ τοῦ ω̄.

542. κελάδησαν] καλῶς ἐπὶ μὲν τῶν Ἑλλήνων φησὶν "Ἀργεῖοι δὲ μέγ' ἴαχον, ἀμφὶ δὲ νῆες σμερδαλέον" (Il. 2, 333), ἐπὶ δὲ τῶν 10
Τρώων κελάδησαν λέγει· θορυβῶδες γὰρ τὸ βαρβαρικόν.

545. τὸ ἄξοντο οὐ τὸν μέλλοντα σημαίνει, ἀλλ' ἀντὶ τοῦ ἄγοντο.

553. ἐπὶ πτολέμοιο γεφύρῃ] προηγουμένως μὲν τοῖς ἑξῆς συνα-πτέον· τὸν γὰρ τόπον ἐν ᾧ ἡ τοῦ πολέμου συμβολὴ γίνεται, γέφυ-ραν εἶπε πολέμου, ἢ τὰς διαβάσεις αὐτὰς, αἷς ἐν τοῖς πολέμοις 15
ἐχρῶντο. λόγον δὲ ἔχει καὶ τοῖς ἄνω συνάπτειν, ἵν' ᾖ περίφρασις, πολέμοιο γεφύρῃ ἀντὶ τοῦ τῷ πολέμῳ· ὁ δὲ λόγος, μέγα φρονοῦντες ἐπὶ τῷ πολέμῳ, τουτέστι τῷ κεκρατηκέναι κατὰ τὸν πόλεμον.

*γρ. γεφύρῃ.

555. φαεινήν] οὕτως οὐ τὴν τότε οὖσαν φαεινὴν, ἀλλὰ τὴν καθό- 20
λου φαεινὴν, ἀεὶ δὲ τὰ φαινόμενα ἐν οὐρανῷ φησὶ καὶ οὐκ Ὀλύμπῳ.

557. ἀθετεῖται ὅτι οἰκειότερον ἔχει κατὰ τὴν Πατρόκλου ἐπιφά-νειαν (Il. 16, 299). καὶ ὁ ἑξῆς δὲ συναθετεῖται αὐτῷ. ἐκεῖ γὰρ αἰφνίδιον βούλεται ἐπίλαμψιν παραστῆσαι αἰφνιδίως Πατρόκλου ἐπιφανέντος, ἐνταῦθα δὲ παρατεταμένην νηνεμίαν κατ' εὐδίαν. οὐκ 25
ἐφέροντο δὲ οὐδὲ παρὰ Ζηνοδότῳ. ἠθέτει δὲ καὶ Ἀριστοφάνης.

solum ab Aristarchea editione abfuisse, sed etiam ab codice, ad quem scholia antiquitus adscripta fuerunt et in eodem codice signa critica textui iam fuisse appicta. Quae signa librarius codicis Veneti describens non animadvertit textum suum discrepare ab eo cui addita erant scholia et signa, quae describebat; sed postquam tribus versibus antisigma apposuit, exemplum suum oscitanter secutus tribus versibus puncta adscripsit, quum debuerat

• ἠελίου —
• εἴην —
τιοίμην —
• ὡς νῦν — ."

12. Huic scholio lemma praescriptum ἐκ πόλιος δ' ἀκάχοιντο (sic).

ἄξοντο Friedl. p. 61] ἄξαντο

ἄγοντο] ἤγοντο Friedl.

13. γεφύρῃ] Sic A, non γεφύρας.

15. ἢ τὰς—ἐχρῶντο] Haec qui addidit, γεφύρας legit.

25. κατ'] καὶ Friedl.

πρώονες] ὡς σώφρονες· τὸ γὰρ πρῶνες πληθυντικὸν διῃρέθη, καὶ εἰς ὀξεῖαν καὶ βαρεῖαν ἡ περισπωμένη μετηνέχθη.

560. ὅτι τῷ ὡς ὁμοιωματικῷ ὄντι ἀκαταλλήλως ἀποδίδοται τὸ τόσσα, ποσότητος ὂν δηλωτικόν· διὸ καί τινες γράφουσιν "ὣς τὰ μεσηγὺ νεῶν." τὸ μὲν οὖν παραβολικὸν τὸ τῆς ἀντεικασίας ἔχει, τὸ δ' ἀνταποδιδόμενον τὸ τοῦ πλήθους παρεμφαίνει. καὶ ὅτι οὐ προσυστήσας τὸν Σκάμανδρον Ξάνθον καλεῖ, ἀλλὰ διὰ τῶν ἑξῆς "ὃν Ξάνθον καλέουσι θεοί, ἄνδρες δὲ Σκάμανδρον."

*γράφεται καὶ τοῖα μεσηγύ, καὶ ὣς τὰ μεσηγύ.

562. χίλι'] ὅτι Ζηνόδοτος γράφει μύρια. ἐπιφέρει δὲ "ἐν δὲ ἑκάστῳ εἵατο πεντήκοντα σέλα," ὥστε γίνεσθαι μυριάδας πεντήκοντα. ἐὰν δὲ γράφηται χίλια, πέντε μυριάδας, συμφώνως· διὰ παντὸς γὰρ τοὺς βαρβάρους ἐλάσσονας τῶν Ἑλλήνων συνίστησιν.

563. παρ' ἑκάστῳ δὲ σέλα πυρὸς, τουτέστι παρ' ἑκάστῃ δὲ πυρᾷ, πεντήκοντα ἐκαθέζοντο ἄνδρες. ἐκ τούτων δ' ἄν τις καταμάθοι τὸ πλῆθος τῶν Τρώων ὅτι πέντε μυριάδες ἦσαν.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀρισταρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ ἐκ τῶν Νικάνορος περὶ στιγμῆς.

ΕΙΣ ΤΗΝ Ι.

ἡ Ι τῆς Ἰλιάδος ἐπιγράφεται λιτή, ὅτι Ἀγαμέμνων Νέστορος συμβουλεύσαντος πρὸς τὸν Ἀχιλλέα ἄνδρας λίσσεσθαι ἔπεμψεν ἀρίστους, Φοίνικα, Ὀδυσσέα, Αἴαντα.

1. ὣς οἱ μὲν Τρῶες] καλῶς εἶπεν· οἱ μὲν γὰρ Τρῶες τὰς φυλακὰς εἶχον, ἵνα μὴ φύγωσιν οἱ Ἕλληνες διὰ νυκτὸς, οἱ δὲ Ἕλληνες εἴχοντο ὑπὸ τοῦ δέους.

2. φύζα φόβου κρυόεντος ἑταίρη] ὅτι φύζα ἀεὶ μὲν σημαίνει τὴν

3. ὅτι—] Praescripta est διπλῆ περιεστιγμένη.

6. προσυστήσας addidit Lehrsius ex scholio ad 14, 434. ubi legitur ὅτι μὴ προσυστήσας εἰ ὁ Σκάμανδρος Ξάνθος καλεῖται ὡς πρὸς εἰδότας κέχρηται τῷ ὀνόματι.

10. ὅτι—] Hic quoque διπλῆ περιεστιγμένη praescripta.

14. ἑκάστῳ] ἑκάστῃ

27. ὅτι addidit Vill.

* ἀεὶ μὲν] om.

μετὰ δέους φυγὴν, ὅθεν καὶ "φυζακίνῃς ἐλάφοισι" (Il. 13, 102)· νῦν δὲ ἔκπληξις. ἀπολογεῖται δὲ ὅτι ἐκ θεῶν· κρυόεις δὲ φόβος ὁ ψυχρός· τὸ θερμὸν γὰρ ἐπιλείπει τοὺς δεδιότας. ὅρα δὲ τὸ ἀντίθετον πῶς ἑνὶ ῥήματι ἐδήλωσε, Τρῶες ἔχον, Ἀχαιοὺς ἔχε.

3. βεβολήατο] ὅτι ἔνιοι βεβλήατο, καὶ Ζηνόδοτος οὕτως. ἐπὶ δὲ τῆς κατὰ ψυχὴν τρώσεως καὶ ἀλγηδόνος ἀεὶ τοῦτο τάττει· ἐπὶ δὲ τῆς κατὰ σῶμα πληγῆς οὐκέτι οὕτως. τὸ βεβολήατο ἔκτασιν ἔχει ποιητικὴν τοῦ ε εἰς τὸ η διὰ τὴν ἐπαλληλίαν τῶν βραχέων. τοιοῦτόν ἐστι καὶ τὸ "πεφοβήατο δινήεντα" (Il. 21, 206) καὶ τὸ "ἦ ῥά νύ τοι πολλοὶ δεδμήατο κοῦροι Ἀχαιῶν" (Il. 3, 183).

4. *ἄνεμοι] ἡ Ἀριστοφάνειος ἀνέμω δυϊκῶς.

καλῶς δύο ἀνέμους παρέλαβεν ταράσσοντας τὸ πέλαγος, ἵνα καὶ δύο πάθη ψυχῆς παραστήσῃ. ὥσπερ, φησὶν, εἰώθασι δύο ἄνεμοι ταράσσειν τὴν θάλασσαν ἐκ βυθοῦ, οὕτω καὶ οἱ Ἕλληνες ἐταράσσοντο ὑπὸ τῶν δύο χαλεπωτάτων παθῶν, λύπης τε καὶ φόβου.

5. ἤτοι συναπτέον ἄητον ἐλθόντ' ἐξαπίνης, ἢ ὑποστικτέον ἀνυποκρίτως ἐπὶ τὸ ἄητον, ἵν' ᾖ τὸ ἑξῆς, Βορέης καὶ Ζέφυρος ἐξελθόντες ἐξαπίνης. πῶς δὲ ἀμφοτέρους ἐκ Θρᾴκης φησὶ πνεῖν, τοῦ μὲν Βορέου ἐξ ἄρκτου, τοῦ δὲ Ζεφύρου ἐκ δύσεως πνέοντος; ῥητέον οὖν ὅτι ἡ τῶν Θρᾳκῶν γῆ ἐπὶ πολὺ διήκει καὶ σιγματοειδὴς κεῖται τῇ θέᾳ μέχρι τῆς δύσεως· ἀφ' ἑκατέρου οὖν μέρους τῶν ἀνέμων ἔχει ἑκάτερον. οἱ δέ φασιν ὅτι συλληπτικῶς πέφρακε· τὸ γὰρ ἑτέρῳ συμβεβηκὸς καθ' ἑκατέρων κεῖται· μόνος γὰρ ὁ Βορέας ἀπὸ Θρᾴκης πνεῖ.

6. *ἐξαπίνης] σφοδρότεραι γὰρ αἱ αἰφνίδιοι τῶν ἀνέμων ἐμβολαί.

Νικίας καὶ Πάμφιλος δασύνουσι τὸ ἅμυδις, ἐπεὶ παρὰ τὸ ἅμα ἐγένετο· ὁ δὲ Ἀσκαλωνίτης καὶ οἱ περὶ Ἀλεξίωνα ψιλοῦσιν, πολὺ δὲ πρότερον καὶ οἱ περὶ Ἀρίσταρχον, καθότι, φασὶ, φιλεῖ πως τὰ ἀπὸ δασέων πως πολλάκις μετασχηματιζόμενα ψιλοῦσθαι, ἡμέρα ἦμαρ, ἡδονὴ ἧδος· πρόδηλον δὲ κἀκ τῆς συναλοιφῆς· "πάντ'

1. δέους] δειλίας Apollon. in Lex. Hom.
2. *κρυόεις δὲ] ὁκρυόεις δὲ ὁ
5. ὅτι addidit Vill.
13. *ὥσπερ] ὡσ
19. *Ζεφύρου] om.
20. *διήκει] διηνεκεῖ, sed ad scripto in marg. γρ. διήκει σιγματοειδὴς Vill.] σιγματοειδῶς
22. *τὸ γὰρ] τῷ γὰρ
27. πολὺ Bekk.] πολλοὶ
29. πως delet Lehrsius.

ἄμυδις κεφαλῆς" (Il. 12, 385). ἐχρῆν δὲ αὐτοὺς προσθεῖναι ἐκεῖνο, ὡς ὅτι τὸ ἄλλυδις καὶ ἄμυδις τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, καὶ τῇ παραληγούσῃ ἐξαιρέτῳ ἐχρήσαντο, ᾗ διὰ τοῦ ῡ ἐξηνέχθησαν. ἐχρῆν οὖν ἁμάδις τι εἶναι ὡς χαμάδις. τροπὴ δὲ τοῦ ᾱ ἐγένετο εἰς τὸ ῡ, ὡς τὸ σάρκες σύρκες. καὶ ἐπεὶ Αἰολικὴ ἡ τροπὴ, καὶ ὁ τόνος Αἰολικὸς καὶ τὸ πνεῦμα.

7. τὸ παρέξ παρὰ τῷ ποιητῇ καὶ δύο μέρη λόγου ἐστὶ, καὶ ἐγκλίνονται αἱ δύο προθέσεις. διὸ καὶ πολλάκις εὑρίσκεται καὶ εἰς κ λήγουσα ἡ ἐξ· "παρὲκ μέγα τειχίον αὐλῆς" (Od. 16, 165). ἔστι δὲ ὅτε τὸ νοητὸν ἐπικρατεῖ τῆς ἐξ προθέσεως, ἔσθ' ὅτε καὶ τῆς παρά· "ἀλλὰ παρὲξ τὴν νῆσον ἐλαύνετον" (Od. 12, 276)· "ὣς ἄρα φωνήσαντε παρὲξ ὁδοῦ" (Il. 10, 349). ἐνθάδε μὲν οὖν ἠγεῖται ὁ Ἀσκαλωνίτης παρέλκειν τὴν παρά, ἵν' ᾖ ἐξ ἁλός. ἄλλοι δὲ τὴν παρά κυρίως κεῖσθαι, ἵνα γένηται παρ' ἅλα φῦκος, καὶ τὴν ἐξ συντάσσεσθαι πρὸς τὸ ἔχευαν, ὅπερ καὶ βέλτιον· παρ' ἁλὶ φῦκος ἐξέχευαν. μετὰ γοῦν τῆς διά οὖσα ἡ ἐξ οὐ τρέπει τὸ ξ· "διὲξ σωλῆνος εἰς ἄγγος." Τυραννίων δὲ ἓν μέρος λόγου ἤκουσεν, ἵν' ᾖ ἐπίρρημα, καὶ βαρύνει· καὶ ἔχει λόγον, ὡς Ἡρόδοτος ἐν δ' (c. 46.) "πάρεξ τοῦ Σκυθικοῦ ἔθνους." παρὰ δὲ τῷ ποιητῇ τὸ παρέξ δύο μέρη λόγου εἰσὶ καὶ ἐγκλίνονται αἱ δύο προθέσεις.

*ἔχευεν] διχῶς, καὶ διὰ τοῦ ᾱ.

9. *ὅτι πάλιν τὸ βεβολημένος τὸ διὰ τοῦ ο ἐπὶ ψυχῆς λέγει.

11. νυκτὸς δὲ οὔσης καὶ πλησίον ὄντων τῶν πολεμίων οὐ πάντας καλεῖ, ἵνα μή τις ταραχὴ γένηται.

12. *ὅτι τὸ πονεῖν ἀεὶ ἐπὶ τοῦ ἐνεργεῖν τίθησιν.

14. ὥστε κρήνη μελάνυδρος] ὅτι Ζηνόδοτος γράφει "μετὰ δ'

2. ἄμυδις] καὶ ἐξαιρέτως addit Lehrsius.

13. ἐξ ἁλός] ἔξαλος Lehrsius.

16. Ante μετὰ γοῦν lacunam indicavit Lehrsius.

διὲξ—ἄγγος] Archilochi verba in Etym. M. p. 324, 16.

18. Ἡρόδοτος ex Arsenio ap. Cramer. Anecd. Paris. vol. 3 p. 11] ἡρωδιανὸς ἐν δ' (nam sic corrigendum quod legitur ἐν α') ex Arsenio] ὡς ἕνα. Recte apud Herodian. περὶ μον. λέξ. p. 25, 24 Ἡρόδοτος ἐν τῇ τετάρτῃ.

19. ἔθνους] Recte ἔθνεος apud Herodianum. ἀλλ' οὐ παρ' Ὁμήρῳ addit Lehrs.

21. διὰ τοῦ ᾱ] I. e. ἔχευαν.

24. Hoc scholion post scholion versus 12 legitur: unde explicanda δὲ particula, quam delevit Vill.

27. μετὰ δ' Bekkerus] μετ'

Ἀργείοισιν ἔειπεν, ὦ φίλοι Ἀργείων." *περιῴρηκε δὲ πάντα τὰ κατὰ τὴν παράθεσιν. ἀναγκαῖα δέ ἐστιν εἰς αὔξησιν.*

μελάνυδρος] *πολύυδρος· φύσει γὰρ μέλαν τὸ ὕδωρ, ἀλλὰ λαμπρύνεται ταῖς ἡλιακαῖς αὐγαῖς. ἢ βαθεῖα· τοῦ γὰρ μελαίνεσθαι αἴτιον τὸ βάθος.*

15. *αἰγίλιπος*] *ἧς ἂν καὶ αἶξ ἀπολείποιτο διὰ τὸ ἄγαν ὑψηλὸν καὶ δύσβατον· ἐν γὰρ τοῖς κρημνοῖς αἱ αἶγες ὡς ἐπίπαν νέμονται. ἡ δὲ παραβολὴ πρὸς τὸ πλῆθος τῶν δακρύων εἴληπται καὶ τῶν στεναγμῶν.*

16. *ὅτι τινὲς γράφουσιν ὡς ὅγε δακρυχέων διὰ τὸ ἀκαταλλήλως πρὸς τὰ δάκρυα τὸ στενάχων ἀποδεδόσθαι. ἔστι δὲ ἐν τῷ στενάχειν καὶ δακρύειν ἀπὸ προηγουμένου νοούμενον.*

17. *ἡ διπλῆ, ὅτι ἐνθάδε οὕτως γραπτέον· πρὸς γὰρ τοὺς ἀρίστους, οὐ πρὸς τὸ πλῆθος ὁ λόγος. ὅταν δὲ ἀπόπειραν τῷ πλήθει προσάγῃ, προσφυέστερον γράφεται "ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος"* (Il. 2, 110). *διασταλτέον δὲ ἐπὶ τὸ φίλοι διὰ τὴν ἀντέμφασιν· ἑαυτῷ μὲν γὰρ προσφιλεῖς. Ἀργείων δὲ ἡγήτορας αὐτοὺς λέγει.*

18. **μέγα*] *Ἀρίσταρχος σὺν τῷ σ̄ μέγας.*

Ζεύς με μέγα] *ὅτι μέγα δεῖ γράφειν, ἀντὶ τοῦ μεγάλως, ὡς σάφα. ἀδόκιμος δὲ πάνυ ἡ μετὰ τοῦ σ̄, μέγας.*

19. *ὅτι νῦν οὕτως γραπτέον, ὃς τότε μέν μοι· ἀναφέρει γὰρ ἐπὶ τὸ πρώην κατὰ τὸν ὄνειρον· ἐν ἐκείνοις μέντοι πρὶν μέν μοι· χρόνια γὰρ ἐσήμαινε τὰ κατὰ τὴν πρώτην ἔξοδον τῶν Ἑλλήνων.*

**Ἀρίσταρχος ὃς τότε μέν μοι.*

23, 24, 25. **παρὰ Ζηνοδότῳ οὐκ ἐφέροντο· καὶ Ἀριστοφάνης δὲ ἠθέτει.*

ἀθετοῦνται στίχοι τρεῖς, ὅτι ἄμεινον ταῦτα λέγειν ἐν τῇ ἀποπείρᾳ (Il. 2, 116). *νῦν δὲ οὐκ ἀποπειρᾶται, ἀλλὰ περὶ ἀποστάσεως ἀληθῶς λέγει, ἐγκεκυρηκὼς τοῖς τοῦ Διὸς ἐλαττώμασιν.*

23–31. *ὅτι Ζηνόδοτος ἦρκε τοὺς στίχους πρὸς οὐδὲν ἀναγκαῖον,*

2. *τὰ κατὰ τὴν παράθεσιν* (v. 15, 16)] *τὰ κατὰ τὴν παραβολὴν* Cobetus.
4. **βαθεῖα*] *τῷ βάθει*
6. *ἀπολείποιτο*] *ἀπολείπεται ἂν* (**ἀπολίπῃ*).
8. **πρὸς τὸ*] *πρός τε τὸ*
13. *οὕτως* addidit Friedl.
16. *ἐπὶ τὸ* Bekk.] *ἐπὶ τῷ*
28. *στίχοι τρεῖς*] *καὶ ἀστερίσκοι παράκεινται* addit Cobetus: nam versibus 23, 24, 25 singulis praescriptus est *ἀστερίσκος μετ' ὀβελοῦ*.

ἀλλ' ἕνεκα τοῦ κατ' ἄλλους τόπους φέρεσθαι (Il. 2, 116–118. 139–141. 9, 693. 696. 7, 398. 399). τοιοῦτος δέ ἐστιν ἐπὶ τῶν διφορουμένων. τὴν δὲ συνέπειαν οὕτως ποιεῖ "δυσκλέα Ἄργος ἱκέσθαι. ἤτοι ὅγ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο, θυμὸν ἀχεύων. τοῖσι δ' ἀνιστάμενος μετέφη κρατερὸς Διομήδης."

29. ἀκήν] ἄγη τίς ἐστιν· οἱ γὰρ ὑπερβάλλοντες θαυμασμοὶ ἐκπλήσσουσι, πᾶσα δὲ ἔκπληξις σιωπὴν ἄγει, ὡς καὶ τὸ "βῆ δ' ἀκέων" (Il. 1, 34) ἀντὶ τοῦ ἐκπλαγείς. ἢ ἀχήν τίς ἐστι, παρὰ τὴν ἀχανίαν.

32. *Ἀρίσταρχος διὰ τοῦ η̄ μαχήσομαι.

33. ἣ θέμις ἐστὶν] ὡς νόμος ἐστὶν ἐν ἐκκλησίᾳ τὸν βουλόμενον ἀκωλύτως λέγειν, ὥσπερ ἐν δημοκρατίᾳ. ἐπὶ δὲ τὸ ἀγορῇ στικτέον, ὡς νόμος ἐστὶν ἐκκλησίας μετὰ παρρησίας λέγειν. Σέλευκον μέντοι φασὶν ἐπὶ τὸ ἄναξ διαστέλλειν.

34. *ὅτι τῶν κατὰ τὴν ἐπιπώλησιν ἐπιπληκτικῶς εἰρημένων μέμνηται.

περὶ τῆς δυνάμεώς μου ὠνείδισας ἐν τοῖς Ἕλλησιν ὡς ἀσθενεστάτου. ἤτοι δὲ ἐν ἤθει λέγει. τὴν μέντοι ἀναφορὰν ἔχει ταῦτα ἐπὶ τὰ ῥηθέντα ὑπὸ Ἀγαμέμνονος ἐν τῇ Δ ῥαψῳδίᾳ (370) "ὤ μοι Τυδέος υἱὲ δαΐφρονος ἱπποδάμοιο, τί πτώσσεις;"

*τὸ ἐν Δαναοῖσιν ἴσως τις ἀξιώσει τοῖς ἑξῆς συνάπτειν· ἀλλ' οὐ κατεπείγει.

36. *οὕτως Ἀρίσταρχος, ἠμὲν νέοι ἠδὲ γέροντες. γράφεσθαι δέ φησι καὶ ἡγήτορες ἠδὲ μέδοντες.

ὅτι Ζηνόδοτος γράφει ἡγήτορες ἠδὲ μέδοντες. βέλτιον δὲ καθολικώτερον γεγράφθαι· καταλείπεται γὰρ ἐν πᾶσιν ἡ δόξα τἀνδρός. καὶ ὅτι νῦν γέροντας τοὺς καθ' ἡλικίαν, ἐπεὶ μικρῷ πρότερον τὸν Νέστορα αὐτὸς ἐσεσώκει ἐν τῷ πολέμῳ.

37. διάνδιχ' ἔδωκε] τὴν τιμὴν εἰς δύο διελὼν καὶ μερίσας τὸ ἕτερόν σοι ἔδωκε· λέγει δὲ τὸ βασιλεύειν.

39. *τὸ ὅτε ἀντὶ τοῦ ὅπερ.

43. *πάρ τοι ὁδός] εὐμαρής ἐστί σοι ὁδός.

6, 8. ἀκήν—ἀχήν] ἀκή—ἀχή
12. δημοκρατίᾳ] δημοκρατείᾳ
15. ἐπιπληκτικῶς Cobetus] πληκτικῶς
18. *λέγει—ἔχει] λέγειν—ἔχειν
28. τὸν Νέστορα αὐτὸς Lehrsius] ὁ Νέστωρ αὐτὸν: vid. 8, 90.

νῆες δέ τοι] *ὅτι ἀπὸ κοινοῦ τοῦ πάρ τοι ὁδός τὸ πάρεισί σοι. ὅπερ οὐ συνέντες τινὲς προστεθείκασι τὸν ἑξῆς.*

44. *ἀθετεῖται, ὅτι περισσός ἐστι καὶ μὴ προσκειμένου αὐτοῦ ἐμφαντικώτερος ὁ λόγος γίνεται· ἐφορμοῦσιν αἱ νῆες πορευσόμεναι. οἱ δὲ γράφουσιν νῆες δέ τοι ἀμφιέλισσαι, ὥστε μὴ παντελῶς ἀποκρίνεσθαι τὸν στίχον.*

46, 47. *ἄνωθεν καὶ ἐκ παλαιοῦ τὰ τῆς ἀναγνώσεως ἐζήτηται. καὶ οἱ μὲν λείπειν φασὶ τὸ θέλουσιν, ὑποστίζοντες ἐπὶ τὸ αὐτοί· οἱ δὲ κοινὸν ἄνωθεν λαμβάνουσι τὸ ἐπέσσυται ὥστε νέεσθαι, εἶτα φευγόντων σὺν νηυσί ἀντὶ τοῦ φευγέτωσαν. ἄμεινον δὲ ὑφ' ἓν μὲν ἀναγινώσκειν, εἰ δὲ καὶ αὐτοὶ φευγόντων, στίζειν δὲ ἐπὶ τὸ γαῖαν, ἵνα λέγηται μὲν ἀποφατικῶς, τὸ δὲ λεγόμενον τοιοῦτον ᾖ, ἄγε δὴ καὶ οὗτοι φευγέτωσαν εἰς τὰς πατρίδας. εἴρηται γὰρ ὡς ὁ εἰ σύνδεσμος ἔχει τινὰ δύναμιν παρακελευστικὴν, ὡς ἐκεῖ "ἀλλ' εἴ τις καλέσειε θεῶν Θέτιν" (Il. 24, 74) τοῦ εὐκτικοῦ ἀντὶ προστακτικοῦ κειμένου, ὡς κἀκεῖ "ἐξελθών τις ἴδοι" (Od. 24, 491) ἀντὶ τοῦ ἰδέτω· ἁρπρεπὲς γὰρ εὔχεσθαι τὸν Δία. τάχα δὲ καὶ τὸ παρὰ τοῖς Ἀττικοῖς παρακελευστικὸν ἐπίρρημα εἶα ἀπὸ τούτου γέγονε περιττεύοντος τοῦ ᾱ. ἄλλως τε καὶ συντάττεται τῷ ἄγε ἐπιρρήματι· "εἰ δ' ἄγε νῦν, φίλε Φοῖβε" (Il. 16, 667)· οὐδὲν γὰρ πλέον τοῦ ἄγε δή. καὶ ἐνθάδε ἄγε δὴ καὶ οὗτοι φευγέτωσαν.*

47. **φευγόντων*] *ὅτι Ἀττικῶς ἀντὶ τοῦ φευγέτωσαν.*

52. *τοῖσι δ' ἀνιστάμενος μετεφώνεεν*] In margine *τοῖσι δὲ καὶ μετέειπε Γερήνιος.*

53. **ὅτι τὸ περί ἀντὶ τοῦ περισσῶς.*

55. *οὔ τίς τοι τὸν μῦθον ὀνόσσεται*] *οὐδείς σου τὸν λόγον ἐκφαυλίσει καὶ μέμψεται. πῶς δὲ ὁ Νέστωρ τὸ τέλειον ἀποδοὺς τῷ Διομήδους λόγῳ λέγειν αὐτὸς ἐπιχειρεῖ; ῥητέον δὲ ὅτι τῆς μὲν ὕβρεως τὴν μνήμην καὶ Διομήδης πεποίηται, καὶ Νέστωρ αὐτῷ τελείως γεγενῆσθαι μαρτυρεῖ· ὅπερ δὲ δεῖ πράσσειν ἐν τῷ καιρῷ, Διομήδης παρέλιπεν κἀκεῖνος εἰσηγεῖται.*

4. *ἐφορμοῦσιν* Bekkerus] *ἐφορμῶσιν*
5. *δέ* Friedl.] *μέν*
μὴ addidit Friedl.
8. *τὸ αὐτοί* Bekk.] *τῷ αὐτῷ*
13. *εἴρηται*] Fortasse ad 6, 376 vel 8, 18, ut monet Friedl.
25. *περισσῶς* Bekk.] *περισσός*
28. **μὲν*] om.

56. οἷς ἀμφοῖν τὸν βασιλέα ἐλοιδόρησε, τούτοις αὐτὸν προὔχειν εἰπὼν, ἀλλ᾽ οὐ καθ᾽ ὑπεροχήν· οὔτε γὰρ αὐτὸν καρτερώτατον εἶπεν οὔτε συνετώτατον.

οὐδὲ πάλιν ἐρέει] οὐδὲ ἀντερεῖ. τὸ δὲ τέλος οὐκ ἐπέθηκας τοῖς λόγοις.

οὐ μὴν τέλος ἐπέθηκας τῷ λόγῳ σου. τὰ μὲν γὰρ πρὸς τὸν βασιλέα δεόντως φησὶν εἰρῆσθαι, ἐλλείπειν δὲ τὰ τῆς συμβουλῆς καὶ παραφυλακῆς, ἅτινα αὐτὸς ἀναπληροῖ.

57. *ἦ μὴν] διὰ τοῦ ε αἱ Ἀριστάρχου, ἦ μέν.

ἡ μὲν συνήθεια στίζει μετὰ τὸ ἐσσί, τὸ δὲ ἑξῆς συνάπτει. ἐπεὶ δὲ ἀξιοῦσί τινες ὑπερβατὸν ποιεῖν "ἦ μὴν καὶ νέος ἐσσὶ ὁπλότερος γενεῇφι," δῆλον ὅτι τὰ διὰ μέσου λεγόμενα "ἐμὸς δέ κε καὶ πάϊς εἴης" τῆς ἐοικυίας διορθώσεως τεύξεται.

οὐδὲ πάλιν ἐρέει] ὅτι οὐχ ἁρμόζει τῷ τρεῖς γενεὰς βεβιωκότι λέγειν "ἐμὸς ἂν παῖς εἴης" κατὰ τὴν ἡλικίαν, πρὸς ἐπιτίμησιν τοῦ πολέμου. τὸ δὲ πάλιν (56) οὐκ ἔστιν ἐκ δευτέρου ὡς ἡμεῖς, ἀλλ᾽ ἀντὶ τοῦ ἔμπαλιν ἐρεῖ, ἐναντίως.

58. *ὁπλότατος] γρ. ὁπλότερος.

τὸ Ἀργείων βασιλῆας δύναται καὶ τοῖς ἄνω συνάπτεσθαι καὶ τοῖς ἑξῆς. καὶ τὸ αὐτὸ μὲν σχῆμα ἐν ἀμφοτέροις· τοὺς Ἀργείων βασιλεῖς εἶπεν ἢ περὶ βασιλέων ἢ εἰς βασιλεῖς. εἴτε οὖν τοῖς ἄνω συνάπτοιτο, γίνεται βασιλεῖς βάζεις· εἴτε τοῖς ἑξῆς, γίνεται βασιλεῖς ἔειπες.

61. *διίξομαι] διελεύσομαι τὰ πράγματα ἀπ᾽ ἀρχῆς μέχρι τέλους.

δασυντέον τὸ διίξομαι· ἀπὸ γὰρ τοῦ ἵκω ἐγένετο. ἐπιφέρει γοῦν "ἀτὰρ οὐ τέλος ἵκεο μύθων."

63. ἀφρήτωρ κοινῶς ὁ φρατρίας καὶ συγγενείας μὴ μετέχων, ἀπάνθρωπος.

ἄπολις καὶ συγγένειαν οὐκ ἔχων· φρατρία γὰρ ἡ συγγένεια. κυρίως δέ ἐστι τρίτον μέρος φυλῆς.

ἄδικος καὶ ἄνομος καὶ θηριώδης, ὅπου καὶ οἱ Κύκλωπες θεμιστεύουσι καὶ νόμοις χρῶνται τοῖς τῶν θεῶν.

1. *οἷς ἀμφοῖν] εἰς ἄμφω
3. οὔτε] οὐδὲ
10. *μὲν] om.
15. κατὰ τὴν ἡλικίαν—πολέμου] Verba ab hoc loco aliena: v. Friedl. p. 55.
27. *κοινῶς ὁ φρατρίας] κοινῆς φρατρίας
συγγενείας] συγγενίας
30. *φυλῆς] φυλακῆς

64. *ἔραται] ἐπιθυμεῖ. ἡ λέξις Ἰωνική.

66. φυλακτῆρες] Ἀρίσταρχος διὰ τοῦ ᾱ φυλακτῆρας τοὺς φύλακας.

67. *λεξάσθων παρὰ τάφρον] διαταγήτωσαν.

*ὅτι ἀντὶ τοῦ λεξάσθωσαν.

*γράφεται καὶ περὶ τάφρον.

70. δαίνυ δαῖτα γέρουσιν] παρασκεύαζε τὴν εὐωχίαν τοῖς ἐντίμοις, ἢ ἐφ' ἑστίασιν ἄγε τοὺς πρωταγωνιστάς.

71. ὅτι πλεῖαι ἀντὶ τοῦ πλήρεις. πρὸς τὸ "παρῴχηκεν δὲ πλέω νύξ" (Π. 12, 252) ἀντὶ τοῦ πλήρης.

72. *ἡμάτιαι] ἀνὰ ἑκάστην ἡμέραν, ἢ διὰ μιᾶς ἡμέρας.

73. ὑποδεξείη] ὡς Ἀργείη· τὸ δὲ ἀκόλουθον ὤφειλεν εἶναι. κοινὸν ὑποδεξία ὡς παρὰ τὸ ἀνόρεκτος ἀνορεξία. ταῦτα ἐν τῇ προσῳδίᾳ· ἐν μέντοι τῇ καθόλου οὕτως "πᾶσά τοί ἐσθ' ὑποδεξίη" ἕνεκα μέτρου ἔκτασιν ἔπαθε τοῦ ῑ. ἀγνοίᾳ μέντοι τἀκριβοῦς διὰ τῆς ει διφθόγγου τὴν γραφὴν ποιοῦνται, καὶ οὕτως ἔχει ἡ τοῦ Ἀριστοφάνους παράδοσις. αἱ δὲ Ἀριστάρχου οὕτως εἶχον διὰ τοῦ γάρ, πολέσιν γὰρ ἀνάσσεις. ἔχει δέ τι Ὁμηρικὸν καὶ ἡ διὰ τοῦ δέ, πολέεσσι δ' ἀνάσσεις.

πᾶσά τοι ἔσθ' ὑποδεξείη] πρὸς ὑποδοχὴν εὐτρέπισται σοὶ χορηγία. ἐπαίρει δὲ τὸν βασιλέα εἰς τὸ μετέπειτα αὐτὸν ὑπήκοον σχήσων.

*Ἀρίσταρχος πολέσιν γὰρ ἀνάσσεις.

75. *χρεώ] χρεία καταλαμβάνει.

76. *οὕτως γρ. ὅτι δῆϊοι.

77. ὅτι προσυπακουστέον τὸ καὶ οὐ μὴ μᾶλλον θρηνήσει καὶ κόψεται; καὶ ὅτι ἔξωθεν τὸ ἰδών.

78. *διαρραίσει] δι' ἑνὸς ρ αἱ Ἀριστάρχου.

12. τὸ δὲ Lehrsius] τὸ εἰ

16. καὶ οὕτως—αἱ δὲ Ἀριστάρχου οὕτως] Legendum videtur οὕτως ἔχει ἡ παράδοσις. ἡ Ἀριστοφάνους πολέεσσι δ' ἀνάσσεις. αἱ δὲ Ἀριστάρχου οὕτως—, aut πολέεσσι δ' ἀνάσσεις: οὕτως ἔχει ἡ Ἀριστοφάνους· αἱ δὲ Ἀριστάρχου οὕτως—. COBET.

τοῦ Ἀριστοφάνους Villois. Prol. p. xxiii.] τ̂ ἀντιφάνους A. ἡ τῶν ἀντιγράφων παράδοσις minus probabiliter Lehrsius Herod. p. 248.

17. πολέσιν γὰρ] πολέεσσι γὰρ

25. ὅτι] ὅ A. Itaque alii legebant ὅτε. COBET.

26. τὸ καὶ οὐ Lehrsius ad Herodian. p. 458] τὸ ὁρῶν καὶ βλέπων γελάσῃ, quod est glossema verborum τίς ἂν τάδε γηθήσειεν.

27. ἔξωθεν τὸ] τὸ ἔξωθεν τὸ

86. *ἅμ' ἕστειχον] Ἰακῶς τὸ στεῖχον αἱ Ἀριστάρχου, ἅμα στεῖχον.

88. *δόρπον] Ἀρίσταρχος μετὰ τοῦ ᾱ δόρπα.

δόρπα] ἄριστον μὲν τὸ πρωϊνὸν ἔμβρωμα, δόρπος δὲ τὸ νῦν ἄριστον, ἢ δεῖπνον μεθ' ὃ τὰ δόρατα ἔπαυον.

διὰ τοῦ ᾱ δόρπα αἱ Ἀριστάρχου. ἄκαιρος δὲ Ζηνόδοτος γράφων τίθεντο δὲ δαῖτα θάλειαν· ἄτοπον γὰρ θαλιάζειν τοὺς πένθει ἀτλήτῳ τὴν ψυχὴν βεβλημένους.

89. *ἀολλέας] Ἀρίσταρχος γέροντας ἀριστέας.

92. *ἐπιθυμίαν ἐπλήρουν.

97. ἐν σοὶ μὲν λήξω] σύ μοι ἀρχὴ καὶ τέλος τῶν λόγων πάλιν γενήσῃ. ἀνακτᾶται δὲ αὐτὸν τοῖς ἐγκωμίοις, πρότερον καταπτοήσας.

99. ἵνα σφίσι βουλεύῃσθα] ἵνα τούτοις χρώμενος προβουλεύῃς τῶν ὑποτεταγμένων. ὡς τοῦ βασιλέως δὲ καὶ τῶν θεμίστων κρατοῦντος. οὐδέπω γὰρ ἐχρῶντο γραπτοῖς νόμοις.

101. *κρηῆναι δὲ καὶ ἄλλῳ] καὶ ἄλλου δέ τινος ἐπιτελέσαι καὶ βεβαιῶσαι τὴν γνώμην.

102. σέο δ' ἔξεται ὅττι κεν ἀρχῇ] ἤτοι ἐν τῇ σῇ ἐξουσίᾳ ἔσται τὸ ἔργον τοῦτο δοκιμάσαι, ἢ τὸ τῶν λόγων κατόρθωμα σὸν ἔσται· εἰς σὲ γὰρ ἀνενεχθήσεται. τὸ ἔξεται δασυντέον· ἀπὸ γὰρ τοῦ ἕξω μέλλοντος δασυνομένου μέσος ἐστίν.

104. *ἄλλος] γράφεται καὶ ἄλλον.

106. διογενεῦς] περισπωμένως ἀναγνῶμεν· συναίρεσιν γὰρ ἔπαθε τοῦ διογενέος καὶ διογενοῦς, καὶ τροπῇ τοῦ ō εἰς ē διογενεῦς· γενικῆς γάρ ἐστι πτώσεως.

108. *οὔτι καθ' ἡμέτερόν γε νόον] ἀντὶ τοῦ οὐ κατὰ τὴν ἐμὴν γνώμην.

109. ἀπεμυθεόμην] ἀπηγόρευον, ἐκώλυον· γράφεται δὲ καὶ ἐπεμυθεόμην, ἵν' ᾖ ἀπελογιζόμην.

*οὕτως Ἀρίσταρχος, ἀπεμυθεόμην.

110. ὁ λόγος αἱρεῖ διαστέλλειν ἐπὶ τὸ εἶξας, ὑποστίζειν δὲ ἐν ὑποκρίσει ἐπὶ τὸ ἔτισαν.

9. ἀριστέας] ἀριστῆας A, sed recte in altera margine Ἀρίσταρχος ἀριστέας ἦγεν Ἀχαιῶν.

13. προβουλεύῃς Vill.] προβουλεύεις

22. γράφεται addidit Vill.

29. ἐπεμυθεόμην] ἀπεμυθεύόμην A. Vid. Hesych. s. v. ἀπεμυθεόμην.

112. *πεπίθοιμεν] Ἀρίσταρχος πεπίθωμεν· ἔστι γὰρ πίθωμεν.

115. ὦ γέρον, φησὶν, οὐδὲν ψευσάμενος τὰς ἐμὰς ἀδικίας ἀπηριθμήσω, βλάψαι με βουλόμενος, ὡς ᾠήθης. ἐπὶ δὲ τὸ τέλος τοῦ στίχου στικτέον· τὸ γὰρ ψεῦδος ἀντὶ τοῦ ψευδῶς.

116. ἀντί νυ πολλῶν] ὅτι τὸ ἀντί ἐπὶ τοῦ ἴσου ἐστί· τὸ γὰρ λεγόμενον, ἴσος ἐστὶ πολλοῖς ὁ εἷς ἀνὴρ, ὅταν ᾖ θεοφιλής.

118. *ἔτισεν, ὄλεσσε δέ] γρ. ἔτισε, δάμασσε δὲ λαὸν Ἀχαιῶν.

119. λευγαλέῃσι] ὅτι οἱ νεώτεροι λευγαλέον τὸ δίυγρον ἐπὶ τοῦ Ἀχιλλέως· "νῦν δέ με λευγαλέον θάνατον" (Il. 21, 281. cf. ad 20, 109). ἔστι δὲ λευγαλέον τὸ ὀλέθριον, παρὰ τὸν λοιγόν.

122. ἕπτ' ἀπύρους] τοὺς μὴ εἰς πῦρ χρησίμους, ἀλλ' ἀναθεματικοὺς καινουργεῖς, τοὺς κόσμου χάριν τιθεμένους ἐν τῷ οἴκῳ.

τάλαντα] τὰ νῦν ἑξακισχίλια λέγεται παρὰ Ἀθηναίοις. διαφόρως δὲ νοεῖται· ἦν γὰρ καὶ βραχύ τι παρὰ τοῖς ἀρχαίοις. καὶ ὁ ποιητὴς δῆλον ἡμῖν τοῦτο ποιεῖ ἐν τῷ ἐπιταφίῳ Πατρόκλου λέγων "ἵππεῦσι μὲν πρῶτα ποδώκεσιν ἀγλαὰ ἆεθλα θῆκε γυναῖκα ἄγεσθαι ἀμύμονα ἔργ' εἰδυῖαν καὶ τρίποδ' ὠτώεντα δυωκαιεικοσίμετρον, τῷ πρώτῳ· ἀτὰρ αὖ τῷ δευτέρῳ ἵππον θῆκεν ἑξέτε', ἀδμήτην, βρέφος ἡμίονον φορέουσαν· αὖτις δὲ τὸ τρίτον ἄπυρον κατέθηκε λέβητα, τῷ δὲ τετάρτῳ θῆκε δύω χρυσοῖο τάλαντα" (Il. 23, 262). εἰ γὰρ περὶ τοῦ ταλάντου τῶν Ἑλλήνων ἐστὶ, βραχύ τι τὸ τάλαντον τοῦ χρυσίου ἦν παρ' αὐτοῖς, ὡς καὶ Δίφιλος ἐν Ἀναγύρῳ "βραχύ τί ἐστι τάλαντον" φησί. τάλαντον δὲ, οὐ τάλαντα. ταῦτα δὲ χρυσίου τάλαντον.

125. ἀλῄϊος] πένης, ἄπορος, ἤτοι δὲ ἀπὸ τοῦ μὴ ἔχειν χώραν σιτόσπορον, ἣν λῄϊον καλεῖ, ἢ ἀπὸ τοῦ μὴ ἔχειν λείαν· λείας δὲ λέγει τὰς ἀγέλας τῶν θρεμμάτων.

128. ἀμύμονα] ὅτι χωρὶς τοῦ σ̄ γραπτέον· οὐ γάρ ἐστι κατὰ τῶν γυναικῶν, ἀλλὰ κατὰ τῶν ἔργων. ὕστερον δὲ ἐπὶ τῶν γυναικῶν "αἳ κάλλει ἐνίκων."

*ἀμύμονα] Ἀρίσταρχος μετὰ τοῦ σ̄ ἀμύμονας.

4. Post στικτέον verba φαῦλοι δὲ οἱ μετὰ τὸ ψεῦδος στίζοντες, vel simile quid addit Friedl.

8. ἐπὶ τοῦ] ἀπὸ τοῦ ἐπὶ τοῦ Lehrsius.

13. *λέγεται] λέγει

16. ποδώκεσιν ἀγλά'—θῆκε] ποδώκεος ἀγλαὰ—θῆκ' ἠὲ

20. δύω χρυσοῖο] χρυσοῖο δύο

22. Δίφιλος] Conf. Etym. M. p. 744, 48. et Eustath. p. 740, 29.

31. Schol. Townl. ἀμύμονα: οὕτως Ἀρίσταρχος· Ζηνόδοτος δὲ ἀμύμονας.

129. Λεσβίδας] παρὰ Λεσβίοις ἀγὼν ἄγεται κάλλους γυναικῶν ἐν τῷ τῆς Ἥρας τεμένει, λεγόμενος καλλιστεῖα· ἡ δὲ Λέσβος νῆσός ἐστιν ἐν τῷ Αἰγαίῳ πελάγει, πόλεις ἔχουσα πέντε, Ἄντισσαν, Ἔρεσον, Μηθύμνην, Πύρραν, Μυτιλήνην.

*τὸ αὐτός βέλτιον ἐπὶ τοῦ Ἀχιλλέως ἀκούειν καὶ τοῖς ἄνω συνάπτειν.

130. ἐξελόμην] Ἀρίσταρχος ψιλοῖ, καὶ πρόθεσιν παραδέχεται, ὥστε εἶναι ἓν μέρος λόγου.

131. μετὰ δ' ἔσσεται] ὅτι ἐντεῦθεν πλανηθεὶς Ζηνόδοτος συναριθμεῖσθαι ἐν ταῖς ἑπτὰ καὶ τὴν Βρισηΐδα ἔδοξεν, καὶ ἐν ἄλλοις γράφει "ἐκ δ' ἄγεν ἑπτὰ γυναῖκας, ἀμύμονα ἔργ' εἰδυίας, ἕξ, ἀτὰρ ἑβδομάτην Βρισηΐδα καλλιπάρῃον" (Π. 19, 245). ἔστι δὲ ἐκτὸς ἡ Βρισηΐς.

132. *Ἀρίσταρχος κούρη Βρισῆος, ἐπὶ δὲ μέγαν ὅρκον ὀμοῦμαι.

133. τῆς εὐνῆς] ὅτι ἔξωθεν δεῖ λαβεῖν τὸ ἄρθρον· τὸ γὰρ τῆς νῦν ἀντὶ τοῦ ταύτης παρείληπται, καὶ ἔστιν ὁ λόγος, μήποτε τῆς ταύτης εὐνῆς ἐπιβήμεναι.

134. ἣ θέμις ἀνθρώπων πέλει ἀνδρῶν ἠδὲ γυναικῶν] τὸ ἢ τὸ πρῶτον δασυντέον· ἔστι γὰρ ἰσοδυναμοῦν τῷ ὡς, διὸ καὶ ὁ τέ προστίθεται σύνδεσμος πολλάκις. ὡς γὰρ λέγομεν "ὥστε γὰρ ἦ παῖδες νεαροί" (Il. 2, 289), οὕτως "ἥ τε ξείνων θέμις ἐστίν" (Od. 9, 268). τὸ δὲ ἠδέ ψιλωτέον· σύνδεσμος γάρ ἐστιν ἰσοδυναμῶν τῷ καί, ὁμοίως τῷ "ἠδ' εὔφρονα καρπὸν ἀμᾶσθαι." (Hesiod. O. 771.) βραχὺ δὲ διαστολτέον ἐπὶ τὸ πέλει. σαφέστερος γὰρ γίνεται ὁ νοῦς· ὅπερ ἐστὶν ἔθος ἀνθρώποις, ἀνδράσι τε καὶ γυναιξίν.

137. νῆα—νηησάσθω] ὅτι παρετυμολογεῖ τὴν ναῦν ἀπὸ τοῦ νῆσαι, ὅ ἐστι σωρεῦσαι. καὶ ἐν Ὀδυσσείᾳ τὰ ὀνόματα ἀπὸ τοῦ ἑτοίμου λαμβάνει, Τερπιάδην τὸν Φήμιον ἀπὸ τοῦ τέρπειν τὸν κιθαρῳδόν (22, 330)· ὁ αὐτὸς ἄρα ποιητής.

140. Ἑλένην] οὐχ ὡς αἰχμάλωτον, ἀλλ' ὡς πρεσβεύουσαν ἁπασῶν ἐν κάλλει.

ὅτι ἔνιοι ὑποτάσσουσι στίχον "τὴν γὰρ ἀπ' αὖτις ἐγὼ δώσω ξανθῷ Μενελάῳ," εὐήθως πάνυ.

3. *Αἰγαίῳ] αἰγείῳ
4. *Πύρραν] πυρίαν
Μυτιλήνην] μιτυλήνην
5. ἀκούειν Friedl.] ἄκουσον
6. συνάπτειν] Sic A, non συναπτέον.
23. ἀμᾶσθαι ex Hesiodo] ἀμεῖσθαι

141. ὅτι τὴν Πελοπόννησον Ἀχαικὸν Ἄργος λέγει καὶ Ἴασον, "εἰ πάντες σε ἴδοιεν ἀν' Ἴασον Ἄργος" (Od. 18, 245), Πελασγικὸν δὲ Ἄργος τὴν Θεσσαλίαν.

143. ὅς μοι τηλύγετος] ἀγαπητὸς, μονογενής· μόνος γὰρ Ὀρέστης ἄρσην ἐγένετο τῷ Ἀγαμέμνονι ἐκ Κλυταιμνήστρας.

*ὅτι ἀγαπητός μόνον ἐπὶ ταῖς θηλείαις.

θαλίῃ ἔνι πολλῇ] ἐν πολλῇ εὐωχίᾳ, ἐν πολλοῖς ἀγαθοῖς. εἴρηται δὲ παρὰ τὸ θάλλειν τοὺς εὐωχουμένους.

145. οἰκεῖα θυγατράσι βασιλέως τὰ ὀνόματα· τρία γὰρ συνέχει τὴν ἀρχὴν, νόμος ὀρθὸς, ἔπειτα κρίσις καὶ ἰσχύς.

*ὅτι οὐκ οἶδε τὴν παρὰ τοῖς νεωτέροις σφαγὴν Ἰφιγενείας.

146. *ἀνάεδνον] ὅτι ἔδνα ἐδίδοσαν οἱ νυμφίοι ταῖς παρθένοις.

147. ἐπιμείλια] Ἀρίσταρχος ἓν μέρος λόγου παρέλαβεν ὡς ἐπιφέρνια. Ἀπολλόδωρος δὲ διαλύει, ἐπί, εἶτα μείλια· οὕτως δὲ καὶ Ἀλεξίων. καὶ ἔστι τὸ ἐξῆς ἐπιδώσω μείλια. Τρύφων δὲ ζητεῖ περὶ τοῦ τόνου, πότερον ὡς ποίμνια ἢ ὡς παιδία. ἡμῖν δὲ δοκεῖ τὸ προπαροξυνόμενον πλέον εἶναι, σπάνιον δὲ τὸ παροξυνόμενον, εἰ οὕτως ὁρισαίμεθα· τὰ διὰ τοῦ ιον οὐδέτερα μονογενῆ τρισύλλαβα, μὴ ὄντα ὑποκοριστικὰ, εἰ ἔχοι τὴν τρίτην ἀπὸ τέλους φύσει μακρὰν, διὰ τοῦ ι ἐκφερομένην ἤτοι μόνου ἢ καὶ σὺν ἑτέρῳ φωνήεντι, προπαροξύνεται, Ἴλιον ποίμνιον Σίγιον λείριον αἴτιον· οὕτως καὶ μείλιον. σπάνια δὲ τὰ παροξυνόμενα, ὥσπερ τὸ ἰνίον· τὸ γὰρ τειχίον ὑποκοριστικὸν καὶ τὸ κλειδίον.

ὅτι καὶ ὑπὸ τῶν πατέρων ἐπεδίδοτο ταῖς θυγατράσιν, οὐχ ὑπὸ τῶν ἀνδρῶν μόνων ἐπέμπετο ἃ λέγει. μείλια δέ εἰσιν οἷς μειλίσσονται τοὺς ἄνδρας. τὴν προῖκα δὲ λέγει τὴν ἡδέως διατιθεμένην τὴν ψυχήν. Ἀρίσταρχος δὲ ἐπιφέρνια.

148. *ὅτι οὕτω λέγει ὅτι πρῶτον ἐπιδέδωκα.

150. Ἰρήν] Ἀρίσταρχος ὀξύνει ὁμοίως τῷ ἐπιθετικῷ τῷ ἱρήν. εἰσὶ δὲ οἳ βαρύνουσιν εἰς ἰδιότητα, ὥσπερ ἐδηλώσαμεν ἐπὶ τοῦ "Ῥίπην τε Στρατίην τε" (Il. 2, 606) "Ὄρθην" (ib. 739). ἡ δὲ

21. ποίμνιον ex Eustathio] πύμνον
Σίγιον] Σίγειον apud Eustathium. Σίγριον Lehrsius.
αἴτιον] ἴτριον Lehrsius.
22. τειχίον] τειχεῖον
25. λέγει] ἐπιμείλια addit Lehrsius, μείλια Cobetus Mnem. nov. vol. 2 p. 178.
26. προῖκα] πρύκα
28. οὕτω Cobetus] οὐ
29. Alterum τῷ delevit Vill.

αὐτὴ ἀναλογία ἐχώρει καὶ ἐπὶ τῶν εἰς ος. καὶ πάλιν ὡς ἐπ' ἐκείνων ἐλέγομέν τινα ὁμοτόνως μένειν, οὕτως καὶ ἐπὶ τούτων. καὶ ἔστιν ὁρίσασθαι τὰ μείναντα ὅτι ἐπαίνων ὀνόματά ἐστιν, οὐκ ἀναστρέφοντος τοῦ κανόνος· οὐ γὰρ τὰ ἐπὶ ἐπαίνου μένει. καὶ τῶν μὲν τρεπόντων ἀρητή Ἀρήτη, τῶν δὲ μεινάντων πινυτή· "μήτηρ πινυτή" (Od. 20, 5 31), Ἀγαυή. οὕτως καὶ ἱρή.

153. νέαται] ὡς κέαται. σημαίνει δὲ τὸ ναίονται, γενόμενον παρὰ τὸ νῶ, οἷ παραγωγὸν ναίω. ὅσοι δὲ παροξύνουσιν, ὡς ἐπὶ τοῦ ἔσχαται κατὰ τὸ νοητὸν παραλαμβάνουσιν· οὐδ' εὐθεῖαν δὲ ὑγιῶς παροξύνουσιν· ὀφείλει γὰρ ὁμοτονεῖν τῷ νέατοι. Ἀπολλώνιος δὲ διὰ τοῦ κ γράφει 10 κέαται.

*ὅτι ἀντὶ τοῦ ναίονται. ἔνιοι δὲ ἀντὶ τοῦ ἔσχαται, οὐκ εὖ.

154. *πολύρηνες πολυβοῦται] διὰ τοῦ ἑτέρου ρ τὸ πολύρρηνες αἱ Ἀριστάρχου.

155. *Ἀρίσταρχος τιμήσονται. 15

156. καί οἱ ὑπὸ σκήπτρῳ] καὶ ὑπ' αὐτοῦ βασιλευόμενοι εἰρηνικῶς βιώσονται. ὅσα δεῖ βασιλέα λαμβάνειν παρὰ τῶν ὑπηκόων, εὐκόλως δώσουσιν, τουτέστι καὶ ὑποταγέντες αὐτῷ κατὰ τὸ δίκαιον λαμπροὺς φόρους τελέσουσιν. ἡ διπλῆ δὲ, ὅτι χρόνος ἐνήλλακται, τελέουσιν ἀντὶ τοῦ τελέσουσιν. 20

158. *δμηθήτω] παρὰ Ζηνοδότῳ καὶ Ἀριστοφάνει καμφθήτω. διὰ τί οἱ μὲν ἄλλοι θεοὶ στρεπτοὶ λέγονται, τὸν δὲ Ἅιδην ἀνελεήμονά φησιν εἶναι; ὅτι ἐκεῖνοι μὲν περὶ τῶν εἰς ἑαυτοὺς χαλεπαίνουσιν ἁμαρτημάτων, διὸ καὶ συγγινώσκουσιν, ὁ δὲ περὶ τῶν ἰδίων καὶ ἀλλοτρίων, διὸ καὶ ἄκαμπτός ἐστιν· ὅθεν ἐν οὐδεμιᾷ πόλει Ἅιδου 25 βωμός ἐστιν. Αἰσχύλος φησὶν "μόνος θεῶν γὰρ Θάνατος οὐ δώρων ἐρᾷ, οὐδ' ἄν τι θύων οὐδ' ἐπισπένδων λάβοις, οὐδ' ἔστι, οὐδὲ παιωνίζεται." (fr. 156.)

159. φησὶν ὁ Ἀρίσταρχος ὅτι ἔνιοι ὑποτάσσουσι τούτῳ "οὕνεκ' ἐπεί κε λάβῃσι πέλωρ ἔχει οὐδ' ἀνίησιν." οὐκ εἶναι δὲ ἀναγκαῖον. 30

1. ὡς addidit Bekkerus.
3. ὅτι addidit Bekkerus.
5. μήτηρ πινυτή] μήτηρ δὲ πιστή. V. Lehrs. Herod. p. 250.
6. Ἀγαυὴ Vill.] ἀγνή
9. εὐθεῖαν Lehrsius] ἐνθάδε ὑγιῶς] ὑγειῶς
10. Ἀπολλώνιος] *Ἀπολλόδωρος
25. *ἄκαμπτός ἐστιν] ἄκαμπτοί εἰσιν
*ἐν] om.
26. *γὰρ] om.
27. *οὐδὲ παιωνίζεται] οὐδ' ἐπαγωνίζεται
29. Hoc Didymi scholion est, omisso Aristonici scholio, ἡ διπλῆ,

160. ὅσσον βασιλεύτερός εἰμι] ὅτι τὸ ὅσσον οὐκ ἔστι πλήθους, ἀλλ' ἀντὶ τοῦ καθ' ὅσον εἰμὶ βασιλικώτερος.

164. διδοῖς] ὡς ὀρθοῖς. οὕτως καὶ Ἀρίσταρχος. καὶ γὰρ τὸ τρίτον "εἰ μὲν γὰρ μὴ δῶρα διδοῖ" (Il. 9, 515).

165. *κλητοὺς] πρέσβεις ἐπιλέκτους, ἢ ἐξ ὀνόματος καλέσαντες. ὅτι τοὺς ἀπὸ τοῦ καλεῖσθαι αἱρουμένους. καὶ ἐν Ὀδυσσείᾳ "οὗτοι γὰρ κλητοί γε." (17, 386.) καὶ τὸ ὀτρύνομεν ἀντὶ τοῦ ὀτρύνωμεν.

167. *Ἀρίσταρχος ἐγώ, ἄλλοι δὲ ἐγών.

οἱ δὲ] βαρυτονητέον· δύο γὰρ μέρη λόγου, ἀντὶ τοῦ οὗτοι δέ. εἰσὶ δὲ οἳ προπεριέσπασαν, οὐκ εὖ· χρεία γάρ ἐστι τοῦ δέ συνδέσμου. ἐζήτηται δὲ πῶς μᾶλλον οὐ πρεσβεύει ὁ συνετώτερος. ἔστι δὲ λέγειν ὅτι κατ' οἰκονομίαν ὑπελείφθη, ἵνα, ἂν ἀποτύχωσιν οἱ περὶ Ὀδυσσέα, αὐτὸς ὕστερον πείσῃ. ἄτοπον γὰρ ἦν νῦν πρεσβεύειν τὸν Νέστορα, ὅτε δεῖ πάντως τὸν Ἀχιλλέα μὴ πεισθῆναι· ἀδοξία δὲ ἦν Νέστορα μὴ δυνηθῆναι πεῖσαι. οἱ δέ φασιν ὅτι ἐπειδὴ ἐχθρὸς ἦν Ἀχιλλέως, λοιδορήσας αὐτὸν πρὸς Ἀγαμέμνονα "τούσδε δ' ἔα φθινύθειν ἕνα καὶ δύο" (Il. 2, 346).

168. ὅτι ὁ Φοῖνιξ προέρχεται καὶ οὐ συμπρεσβεύει τοῖς περὶ τὸν Ὀδυσσέα, ὥστε μὴ συγχεῖσθαι διὰ τῶν ἑξῆς τὰ δυϊκά.

169. ἡ διπλῆ, ὅτι τὸ ἔπειτα Ἀρίσταρχος ἀντὶ χρονικοῦ παραλαμβάνει, ἀντὶ τοῦ μετὰ ταῦτα, ὡς καὶ "Ἑρμείας μὲν ἔπειτα" (Od. 10, 307). βούλεται γὰρ πρῶτον τὸν Φοίνικα ἀπεληλυθότα εἰς τὸ σκήνωμα, εἶτα τὸν Ὀδυσσέα καὶ τὸν Αἴαντα ὡς πρεσβεύοντας. ὁ δὲ Κράτης τὸ ἔπειτα ἀντὶ τοῦ δή συνδέσμου λαμβάνει.

170. Εὐρυβάτης] ὅτι οὐ τὸν Ἀγαμέμνονος (Il. 1, 320) ὑπολεπτέον νῦν λέγεσθαι, ἀλλὰ τὸν Ὀδυσσέως (Il. 2, 184), ἐπεὶ κἂν ἐξοργίσθη, τῆς δι' αὐτοῦ γενομένης ἀφαιρέσεως ὑπομνησθείς.

*ἐπέσθων] ἀντὶ τοῦ ἐπέσθωσαν. γράφεται δὲ καὶ χωρὶς τοῦ ν.

171. *φέρτε] ὅτι συγκέκοπται ἀντὶ τοῦ φέρετε.

180. δενδίλλων] διανεύων τοῖς ὀφθαλμοῖς.

ὅτι παρόντος τοῦ Φοίνικος ἔτι ταῦτα ὁ Νέστωρ ποιεῖ, διὸ καὶ ἁρμόσει τὸ ἐς ἕκαστον πληθυντικῶς εἰσενηνεγμένον, καὶ οὐκ εἰς ἑκάτερον, ὅπερ ἐπὶ δύο τίθεται, καὶ τὸ μάλιστα ὑπερθετικῶς εἰρη-

ὅτι ἔνιοι ὑποτάσσουσι —. Monuit Cobetus.

11. *ὁ συνετώτερος] ὡς συνετώτερος Friedl.

32. εἰσενηνεγμένον] ἐξενηνεγμένον

μένον. οὐ γὰρ παρῆν Φοῖνιξ, ἐπεὶ καταισχύνεται διὰ τοῦ "Ὀδυσσῆι δὲ μάλιστα."

182. τὸ δὲ βάτην] ὅτι ἐπὶ Ὀδυσσέως καὶ Αἴαντος τὸ δυϊκόν· κεχώρισται γὰρ ὁ Φοῖνιξ μετὰ τὴν Νέστορος ἐντολήν, οὗτοι δὲ μετὰ ταῦτα. ζητοῦμεν δὲ εἰ καὶ Φοῖνιξ ἐστι πρεσβευτής. καί φασιν οἱ μὲν δύο πρεσβεύειν, Αἴαντα καὶ Ὀδυσσέα, Φοίνικος προεληλυθότος οὐκ εἰς τὸ πρεσβεύειν, ἀλλ' εἰς τὸ συλλαβέσθαι· καὶ διὰ τοῦτο ὁ ποιητὴς δυϊκοῖς κέχρηται· καὶ "χαίρετον, ὦ φίλοι" (197). ἔνιοι δὲ λέγουσι συμπεπρεσβευκέναι καὶ Φοίνικα, καὶ οὐδὲν εἶναι τεκμήριον τὸν παρὰ τῷ ποιητῇ ἀριθμόν· πολλάκις γὰρ καὶ ἐπὶ πλειόνων αὐτὸν τετάχθαι, ὡς καὶ ἐπὶ τοῦ "μή νύ τοι οὐ χραίσμωσιν ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ ἅσσον ἰόντε" (Il. 1, 567) καὶ ὡς ἐπὶ τοῦ "τὼ κούρω κρινθέντε δυωκαιπεντήκοντα" (Od. 8, 48).

183. *γαιηόχῳ] ἐπεὶ παρὰ θάλασσαν ἐβάδιζον, διὰ τοῦτο τῷ Ποσειδῶνι εὔχονται.

184. *πεπιθεῖν] περισπαστέον· δεύτερος γὰρ ἀόριστός ἐστιν.

187. ζυγὸν] ζυγὸς ὁ πῆχυς τῆς κιθάρας, ᾧ ἔγκεινται οἱ κόλλαβοι. οὕτω δὲ λέγονται οἱ πάσσαλοι ὧν ἐξάπτονται αἱ χορδαί, παρὰ τὸ κεκολλῆσθαι.

188. ἐξ ἐνάρων] ὅτι ἀστεῖον τὸ μὴ οἰκοθεν κομίσαι ὥσπερ μέλλοντα ἐν πολέμῳ ἄνεσιν ἔχειν, ἀλλ' ἐκ τῶν λαφύρων ἀνηρῆσθαι ἁρμόνιον καὶ οὐκ ἄμουσον.

πιθανῶς ἔφη ἐκ λαφύρων κεκτῆσθαι τὴν κιθάραν τὸν Ἀχιλλέα· ἀνοίκειον γὰρ εἰς πόλεμον ἥκοντα κιθάραν ἐπικομίζεσθαι. εὑρόντα οὖν, φησὶν, παρελθεῖν ὡς ἄμουσον ἀπρεπὲς ἦν.

189. κλέα ἀνδρῶν] ὅτι ἀειμνήστους δεῖ τοὺς ἀγαθοὺς εἶναι· οἱ γὰρ ἀοιδοὶ διὰ τῶν παλαιῶν ἱστοριῶν τοὺς ἀκούοντας ἐσωφρόνιζον. προσέθηκε δὲ τὸ ἀνδρῶν, ἐπειδὴ καὶ θεῶν ᾄδουσι γάμους.

190. ὅτι οὐ μόνος ἐν τῇ κλισίᾳ, ἀλλὰ μόνος Αἰακίδην δεδεγμένος ἀντίος ἦστο· καὶ γὰρ Αὐτομέδων ἐπὶ τῆς κλισίας ἦν, ὁμοίως καὶ ὁ Φοῖνιξ.

191. *γράφεται καὶ δέχμενος διὰ τοῦ χ.

5. *οἱ μὲν] μὲν om.
8. *δυϊκοῖς] δυϊκῶς.
9. *συμπεπρεσβευκέναι] συμπρεσβευκέναι
τεκμήριον] τὸν φοίνικα
13. κρινθέντε δυωκαι—] κριθέντε δύο καὶ
32. δέχμενος] δεχόμενος

192. τὼ δὲ βάτην] ὅτι ἐπὶ Ὀδυσσέως καὶ Αἴαντος τὸ δυϊκόν· παρόντος γὰρ τοῦ Φοίνικος ἀπίθανον λέγειν "ἡγεῖτο δὲ δῖος Ὀδυσσεύς."

193. ταφὼν] Ἰωνικῶς λέγεται κατὰ τροπὴν τοῦ η̄ εἰς τὸ τ̄· αὐτοὶ γὰρ τὰ δασέα εἰς ψιλὰ τρέπουσιν, οἷον θαπών ταφών, δευτέρου ἀορίστου ἀπὸ τοῦ θήπω ἐνεστῶτος, καὶ τὰ ψιλὰ εἰς δασέα, ὡς τὸ ἐπιορκῆσαί φησιν. οἱ αὐτοὶ δὲ καὶ τὸ Ἀθάμας, κατ' ἀφαίρεσιν τοῦ ᾱ καὶ τροπῇ τοῦ η̄ εἰς τὸ τ̄, Τάμμας λέγουσι· "Τάμμεω θυγατέρος" Καλλίμαχος ἐν δευτέρῳ αἰτίων. ἐκ τῶν τάφων δὲ ἡ μεταφορά· καὶ γὰρ ἡμεῖς ὁρῶντες τοὺς τάφους ἐκπληττόμεθα τὸ μέλλον δεινόν.

194. στικτέον μετὰ τὸ φόρμιγγι, ὡς ἔκπληξιν Ἀχιλλέως ὁρᾶσθαι ἀναπεπηδηκότος σὺν τῇ κιθάρᾳ. τὸ ἡμιστίχιον δὲ δύναται καὶ τοῖς ἄνω καὶ τοῖς ἑξῆς προσδίδοσθαι, τό τε ἀναπηδῆσαι σὺν αὐτῇ τῇ κιθάρᾳ, καὶ ἀπολιπόντα τὴν καθέδραν καὶ τὴν κιθάραν συναντῆσαι. βέλτιον δὲ τὸ πρότερον, ὥστε τοῖς ἄνω συνάπτειν.

196. *τώ] γρ. καὶ τούς.

197. ἀμφοτέρους τοὺς συνδέσμους περισπαστέον· βεβαιωτικοὶ γάρ. ἡ διπλῆ δὲ, ὅτι χωρὶς τοῦ δυϊκῶς ἐσχηματίσθαι πρὸς Ὀδυσσέα καὶ Αἴαντα, καὶ τὰ τῆς διαθέσεως οὐκ ἐμφαίνει συμπαρόντα τὸν Φοίνικα· οὐ γὰρ ἂν οὕτως ἐκπλαγεὶς ἀνεπήδησεν, ἢ ἐδεξιοῦτο ὡς αἰφνιδίως παραγενομένους.

*Παρμενίσκος προφέρεται ἱκάνετον ἡμέτερόνδε.

198. *φίλτατοί ἐστον] καὶ ἐνθάδε τινὲς δυϊκῶς φιλτάτω.

202. καθίστα] εἰ καθίστανε τὸ πλῆρες, οὕτως καὶ ἐπὶ τῆς ἀποκοπῆς. εἰσὶ δὲ οἳ ἐκτείνουσιν, ἀπὸ τοῦ ἵστω τὴν κλίσιν παραλαμβάνοντες.

203. ξωρότερον] τὸ ἄκρατον, παρὰ τὸ μηδέπω ἐσβέσθαι τὴν ἰσχὺν τοῦ οἴνου ὑπὸ τῆς τοῦ ὕδατος κράσεως.

*κέραιε] οὕτως κέραιε χωρὶς τοῦ ρ̄. μέμνηται καὶ Ἡρωδιανός.

204. *μελάθρῳ] νῦν σκηνῇ, κυρίως δὲ οἴκῳ.

1. Ὀδυσσέως] ὀδυσσέος

8. Τάμμεω] De hac forma v. Schneider. ad Callimachi fragmenta p. 131.

12. *ἀναπεπηδηκότος — κίθαρᾳ] ἐπηδηκότος—καθέδρᾳ

13. προσδίδοσθαι] καὶ λόγον ἔχει ἀμφότερα addit Friedl.

22. Παρμενίσκος] ὡς Ἀριστάρχειον γραφὴν addit Schmidt. Did. p. 136.

ἡμέτερόνδε] ἡμέτερον δὲ

24. εἰ Lehrsius] ὡς

29. οὕτως Cobetus] οὐ

206. ὅτι Εὐφορίων κρεῖον τὸ κρέας ἐξεδέξατο, Ὅμηρος δὲ τὸ κρεοδόχον ἀγγεῖον. καὶ πρὸς τὸ ἐν πυρὸς αὐγῇ, τὸ ἀπὸ τοῦ πυρὸς φωτιζόμενον. κρεῖον δὲ ὡς θεῖον. γέγονε δὲ παρὰ τὸ κρέας.

208. σιάλοιο] ἐντροφίου, ἀπαλοτρεφοῦς, ὡς "ζατρεφέων σιάλων" (Od. 14, 19). ἢ σεσιτευμένου.

209. ὅτι Αὐτομέδοντος ὄντος κατὰ τὴν κλισίαν ἄνω εἶπεν "Πάτροκλος δέ οἱ οἷος ἐναντίος ἦστο."

τάμνεν δ' ἄρα δῖος Ἀχιλλεύς] τὸν τῦφον ἐκβάλλει ἡμῶν ἑαυτῷ ὑπηρετούμενος ὁ Ἀχιλλεύς.

ὅτι ἔν τισι γράφεται "αὐτὰρ ἐπεὶ πυρὸς ἄνθος ἀπέπτατο, παύσατο δὲ φλόξ." γελοῖον δὲ πυρὸς ἄνθος ὡς ῥόδων ἄνθος, τοῦ ποιητοῦ τὸ πῦρ δεινοποιήσαντος.

214. πάσσε δ' ἁλὸς θείοιο] θείους κέκληκε τοὺς ἁλας διὰ τὸ ἄσηπτα τηρεῖν τὰ πασθέντα.

*ἐπαείρας] Ἀρίσταρχος ἀπαείρας, ἀπὸ τῶν κρατευτάων ἄρας. κρατευτάων τῶν βάσεων, ὅ ἐστι τῶν λίθων ἐφ' ὧν οἱ ὀβελίσκοι τίθενται τῶν κρεῶν ὀπτωμένων. οἱ δὲ τῶν λαβῶν τῶν ὀβελίσκων εἶπον, κακῶς.

215. ἑλεοῖσιν] ἐπιμήκεσι τραπεζίοις ἤτοι μαγειρικοῖς. δασύνεται δέ· ἀπὸ γὰρ τοῦ ἑλεῖν. ἢ ὅτι ἐξ ἑλείων ῥάβδων ἦσαν πεπλεγμέναι αἱ μαγειρικαὶ τράπεζαι· ἢ ἐπεὶ ἐλιπαίνετο ἐκ τῆς πιμελῆς.

*ἔχευεν] ἐν ἄλλῳ ἔθηκεν.

219. θῦσαι] ἀπάρξασθαι. δεισιδαίμων δὲ, ὃς καὶ τροφῆς τοῖς θεοῖς ἀπάρχεται, καὶ ἀποπλεύσεσθαι μέλλων λέγει "αὔριον ἱρὰ Διὶ ῥέξας" (357), καὶ "χηλοῦ δ' ἀπὸ πῶμ' ἀνέῳγεν" (Il. 16, 221).

ὅτι θῦσαι οὐ σφάξαι, ὡς ὁ Τιμόθεος ὑπέλαβεν καὶ Φιλόξενος, ὁμοίως τῇ ἡμετέρᾳ συνηθείᾳ, ἀλλὰ θυμιᾶσαι. καὶ ὅτι θυηλὰς τὰς ἐπιθυομένας ἀπαρχάς. καὶ ἐν Ὀδυσσείᾳ (14, 446) "ἦ ῥα καὶ ἄργματα θῦσε θεοῖς αἰειγενέτῃσιν."

220. θυηλάς] ὡς ἀπαρχάς. τὰ δὲ διὰ τοῦ ηλη μονογενῆ ὑπὲρ δύο συλλαβὰς καὶ ὀξύνεται, ὥσπερ τὸ γαμφηλή θυηλή, καὶ βαρύνεται, ὡς τὸ ἀνθήλη.

2. τὸ ἀπὸ] τόπον ἀπὸ (vel ὑπὸ) Lehrsius collato schol. Odyss. 18, 44.
4. *σιάλων] ἀπαλῶν
6. ὄντος Cobetus] ὄντως
21. *αἱ μαγειρικαὶ τράπεζαι] om.
24. *μέλλων] om.
26. ὡς addidit Lehrsius.
ὁ Vill.] οὐ

222. ἐδητύος ἐξ ἔρον ἔντο] *φαίνονται καὶ παρ' Ἀγαμέμνονι, πρὶν ἐπὶ τὴν πρεσβείαν στείλασθαι, δειπνοῦντες· φησὶ γοῦν "αὐτὰρ ἐπεὶ σπεῖσάν τ' ἔπιόν θ' ὅσον ἤθελε θυμὸς, ὥρμῶντ' ἐκ κλισίης" (177). ἄμεινον οὖν εἶχεν ἂν, φησὶν ὁ Ἀρίσταρχος, εἰ ἐγέγραπτο "ἂψ ἐπάσαντο," ἵν' ὅσον χαρίσασθαι τῷ Ἀχιλλεῖ γεύσασθαι μόνον καὶ μὴ εἰς κόρον ἐσθίειν καὶ πίνειν λέγωνται. ἀλλ' ὅμως ὑπὸ περιττῆς εὐλαβείας οὐδὲν μετέθηκεν, ἐν πολλαῖς οὕτως εὑρὼν φερομένην τὴν γραφήν.*

αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος] εἰς δύο στάσεις διεῖλε τὸν λόγον, τὴν παρορμητικὴν, τραγῳδήσας τὰς συμφορὰς εἰς τὸ καλὸν καὶ ἀναγκαῖον καὶ συμφέρον ποιήσαι τὴν παρόρμησιν, καὶ εἰς τὴν ἀλλοιωτικὴν, ἧς μέρος τὸ ὑπαλλακτικόν· ἀντὶ γὰρ Ἀγαμέμνονος τὴν στρατιὰν ἔλαβεν. κυκλικώτερον δὲ κατακέχρηται τῷ στίχῳ, δεδειπνηκότων αὐτῶν πρὸ ὀλίγου· οὐ γὰρ ἦρων δαιτός.

223. νεῦσ' Αἴας Φοίνικι] *διενεύσατο, φησὶν, ὁ Αἴας τῷ Φοίνικι, εἰ καιρός ἐστι τῶν πρὸς Ἀχιλλέα λόγων· ἐνόησε δὲ Ὀδυσσεύς. ζητεῖται δὲ διὰ τί προαρπάζει τὸν λόγον ὁ Ὀδυσσεύς. ῥητέον δὲ ὅτι καὶ μάλα εἰκότως. οὐδὲ γὰρ μία ἦν ἐλπὶς προαποτυχόντων τῶν οἰκείων αὐτοῦ· ἐβούλετο δὲ προεκκενώσας τὴν ὀργὴν ἀναγκάσαι τι τοῖς οἰκείοις προσδοθῆναι χάριτος.*

224. πλησάμενος δ' οἴνοιο δέπας] *πρὸς τὸ ἔθος, ὅτι πλήρη καὶ οὐ κενὰ προὔπινον ὀρέγοντες τὰ ποτήρια. δεῖ δὲ νοῆσαι ὅτι κατὰ τὸ σιωπώμενον ἐδέξατο ὁ Ἀχιλλεύς. ἰδίως δὲ οὐχ ὑπέθηκε "καί μιν φωνήσας."*

225. χαῖρ', Ἀχιλεῦ, δαιτὸς μὲν ἐΐσης οὐκ ἐπιδευὴς ἠμὲν—ἠδὲ καὶ ἐνθάδε νῦν] *τὸ ἐξῆς ἐστὶ "δαιτὸς μὲν ἐΐσης οὐκ ἐπιδεύεις· ἀλλ' οὐ δαιτὸς ἐπηράτου ἔργα μέμηλεν, ἀλλὰ λίην μέγα πῆμα." ἐκεῖνα γὰρ μεταξὺ τέθειται "ἠμὲν ἐνὶ κλισίῃ Ἀγαμέμνονος Ἀτρείδαο ἠδὲ καὶ ἐνθάδε νῦν." οὕτως Ἡρωδιανός.*

χαῖρ', Ἀχιλεῦ] ὅτι προστιθέασι τὸ σ̄, οὐκ ἐπιδεύεις, κακῶς.

4. εἰ Bekkerus] om.
ἐπάσαντο Vill.] ἐπάσαντο ἢ ἐψ' ἐπάσαντο A, quod αἶψ' esse posse monet Cobetus. In marg. inter. est ἄμεινον φησὶν εἶχεν ἀρίσταρχος εἰ ἐγέγραπτο ἂψ ἐπάσαντο. De qua opinione v. Cobet. Mnem. novae vol. 2 p. 171.
13. στρατιὰν] στρατειὰν
26. ἐπιδεύεις] ἐπιδευεῖς
30. προστιθέασι] τινες addit Lehrsius.
ἐπιδεύεις] ἐπιδευεῖς

οὗτοι δὲ καὶ τὸ ἑξῆς περισπῶσιν "ἦμεν ἐνὶ κλισίῃ," ἵν' ᾖ ἦμεν ἐτυγχάνομεν. Ἀρίσταρχος δὲ χωρὶς τοῦ σ̄.

226. Ἀγαμέμνονος Ἀτρεΐδαο] διὰ τί τὸν ἐχθρὸν οὕτως ὠνόμασε προπετῶς, οὐ προθεραπεύσας; ῥητέον οὖν ὅτι εἴτε ἐνδεικνύμενος Ἀχιλλεῖ ὅτι ὁ πρότερον ὑβρίσας ἱκέτης καθέστηκεν· ἢ πάνυ ῥητορικῶς ὁ ἀνὴρ εἰς φιλίαν ἄγει τοὺς ἀμφοτέρους, καὶ τῇ τραπέζῃ δυσωπῶν, καὶ μόνον οὐχὶ τοῦτο λέγων, ὡς ὁμόσιτος αὐτῷ δι' ἡμῶν γεγένησαι· καὶ γὰρ ἐκείνου καὶ σοῦ μετεσχήκαμεν τραπέζης.

230. ἐν δοιῇ] ἐν δισταγμῷ, ἐν διχοστασίᾳ. περισπαστέον δέ· δοτικὴ γὰρ ἀκόλουθος εὐθείᾳ τῇ δοιός, οὗ τὸ θηλυκὸν δοιή.

232. *αὖλιν ἔθεντο] τὸν αὐλισμὸν ἐποίησαν, ἐστρατοπεδεύσαντο.

235. *ὅτι ἐπὶ τῶν Τρώων ἐστίν· ἐμπεσοῦνται ταῖς ναυσὶν, ἐνσείσουσιν.

ἀλλ' ἐμπεσεῖσθε ταῖς ναυσὶ διώκοντες ἡμᾶς.

236. Ἀρίσταρχος ὑφ' ἓν μέρος λόγου τὸ ἐνδέξια, ἐπὶ τὴν δ̄ συλλαβὴν τὴν οἰκεῖαν ποιῶν· ὁ δὲ Ἀσκαλωνίτης κατὰ παρολκὴν παραλαμβάνει τὴν ἐν πρόθεσιν, ὥστε εἶναι δεξιὰ σήματα φαίνων. ἄμεινον δὲ τὸ πρότερον.

238. οὐδέ τι τίει] εὐτελίζει, φησὶν, οὐ μόνον ἀνθρώπους, ἀλλὰ καὶ θεούς. τῇ δὲ ὑπερβολῇ τὸ μέγεθος τῆς ὑπερηφανίας αὐτοῦ ἐδήλωσεν.

239. *βραχὺ διασταλτέον ἐπὶ τὸ ἀνέρας.

λύσσα] μανία. τὸ ἐναντίον· αὐτὸς γὰρ αὑτὴν ἐνδέδυται. εἴρηται δὲ παρὰ τὸ λύειν τὸν νοῦν. ἐρεθισμὸς δὲ ὁ τῶν ἐχθρῶν ἔπαινος.

240. ἠῶ] τὴν ἠῶ κατ' αἰτιατικὴν πτῶσιν περισπαστέον, καὶ τὴν αἰδῶ, οὐ μὴν καὶ τὸ Λητώ καὶ τὰ τοιαῦτα πάντα· ἀλλὰ τὰ μὲν εἰς ω̄ λήγοντα θηλυκὰ ἐπ' εὐθείας καὶ αἰτιατικῆς ὁμοτονήσει ὀξυνόμενα, τὸ δὲ ἠώς καὶ αἰδὼς μόνα ἔξει ἐπ' αἰτιατικῆς τὴν περισπωμένην τάσιν.

241. στεῦται] διορίζεται· στάσιν γὰρ ψυχῆς σημαίνει ἡ λέξις. ἡ δὲ ἐπαναφορὰ τῆς σημειώσεως πρὸς τὸ ἐν Ὀδυσσείᾳ (11, 548) "στεῦτο δὲ διψάων."

ἄκρα κόρυμβα] τὰ τῶν νεῶν ἀκροστόλια. διὰ τί δὲ πρῶτον ἀποκόπτει, εἶθ' οὕτως τὸ πῦρ ἐμβάλλει; ἐπειδὴ ἐπὶ τῶν ἀκροστολίων ἦσαν ἀγάλματα καὶ εἰκόνες θεῶν, ἐκκλίνων τὴν θεοχολωσίαν τοῦτο ποιεῖ.

242. *ἐμπρήσειν] Ἀρίσταρχος ἐμπλήσειν.

30. ἐπαναφορὰ] ἀναφορὰ Cobetus.

αὐτάς τ' ἐμπρήσειν μαλεροῦ πυρός] σημειοῦνταί τινες ὅτι ἀντὶ τοῦ μαλερῷ πυρί.

244, 245. *διασταλτέον βραχὺ φρένα καὶ θεοί.

246. *Ἄργεος ἱπποβότοιο] σημειοῦνταί τινες ὅτι τὴν ὅλην Πελοπόννησον οὐκ οἶδεν ὁ ποιητὴς, Ἡσίοδος δέ.

249, 250. οὐδέ τι μῆχος] οὐδεμία ἔσται μηχανὴ τοῦ κακοῦ πραχθέντος θεραπείαν εὑρεῖν. πρὸς τὸ παρὸν δὲ ἡ γνώμη· τινὰ γὰρ τῶν κακῶν ἰάσεως ἔτυχεν. ἐπὶ τὸ μῆχος βραχὺ διασταλτέον· σαφέστερον γὰρ οὕτω παρίσταται.

252. ὦ πέπον] ὁτὲ μὲν τὸν εὐδιάλυτον δηλοῖ καὶ ἀσθενῆ, ὁτὲ δὲ τὸν προσηνῆ, ἀπὸ τοῦ πεπείρου καὶ ἁπαλοῦ.

254. *τέκνον ἐμόν] σημειοῦνταί τινες ὅτι παρεῖται τὸ τάδε λέγων.

255. αἴ κ' ἐθέλωσι] εὖ καὶ τὸ ἐθέλωσιν, ὡς οὐ δωσόντων, εἰ ἀνάξιος ὀφθείη τῆς δωρεᾶς.

256. ἴσχειν] ἐπέχειν, παύειν. τὸ ἐν τῷ στήθει φησὶ διὰ τὴν καρδίαν· αὕτη γὰρ ἐν τῷ στήθει κεῖται, οὖσα αἰτία τῆς ὀργῆς, ὡς καὶ ὁ τοῦ θυμοῦ ὅρος δηλοῖ· θυμὸς γάρ ἐστι, φησὶ, ζέσις τοῦ ἐν καρδίᾳ θερμοῦ πρὸς ὄρεξιν ἀντιλυπήσεως.

261. *χόλοιο] ὅτι ἀντιφράζει τῇ μήνιδι τὸν χόλον.

262. οἱ ὑποστίζοντες ἐπὶ τὸ εἰ δέ, ὡς λείποντος τοῦ θέλεις, διηλέγχθησαν ἐν τοῖς ἐπάνω. καὶ νῦν δέ ἐστιν ὁ λόγος, ἄγε δὴ σὺ μέν μου ἄκουσον. ἡ διπλῆ δὲ πρὸς τὸ σχῆμα, ὅτι ἀντὶ τοῦ ἐγὼ δ' ἄν σοι καταλέξαιμι, καὶ περισσὸς ὁ κε. τὸ εἰ παρακελευστικὸν ἐπίρρημά ἐστιν, ὃν τρόπον ἐπὶ τοῦ Διός "ἀλλ' εἴ τις καλέσειε θεῶν Θέτιν" (Il. 24, 74). καὶ τὸ παρακελευστικὸν ἐπίρρημα ἀπὸ τούτου γεγονέναι τοῦ συνδέσμου, τοῦ ᾱ περιττεύοντος, τοῦ τόνου ἀλλαγέντος εἰς περισπώμενον ἀναγκαίως, καὶ τῆς δασείας Ἀττικῶς προσελθούσης.

270. *οὕτως Ἀρίστarχος μετὰ τοῦ σ̄ ἀμύμονας.

271. ὅτι τὰς ζ Λεσβίδας ὑπισχνεῖται, οὐχ ὡς ὁ Ζηνόδοτος (131) ἐν ταῖς ζ καὶ τὴν Βρισηΐδα τάττει· ἔστι γὰρ Λυρνησσία.

1. ὅτι addidit Lehrsius.
5. οὐκ οἶδεν] τὸ δὲ ὄνομα οὐκ οἶδεν Friedl.
24. καὶ περισσὸς] ἡ περισσὸς Friedl.
κε] καὶ
25. καλέσειε] κελεύει
26. ἐπίρρημα] Id est εἶα: v. Lehrs. Arist. p. 325.

274. Ἀρίσταρχος κούρη Βρισῆος, ἐπὶ δὲ μέγαν ὅρκον ὀμεῖται.

279. *νηήσασθαι] ἀντὶ προστακτικοῦ.

292. *οὕτως Ἰρήν ὀξυτόνως, ὡς ἐν τῇ καθόλου.

297. ἡ διπλῆ, ὅτι τῷ παθητικῷ ἀντὶ τοῦ ἐνεργητικοῦ ἐχρήσατο· οὕτως γὰρ Ἀρίσταρχος τιμήσονται ὡς ἐλεύσονται.

299. *διὰ τοῦ ἑτέρου λ̄ τὸ μεταλλήξαντι αἱ Ἀριστάρχου.

300. κηρόθι μᾶλλον] ἤτοι θανάτου πλέον, παρὰ τὴν κῆρα, τουτέστι θανατηφόρον μοῖραν, ἢ ἐν τῇ ψυχῇ μισεῖται. μᾶλλον παρὰ τὸ κῆρ, ὅ ἐστι ψυχή.

302. τὸ κατὰ στρατὸν ἀμφοτέροις δύναται συνάπτεσθαι τοῖς μέρεσιν. εἰ μὲν οὖν τοῖς ἄνω συνάπτοιτο, ἔσται τὸ ἑξῆς, τειρομένους κατὰ στρατὸν, οἷον καταπονουμένους ἤδη ἐν τῷ στρατοπέδῳ καὶ δεδιωγμένους μέχρι θαλάσσης· εἰ δὲ τοῖς ἑξῆς, ἔσται ὁ λόγος, οἵτινες κατὰ πᾶν τὸ στράτευμά σε τιμήσουσιν ὡς θεὸν, οἷον πάντες ὁμοίως.

309. ἀπηλεγέως] ἀποτόμως, σκληρῶς, ἢ ἀπαγορευτικῶς, κεκριμένως. ἀπαγορευτικῶς, διαρρήδην. ἢ ἀπὸ τοῦ λῆξαι, ὅ ἐστιν εἰπόντα παύσασθαι. ἢ ἀπηλγημένως· φιλοσύντομος γὰρ ἡ δεινοπάθεια· οἱ γὰρ λυπεῖν θέλοντες τὰς χρηστὰς ἐκκόπτουσιν ἐλπίδας. ὅρα δὲ ὡς πρὸς μὲν Ὀδυσσέα ἀπιέναι φησὶν, πρὸς Φοίνικα (619) μένειν, μὴ μέντοι πολεμήσειν, πρὸς Αἴαντα (650), ὅτε ἀνάγκη καλεῖ, πολεμήσειν.

310. *κρανέω] Ἀρίσταρχος ἦπερ δὴ φρονέω.

311. *παρήμενος] γρ. παρήμενοι.

312. ὁμῶς Ἀΐδαο πύλῃσιν] ὅτι πλέον πάντων Ἀχιλλεὺς μισεῖ τὸν θάνατον διὰ τὸ ἄπρακτον. τάχα δὲ καὶ ἄλλως χρήσιμόν ἐστι τὸ διαβάλλειν τὸν θάνατον, ἐπεὶ πῶς ἄν τις τοὺς γονεῖς σέβοι τοὺς τὸ ζῆν αὐτῷ παρασχομένους, εἰ μὴ τὸ ζῆν ἀγαθόν ἐστι καὶ κακὸν ἐκ τῶν ἐναντίων ὁ θάνατος;

313. οἵ χ' ἕτερον] ὅτι δοκεῖ συγκεχύσθαι τὸ ἕτερον· ἔδει γὰρ ἕτερον

1. κούρη Vill.] κούρης
2. ὀμεῖται] om.
6. τιμήσονται ὡς ἐλεύσονται] τιμήσωνται ὡς ἐλεύσωνται
13. στρατοπέδῳ] στρατοπαίδῳ
15. σε addidit Friedl.
18. *λῆξαι] ῥέξαι
24. φρονέω] φρονίων (sic)
31. τὸ ἕτερον] τὸ ἄλλο πρὸς τὸ ἕτερον Lehrsius.

δὲ εἴπῃ, ἑτέρου πρὸς ἕτερον ἀντιδιαστελλομένου· τὸ γὰρ ἄλλο ἐπὶ πλειόνων τίθεται.

314. *ὥς μοι δοκεῖ εἶναι ἄριστα] ἐν ἄλλῳ ὡς καὶ τετελεσμένον ἔσται.

317. *μετ' ἀνδράσιν] Ἀρίσταρχος ἐπ' ἀνδράσι.

319. *ἐν δὲ ἰῇ τιμῇ] ἐν δὲ τῇ αὐτῇ τιμῇ καὶ ὁ δειλὸς καὶ ὁ ἀνδρεῖος.

321. περίκειται] ὁ Ἀσκαλωνίτης δύο ποιεῖ, περί, εἶτα κεῖται, καὶ προπερισπᾷ· σημαίνει δὲ, φησὶ, τὸ περισσῶς κεῖται. εἰσὶ δὲ οἳ ὑφ' ἓν ἀναγινώσκουσι περίκειται ὡς ἀντίκειται, οἷς συγκατατίθεμαι· τί γάρ ἐστι τὸ κωλῦον καὶ ἐν τῇ συνθέσει τὸ αὐτὸ νοεῖν;

322. *πολεμίζειν] οὕτως Ἀρίσταρχος πολεμίζειν κατὰ τὸ ἀπαρέμφατον.

324. ὅτι οἱ γλωσσογράφοι μάστακα τὴν ἀκρίδα, δέον μάσημα καὶ βρῶμα. ἐνίοτε δὲ καὶ αὐτὸ τὸ στόμα ὁμωνύμως, καθάπερ τὸ χοίνικα τὸ μέτρον καὶ τὸ μετρούμενον· "ἀλλ' Ὀδυσεὺς ἐπὶ μάστακα χερσὶ πίεζεν" (Od. 4, 287).

διὰ τοῦ ἄρα γράφουσι καὶ αἱ Ἀριστάρχου, κακῶς δ' ἄρα οἱ. αἱ δὲ εἰκαιότεραι κακῶς δέ τέ οἱ πέλει αὐτῇ.

325. ἴαυον] παρὰ τὸ αὔω τὸ κοιμῶμαι. ἢ παρὰ τὴν ἴαν τὴν μίαν· ἐμονομάχουν, ἢ διετέλουν.

326. *ἐν αἵματι ἢ ἐν μόχθῳ.

327. ὀάρων] γράφεται καὶ ἀόρων. ἓν δὲ ἐξ ἀμφοτέρων τὸ σημαινόμενον, τῶν γυναικῶν. ὀάρων μὲν ἀπὸ τοῦ ὀαρίζειν, ἀόρ δὲ, ὡς ἄν τις εἴποι συναόρων, ἀπὸ τοῦ συνωρεῖν· καθὸ καὶ συνωρίδας τῶν ἵππων.

ὅτι ὄαροι αἱ τῶν ἀνδρῶν καὶ γυναικῶν ὁμιλίαι. νῦν δὲ λέγει τῶν γυναικῶν.

332. *ὁ δὲ λαμβάνων ὀλίγα διένειμε καὶ ἐδίδου.

336. θυμαρέα] τῇ ψυχῇ ἀρέσκουσαν, θυμήρη. σύνθετον δέ ἐστι

15. καθάπερ χοίνικα τὸ μετροῦν καὶ τὸ μετρούμενον Friedl.

18. In A lemma μάστακ' ἐπεί κε λάβῃσι: διὰ τοῦ ἆρα γράφουσι καὶ αἱ (γράφουσιν αἱ Vill.) ἀριστάρχου οὕτως δέ. αἱ δὲ εἰκαιότεραι κακῶς δέ τέ οἱ πέλει αὐτῇ:—In marg. inter. ἀρίσταρχος κακῶς δ' ἄρα οἱ.

21. ἐμονομάχουν in A ante παρὰ τὸ αὔω legitur. Transposuit Bekk.

23, 24. ὀάρων Cobetus] ὀρέων—ὠρέων

27. Ante ὅτι ὄαροι in A scriptum erat ὁ ἄοροι, sed deletum.

30. ἀρέσκουσιν, θυμήρη Lehrsius] ἀρέσκουσα θυμήρει

παρὰ τὸ ἄρω, θυμαρής. καὶ οὕτως ἀνέγνωμεν "Εὔμαιος δ' ἄρα οἱ σκῆπτρον θυμαρές" (Od. 17, 199) διὰ τοῦ ᾱ. οὐ γάρ ἐστι παρώνυμον διὰ τοῦ ηρης· τὰ γὰρ διὰ τοῦ ηρης καὶ ωδης παρώνυμα βαρύνεται, ξιφήρης ὀλιγήρης τοξήρης ὀνώδης καὶ βοώδης.

337. ἀνήγαγεν] ὅτι οὕτως εἴωθε λέγειν ἀναγωγὴν καὶ ἀνάπλουν τὸν ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν πλοῦν, διὰ τὸ τὰ πρὸς ἄρκτους ὑψηλότερα εἶναι.

339. ἢ οὐχ Ἑλένης ἕνεκ'] πρακτικὸς ὁ λόγος, δεικνὺς τὸν Ἀγαμέμνονα ἢ ἀσύνετον ἢ ἄδικον. εἰ μὲν γὰρ μικρὸν ἡγεῖται τὸ ἀδικηθῆναι περὶ γυναῖκα, πολεμεῖν οὐκ ἔδει περὶ Ἑλένης· ἀσύνετος οὖν ἐστὶ περὶ μικρᾶς αἰτίας πολεμῶν. εἰ δὲ χαλεπὸν καὶ μέγα, πῶς ἅπερ παθὼν ὑπ' ἀλλοφύλων ἀγανακτεῖ, ταῦτα εἰς τοὺς φίλους ποιῶν οὐκ ἀδικεῖν νομίζει; καὶ πρῶτον μὲν ἀπαριθμεῖται τὸ ἀχάριστον, εἶτα τὴν ὕβριν.

342. τὴν αὐτοῦ φιλέει] ὁ Ἀσκαλωνίτης δασύνει, σύνθετον ἐκδεχόμενος τὴν ἀντωνυμίαν· διὸ καὶ τὰς τοιαύτας κατὰ διάλυσιν ἀναγινώσκομεν "καὶ μαχόμην κατ' ἔμ' αὐτὸν ἐγώ" (Il. 1, 271) καὶ "πυκάσασα ἓ αὐτήν" (Il. 17, 551). τί οὖν ἐστὶν ἐνθάδε λέγειν; ἢ ὅτι λείπει ἡ ἕο, ὡς τὸ "ἕο τ' αὐτοῦ πάντα κολούει" (Od. 8, 211). οὕτως καὶ ἐνθάδε "τὴν ἕο αὐτοῦ φιλέει."

343. δουρικτήτη ὡς ἀριγνώτη, ἵνα τοῦ δουρίκτητος παρώνυμον ᾖ· οὕτως γὰρ φιλεῖ σχηματίζειν ὁ ποιητὴς, ἀμφιρύτη περιξέστη.

345. *εὖ εἰδότος] καλῶς ἐπισταμένου μου ὅτι ἀπατεών ἐστιν.

347. φραζέσθω] πρὸς τὸ ἐν Ὀδυσσείᾳ (8, 75) ζητούμενον νεῖκος Ὀδυσσῆος καὶ Πηλείδεω Ἀχιλῆος, ὅτι ἐμφαίνει καὶ νῦν ἀναιρῶν τὴν ἐπιχείρησιν τῶν περὶ Ὀδυσσέα λεγόντων βουλῇ καὶ λόγῳ αἱρεθῆσεσθαι τὴν πόλιν. νῦν γὰρ οἷον ἐπισαρκάζων λέγει.

349, 350. ἐν τῷ περὶ Ἰλιάδος καὶ Ὀδυσσείας ὁ Ἀρίσταρχος προφέρεται καὶ ἤλασεν ἔκτοθι τάφρου, καὶ ἐν τῷ ἑξῆς περὶ δὲ σκόλοπας κατέπηξεν. εἰσὶ δὲ οὐκ ἄτοποι αἱ γραφαί.

*Ἀρίσταρχος καὶ ἤλασεν ἔκτοθι τάφρου.

2. διὰ τοῦ ᾱ] ὀξυτόνως addit Etym. M.
16. διὸ] *ἀγνοῶν ὅτι Ὅμηρος οὐδέποτε συνθέτῳ κέχρηται ἀντωνυμίᾳ· διὸ
20. ἕο αὐτοῦ] ἑαυτοῦ
25. ἀναιρῶν] ἀναίρων
26. Ὀδυσσέα Lehrsius] ὁδυσσέως
28. ἐν τῷ περὶ Ἰλιάδος καὶ Ὀδυσσείας] Inscriptio libri aliunde non cogniti, quam iure miratur Bernhardyus in Hist. Lit. Gr. vol. 1 p. 195.

350. *βραχὺ διασταλτέον ἐπὶ τὸ εὐρεῖαν πρὸς ἔμφασιν.

353. ἀπὸ] δύναται τῇ γενικῇ συντάσσεσθαι, καὶ μὴ πάντως σημαίνειν τὸ ἄπωθεν.

354. Σκαιάς τε πύλας] ὅτι πληθυντικῶς εἶπε τὴν πύλην μίαν οὖσαν. Σκαιαὶ δὲ καὶ Δαρδάνιαι αἱ αὐταί. ἡ δὲ δρῦς πρὸ τῆς Ἰλίου ἦν.

356. *πολεμιζέμεν] γράφεται καὶ πολεμίζειν.

358. *ἀντὶ τοῦ κινήσαντος.

360. Ἑλλήσποντον] ἀντὶ τοῦ δι' Ἑλλησπόντου. Ἑλλήσποντος δέ ἐστιν ἡ ἐν τοῖς στενοῖς θάλασσα παρακειμένη τῇ Τροίᾳ, οὕτως προσαγορευθεῖσα ἀπὸ Ἕλλης τῆς Φρίξου ἀδελφῆς.

ἰχθυόεντα] καὶ ἀλλαχοῦ ταῦτα τὰ μέρη ἰχθυώδη ἀναγράφονται, ὅ τε Εὔξεινος πόντος καὶ ὁ Ἑλλήσποντος, ἀλλὰ καὶ ὁ Βόσπορος.

364. ἔστι δέ μοι μάλα πολλά] ἀντίθεσιν ποιεῖται τῶν δώρων Ἀγαμέμνονος, ὅτι μοι, φησὶν, οὐ χρεία αὐτῶν ἔχοντι πολλά, τοῦτο μὲν τὰ τοῦ Πηλέως, τοῦτο δὲ ἅπερ ἐκ τῶν Τρωϊκῶν λαφύρων ἐδέξατο.

ὅτι τὸ ἔρρων οὐ λέγει ψιλῶς παραγινόμενος, ἀλλὰ δυσαρεστῶν τῇ παρουσίᾳ φησὶν, ἐνθάδε μετὰ φθορᾶς παραγινόμενος.

366. πολιόν] λαμπρόν· ὀξυνθεὶς γὰρ ὁ σίδηρος λευκότερος γίνεται.

367. *ἄσσ' ἔλαχόν γε] γράφεται καὶ ἄσσα λέλογχα.

ὅτι παραπλησίως καὶ κατ' ἀρχὴν τῆς μήνιδος λέγει "τῶν δ' ἄλλων ἅ μοί ἐστι" (Il. 1, 300). τὰ μὲν γὰρ ἄλλα κατὰ κλῆρον ἔλαβε, τὴν δὲ Βρισηΐδα ἐξαίρετον παρ' Ἀγαμέμνονος.

368. *ἐφυβρίζων] γράφεται καὶ ἐνυβρίζων.

371. ἐξαπατήσειν] διὰ τί ἐξηπατῆσθαί φησιν ὁ Ἀχιλλεὺς ὑπὸ τοῦ Ἀγαμέμνονος, ἀφαιρεθεὶς δὲ τοῦ γέρως; ἥκιστα γὰρ ἡ ὕβρις ἀπάτη. ἢ ὅτι τέως φίλος ὢν ἀνεφάνη ἐχθρὸς, ταύτην λέγει τὴν ἀπάτην, παρακελευόμενος τῷ Ὀδυσσεῖ φυλάττεσθαι καὶ μὴ προσέχειν ὡς φίλῳ. καὶ τὸ δόντα μέντοι ἔπειτα ἀφελέσθαι ἀπάτη ἐστίν· ὃ γὰρ ἔφησεν, οὐκ ἐποίησεν.

372. αἰὲν ἀναιδείην ἐπιειμένος] δύναται μὲν συνάπτεσθαι τῷ ἐπάνω στίχῳ, ὡς καὶ τέτριπται. βέλτιον δὲ καθ' αὑτὸ προφέρεσθαι· μᾶλλον γὰρ ἐμφαίνει τὸν ὀργιζόμενον.

15. *φησὶν] om. 26. γράφεται addidit Bekkerus.

375. ἐκ γὰρ δή] παρατηρητέον ὅτι ἐμφαντικώτεροι γίνονται οἱ λόγοι θᾶσσον διακοπτόμενοι· ἡ γὰρ ὀργὴ μᾶλλον παρίσταται διὰ τοῦ τοιούτου. ἐν γοῦν τοῖς τέσσαρσι στίχοις ἐφεξῆς ὀκτώ εἰσιν αὐτοτελεῖς λόγοι καὶ τοσαῦται αἱ στιγμαί, ἕως τοῦ ἐν καρὸς αἴσῃ.

376. ἐξαπάφοιτ'] ἐξαπατήσειεν. ἡ μεταφορὰ ἀπὸ τῶν ταῖς ἀφαῖς φιλοφρονουμένων. εὐηθείας γάρ ἐστι τὸ ἅπαξ ἀπατηθῆναι ὑπὸ φίλου, τὸ δὲ δὶς μωρίας. ὅρα δὲ ὡς ἐπιμένει πάλιν τῇ ἀφαιρέσει.

378. ὅτι συνέσταλται Ἰακῶς ἐν καρός ἀντὶ τοῦ ἐν κηρός· ὅμοιον γάρ ἐστι τῷ "ἶσον γάρ σφισι πᾶσιν ἀπήχθετο κηρὶ μελαίνῃ" (Il. 3, 454). οἱ δὲ κάρα τὸν φθεῖρα. οἱ δὲ ἀπὸ τῶν Καρῶν τοῦ ἔθνους, οὓς ἀεὶ λοιδορεῖ ὁ ποιητής. ἢ ὅτι Ἀθηναῖοι τὸν ἐγκέφαλον οὔτε ἧσθιον οὔτε ὠνόμαζον· ἔγκαρος οὖν τοῦ ἐγκεφάλου. ἢ ὡς ἔνιοι, ἐν τάξει μισθοφόρου· πρῶτοι γὰρ Κᾶρες ἐπολέμησαν ἐπὶ μισθῷ καὶ ἔδοξαν εἶναι ἀτιμότατοι.

379. ἤτοι καθ' ἑαυτὰ προενεκτέον ταῦτα, ἵνα ἄνωθεν κοιναὶ λαμβάνωνται ἀρνήσεις· "οὐδέ τί οἱ βουλὰς συμφράσσομαι, οὐδ' ἂν ἔτ' αὖτις ἐξαπάφοιτ' ἐπέεσσιν, οὐδ' εἴ μοι δεκάκις τε" καὶ τὰ ἑξῆς. διασταλτέον καθ' ἕκαστον, ἢ ὑποστικτέον πάντα ἕως τοῦ "ψάμαθός τε κόνις τε," ἵνα ἀνταποδίδωται "οὐδέ κεν ὣς ἔτι θυμὸν ἐμὸν πείσῃ."

381. γράφεται οὐδ' ὅσ' ἐς Ὀρχομενόν καὶ οὐδ' ὅσα Θήβας.

382. *ὄθι] γράφεται καὶ ᾗ ἀντὶ τοῦ ὄθι.

383. ἀν' ἑκάστας] ὅτι ἀν' ἑκάστας πληθυντικῶς τὰς πύλας, ὡς εἶναι ἑκατὸν τάγματα. οὕτως δὲ ἀν' ἑκάστας δεῖ γράφειν· οὐδέποτε γὰρ ἑνικῶς Ὅμηρος πύλην φησίν, ἀλλὰ πύλας.

*Ἀρίσταρχος ἑκάστας, ἄλλοι δὲ ἑκάστην.

385. καὶ οὗτος ὁ στίχος δύναται καθ' ἑαυτὸν λέγεσθαι, ἢ σὺν τῷ ἑξῆς ὑποστιζόμενος κατὰ τὸ τέλος. ἡ διπλῆ πρὸς τὴν διαφορὰν τῆς ψαμάθου καὶ ἀμάθου, ὅτι ἡ παραθαλάσσιος ψάμαθος, κόνις δὲ ἡ πεδιὰς ἄμμος· καὶ οὐ δὶς τὸ αὐτὸ λέγει.

388. ἤτοι στικτέον ἐπὶ τὸ Ἀτρείδαο, καὶ ἀπ' ἄλλης ἀρχῆς τὰ ἄλλα ἀναγνωστέον, εἶτα ὑποστικτέον ἐπὶ τὸ ἐρίζοι καὶ ἰσοφαρίζοι, τῆς ἀνταποδόσεως οὔσης "οὐδέ μιν ὣς γαμέω·" ἢ διασταλτέον βραχὺ ἐπὶ τὸ Ἀτρείδαο.

11. *ἤ] om.
12. ἤ ὡς] ἄλλως ἤ ὡς
20. οὐδ' ὅσ' ἐς Ὀρχομενὸν] οὐδ' ὅσ' ἐρχομενόν: sed in marg. exter. οὐδ' ὅσ' ἐς ὀρχομενὸν οὐδ' ὅσα θήβας.
29. οὐ δὶς Lehrsius] οὐδεὶς, cum η super utroque οὐ, i. e. ἠδ'.

392. *εἰς ἁπλῆν μεταλαμβάνεται ἡ ἀντωνυμία, ὅστις αὐτῷ· περισπασθήσεται οὖν. δείκνυται δὲ ἐν τοῖς περὶ ἀντωνυμιῶν ὡς ὅτι ἡ ἐμοί ἐπὶ δοτικῆς καὶ ἔτι ἡ σοί ὀξύνονται, ἡ δὲ οἷ περιεσπάσθη ἀνακολούθως.*

393. *σώσι*] *Τυραννίων προπερισπᾷ ὡς νοῶσιν, ὡς ἀπὸ τοῦ σοῶ περισπωμένου, ἐπεὶ, φησὶ, καὶ τὸ εὐκτικὸν κατὰ ἀποκοπὴν εἶπεν "ἤ κέ σφιν νῆάς τε σοῷ καὶ λαὸν Ἀχαιῶν" (424) καὶ τὸ δεύτερον "ὅππως κεν νῆάς τε σοῷς καὶ λαὸν Ἀχαιῶν" (681). Ἀπίων δὲ διὰ τοῦ ᾱ γράφει, ἐπεὶ καὶ ἐν ἄλλοις οὕτως εὑρίσκεται· "σάωσε δὲ νυκτὶ καλύψας" (Od. 5, 103) καὶ "ἀλλὰ σάω μὲν ταῦτα, σάω δ' ἐμέ" (Od. 13, 230). καὶ ἐπὶ μέλλοντος "κερδαλέης, εἴ τίς κεν ἐρύσεται ἠὲ σαώσει" (Il. 10, 44). ἡ δὲ πλείων χρῆσις, ὧν ἐστὶ καὶ ὁ Ἀσκαλωνίτης, ὡς σώζωσι. καὶ δῆλον ὅτι τοῦ σώωσι συστολὴν αὐτοὺς δεῖ παραδέξασθαι. πρόδηλον κἀκ τῆς μετοχῆς· "τὼ δ' ἑτέρω ἑκάτερθεν ἴτην σώοντες ἑταίρους" (Od. 9, 430.)*

394. **Ἀρίσταρχος γυναῖκά γε μάσσεται.*

395. *Ἑλλάδα*] *Ἀρίσταρχος παρ' Ὁμήρῳ Θεσσαλίαν μόνην τὴν Ἑλλάδα φησὶν εἶναι καὶ Ἕλληνας τοὺς Θεσσαλούς, παρακολουθῶν Θουκυδίδῃ, καὶ ἀθετεῖ τὸν στίχον τοῦτον "ἐγχείῃ δ' ἑκέκαστο Πανέλληνας καὶ Ἀχαιούς" (Il. 2, 530). καὶ ἐν ἐκείνῳ δὲ τῷ τόπῳ πάλιν ἀκούει "φεῦγον ἔπειτ' ἀπάνευθε δι' Ἑλλάδος εὐρυχόροιο" (478). ὅτι τὴν Θετταλικὴν οὕτως λέγει μόνην, τὴν δὲ ὅλην ἤπειρον οὐκ οἶδεν οὕτως καλουμένην. νόθα οὖν ἐκεῖνα "ἐγχείῃ δ' ἑκέκαστο Πανέλληνας καὶ Ἀχαιούς" (Il. 2, 530) "καθ' Ἑλλάδα καὶ μέσον Ἄργος" (Od. 4, 726.)*

397. **ἐθέλοιμι*] *Ἀρίσταρχος ἐθέλωμι.*

398. *ἔνθα δέ*] *δύο μέρη λόγου· "ἔνθα δέ τοι θάνατος" (Il. 20, 390) "ἔνθα δέ κ' αὖθι μένων" (Od. 5, 208) "ἔνθα δὲ νῦν τρέψας ἀπὸ τείχεος" (Il. 22, 16).*

399. **γήμαντι*] *οὕτως Ἀρίσταρχος κατὰ δοτικήν. ἄλλοι δὲ γήμαντα.*

μνηστὴν ἄλοχον] *τὴν γὰρ Ἀγαμέμνονος οὐ λογίζεται μνηστὴν, ἐπεὶ δῶρον δίδοται.*

1. αὐτῷ] ὅμως δὲ ὀρθοτονήθη addit Lehrsius.
4. σοῦ] σωῶ
5. ἤ κέ σφιν] ἦ καί σφιν
6. σοῷ—σοῷς] σοῶ—σώῳς
9. σάω μὲν] σαώσωμεν
13. τὼ δ' ἑτέρω] τὸ δ' ἕτερος
19. ἐν addidit Vill.
20. φεῦγον] φεύγων
21. Θετταλικὴν] Θετταλίαν Vill.
25. ἐθέλωμι] ἐθέλωμαι

400. τὰ γέρων ἐκτήσατο Πηλεύς] "πατρῷ' ἔχειν δεῖ τὸν καλῶς εὐδαίμονα." φησὶν οὖν ὡς μᾶλλον αἱροῦμαι πατρίδος καὶ τῶν ἐμῶν κτημάτων ἀπολαύειν ἢ πολεμεῖν.

401. οὐ γὰρ ἐμοὶ ψυχῆς] ὅτι τινὲς γράφουσιν οὐ γὰρ ἐμῆς ψυχῆς. ἀλαζονικὸς δὲ ὁ λόγος, οὐδὲν τῆς ἐμῆς ψυχῆς ἄξιόν ἐστιν. ἄμεινον οὖν ἐμοί γράφειν.

*ἐνίους φησὶν ὁ Ἀρίσταρχος γράφειν ἐμῆς ψυχῆς, οὐκ εὖ.

404. ἀφήτορος] οἱ μὲν ἀσαφήτορος, οἱ δὲ τοῦ στροφέως, παρὰ τὸ τοὺς εἰσιόντας προσκυνεῖν ἐφαπτομένους. ἢ ὁμοφήτορος, ὁμοίως πᾶσι προφητεύοντος καὶ μαντευομένου, τῷ τε πένητι καὶ πλουσίῳ. ἢ τοξικοῦ, ἀπὸ τῆς τῶν βελῶν ἀφέσεως.

πρὸς τοὺς γλωσσογράφους, ἀφήτορος τοῦ στροφέως ἀποδιδόντας. καὶ Ζηνόδοτος δὲ οὕτως ἐκδέδεκται· τὸν γὰρ ἑξῆς μετέγραφε "νηοῦ Ἀπόλλωνος." ἀφήτορα δὲ τὸν Ἀπόλλωνα ἐπιθετικῶς, οὐ κοινότερον, ἀλλὰ τὸν Πύθιον, οἷον ὁμοφήτορα, διὰ τὸ εἰς λόγους ἔρχεσθαι τοῖς χρησμῳδουμένοις.

405. *Φοίβου Ἀπόλλωνος] ὅτι γράφει Ζηνόδοτος νηοῦ Ἀπόλλωνος.

Πυθοῖ ἔνι] πόλις Πυθὼ Φωκίδος, ἧς οἱ οἰκήτορες Δελφοί. ἔστι δὲ ἱερὰ Ἀπόλλωνος. κέκληται δὲ ἤτοι ἀπὸ τοῦ πυνθάνεσθαι τῆς Πυθίας τοὺς μαντευομένους, ἢ ἀπὸ τοῦ τοξευθέντα τὸν τοῦ χρηστηρίου φύλακα δράκοντα ὑπὸ Ἀπόλλωνος αὐτόθι πυσθῆναι, ὅ ἐστι σαπῆναι.

406. λῃϊστοὶ] ἀπὸ λείας κτητοί· λεία δὲ λέγεται κυρίως τὰ τῶν πολεμικῶν λαφύρων κτήματα.

409. *ἐλετή] ἀντὶ τοῦ οὐ δεκτική.

ἐπεὶ ἄρ κεν] ἐπὰν ἅπαξ φθάσῃ παρελθεῖν τὸν περίβολον τῶν ὀδόντων· διὰ γὰρ τοῦ στόματος ἔξεισι τὸ ψυχικὸν πνεῦμα.

416. ἀθετεῖται, ὅτι νομίσας τις κρέμασθαι τὸν λόγον προσέθηκεν αὐτόν. καὶ γὰρ κατὰ τὸ κοινὸν ἐπιλέγεται "οὐδέ κέ μ' ὦκα." δεῖ οὖν κοινὸν λαβεῖν τὸ ἔσται ἀπὸ τοῦ προκειμένου τοῦ ἄφθιτον ἔσται.

*οὐδὲ παρὰ Ζηνοδότῳ ἐφέρετο.

1. πατρῷ'] πατρῷα A. Est versus Menandri ap. Stobaeum Flor. 68, 28.
2. *φησὶν οὖν] φησὶ γοῦν
17. ὅτι om. A, sed praefixam versui habet διπλῆν περιεστιγμένην.
22. *πυσθῆναι] πυθῆναι
30. κατὰ τὸ κοινὸν] κατὰ τὸ περισσὸν Lehrsius.
κέ μ'] κ᾽

417. καὶ δ' ἂν τοῖς ἄλλοισιν] τοσοῦτον ἀπέχει πειθοῦς, τεχνικῶς δὲ τοὺς ἄλλους ἀφίστησι, τὸ ἀδύνατον τῆς ἁλώσεως προβαλλόμενος.

419. *ὅτι θηλυκῶς τὴν Ἴλιον.

420. χεῖρα ἑὴν ὑπερέσχε] ὑπερασπίζει· ἐν χερσὶ γὰρ αἱ ἀσπίδες. μεγάλη δὲ ἡ φαντασία, ὡς οὐ μόνον συλλαμβάνοντος τοῦ Διὸς, ἀλλὰ καὶ τὴν χεῖρα ὑπερέχοντος.

425. ἑτοίμη] εὔληπτος, φανερὰ, ἕτοιμος. λέγει δὲ τοῦτο, ὅτι ματαία ἐστὶν αὕτη ἡ γνώμη ἣν ἐποίησαν οἱ Ἕλληνες, πέμψαντες ὑμᾶς πρέσβεις πρός με ὡς δυναμένους με πεῖσαι.

426. ἀπομηνίσαντος] ἕν ἐστιν ὡς ἀπομανέντος· καὶ γὰρ τὴν εὐθεῖαν οὕτως οἶδεν "ἀπομηνίσας" (Il. 2, 772). οὕτως οἶδε καὶ ὁ Ἀσκαλωνίτης καὶ Ἀλεξίων. καὶ εἰ παρέλκει δὲ ἡ ἀπό, οὕτως ἀναγνωστέον.

431. μάλα γὰρ κρατερῶς] ἐμαρτύρησεν ἑαυτῷ ὁ ποιητὴς ὅτι ἀπότομον λόγον τῷ Ἀχιλλεῖ περιέθηκεν. ἄκρως δὲ διέθηκε τὸν Ἀχιλλέως λόγον, φύσει, φρονήματι, ἀξιώματι, ἤθει.

434. μετὰ φρεσὶ βάλλεαι] κατὰ νοῦν ἔχεις.

437. φίλον τέκος] προσαγωγὰ ταῦτα, ὅτι διὰ τὴν φιλοστοργίαν καὶ παρὰ τὸ δέον αὐτῷ πείσεται.

443. μύθων τε ῥητῆρ' ἔμεναι] τὸν τῶν λόγων ῥήτορα διδάσκειν σε εἶναι καὶ δραστήριον ἐν τοῖς ἔργοις.

σημείωσαι ὅτι τὸ ὁμοιοτέλευτον ἔφυγεν ὁ ποιητὴς, μεταβαλὼν τὴν φράσιν· οὐ γὰρ εἶπε μύθων τε ῥητῆρα καὶ ἔργων πρηκτῆρα· καὶ ὅτι πάντων διδακτικὸν εὐβουλία.

446. *ἠβώοντα] οὕτως διὰ τοῦ ω καὶ ο αἱ Ἀριστάρχου.

ὅτι οὐ λέγει νέον κατὰ τὴν ἡλικίαν, ἀλλὰ κατὰ μεσότητα, ἀντὶ τοῦ νεωστὶ ἡβῶντα.

447. Ἑλλάδα] ὅτι πάλιν τὴν Θετταλικὴν πόλιν οὕτως εἶπεν· καὶ ὅτι Ζηνόδοτος τοῖον ὅτε πρῶτον, ἐξ οὗ φανερός ἐστι τὸ νέον ὀνοματικῶς δεδεγμένος.

448. φεύγων νείκεα πατρὸς] Φοῖνιξ ὁ Ἀμύντορος ἐξέπεσε τῆς οἰκείας γῆς δι' αἰτίαν τοιαύτην. τοῦ πατρὸς αὐτοῦ παλλακίδα μὲν ὀνόματι Κλυτίαν ἀγαπῶντος, Ἱπποδάμειαν δὲ, ἐξ ἧς τὸν Φοίνικα

15. *δὲ—ἀξιώματι, ἤθει] γὰρ—ἀξίωμα περιθείς.

17, 18. Scholia contra morem cum lemmatis scripta in marg. inter., proximum vero (l. 20, 21.) sine lemmate.

23. πρηκτῆρα] πρακτῆρα

29. φανερός Vill.] φανερῶς

ἔτεκε, στυγοῦντος, δεηθείσης τῆς μητρὸς τῇ παλλακίδι τοῦ πατρὸς Κλυτίᾳ ἐμίγη. γνοὺς δὲ ὁ Ἀμύντωρ ἐπηράσατο τῷ παιδὶ τέκνων ἀγονίαν. δείσας τε Φοῖνιξ τόν τε πατέρα καὶ τὰς ὑπ' αὐτοῦ γενομένας ἀρὰς φεύγει πρὸς Πηλέα, ὅστις ὑπεδεξάμενος αὐτὸν διὰ τὴν συγγένειαν δίδωσιν αὐτῷ τὴν Δολοπίαν χώραν, καὶ Ἀχιλλέα τὸν υἱὸν μικρὸν ὄντα εἰς ἀνατροφὴν παραδίδωσιν. ἡ ἱστορία παρὰ τῷ ποιητῇ· παρὰ γὰρ τοῖς τραγικοῖς παραλλάσσει.

449. οἱ μὲν ἀνέστρεψαν, ἵνα γένηται περὶ παλλακίδος· οἱ δὲ περιχώσατο ἀνέγνωσαν, ἵνα σημαίνηται τὸ περισσῶς. καὶ οὕτως μᾶλλον ἐπεκράτησεν ἡ παράδοσις. οὕτως δὲ καὶ Ἀλεξίων.

452. *προμιγῆναι] πρὸ τοῦ πατρὸς μιγῆναι. ἢ περισσεύει ἡ πρόθεσις.

453. τῇ πιθόμην] Ἀριστόδημος ὁ Νυσαιεὺς, ῥήτωρ τε ἅμα καὶ γραμματικὸς, φεύγων τὸ ἔγκλημα, ἐπενόησε γράφειν "τῇ οὐ πιθόμην οὐδ' ἔρξα." καὶ οὐ μόνον γε ηὐδοκίμησεν, ἀλλὰ καὶ ἐτιμήθη ὡς εὐσεβῆ τηρήσας τὸν ἥρωα. πρὸ δὲ αὐτοῦ Σωσιφάνης τὴν τοιαύτην εὗρε γραφήν. καὶ Εὐριπίδης δὲ ἀναμάρτητον εἰσάγει τὸν ἥρωα ἐν τῷ Φοίνικι. ταῦτα ἱστορεῖ Ἀρποκρατίων ὁ Δίου διδάσκαλος ἐν ὑπομνήματι τῆς Ἰ.

454. Ἐρινῦς] καταχθόνιαι δαίμονες, τιμωροὶ τῶν πατρικῶν ἀσεβημάτων. τρεῖς δέ εἰσιν, Ἀληκτὼ Τισιφόνη Μέγαιρα. εἴρηνται δὲ παρὰ τὸ ἐκ τῆς ἔρας, ὅ ἐστι τῆς γῆς, εἶναι.

455. *ὅτι τινὲς γράφουσιν ἐμοῖσιν. λέγει δὲ οὐ περὶ ἑαυτοῦ ὁ Φοῖνιξ, ἀλλὰ περὶ τοῦ Ἀμύντορος.

*οὕτως διὰ τοῦ ε ἐφέσσεσθαι.

456. θεοὶ δ' ἐτέλειον ἐπαράς] ὡς μηδὲ ἄκοντας ἀδικεῖν γονεῖς· διὸ οὐδὲ περὶ τοῦ φόνου τῆς Κλυταιμνήστρας φησίν.

ἐπαράς] εἴτε παρέλκει ἡ ἐπί, φυλαχθήσεται ὁ τόνος ὁ αὐτὸς, ὡς "ἐπιβουκόλος ἀνήρ" (Od. 3, 422) καὶ ἐπισμυγερῶς (ib. 195)· εἴτε τὸ ἐξῆς ἐστὶν ἐπετέλουν, οὐκ ἀναστραφήσεται πάλιν, καθότι αἱ συναλειφθεῖσαι οὐκ ἀναστρέφονται, σεσημειωμένου ἐκείνου "στεῦτο γὰρ Ἡφαίστοιο πάρ' οἰσέμεναι" (Il. 18, 191).

457. *Ζεύς τε καταχθόνιος] ὅτι καταχθόνιον Δία τὸν Ἅιδην λέγει.

5. *Δολοπίαν] δολοπείαν

13. ἅμα—γράφειν τῇ οὐ—ἔρξα Cobetus Mnem. nov. vol. 1 p. 58] ἀλλὰ—γραφὴν τὴν τί οὐ—ἔρεξα.

19. ὑπομνήματι τῆς Ἰ. (Ἰλιάδος Heynius) Bastius ad Greg. p. 933] ποιήματι τῆς ī cum signo scholii finiti (+).

ἐπαινὴ] ἐπίφοβος, δεινή· αἰνὸν γὰρ τὸ δεινόν. ἢ ἦν οὐκ ἄν τις ἐπαινήσειεν· ἀντίφρασις ὁ τρόπος. ἢ ὑπερβολικῶς, ἣν ἄν τις ἐπαινῶν παραιτήσαιτο.

462. *ἔνθ' ἐμοί] γρ. ἔνθα μοι.

464. Διονύσιος ὁ Θρᾷξ ἐν τῷ πρὸς Κράτητα διὰ τῆς ἱπποδρομίας (Il. 23, 643) φησὶ γεγραμμένου ἀντιόωντες μεταθεῖναι τὸν Ἀρίσταρχον ἀμφὶς ἐόντες. ὅτι ἠγαπημένος ἦν διὰ τὴν σπουδὴν, ὁ δὲ πατὴρ ἦν ὀργιζόμενος διὰ τὸν ἔρωτα. ἀνεψιὸς δὲ Φοίνικος Εὐρύπυλος.

*ἐν ἄλλῳ ἐγγὺς ἐόντες.

468. *τανύοντο] ἐκτείνονται γὰρ τῷ πυρί.

470. εἰνάνυχες ὡς μονώνυχες, ἀπ' εὐθείας τῆς εἰνάνυξ. εἰ δέ τινα τὸ ἐπιφερόμενον ταράσσει παρὰ νύκτας ἴαυον, ἴστω ὅτι σύνηθες οὕτως πολλὰ λέγειν τῷ ποιητῇ, ποδάνιπτρα ποδῶν (Od. 19, 343), οἶνον ἐνοινοχοεύοντες (Od. 3, 472).

472. ὑπ' αἰθούσῃ] διὰ τῆς ἐν προθέσεως, ἐν αἰθούσῃ, αἱ Ἀριστάρχου· συνάδει καὶ τὸ ἑξῆς "ἄλλο δ' ἐνὶ προδόμῳ." αἴθουσαι δὲ αἱ ὑπὸ ἡλίου καταυγαζόμεναι στοαὶ, παρὰ τὸ αἴθεσθαι, ὅ ἐστι καίεσθαι. διέχεεν δὲ τὴν τάξιν. θάλαμος μὲν γὰρ ὁ ἔσω οἶκος τῆς αὐλῆς, τὸ δὲ πρὸ αὐτοῦ πρόδομος· αἴθουσα δὲ περίστυλον, τουτέστι πρὸς ἥλιον τετραμμένη στοά.

*ἕτερον] ἄλλο παρὰ τὸ τοῦ θαλάμου.

473. ὅτι πάλιν δοκεῖ τὸ ἄλλο πρὸς τὸ ἕτερον συγκεχύσθαι. πιθανεύονται δὲ οἱ λέγοντες τρία φῶτα εἶναι, ἓν μὲν ὑπὸ ταῖς αἰθούσαις, ἕτερον δὲ ἐν τῷ οἴκῳ, ἄλλο δὲ ἐν τῷ προδόμῳ τοῦ οἴκου. ἀπίθανον γάρ φασιν εἶναι ἐν μὲν τῷ προδόμῳ πῦρ εἶναι, ἐν δὲ τῷ οἴκῳ ἐλλείπειν.

475. *θύρας] ὅτι πληθυντικῶς θύρας ἀντὶ τοῦ θύραν.

478. Ἑλλάδος] Ἑλλὰς πόλις ὁμώνυμος τῇ χώρᾳ· "Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες" (Il. 2, 684).

*πρὸς τὴν Ἑλλάδα, ὅτι Φθιωτικὴ πόλις.

480. *ἐς Πηλῆα ἄνακτα] γρ. ἐς Πηλῆα ἄναχθ'.

16. In marg. inter. ἐν ἄλλῳ ἐν αἰθούσῃ, et sic in scholio quoque αἰθούσῃ et αἴθουσαι et αἴθουσσα, et in scholio v. 473.

19. Post τάξιν signum scholii finiti (:—)
*ἔσω οἶκος] ἔποικος
22. ἄλλο] ἄλλο πῦρ Vill.
24. οἱ addidit Friedl.
26. εἶναι post φασιν addidit Vill.

481. ὅτι τὸ ἐφίλησε κατὰ τὴν ἡμετέραν χρῆσιν· καὶ ὅτι πρεσβύτερος Πηλεὺς Φοίνικος.

482. δυσωπητικὰ Ἀχιλλέως ταῦτα, ὅτι μὴ πεισθεὶς ἀτιμάσει τοῦτον ὃν ὁ πατὴρ ἐτίμησεν. ἅμα δὲ καὶ ὅτι ἐν ταῖς φυγαῖς οὐδὲν οὕτως συμβάλλεται ὡς φρόνησις καὶ παιδεία, δι' ἃς ὁ Φοῖνιξ ὑπὸ Πηλέως ἐτιμήθη.

484. Δολόπεσσιν ἀνάσσων] Δολόπων. μέρος τῆς Φθιώτιδος χώρας· διὸ καὶ παραλέλοιπεν αὐτοὺς ἐν τῷ καταλόγῳ.

485. καί σε] οὐκ ἀναγκαῖον ἐνθάδε ὀρθοτονεῖν· οὐδὲ γὰρ ἀντιδιαστολὴ πρὸς ἕτερον πρόσωπον. ἀπολελυμένως οὖν ἀναγνωστέον.

488. *γούνεσσι] οὕτως διὰ τοῦ ε̄, γούνεσσι· ἔχει μέντοι λόγον καὶ ἡ διὰ τοῦ ἄλφα.

489. ὅτι πᾶν τὸ προσεσθιόμενον ὄψον ἔλεγον οἱ παλαιοί, καὶ ὅτι οὐχ ὑπὸ Χείρωνος ἐτράφη ὁ Ἀχιλλεύς, ἀλλὰ τὴν ἰατρικὴν μόνον ἐπαιδεύθη.

492. *Ἀρίσταρχος πολλὰ πάθον καὶ πολλὰ μόγησα.

494. ἀλλὰ σὲ παῖδα] ἐνθάδε ὀρθοτονητέον· ἔμφασις γὰρ δείξεως.

496. ἀλλ', Ἀχιλεῦ, δάμασον] ἐμφαντικῶς τὸ ἀδάμαστον ἐνέφηνε τοῦ θυμοῦ· καὶ ὁ Ἀγαμέμνων φησὶ δμηθήτω (158).

497. στρεπτοὶ] εὐμετάστρεπτοι, εὐμετάβλητοι, εὔπειστοι. ἐναντίον δέ ἐστι τὸ στρεπτοὶ δὲ καὶ θεοὶ αὐτοί τῷ "οὐ γὰρ αἶψα θεῶν τρέπεται νόος" (Od. 3, 147). λύοιτο δ' ἂν προσώπῳ, ὅτι τὸ μὲν αἶψα θεῶν οὐ τρέπεται νόος ὁ ποιητής φησιν, ἐκεῖνο δὲ ὁ Φοῖνιξ λέγει ἐν καιρῷ ὀργιζομένου Ἀχιλλέως εἰκότως, καὶ τοὺς θεοὺς πείθεσθαι.

*στρεπτοὶ] εὐμετάστρεπτοι καὶ ἵλαοι τοῖς μετανοοῦσι.

500. *ἐν ἄλλῳ λοιβῆς τε κνίσης τε.

502. ἀνειδωλοποιεῖ τὰς λιτὰς ὡς δαίμονάς τινας. χωλὰς μὲν οὖν αὐτὰς κέκληκεν διὰ τὸ βραδέως καὶ μόλις προσιέναι καὶ γονυκλινεῖς λιτανεύειν τούτους οὓς ἂν προηδικηκότες ὦσιν.

ῥυσάς τε καὶ διαστρόφους τὰς ὄψεις, ἐπεὶ βραδέως καὶ οὐ γεγηθότι τῷ προσώπῳ οὐδὲ ὀρθῷ τῷ βλέμματι προσορᾶν δύνανται τοὺς

4. *ἐτίμησεν] ἠτίμησεν
20. *θυμοῦ] δεσμοῦ
31. Post ὦσιν signum scholii finiti (:—)
32. ῥυσάς τε] *ῥυσὰς
33. *οὐδὲ] οὔτε

προηδικημένους, παρ' ὧν αἰτοῦνται συγγνώμην. Διὸς δὲ αὐτὰς θυγατέρας γενεαλογεῖ, ὥστε σεβασμιωτέρας φαίνεσθαι.

503. παραβλῶπες] διάστροφοι τοὺς ὀφθαλμούς, ἐπειδὴ οἱ ἱκετεύοντες ὑπὲρ τοῦ ἐλεεινοὺς φαίνεσθαι προσίασιν οἰκτρὰ τὰ σχήματα αὐτῶν καὶ τὰς θέας ἔχοντες. προπερισπαστέον δὲ ὁμοίως τῷ τυφλῶπες· ἀπὸ γὰρ ὀξυνομένης εὐθείας ἐγένετο τῆς παραβλώψ. τὰ δὲ τοιαῦτα καὶ βαρυνόμενα εὑρέθη καὶ ὀξυνόμενα, ὥσπερ τὸ ἑλικῶπες καὶ Κύκλωπες, περὶ ὧν ἐντελέστερον λέγεται ἐν τοῖς περὶ σχημάτων.

504. *ἀλέγουσι] τῶν ἀνθρώπων δηλονότι. ἀλέγουσι φροντίζουσιν, ἵνα ἰάσωνται τὰ ὑπὸ τῆς ἄτης γινόμενα.

505. *ἀρτίπος] ὁ τοὺς πόδας ὁλόκληρος. πρὸ τέλους ἡ ὀξεῖα, ὁμοίως τῷ ἀελλόπος καὶ τρίπος.

*ὅτι οὕνεκα ἀντὶ τοῦ τοὔνεκα.

506. *ὅτι Ζηνόδοτος γράφει φθανέει.

509. ὅτι περισσὸς ὁ δέ σύνδεσμος· διὸ οὐ δεῖ συνεγκλίνειν τῷ ἄρθρῳ τὸν σύνδεσμον.

*εὐξαμένοιο] Ἀρίσταρχος εὐχομένοιο.

512. *ἀποτίσῃ] γράφεται ἀποτίνῃ.

516. ἐπιζαφελῶς] ὡς χαλεπῶς. παρέλκει δὲ πάλιν ἡ ἐπί. ἐχρῆν δὲ, εἰ παρὰ τὸ ζάφελος γέγονε, καὶ ζαφέλως ἡμᾶς ἀνεγνωκέναι βαρυτόνως, ἢ καὶ ἐκεῖνο κατ' ὀξὺν προφέρεσθαι τόνον. ἀλλὰ μήποτε τὸ μὲν ζάφελος προπαροξύνεται λόγῳ τούτῳ, ὡς τὰ εἰς ος λήγοντα συγκείμενα παρὰ τὸ ζα προπαροξύνεται, ζάθεος ζάκοτος· οὕτως ζάφελος. τὸ δὲ ζαφελῶς περισπᾶται, ἐπεὶ τὰ διὰ τοῦ λως ἐπιρρήματα, παραληγόμενα τῷ ε, ὡς ἐπὶ τὸ πλεῖστον φιλεῖ περισπᾶσθαι, ἐντελῶς ἐπιμελῶς, οἷς καὶ τὸ ζαφελῶς συνεξέδραμε. πρόσκειται ὡς ἐπὶ τὸ πλεῖστον διὰ τὸ εὐτραπέλως ἰκέλως.

*ἐπιζαφελῶς] περισπωμένως· τὸ δὲ ζάφελος ὄνομα βαρύνεται.

520. ὅτι οὐ συμπεριλαμβάνει ἑαυτὸν ὁ Φοῖνιξ, ὡς ἂν μηδὲ χώραν ἔχων πρεσβευτοῦ.

522. μὴ ἀποδοκιμάσῃς, μηδὲ ἀποδείξῃς ἀσθενεῖς αὐτοὺς ἐν τοῖς λόγοις, καὶ μὴ ποιήσῃς ἐπονειδίστους αὐτοὺς ὡς μὴ πείσαντας.

523. *μηδὲ πόδας] μηδὲ τὴν ἐνθάδε ἄφιξιν.

4. *ἐλεεινοὺς] ἐλεεινοὶ
7. ἑλικῶπες] ἑλίκωπες
10. ἰάσωνται] ἰάσονται
19. *ἐχρῆν] ἐχθρ

πρὶν δ' αὖτι νεμεσσητόν] ἐπὶ δὲ τῆς προτέρας ὀργῆς οὐ μέμψεως ἄξιος.

526. δωρητοί τε πέλονται παραρρητοί τε] ὡς παραμυθητοὶ καὶ νοητοί, κατ' ὀξεῖαν τάσιν.

527. *ὅτι τὸ νέον νεωστί.

528. τὸ ὡς ἦν δύναται καὶ τοῖς ἄνω καὶ τοῖς ἑξῆς συνάπτεσθαι. ἐὰν δὲ τοῖς ἄνω συνάπτηται, ἔσται, μέμνημαι ὡς ἦν· ἐὰν δὲ τοῖς ἑξῆς, ἔσται ὑπερβατὸν, ὡς δὲ ἦν, ἐν ὑμῖν ἐρῶ.

ὅτι ἠθικῶς καθ' ὑπεξαίρεσιν λέγει ἐν δ' ὑμῖν ἐρέω πάντεσσι φίλοισιν, οἷον οὐδεὶς ξένος πάρεστι, διὰ τὸ κατ' Ἀχιλλέως παραδείγματι χρῆσθαι τῷ κατὰ τὸν Μελέαγρον.

529. Κουρῆτες οἱ ἐν Πλευρῶνι οἰκοῦντες, πόλει τῆς Αἰτωλίας. ὠνομάσθησαν δὲ οὕτως παρὰ τὸ μὴ κείρεσθαι τὰς κάρας.

Κουρῆτες] οὕτως ἀνεγνώσθη ὡς ἀβλῆτες, πρὸς διαστολὴν τοῦ κούρητες Ἀχαιῶν (Il. 19, 248). οὐκ ἐχρῆν δὲ, καθότι οὐ φιλεῖ τὰ εἰς ης λήγοντα ἐθνικὰ ὑπὲρ μίαν συλλαβὴν ὀξύνεσθαι. ἐλέγχεται δὲ καὶ ἡ κλίσις τοῦ κουρῆτες ἐν τῇ κλίσει τῶν ὀνομάτων.

τῆς μέσης συλλαβῆς περισπωμένης οἱ τὴν Πλευρῶνα κατοικοῦντες· "Κουρῆτές τ' ἐμάχοντο·" τῆς δ' αὐτῆς συλλαβῆς βαρυτονουμένης οἱ νεανίαι· "ἅμα δ' ἄλλοις ἦσαν κούρητες Ἀχαιῶν."

Αἰτωλοὶ οἱ Καλυδώνιοι, ἐπεὶ καὶ οἱ Κουρῆτες Αἰτωλοὶ ὑπῆρχον, ἐμφυλίου ὄντος τοῦ πολέμου. ἡ οὖν Καλυδὼν πρώτη πόλις τῆς Αἰτωλίας.

531. ἡ διπλῆ, ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντησε, καὶ ὅτι λείπει ἡ περί, περὶ Καλυδῶνος.

534. *θαλύσια] ἑορτὴ ἐν ᾗ τὰς ἀπαρχὰς τοῖς θεοῖς ἐπιθύουσι τῶν καρπῶν.

Οἰνεὺς Αἰτωλίας δυνάστης τὰς ἀπαρχὰς τῶν ἐτησίων καρπῶν τοῖς θεοῖς θύων Ἄρτεμιν μόνην παρέλιπεν. ἡ δὲ θεὸς ὀργισθεῖσα μέγα τοῖς Αἰτωλοῖς συὸς χρῆμα ἔπεμψεν, ὃς οὐ μόνον τὴν χώραν, ἀλλὰ καὶ τοὺς ἐνοικοῦντας διέφθειρεν. Καλυδώνιοι δὲ καὶ Πλευρώνιοι προῆλθον ἐπὶ τοῦτον. Μελέαγρος δὲ ὁ Οἰνέως πρῶτος ἐπιτυχὼν, γέρας τὰ τοῦ συὸς ἀκροθίνια λαβὼν, τὴν κεφαλὴν καὶ τὸ δέρος,

12–22. Quattuor horum scholiorum ordo in A est 2. 1. 4. 3.

20. ἄλλοις ἦσαν] Corrupte pro ἄλλοι δῶρα φέρον, quod legitur Il. 19, 248.

25. ἐν ᾗ Vill.] ἐπὶ

31. τοῦτον] τ̄τ̄.

32. *τὰ] om.

δέρος (δερ° A)] *δέρμα

Ἀταλάντῃ δι' ἔρωτα δωρεῖται. καὶ γὰρ αὐτὴ συνεξῆλθεν αὐτοῖς ἐπὶ κυνηγίᾳ. οἱ δὲ Θεστίου μὲν παῖδες, ἀδελφοὶ δὲ τῆς Μελεάγρου μητρὸς, Ἀλθαίας, ὀργίλως ἐπὶ τούτῳ διατεθέντες ἐπεβούλευον τῷ Μελεάγρῳ. ὁ δὲ προγονοὺς οὓς μὲν ἀπέκτεινεν, οὓς δὲ εἰς φυγὴν τραπῆναι παρεσκεύασεν· διόπερ οἱ Πλευρώνιοι τοῖς Καλυδωνίοις ἐπεστράτευσαν. Μελέαγρος δὲ κατ' ἀρχὰς τῇ μητρὶ μηνιῶν οὐκ ἐβοήθει τῇ πατρίδι, πορθουμένης δὲ ἤδη τῆς πόλεως πεισθεὶς ὑπὸ Κλεοπάτρας τῆς γυναικὸς, προελθὼν οὓς μὲν ἀνεῖλεν, οὓς δὲ διώκων ἠνάγκασεν ἐκεῖθεν κατὰ κρημνῶν ἐνεχθῆναι. Ἀλθαία δὲ μηνιῶσα τῷ παιδὶ τὴν ὑπὸ Μοιρῶν δεδομένην δᾷδα κατέφλεξεν· ἧν δὲ πεπρωμένον ἐκείνης κατακαείσης καὶ τὸν Μελέαγρον ἀποθανεῖν. φθαρέντος δὲ τοῦ παιδὸς Ἀλθαία μετανοήσασα ἑαυτὴν ἀναιρεῖ.

ἀναλογεῖ ἡ μὲν τὸν κάπρον ἐπιπέμψασα Ἄρτεμις τῷ ἐπιπέμψαντι λοιμὸν Ἀπόλλωνι, οἱ δὲ Κουρῆτες τοῖς Τρωσὶν, ὁ δὲ Μελέαγρος τῷ Ἀχιλλεῖ τῷ νῦν μὲν δεήσεσι μὴ πειθομένῳ, δι' ἀνάγκην δὲ ἴσως βοηθήσοντι διὰ τὰς ναῦς.

537. ἢ λάθετ'] ἐλάθετο, ἑκὼν παρεπέμψατο· οὐκ ἐνόησεν, οὐκ ἔλαβεν εἰς νοῦν. ἡ διπλῆ δὲ, ὅτι Ζηνόδοτος γράφει ἐκλάθε τ' οὐδ' ἐνόησεν, ὥστε τὸ αὐτὸ διλογεῖσθαι. οὐκ ἐνόησε δὲ ὅτι διαφέρει. τὸ μὲν γὰρ ἐλάθετο, ἑκὼν παρέπεμψεν, τὸ δὲ οὐκ ἐνόησεν, οὐδὲ τὴν ἀρχὴν κατὰ νοῦν ἔσχεν.

ἄλλως. ἤτοι ἐννοήσας θῦσαι ἐπελάθετο, ἢ οὐδὲ ὅλως ἐπενόησεν.

539. ἐπὶ] οἱ μὲν ἀναστρέφουσιν, ἵν' ᾖ ἐπῶρσεν· οἱ δὲ ἐκδεξάμενοι χλούνην τὴν χλόην ἐνέκλιναν, ἵνα γένηται τὸ ἑξῆς ἐπὶ τὴν χλούνην.

χλούνην] οἱ μὲν τὸν ἐντομίαν· κνώμενοι γὰρ πρὸς τὰ φυτὰ τρίβονται καὶ ἀγριώτεροι γίνονται. οἱ δὲ τὸν ἐν χλόῃ διάγοντα· τὸν γὰρ οἰκοτραφῆ σίαλόν φησιν· οἱ δὲ τὸν εἰς γῆν καταβάλλοντα τὰ φυτά. ἄλλοι δὲ τὸν ἐπὶ χλούνῃ, χωρίῳ οὕτω καλουμένῳ, ἐνδιατρίβοντα.

540. ἔρδεσκεν] Ἀμμώνιος ἐν τῷ περὶ τῶν ὑπὸ Πλάτωνος μετενηνεγμένων ἐξ Ὁμήρου διὰ τοῦ ζ προφέρεται, ἔρεζεν. ἔθων δὲ εἰθισμένος τοῖς τόποις διατρίβειν. οἰκεία δὲ τιμωρία τῷ περὶ καρποὺς ἡμαρτηκότι.

19. διλογεῖσθαι Lehrsius] δεῖ λογίζεσθαι

22. * ἐπενόησεν] ἐπελάθετο

30. ἔρεζεν] ἔρεξεν, licet in praecedentibus habeat διὰ τοῦ ζ, quod διὰ τοῦ ξ scribendum, si legatur ἔρεξεν

*ὅτι οἱ γλωσσογράφοι τὸ ἔθων ἀποδιδόασι βλάπτων. ἔστι δὲ ἐξ ἔθους ἐπιφοιτῶν.

ψιλῶς τὸ ἔθων, καθότι ἐδιδασκόμεθα καὶ ἐκ τῆς συναλοιφῆς "ἦ ἑ μάλιστ' εἴωθε" (Il. 5, 766). καὶ ἄλλως τὸ ε̄ πρὸ τοῦ θ οὐ δασύνεται, εἰ μὴ εἴη ἀντωνυμικὸν ἐξ ἀποβολῆς τοῦ σ̄, σέθεν ἔθεν. τὴν γὰρ ὑπό τινων φερομένην ἔδων παραιτητέον.

541. *προθέλυμνα] ὅτι ἄλλα ἐπ' ἄλλοις· ἔνιοι δὲ πρόρριζα.

542. ὅτι μῆλα πάντα τὰ ἀκρόδρυα ἔλεγον οἱ παλαιοί, οὐχ ὡς ἡμεῖς εἰδικῶς· καὶ ὅτι εἴωθεν ἡ σύν πρόθεσις ἐλλείπειν.

546. πυρῆς ἐπέβησ'] ἀντὶ τοῦ ἀποκτείνας καυθῆναι ἐποίησεν.

ὅτι ἐκ τοῦ παρακολουθοῦντος σημαίνει ἀνεῖλεν. καὶ ὅτι διὰ πυρὸς ἔθαπτον.

548. ὡς καὶ τῆς κεφαλῆς τῷ δέρματι προσεχομένης. ταῦτα δὲ συνέκειτο δοθῆναι ἀριστεῖα τῷ πρῶτον βαλόντι τὸν σῦν. λαβὼν δὲ αὐτὰ ὁ Μελέαγρος ἐδωρήσατο Ἀταλάντῃ τῇ Ἰάσου, Ἀρκάδι τὸ γένος. λοχήσαντες δὲ αὐτὴν οἱ μήτρωες τοῦ Μελεάγρου ἀφείλαντο τὰ γέρα τῆς κόρης. ἐφ' ᾧ ὀργισθεὶς ὁ Μελέαγρος διεχρήσατο αὐτούς. λυπηθεῖσα δὲ ἐπὶ τοῖς ἀδελφοῖς Ἀλθαία ἡ τοῦ Μελεάγρου μήτηρ κατέφλεξε τὸν ὑπὸ Μοιρῶν αὐτῇ δοθέντα δαλὸν, ὄντα συνεκτικὸν τῆς Μελεάγρου ζωῆς, ᾧ συνδιεφθάρη καὶ ὁ Μελέαγρος.

551. οὐδ' ἐδύναντο] ἐν τῇ Ἀριστοφάνους οὐδ' ἐθέλεσκον. καὶ ἔστιν Ὁμηρικόν· "οὐδ' ἔθελε προρέειν" (Il. 21, 366).

554. οἰδάνει ἐν στήθεσσι] ὅτι ἀντὶ τοῦ οἰδάνειν ποιεῖ, ὅμοιον τῷ "πάντας μέν ῥ' ἔλπει" (Od. 2, 91) ἀντὶ τοῦ ἐλπίζειν ποιεῖ.

οἰδαίνεσθαι ποιεῖ, ὡς τὸ μελάνει. καὶ ὅτι μὲν ἀνθρώπινον τὸ πάθος οἶδεν, ἀλλὰ περιγίνεσθαι παραινεῖ, καὶ ἡμᾶς μὲν αὐτῆς ἐκτρέπει, Ἀχιλλεῖ δὲ συγγινώσκει.

556. καλῇ Κλεοπάτρῃ] Κλεοπάτρα Ἴδα καὶ Μαρπήσσης τῆς Εὐήνου θυγάτηρ, γυνὴ δὲ Μελεάγρου.

562. *ὅτι οὐ τὴν Μάρπησσαν, ἀλλὰ τὴν Κλεοπάτραν.

Κῆϋξ ὁ Φωσφόρου τοῦ ἀστέρος, γήμας Ἀλκυόνην τὴν Αἰόλου, μέγα φρονήσας ἐφ' ἑαυτῷ θεὸς ἐβούλετο νομίζεσθαι· διόπερ ἥ τε γαμετὴ διὰ παντὸς ἐκάλει Δία αὐτὸν, κἀκεῖνος Ἥραν τὴν γυναῖκα.

6. ἔδων Lehrsius] ἔδον. Conf. Eustath. p. 774, 35.
9. εἰδικῶς] ἰδικῶς
14. ἀριστεῖα] ἀρίστια
25. *ὡς τὸ] τὸ om.

Ζεὺς δὲ ἀγανακτήσας μετέβαλεν αὐτοὺς εἰς ὄρνεα χωρὶς ἀλλήλων βιοῦντα· ἐκλήθη δὲ ἡ μὲν ἀλκυόνη, ὁ δὲ κῆϋξ. παρὰ δὲ τοῖς αἰγιαλοῖς τῆς ἀλκυόνης τικτούσης, συνέβη ἐπελθόντα τὰ κύματα τὰ ἔγγονα αὐτῆς κατασύρειν. Ζεὺς δὲ θεασάμενος αὐτὴν κλαίουσαν, κατελεήσας ἐπέταξε τοῖς ἀνέμοις, καθ' ὃν καιρὸν ἡ ἀλκυόνη τίκτει, μὴ πνεῖν μέχρι ιδ' ἡμερῶν τοῦ χειμῶνος αὐξανομένου. οἱ οὖν γονεῖς ἀπὸ τῶν αὐτῇ συμβεβηκότων τὴν Κλεοπάτραν οὕτως ἐκάλουν, ὡς Μεγαπένθην καὶ Εὐρυσάκη καὶ Ὀδυσσέα καὶ Νεοπτόλεμον. "οὔπω" γὰρ "εἰδόθ' ὁμοιίου πτολέμοιο" (440). ἔκλαιεν οὖν ἡ Μάρπησσα καλοῦσα τὸν ἄνδρα Ἴδαν, ὅτε αὐτὴν ἀνήρπασεν ὁ Ἀπόλλων, ἢ ἡ μήτηρ Ἀλθαία.

ἐπώνυμον] ἀντὶ τοῦ φερώνυμον καὶ ἀπὸ συμβεβηκότος οἰκείως κείμενον. τὴν Κλεοπάτραν οὖν, φησὶ, παρωνύμως καὶ Ἀλκυόνην ἐκάλουν διὰ τὸ τὴν μητέρα Μάρπησσαν δίκην ἀλκυόνος κλαῦσαι, ὅτε ἁρπᾳρεῖτο αὐτὴν ὁ Ἀπόλλων.

564. *Ἀρίσταρχος κλαῖε ο μιν, ὅτι αὐτήν.

*οὕτω Ζηνόδοτος χρονικῶς.

*ἀφήρπασε] γρ. ἀνήρπασε.

567. κασιγνήτοιο ὡς Ἀδμήτοιο. τινὲς δὲ προπερισπῶσιν ὡς λευκοῖο, ἵνα γένηται κασιγνητικοῦ· ἡ γὰρ Ἀλθαία, φασὶν, οὐχ ἕνα εἶχεν ἀδελφόν. δύναται μέντοι καὶ τὸ βαρυνόμενον ἐνικὸν ἰσοδυναμεῖν τοῦ κασιγνητικοῦ. ἀδελφοὶ δὲ Ἀλθαίας Ἴφικλος, Πολυφάντης, Φάνης, Εὐρύπυλος, Πλήξιππος.

*οὕτως Ἀρίσταρχος, τοῦ ἀδελφικοῦ.

*ὅτι λείπει ἡ περί. δύναται δὲ καὶ ἑνὸς καὶ πλειόνων ἀδελφῶν.

568. χερσὶν ἁλοία] ταῖς χερσὶν ἔπληττεν· ὅθεν καὶ πατραλοίας ὁ τὸν πατέρα τύπτων. εὔχονται δὲ οἱ ἥρωες τοῖς μὲν οὐρανίοις θεοῖς ἄνω τὰς χεῖρας ἀνίσχοντες "μεγάλ' εὐχετόωντο ἕκαστος" (Il. 8. 347)· τοῖς δὲ θαλασσίοις "πολλὰ δὲ μητρὶ φίλῃ ἠρήσατο

3. *συνέβη] συμβαίνει
*τὰ ἔγγονα] τὰ δὲ ἔγγονα
5. *τίκτει — αὐξανομένου] om., sed addit παρὰ τὸ ἐν ἁλὶ κύειν.
7. *αὐτῇ] αὐτοῖς
8. *καὶ Ὀδυσσέα] καὶ om.
9. *ἡ Μάρπησσα καλοῦσα] om.
10. *ὅτε] ὅτι *ὁ] om.
16, 17. Haec duo scholia in marg. interiore lecta in unum recte coniungit Schmidtius Did. p. 138 ὅτε Ζηνόδοτος χρονικῶς. Ἀρίσταρχος δὲ ὃ μιν, ὅτι αὐτήν.
20. φασὶν Lehrsius] φησὶν
22. Πολυφάντης] Fort. Πολυφόντης.
26. χερσὶν] Huic lemmati praefixus est asteriscus.

χεῖρας ὀρεγνύς" (Il. 1, 351), εἰς θάλασσαν δηλονότι. τοῖς καταχθονίοις δὲ κόπτοντες τὴν γῆν, ὡς ἐνθάδε φησίν.

πολλὰ δὲ γαῖαν] ὅτι οἱ τοὺς χθονίους θεοὺς ἐπικαλούμενοι ταῖς χερσὶ τὴν γῆν ἐπέκρουον.

569. κικλήσκουσ' Ἀΐδην] ὅτι ἐπικαλεῖται μὲν τὸν Ἅιδην καὶ τὴν Περσεφόνην, ὑπακούουσι δὲ αἱ Ἐρινύες ὡς ὑπηρέτιδες.

571. ἱεροφοῖτις Ἐρινύς] ὅτι αἱ Ἐρινύες ὥσπερ ὑπηρέτιδες ὑπακούουσι, καὶ οὐ μάχεται τὸ "κικλήσκουσ' Ἀΐδην καὶ ἐπαινὴν Περσεφόνειαν." ἠεροφοῖτις δὲ ἡ ἐν τῷ σκότῳ φοιτῶσα· αἱ ποιναὶ γὰρ ἀπροοράτως ἔρχονται.

Ἐρινύς παρὰ τὸ ἐν τῇ ἔρᾳ ναίειν καὶ οἰκεῖν, ὅ ἐστι τῇ γῇ· καταχθονία γὰρ ἡ δαίμων. ἢ οἱονεὶ ἀρανύς τις οὖσα, ἡ τὰ αἴσια ἀνύουσα καὶ ἐκτελέουσα.

τὰ εἰς ις παρώνυμα θηλυκὰ, παρακείμενα τοῖς εἰς ης ἀρσενικοῖς βαρυνομένοις, προπερισπᾶται, εἰ φύσει μακρᾷ παραλήγοιτο, πρωθῆβις πολιῆτις ἀλεῖτις πλανῆτις πρεσβῦτις. οὕτως δὲ καὶ ἱεροφοῖτις. ὅσα δὲ παρὰ τὸ πωλεῖν ἐστὶν, ἀνεβίβασε τὸν τόνον, ἀρτόπωλις ἀλφιτόπωλις· ἀλλ' οὖν καὶ ὅσα παρὰ τὸ κεῖτος, παράκοιτις ἄκοιτις. τὸ μέντοι δολόμητις οὐκ ἔστι θηλυκὸν, ἀλλὰ καὶ ἀρσενικόν· καὶ ἴσως τὸ μῆτις ἔγκειται, ὡς τὸ πολύμητις δολόμητις. καὶ ἔστι σύνθετον.

573. *δοῦπος παρὰ τὸ δέος ἐμποιεῖν.

574. *τὸν δὲ λίσσοντο] οὕτως Ἀρίσταρχος, ἐλίσσοντο, δι' ἑνὸς λ.

575. ἱερῆας] ὅτι ἐντεῦθεν Σοφοκλῆς ἐν τῷ Μελεάγρῳ τὸν χορὸν ἀπὸ ἱερέων παρήγαγεν.

576. ἐξελθεῖν καὶ ἀμῦναι] βραχὺ διασταλτέον ἐπὶ τὸ ἀμῦναι, στικτέον δὲ κατὰ τὸ τέλος τοῦ στίχου. ἀπ' ἄλλης δὲ ἀρχῆς ὁπόθι πιότατον, καὶ ὑποστικτέον ἐπὶ τὸ ἐραννῆς.

578. *ὅτι συντελικῶς ἐλέσθαι.

579. πεντηκοντόγυον] πεντήκοντα πλέθρων· γύη γὰρ μέτρον γῆς. οἱ δὲ πεντήκοντα ζευγῶν.

580. ἥμισυ δὲ ψιλὴν ἄροσιν] διὰ τοῦ σ, ψιλῆς γῆς. οὕτως αἱ Ἀριστάρχου. δῆλον δὲ ὅτι ἐλλείπει ἡ εἰς, ἵν' ᾖ εἰς ἄροσιν.

7. ἱεροφοῖτις] Sic in lemmate et in marg. inter. γρ. καὶ ἱεροφοῖτις, ἡ διὰ τοῦ σκότους ἐρχομένη.

11–13. Commenta absurda copiosius exposita in Etym. M. p. 374, 4, ubi v. Gaisf.

29. γύη] Sic A, non γύης

32. ἡ εἰς] ἡ ης

581. ἐπ' ἐμβεβαὼς] εἴτε ἓν μέρος λόγου ἐπεμβεβαώς, ὡς ἐμμεμαώς, εἴτε τῇ ὁδοῦ γενικῇ συνάπτεται, οὐ δύναται ἀναστρέφεσθαι· συνήλειπται γάρ.

583. σείων] πράως κινῶν διὰ τὸ γῆρας, ἢ διὰ τὸ ἐπικίνδυνον, ὡς καὶ τοῖς πολεμίοις μέσον ἦν τὸ τεῖχος· κολλητὰς δὲ σανίδας περιφραστικῶς τὰς θύρας, ἀπὸ τοῦ καλῶς συνηρμόσθαι.

584. κασίγνηται] κατὰ τὸ θηλυκὸν κασίγνηται αἱ Ἀριστάρχου. ἔχει δὲ λόγον καὶ ἡ διὰ τοῦ ō· κατὰ γὰρ Ὅμηρον πλείους εἰσὶν ἀδελφοὶ τῷ Μελεάγρῳ· "οὐ γὰρ ἔτ' Οἰνῆος μεγαλήτορος υἷες ἦσαν, οὐδ' ἄρ' ἔτ' αὐτὸς ἔην, θάνε δὲ ξανθὸς Μελέαγρος" (Il. 2, 641). καὶ συλληπτικῶς μετὰ τῶν ἀρσένων καὶ τὰς ἀδελφὰς ἀκουστέον Γόργην καὶ Δηϊάνειραν.

*κασίγνηται] οὕτως κασίγνηται θηλυκῶς. ἔχει δὲ λόγον καὶ ἡ διὰ τοῦ ō.

586. οἵ οἱ κεδνότατοι] ὅτι σωφρονέστατοι· ὁ δὲ Σιμωνίδης κεδνοὺς τοὺς φίλους.

590. παράκοιτις] καὶ πῶς οὐκ ἄτοπον γυναικὶ μόνῃ πείθεσθαι; ἢ ὅτι ὁ καιρὸς ἦν ὁ πείθων, οὐχ ὁ ἔρως. ὅτι γὰρ οὐ γυναικοκρατεῖται δῆλον· οὐ γὰρ ἐρωτικοῖς αὐτὴ ἐχρήσατο ῥήμασιν, ἀλλὰ πεφθέντος τοῦ θυμοῦ τότε παρακαλεῖ.

593. ἀμαθύνει] ὅτι ἄμαθον ποιεῖ· οὕτως δὲ λέγει τὴν πεδιάσιμον κόνιν· ὁ δὲ Αἰσχύλος ἐπὶ τοῦ διαφθείρειν ψιλῶς τέταχε, περὶ τοῦ Ἀκταίωνος λέγων "κύνες διημάθυνον ἄνδρα δεσπότην." (fr. 239.)

594. *ὅτι Ζηνόδοτος γράφει τέκνα δὲ δήϊοι ἄγουσι.

598. εἴξας ᾧ θυμῷ] ὅτι οὐ τῷ θυμικῷ πάθει λέγει, ἀλλὰ τῇ ἐπιθυμίᾳ. ὑποχωρήσας, ἀντὶ τοῦ οὐκ ἀντιταξάμενος.

601. *χαλεπὸν] γρ. κάκιον.

602. *Ἀρίσταρχος ἐπὶ δώρων, ὅ ἐστι μετὰ δώρων.

605. ὅτι τινὲς προφέρονται τιμῆς ὡς φωνῆς, ἵν' ᾖ τιμήεις. Ὁμηρικὸν δὲ τὸ τιμῆς ἔσεαι ἀντὶ τοῦ τιμῆς μεθέξεις. καὶ ὁ Ἀχιλλεὺς ἀποκρινόμενός φησιν "οὔ τί μέ ταύτης χρεὼ τιμῆς" (607), ἀντὶ τοῦ οὐ χρείαν ἔχω τήν τε τῶν Ἑλλήνων καὶ Ἀγαμέμνονος τιμήν. καὶ ἔστι σολοικισμὸς παρὰ τὰς πτώσεις.

3. συνήλειπται Bekkerus] συνείληπται
18. *ἔρως] ὄνειρος
19. *αὐτὴ] om.
*ἀλλὰ] καὶ
20. *τότε] om.

τιμηθήσῃ ἢ τίμιος ἔσῃ. τινὲς τὸ τιμῆς διὰ τοῦ ῑ γράφουσιν· ἀπὸ γὰρ τοῦ τιμήεις. οὕτως καὶ τὴν αἰτιατικὴν εἶπε "καὶ χρυσὸν τιμῆντα" (Il. 18, 475). καίτοι λόγος ἐστὶν ὡς πᾶσα εὐθεῖα ἀρσενικοῦ ὀνόματος ἐν τῇ τελευταίᾳ δύο ἔχουσα φωνήεντα ταῦτα ἐκφωνεῖ, χωρὶς τοῦ Θρᾷξ. οὐκ ἐπείσθη δὲ ἡ παράδοσις· Ἀρίσταρχος γὰρ ἄνευ τοῦ ῑ. οὐχ ὑγιῶς δὲ γενικὴν ἐκδέχεται, λειπούσης φράσεως· τιμῆς γὰρ, φησὶν, ἄξιος ἔσῃ. ὁ δὲ Χαῖρις βοηθῶν αὐτῷ φησὶν ὅτι ἐπιφέρει "οὔτι με ταύτης χρεὼ τιμῆς."

ἀλαλκών] ὀξυτονητέον· δευτέρου γὰρ ἀορίστου ἐστίν. ὡς ἀγαγών καὶ ἀγαγεῖν, οὕτως καὶ ἀλαλκών καὶ ἀλαλκεῖν.

607. *ὅτι τὸ ἄττα προσφώνησίς ἐστι πρὸς τροφέα ἀμετάφραστος.

612. ὅτι Ζηνόδοτος γράφει ὀδυρόμενος, κινυρίζων, οἷον θρηνῶν. ἔστι δὲ οὐχ Ὁμηρικὸν, καὶ παρὰ τὸ πρόσωπον. Ἀρίσταρχος δὲ, μή μοι σύγχει θυμὸν ἐνὶ στήθεσσιν ἀχεύων.

*Ἀρίσταρχος ἐνὶ στήθεσσιν ἀχεύων.

614. ἵνα μή μοι] ὁ Ἀσκαλωνίτης ἀναγινώσκει ἵνα μὴ μοὶ, τὰς δύο βαρυτόνως, οἷον ἵνα μὴ ἐμοί κατ' ὀρθὴν τάσιν· συγκριτικὴ γάρ ἐστι, φησὶν, ὡς πρὸς τὸν Ἀγαμέμνονα. καὶ ὑγιῶς φησίν. ἡ μέντοι παράδοσις ἐγκλιτικῶς ἀνέγνω, ἐπὶ τὴν μή τὴν ὀξεῖαν τιθεῖσα, ὁμοίως τῷ "μή μοι οἶνον ἄειρε" (Il. 6, 264), τῷ μὴ εἶναι ἐν τῇ ἀντωνυμίᾳ τὸ ῑ, ἀλλ' ἀποβεβλῆσθαι. καὶ ὁμοία ἐστὶν ἡ πλάνη τῷ "ἤ μ' ἀνάειρε ἢ ἐγὼ σέ" (Il. 23, 724) καὶ τῷ "τάχα δή με διαρραίσουσι καὶ αὐτόν" (Od. 1, 251), εἴ γε ἐχρῆν καὶ ταῦτα ὀρθοτονεῖσθαι. ἀλλὰ τῷ μὴ ὁρᾶσθαι κατ' ἀρχὴν τὸ ῑ οὕτως ἀνέγνωσαν· τοῦτο γὰρ ἐπακολουθεῖ ταῖς πρωτοτύποις. ἐχρῆν δὲ αὐτοὺς ἐπιγνῶναι ὅτι κρᾶσις δύναται ἐπακολουθεῖν, καὶ οὕτως ῥῶσαι τὴν ὑγιῆ ἀνάγνωσιν.

616. ὅτι τὸ μείρεο ἀντὶ τοῦ μερίζου, πρὸς Ζηνόδοτον μεταγράφοντα "ὁππότε μειρόμενος μέγα δ' ἔστενεν" ἀντὶ τοῦ μέγ' ἐγήθεεν

1. διὰ τοῦ ῑ] In textu in lemmate utriusque scholii non τιμῆς, sed τιμῆς, quod probasse Herodianum patet ex scholio ad 12, 202. Ioanne Alex. p. 8, 30. Arcadio p. 26, 17. Monuit Lehrsius Herod. p. 255.

5. Θρᾷξ] θράξ

15. ἀχεύων] om.

22. τῷ] τὸ, et sic ter deinceps, ut alibi non raro τὸ pro τῷ scriptum in A.

27. ὑγιῆ] ὑγιεῖ

30. ὁππότε] Immo ὅς ποτε

(Il. 7, 127), ἵν' ᾖ στερισκόμενος τῆς στρατείας. οὐ τίθησι δὲ τὸ μείρεσθαι ἀντὶ τοῦ στερίσκεσθαι, ἀλλ' ἀντὶ τοῦ μερίζεσθαι.

617. σὺ δ'] διὰ τί τὸν Φοίνικα οὐκ ἀπολύει ὁ Ἀχιλλεύς; ὅτι γνοὺς παρακεκλῆσθαι αὐτὸν ὑπὸ Ἀγαμέμνονος τῇ πρεσβείᾳ, ἐφοβήθη μὴ μετὰ μείζονος δεήσεως πάλιν ἐκπεμφθῇ, καὶ δὶς ἀτιμάζειν ἀνάγκην ἕξει. οἱ δὲ ὡς ὁμολογούμενον αὐτὸ λαμβάνουσιν, ὅτι ὡς τροφέα αὐτὸν κατέχει.

619. *ὅτι οὐδέν ἐστι μαχόμενον, ἀλλ' αἰδεσθεὶς παραπέπεισται.

621. *ὅτι τὸ ὄφρα νῦν ἀντὶ τοῦ ἵνα κεῖται.

622. ὅτι νόστοιο μεδοίατο λέγει νόστου ἐπιμελοῖντο, πάλιν τῆς ἀφόδου μνείαν λάβοιεν οἱ περὶ τὸν Ὀδυσσέα.

632. καὶ μέν τίς τε κασιγνήτοιο] ὅτι παρεῖται πρόθεσις καὶ πτῶσις ἐνήλλακται, ἀντὶ τοῦ καὶ μέν τίς τε παρὰ κασιγνήτου φονέως. καὶ πρὸς τὸ ἡρωϊκὸν ἔθος.

*Ἀρίσταρχος διὰ τοῦ γέ, καὶ μέν τίς γε. κασιγνήτοιο δὲ κασιγνητικοῦ.

633. *τεθνειῶτος] διὰ τοῦ η̄ αἱ Ἀριστάρχου.

638. ἑπτά] ὅτι Ζηνόδοτος ἐλέγχεται γράφων "ἓξ, ἀτὰρ ἑβδομάτην Βρισηΐδα." χωρὶς γάρ εἰσιν αἱ ἑπτά.

639. *οὕτως ἐπὶ τῇσι ἐν ἁπάσαις, ἐπὶ ταῖς Λεσβίσι.

641. πληθύος ἐκ Δαναῶν] ὅτι Ζηνόδοτος γράφει ἀθρόοι ἐκ Δαναῶν. πῶς δὲ ἀθρόοι ἐληλυθέναι δύνανται δύο ὄντες;

645. *εἴσω] ἔν τισι τῶν ὑπομνημάτων διῃρημένως εἴσαο.

647. ἀσύφηλον] ἀντὶ τοῦ ἐπιρρήματος, μετὰ παραλογισμοῦ ἔβλαψεν. ἔστι δὲ ἀσύφηλος καὶ ὁ ἀπαίδευτος. ἐγένετο δὲ ἀπὸ τοῦ σοφός σοφηλός. σύνθες μετὰ τῆς ᾱ στερήσεως, ἀσόφηλος· μετάβαλε τὸ ō εἰς τὸ ῡ, καὶ γίνεται ἀσύφηλος, ὡς ἄγυρις καὶ ἄγορις.

654. σμύξαι] τὸ καπνὸν διὰ τοῦ πυρὸς ἀνίεσθαι, ὃ καὶ τύφεσθαι καλεῖται. σμύζω δὲ τὸ θέμα, ἢ σμύσσω, ἢ σμύγω.

*οὕτως σμύξαι Ἀρίσταρχος. οἶδε δὲ καὶ τὴν φλέξαι γραφήν.

*ὅτι γρ. καὶ κατά τε φλέξαι.

655. *τὸ μάχης ἑκατέροις δύναται προσδίδοσθαι.

9. ὅτι addidit Bekk.

12. καὶ πτῶσις ἐνήλλακται seclusit Friedl.

13. παρὰ κασιγνήτου φονέως] περὶ κασιγνήτου φόνου Cobetus. In textu est φονῆος superscripto φόνοιο.

15. τίς γε] Pro τίς τε.

30. δὲ addidit Cobetus.

656. ἕκαστος] ὅτι ἥρμοζεν ἐπὶ τῶν δύο λέγειν ἑκάτερος, διὰ δὲ τὸ μέτρον, ἵνα τηρηθῇ τὸ τῆς λέξεως, οὕτως εἴρηται· οὐ γὰρ ἁρμόζει τῷ μέτρῳ τὸ ἑκάτερος. ἢ δεῖ λέγειν ὅτι καὶ ἐπὶ τῶν κηρύκων λέγει ἕκαστος.

657. *σπείσαντες] ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου λείψαντες, καὶ ἐν πολλαῖς τῶν ἀρχαίων.

ἦρχε δ' Ὀδυσσεύς] ὅτι καὶ ἐν τοῖς ἔμπροσθεν ἡγεῖτο Ὀδυσσεύς· "ἡγεῖτο δὲ δῖος Ὀδυσσεύς" (192). καὶ ὅτι οὐ συμπρεσβεύει ὁ Φοῖνιξ, ἐπεί τοι κἂν ἀποπρεσβεύων ἡγεῖτο.

661. ῥῆγός τε] ῥῆξαι τὸ βάψαι. λέγει οὖν βαπτὸν περιβόλαιον, οἱ δὲ, τάπητα. οἰκεία δὲ ἡ κοίτη τῷ γέροντι. καὶ ὁ Νέστωρ καθεύδει "εὐνῇ ἔνι μαλακῇ" (Il. 10, 75). οἱ δὲ ἑταῖροι τοῦ Διομήδους ὑπὸ κρασὶν εἶχον ἀσπίδας, καὶ αὐτὸς "ῥινὸν ὑπέστρωτο βοὸς ἀγραύλοιο" (ib. 155). καὶ ῥηγεῖς οἱ βαφεῖς.

664. ὅτι Ζηνόδοτος γράφει "τῷ δὲ γυνὴ παρέλεκτο Κάειρ', ἣν Λεσβόθεν ἦγε." πῶς δὲ δύναται ἡ Καρίνη Λεσβία εἶναι, εἰ μὴ ἄρα ῥητέον ὅτι τὴν Λέσβον τότε Κᾶρες κατῴκουν;

668. Σκῦρον ἑλών] ὅτι διὰ τούτων καὶ τὴν Σκῦρον πεπολιορκημένην ὑπὸ Ἀχιλλέως μετὰ τῶν ἄλλων πόλεων παραδίδωσιν. Σκῦρος δέ ἐστι νῆσος καὶ πόλις τῆς νῦν μὲν Φρυγίας, πρότερον δὲ Κιλικίας. μία δὲ τῶν Κυκλάδων, ἣν οὐ πορθήσας, ἀλλ' εἰρηνικῶς καταλαβὼν ἐλαφυραγώγησεν.

673, 674. εἶπ' ἄγε μ'] ἤτοι στικτέον κατὰ τὸ τέλος τοῦ στίχου, ἵνα ἀφ' ἑτέρας ἀρχῆς ἀναγινώσκωμεν "ἦ ῥ' ἐθέλει νήεσσι" καὶ ὁ λόγος ᾖ πευστικὸς, ἆρα βούλεται βοηθεῖν; ἢ διασταλτέον ἐπὶ τὸ Ἀχαιῶν, ἵνα ᾖ τοιοῦτος ὁ λόγος, ἄγε εἰπέ μοι εἰ βούλεται βοηθῆσαι.

674. *ἀλεξέμεναι] ἐν ἄλλῳ ἀμυνέμεναι.

678. σβέσαι χόλον] πυρώδης γὰρ ὁ θυμός. ἐντεῦθεν δὲ καὶ ὡρίσαντο οἱ φιλόσοφοι "θυμός ἐστι ζέσις τοῦ περὶ καρδίαν αἵματος."

680. αὐτόν σε] ὁ Ἀσκαλωνίτης ὀρθοτονεῖ τὴν σὲ, ἐπεὶ, φησὶν, ἀεὶ μετὰ τῆς ἐπιταγματικῆς αἱ πρωτότυποι φιλοῦσιν ὀρθοτονεῖσθαι. ἐχρῆν δὲ αὐτὸν ἐπὶ τοῦ πρώτου καὶ δευτέρου προσώπου ὁρίσασθαι, παραιτήσασθαι δέ τινα Ὁμηρικὰ ἄλλως ἀνεγνωσμένα δι' αἰτίαν τινά·

2. ἵνα τηρηθῇ τὸ τῆς λέξεως seclusit Friedl.
20. *Κιλικίας] ἡλικίας

"κελεύετέ μ' αὐτὸν ἑλέσθαι" (Il. 10, 240)· "εἰ μή τίς σ' αὐτόν." ἄλλως τε αἱ πρὸ τῆς αὐτός εἰσιν αἱ ὀρθοτονούμεναι, οὐχ αἱ μετὰ τὴν αὐτός. ἐγκλιτικῶς οὖν ἀναγνωστέον.

ὅτι ἀποτομώτατον τὸ τῆς ἀφόδου, ὅπερ ἐν πρώτοις εἶπεν, ἀπαγγέλλει, τὸ δὲ τελευταῖον, ὅτι ἐὰν συνελασθῶσιν ἕως τῶν αὐτοῦ νεῶν συμμαχήσει, παραλέλοιπεν, ἵνα μὴ ἀμελῶσι τοῦ βοηθεῖν.

681. σόῃς] ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου διὰ τοῦ ᾱ σαῶς, τάχα παρὰ τὸ σαωσέμεν (230) καὶ ἠὲ σαωθῆναι (Il. 15, 503). χρῆται δὲ καὶ ἐκείνῳ· "σόον δ' ἀνένευσεν" (Il. 16, 252). διχῶς οὖν.

*Ἀρίσταρχος σοῷς καὶ σαῷς.

682. *ὅτι τὸ ἠπείλησε νῦν κατὰ τὴν ἡμετέραν χρῆσιν.

685. οἴκαδ' ἀποπλείειν] ὅτι ἀπέστροφε τὸν λόγον· οὐ γὰρ εἶπε δήουσιν, ἀλλὰ δήετε.

*ἀπὸ τοῦ διηγηματικοῦ ἐπὶ τὸ μιμητικὸν μετέβη.

686. Ἰλίου αἰπεινῆς] ἡ διπλῆ, ὅτι θηλυκῶς τὴν Ἴλιον.

688. ἀπορία. ζητεῖται διὰ τί μετὰ τὴν πρὸς Αἴαντα Ἀχιλλέως ἀπόκρισιν Ὀδυσσεὺς οὐ λέγει. ῥητέον οὖν, ὅτι ἐπεὶ αὐτῷ σκληρῶς ἀπεκρίνατο. λεκτέον δὲ καὶ πρὸς τοὺς ζητοῦντας τίνος ἕνεκεν ἄλλοι τινὲς οὐκ ἐπρέσβευσαν, ἀλλ' οὗτοι, ὅτι καὶ αὐτοὶ ἐδόκουν.

688–693. ἀθετοῦνται στίχοι πέντε ἕως τοῦ "αὔριον ἦν ἐθέλῃσιν," ὅτι καὶ νεώτεροι τοῖς νοήμασι, καὶ τῇ συνθέσει πεζότεροι, καὶ ὅτι ὡς ἀπιστησόμενος μάρτυρας ἐπισπᾶται.

688. εἰσὶ καὶ οἵδε] συντέμνει τὸ ἀηδὲς τῆς ὑποθέσεως. καὶ ἄλλως ἵνα μὴ δόξῃ ἀτιμάζειν τοὺς λοιπούς. τούτους δὲ τοὺς στίχους Ἀριστοφάνης ἠθέτει· Ζηνόδοτος τὸν αὔριον μόνον.

693. στικτέον ἐπὶ τὸ ἔφατο. δύναται δὲ καὶ ὑποστίζεσθαι, ἵν' ᾖ ὁ λόγος, ὡς εἶπεν, καὶ οὗτοι μαρτυρήσουσιν. εἰ δὲ μὴ ἐπιτετήδευται ἡ ἀνάγνωσις, οὐ θαυμαστόν· καὶ γὰρ ὅλοι ἀπρεπεῖς οἱ στίχοι.

1. σ' αὐτόν] σαυτόν
5. τῶν addidit Bekkerus.
9. ἐκείνῳ· "σόον] ἐκεῖνο σῶον
10. σοῷς καὶ σαῷς] σόως καὶ σάωις
15. In marg. inter. repetuntur verba ὅτι θηλυκῶς τὴν Ἴλιον.
17. Ὀδυσσεὺς] ὁ, usitato huius nominis compendio.
21. νεώτεροι] νεωτερικοὶ recte Nauck. Aristoph. p. 31 pariterque apud Athen. 6 p. 228 d Ἀριστοφάνης ὁ Βυζάντιος νεωτερικόν (νεώτερον codex) φησιν εἶναι τὸ—.
22. ἀπιστησόμενος] ἀπιστηθησόμενος Nauckius.
23. τὸ] διὰ τὸ Vill.
24. *λοιπούς] λόγους
26–28 ante 23 in A.
27. μὴ addidit Friedl.

694. καὶ τὸν "μῦθον ἀγασσάμενοι" Ζηνόδοτος μὲν οὐ γράφει, Ἀρίσταρχος δὲ ἀθετεῖ.

*μῦθον ἀγασσάμενοι] γράφεται καὶ φρασσάμενοι. Ζηνόδοτος δὲ τὸν στίχον οὐκ ἔγραφεν, Ἀριστοφάνης δὲ ἠθέτει.

ὅτι ἐξ ἄλλων τόπων ἐστὶν ὁ στίχος· νῦν γὰρ οὐχ ἁρμόζει· τότε γὰρ εἴωθεν ἐπιφωνεῖσθαι, ὅταν ὁ αὐθεντῶν τοῦ λόγου καταπληκτικά τινα προενέγκῃται. νῦν δὲ πῶς ἂν ἐπὶ Ὀδυσσέως λέγοιτο τοῦ μηνύοντος τὰ ὑπ' Ἀχιλλέως εἰρημένα;

*ἀγόρευσε] γράφεται ἀπέειπε.

698. μὴ ὄφελες] ἀντὶ τοῦ οὐκ ὄφελες. ἀεὶ δὲ ἀντιστασιώτης τοῦ Ἀχιλλέως ὁ Διομήδης εὑρίσκεται.

*διὰ τοῦ δ. οὕτως Ἀρίσταρχος, μηδ' ὄφελες.

* ὅτι ταῦτα κατὰ τὸ σιωπώμενον ὁ Ἀχιλλεὺς ἀκήκοεν.

699. ἀγήνωρ] ὅτι ἐνίοτε μὲν ἐπὶ ἐπαίνου ὁ ἀγήνωρ, ὁ ἄγαν τῇ ἠνορέῃ καὶ τῇ ἀνδρείᾳ χρώμενος, νῦν δὲ ἐπὶ ψόγου, ὁ ἄγαν ὑβριστικὸς καὶ διὰ τῆς ἀνδρείας ὑπερπεπτωκὼς εἰς ὕβριν.

*καὶ ἄλλως] γράφεται καὶ αὔτως.

700. ἐνῆκας] ἔν τισι τῶν ὑπομνημάτων διὰ τοῦ ᾱ ἀνῆκας· καὶ ἔστιν Ὁμηρικὴ πως ἡ γραφή· "ἄφρονα τοῦτον ἀνέντες" (Il. 5, 761).

709. ὀτρύνων· καὶ δ' αὐτός] ὅτι τὸν λόγον τοῦτον ἀκήκοεν κατὰ τὸ σιωπώμενον ὁ Ἀχιλλεύς. διό φησιν "οὐ γὰρ Τυδείδεω Διομήδεος ἐν παλάμῃσι μαίνεται ἐγχείη" (Il. 16, 74). καὶ ὅτι τῷ ἀπαρεμφάτῳ ἀντὶ τοῦ προστακτικοῦ κέχρηται. καὶ ὅτι τῇ ἐχομένῃ Ἀγαμέμνων ἀριστεύει.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀρισταρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ ἐκ τῶν Νικάνορος περὶ στιγμῆς.

1, 2. Haec in A adiuncta sunt scholio v. 688 post *μόνον*.

1. *τὸν "μῦθον"] τὸ μῦθον*

2. *Ἀρίσταρχος*] *Ἀριστοφάνης* in scholio proximo. Aristarcho fortasse praeiverat Aristophanes, qui versus multos *προηθετηκέναι* dicitur.

10. *οὐκ*] *οὐδ'* Friedl.

19. *"ἄφρονα τοῦτον ἀνέντες"] σὺ δ' ἐπὶ τούτων ἀνῆκε.*

22. *παλάμῃσι*] *παλάμαις*

ΕΙΣ ΤΗΝ Κ.

Αὕτη ἡ ῥαψῳδία ἐπιγράφεται νυκτεγερσία, ἐπαναστάντας τοὺς πρώτους τῶν Ἑλλήνων κατασκόπους πέμψαι γνώμῃ Νέστορος Διομήδη καὶ Ὀδυσσέα.

1. ἄλλοι μὲν—εὗδον] εἰκότως· ἀμφότερα γὰρ ὕπνου ἀγωγὰ, καὶ ὁ ἐκ τῆς μάχης κάματος καὶ ἡ ἐπὶ τῇ ἥττῃ δυσθυμία. παρὰ νηυσί δὲ λέγει, ἐπεὶ οἱ φύλακες ἐκτὸς τῶν νεῶν ἦσαν, οἷς τὸ ἐγρηγορέναι ἀναγκαῖον. οὔτε δὲ οἱ ἀριστεῖς δι' ὅλης τῆς νυκτὸς ἐκάθευδον, ἀλλ' Ὁμηρος τὸ παννύχιοι καὶ πανημέριοι εἴωθε τιθέναι καὶ ἐπὶ τῶν κατὰ μέρος· "παννυχίη γάρ μοι Πατροκλῆος δειλοῖο ψυχὴ ἐφεστήκει" (Il. 23, 105)· "παννύχιοι μὲν ἔπειτα καρηκομόωντες Ἀχαιοί" (Il. 7, 476)· "οἱ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο" (Il. 1, 472).

παραιτητέον τοὺς γράφοντας, ὧν ἐστὶ καὶ Ζηνόδοτος, ὦλλοι μέν, ἢ καὶ τοὺς ὀπωσοῦν βουλομένους δασύνειν· ἔστι γὰρ ὁ ποιητὴς παραλειπτικὸς τῶν ἄρθρων.

5. ὡς δ' ὅταν ἀστράπτῃ] ὅτι παραβάλλει τὸν στεναγμὸν, ὡς δ' ὅταν, οὕτως καὶ ἡ τοῦ Ἀγαμέμνονος ψυχὴ ἐστέναζεν. καθ' ἕκαστα δὲ οὐκ ἐπεξείργασται, διότι οὐκ ἔστι πρὸς ἅπαντα ἡ εἰκών.

6. τῷ πολύν ἐπήνεγκε τὸ ἀθέσφατον αὐξήσεως χάριν. ἔνιοι δὲ στίζοντες μετὰ τὸ ὄμβρον ἀπὸ ἄλλης ἀρχῆς ἀναγινώσκουσιν, ἵν' ᾖ πολλὴν χάλαζαν. βέλτιον δὲ τὸ ἀθέσφατον τοῖς ἑξῆς συνάπτειν ἐπὶ τῆς χαλάζης, καὶ μὴ δύο καθ' ἑνὸς κεῖσθαι ἐπίθετα.

7. νιφετόν] ὅτι οἱ ὑγιῶς χρώμενοι νείφειν μὲν λέγουσι τὸ χιονίζειν, ὄμβρον δὲ τὸν ὑετὸν, χάλαζαν δὲ τὸ ἐν ὑετῷ πεπηγὸς ὕδωρ. διὸ νῦν διαστέλλει ἕκαστον.

ἐπάλυνεν] ἐλεύκανεν, ὡς παλὴ καταπασθεῖσα· οὕτως γὰρ ὀξυτόνως καλεῖται τὸ ἐκπασσόμενον λεπτομερέστατον τοῦ ἀλεύρου.

8. πολέμοιο μέγα στόμα] ἤτοι μεταφορικῶς τὴν ἀρχὴν τοῦ πολέμου, ἢ περιφραστικῶς ὅλον αὐτὸν, διότι πάντων δαπανητικός.

10. νειόθεν ἐκ κραδίης] ἐκ τῶν ἐσωτάτω λογισμῶν· ἔνδον γὰρ ἐν τοῖς ἐπιλογισμοῖς τὰ δεινὰ ὁρῶν καθ' ἑαυτὸν στένει. ἐντεῦθεν κινηθεὶς

8. οὔτε δὲ οἱ] Corrige οὐδὲ οἱ.

21. τοῖς ἑξῆς—χαλάζης] Haec verba exciderunt ex A, versu integro omisso: nam praecedens versus finitur voce ἀθέσφατον, proximus incipit ab καὶ μή. Suppleta sunt ex annotatione brevi marginis inter. βέλτιον τὸ ἀθέσφατον τοῖς ἑξῆς συνάπτειν ἐπὶ τῆς χαλάζης.

23. οἱ addidit Cobetus.

Φιλότιμος σοφιστὴς ἐν καρδίᾳ τὸ ἡγεμονικὸν ἔθετο· ὅθεν γὰρ τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι τὰς ἀρχὰς ἔχει, δῆλον ὅτι ὁ νοῦς ἐκεῖθεν ἤρτηται.

τρομέοντο] ὅτι Ζηνόδοτος γράφει φοβέοντο. τὸν δὲ φόβον εἴωθε λέγειν Ὅμηρος τὴν μετὰ φυγῆς δειλίασιν. ἐλέγχεται δὲ ὁ Ζηνόδοτος ἁμαρτάνων ἐκ τοῦ "ὡς δ' αὔτως Μενέλαον ἔχε τρόμος" (25).

12. θαύμαζεν πυρά] πῶς, φησίν, Ἀγαμέμνων ἐντὸς τοῦ τείχους ὑπάρχων ἐθαύμαζε τὰ πυρὰ, τὴν ἀρχὴν μηδὲ βλέπων αὐτὰ διὰ τοῦ τείχους; καὶ ῥητέον ὅτι ὡς βασιλεὺς ὑψηλοτάτην εἶχε σκηνὴν, ἵν' εὐχερῶς θεωρεῖν πάντα δύνηται.

13. αὐλῶν συρίγγων τ' ἐνοπήν] ὅτι ἐνθάδε καὶ ἐπὶ τῆς ὁπλοποιίας τῶν αὐλῶν μέμνηται· "αὐλοὶ φόρμιγγές τε βόων" (Il. 18, 495). δεῖ δὲ καὶ τὸ ἀκούων προσυπακούειν ἔξωθεν. βραχὺ δὲ διασταλτέον μετὰ τὸ αὐλῶν καὶ ἐνοπήν. ἐσημειώσατο δὲ διὰ τοῦ ἤχου ὅτι παρὰ τοῖς βαρβάροις ἐγινώσκετο τὰ ὄργανα ταῦτα.

17. ἥδε δέ οἱ] τὸ προνοητικὸν αὐτοῦ καὶ ἐν ταῖς συμφοραῖς δηλοῦται, μὴ ἀποφάσκοντος τοῖς δεινοῖς.

18. δείκνυσιν ὅτι καὶ ἐν τοῖς κακοῖς δεῖ καταφεύγειν εἰς σοφίαν. Πάμφιλος δὲ τὴν ἐπί ἀναστρέφει· πιθανώτερον δέ ἐστι τὸ ἀκόλουθον φυλάττοντας ἀναγινώσκειν ἐπὶ πρῶτον Νέστορα. οὕτως ὁ Ἀσκαλωνίτης.

19. *τὸ ἑξῆς ἐστὶν, σὺν αὐτῷ τεκτήναιτο μῆτιν.

σὺν μῆτιν] εἰσὶν οἳ ἀνέγνωσαν καθ' ἓν μέρος λόγου, ὡς εὔμητιν, κακῶς· δύο γάρ ἐστι μέρη λόγου, σύν καὶ μῆτιν. τὸ δὲ ἑξῆς ἐστὶ συντεκτήναιτο μῆτιν.

23. ὅτι ἐπὶ τῷ χιτῶνι λεοντῆν τέθεικεν ἀντὶ τῆς ἀσπίδος. διὸ καὶ ἑξῆς (34) λέγει "τὸν δ' εὗρ' ἀμφ' ὤμοισι τιθήμενον ἔντεα καλά." ἔντεα δὲ ἀπὸ τοῦ ἐντὸς ἔχειν τὸν ἄνδρα. καὶ ὅτι οὐ καθοπλίζονται νύκτωρ, ἀλλ' ἕνεκα φυλακῆς. οἱ δὲ λεοντῆν.

1. *σοφιστὴς] om.
10. *πάντα δύνηται] δύναται πάντα
12. βόων] Legitur βοὴν ἔχον.
14. καὶ ἐνοπήν] καὶ om., sed habet in marg. inter. ubi βραχὺ διασταλτέον μετὰ τὸ αὐλῶν καὶ ἐνοπήν.
18. *δείκνυσιν] om.
24. συντέμουσι (sic A) ante συντεκτήναι τὸ (sic A) delevit Vill.
26. ἀσπίδος] ἐφαπτίδος Lehrsius Arist. p. 145.
29. φυλακῆς. οἱ δὲ λεοντῆν] φυλακῆς ὁ μὲν παρδαλῆν ἐνδύεται (Menelaus v. 29), οἱ δὲ λεοντῆν (praeter Agamemnonem Diomedes v. 177) Lehrsius.

δαφοινὸν] φοβερὸν, καταπληκτικόν. ἢ τὸ ἐκ δαφοινοῦ καὶ καταπληκτικοῦ λέοντος.

25. ὣς αὔτως] κατὰ τὸν αὐτὸν καιρὸν τῷ Ἀγαμέμνονι· ἀλλ' ὁ ποιητὴς τῷ βασιλικωτέρῳ προσώπῳ ἀπένειμε τὴν προτέραν τάξιν τοῦ λόγου, ὥστε καὶ τῶν ἀριστέων οὓς μὲν διήγειρεν ὁ Ἀγαμέμνων, ἀκριβῶς διεξέρχεται, τοὺς δὲ ὑπὸ τοῦ Μενελάου ἐπὶ κεφαλαίου λέγει. ἡ διπλῆ δὲ, ὅτι ἀνταποδοτικόν ἐστι τοῦ ἄνω (10) γράφειν "τρομέοντο δέ οἱ" ἡ δὲ ἀναφορὰ πρὸς Ζηνόδοτον.

αὐτῷ] Τυραννίων τὴν αὐτῷ ἀντωνυμίαν καθ' ἓν ἐλάμβανεν ὡς ἐν τῇ συνηθείᾳ· ὁ δὲ Ἀσκαλωνίτης τὸν αὖ σύνδεσμον παρελάμβανε, καὶ τὸ τῷ ἰσοδυναμοῦν τῷ τούτῳ, ὁμοίως τῷ "τοῦδ' αὖ τοῦ λυκάβαντος" (Od. 14, 161). ἴση δέ μοι δοκεῖ ἡ ἀνάγνωσις εἶναι. ἐπὶ μέντοι τοῦ τοῦδ' αὖ τοῦ λυκάβαντος κατεπεῖγόν ἐστιν αὖ, εἶτα τοῦ ἀναγνῶναι· κωλύεται γὰρ ἐνθάδε ἐμπαραληφθῆναι ὑπὸ τοῦ σημαινομένου τὸ αὐτοῦ.

26. *πάθοιεν] ἐν ἄλλῳ πάθωσιν.

27. ἡ διπλῆ πρὸς τὸ σχῆμα, ὅτι ἀρσενικῶς, πουλὺν ὑγρήν.

29. παρδαλέῃ] πόρδαλις τὸ ζῷον, παρδαλῆ ἡ δορά.

ὅτι στεφάνη εἶδος περικεφαλαίας.

32. *οὕτως Ἀρίσταρχος διὰ τοῦ ν̄ ἀνστήσων.

34. ἔντεα] ὅτι ἔντεα εἴρηκεν ἣν προσυνέστακε λεοντῆν.

35. *νηΐ] ὅτι πτῶσις ἐνήλλακται, ἀντὶ τοῦ παρὰ νεὼς πρύμνῃ.

37. *ὅτι τὸ ἠθεῖε προσφώνησίς ἐστι σεπτικὴ νεωτέρου πρὸς πρεσβύτερον λεγομένη.

38. ὀτρύνεις] ὅτι ἀντὶ τοῦ ὀτρύνων. διῃρημένως δὲ αἱ Ἀριστάρχου τὸ ὀτρυνέεις.

ἐπίσκοπον] Ἀρίσταρχος ὡς κατάσκοπον. Νικίας δὲ ἀναστρέφει τὴν ἐπί, ἵν' ᾖ ἐπὶ Τρώεσσιν. εἰσὶ δὲ οἳ ἀνεγνώκασιν ἐπισκοπόν ὡς ἀγακλυτόν, ἵνα παρέλκῃ ἡ ἐπί. ἄμεινον δὲ τῷ Ἀριστάρχῳ συγκατατίθεσθαι· καὶ γὰρ ἤδη ἡ συνήθεια ἐπίσταται τὴν τοιαύτην σύνθεσιν.

1, 2. Inter gl. interlinearia.]
6. *ὑπὸ] ἐπὶ
7. γράφειν delet Friedl. qui πρὸς τὴν Ζηνοδότου γραφὴν coniecit.
11. τοῦ] om.
13. μέντοι τοῦ τοῦδ' αὖ τοῦ] μέντοι τοῦ δ' αὐτοῦ
15. τὸ Bekk.] τοῦ
18. παρδαλῆ Cobetus] πορδαλῆ
21. προσυνέστακε Lehrsius] προσυνέσταλκε
22. νεὼς] νέ
25. δὲ addidit Cobetus.
26. ὀτρυνέεις] ὀτρύνεις: sed supra v. διῃρημένως ἀρίσταρχος ὀτρυνέεις.
27. ὡς addidit Lehrsius.

χρὴ δὲ νοεῖν ὅτι πολλὴ ἡ χρῆσις τοῦ ὀνόματος παρὰ τῷ ποιητῇ ἐν ἁπλότητι καὶ ἐν συνθέσει· "ὁμωάων σκοπός ἐσσι" (Od. 22, 396) "καὶ ἐπίσκοπος ᾗσιν ἑταίρων" (Od. 8, 163).

41. Δημήτριος ὁ Ἰξίων ἐν ἄλλῳ θρασυκάρδιος.

ἀμβροσίην] θείαν, ἐν ᾗ οἱ βροτοὶ οὐ προΐασιν. διὰ τοῦτο ἡ νὺξ ἀμβρότη.

43. χρεὼ βουλῆς] χρεία συμβουλῆς τινὸς ἐμοὶ καὶ σοί. ἔστι δὲ σολοικισμὸς παρὰ τὰς πτώσεις, ἀντὶ τοῦ ἐμοὶ καὶ σοί.

44. κερδαλέης] ἐπωφελοῦς, συνετῆς, ὠφελίμου. ἢ πανούργου, παρὰ τὴν κερδώ, ὅ ἐστι τὴν ἀλώπεκα· ἔστι δὲ πανουργότατον τῶν ζῴων.

δεῖ, φησὶ, τὰ ἀπὸ τῆς τύχης λειπόμενα ταῖς βουλαῖς ἀντισηκοῦν.

ὅτι περισσὸς ὁ κέν σύνδεσμος, ἢ ῥῆμα ἐνήλλακται, ἀντὶ τοῦ ἥτις ἂν ἐρύσσαιτο. καὶ πρὸς τὸ "ἐνθάδε Σίσυφος ἔσκεν ὁ κέρδιστος" (Il. 6, 153).

45. ἐπεὶ Διὸς ἐτράπετο φρήν] ὅτι φανερῶς ὁ Ζεὺς ἐβοήθει τοῖς Ἕλλησι πρὶν ἱκετευθῆναι ὑπὸ τῆς Θέτιδος· καὶ ὅτι τὸ ἡμιστίχιον ὁ Ζηνόδοτος μετήνεγκεν ἐπὶ τὸν Ἕκτορος λόγον κατὰ τὴν κόλον μάχην (Il. 8, 501).

46. *θῆχ' ἱεροῖσιν] ἔν τισι τῶν ὑπομνημάτων εἶχ' ἱεροῖσιν.

48. μέρμερ'] μερίμνης καὶ φροντίδος ἄξια· καταστρέφει δὲ εἰς τὸ κακά. τὸ δὲ ἐπ' ἤματι Ἀρίσταρχος διὰ τοῦ ν̄, ἐν ἤματι, ὁμοίως τῷ "μηνὶ δ' ἐν οὔλῳ" (Od. 24, 118).

50. *υἱὸς φίλος] λείπει ὑπάρχων.

51, 52. ἀθετοῦνται στίχοι δύο, ὅτι παλιλλογεῖ ταῦτα (δι' ἄλλων γὰρ προείρηται "ὅσσ' Ἕκτωρ ἔρεξε Διὶ φίλος υἷας Ἀχαιῶν") καὶ

4. Scholion manifesto defectum in codicis margine sinistra in versus duo divisum, quorum prior Δημήτριος ὁ Ἰξίων, post quem scholii pars reliqua excidisse videtur, alter ἐν ἄλλῳ θρασυκάρδ[ιος]:—(In alio codice est ὁ Ἰξίων ἐστί γράφει.) In marg. dextra γρ. ἔστιν, in textu codicis ἔσται est, superscripto εἴη. Ex quo colligi potest duo fuisse scholia, alterum Δημήτριος ὁ Ἰξίων "θρασυκάρδιός ἐστι," alterum ἐν ἄλλῳ, "θρασυκάρδιος εἴη," ut coniecit La Roche *Textkr.* p. 135. Eodem plane modo infra ad v. 124 duo sunt scholia, alterum ὁ Ἰξίων μέγ' ἐπέγρετο, alterum ἐν ἄλλῳ μέγ' ἐπέγρετο.

5. *προΐασιν] περΐασιν, omisso οἱ

19. κόλον] κῶλον

22. μερίμνης—κακά] Eadem in marg. int.

23. Ἀρίσταρχος ἐν ἤματι margo inter.

ὅτι ἐπὶ ταυτὸν φέρει δηθά καὶ δολιχόν. καὶ Ἀριστοφάνης προηθέτει.

53. Αἴαντα] ὁ μὲν Δίδυμος τὴν Ἀρισταρχείαν γραφὴν λέγει Αἴαντε δυϊκῶς, ὁ δὲ Τήλεφος λέγει κακῶς εἰρηκέναι τὸν Δίδυμον. οὐ γὰρ ἐπ' ἀμφοτέρους τοὺς Αἴαντας ὁ Μενέλαος πέμπεται.

ὅτι ἐκ τούτων καὶ τῶν τοιούτων τὰ περὶ τοῦ ναυστάθμου ὁ Ἀρίσταρχος ἐπραγματεύσατο. ῥητῶς γὰρ λέγεται πλησίον τοῦ Αἴαντος ὁ Ἰδομενεὺς νενεωλκηκέναι.

54. *ἐπὶ νῆας] Ἀρίσταρχος παρὰ νῆας.

55. *γρ. αἴ κ' ἐθέλῃσι.

56. φυλάκων] ὡς σκυλάκων· ἐπὶ γὰρ τῶν ἀνδρῶν τέτακται, οὐκ ἐπὶ τῶν τόπων.

ὅτι οἱ γλωσσογράφοι ἱερὸν τέλος τὸ μέγα τάγμα. σημαίνει δὲ πλείονα ἡ λέξις, ποτὲ μὲν τὸ τάγμα, ὡς ἐνθάδε, ποτὲ δὲ τοῦ συμπεπληρωμένου πράγματος ἢ ἔργου τὸ τέλος, ποτὲ δὲ τὴν ἐκ τῶν ἐπεισαγομένων ὠνίων φοιτῶσαν ταῖς πόλεσι πρόσοδον, ποτὲ δὲ τὰς ἀρχὰς καὶ τὰ ἀξιώματα, ὡς ἔστιν εὑρεῖν παρά τε Θουκυδίδῃ καὶ Ξενοφῶντι· ποτὲ δὲ τὸ δαπάνημα, ὡς Εὐριπίδης ἐν Πολυείδῳ (fr. 640.) "μάτην γὰρ οἴκῳ σὸν τόδ' ἐκβαίη τέλος" καὶ Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς (p. 73, 8.) "Χερρόνησον δὲ ἐν τοῖς ἑαυτοῦ τέλεσι διορύξει" ποτὲ δὲ τὴν ἑορτήν, ὡς Εὐριπίδης ἐν Μηδείᾳ (1382) "σεμνὴν ἑορτὴν καὶ τέλος προσάψομεν."

ἱερὸν τέλος ὡς ἱερὸν ἰχθὺν τὸν μέγαν. ἱερὸν μὲν οὖν τέλος λέγει τὸ θεῖον τάγμα, ἱερὸν δὲ ἰχθὺν τὸν ἄνετον καὶ ἱερὸν βοῦν ἀπὸ τοῦ ἵεσθαι.

61. στικτέον κατὰ τὸ τέλος τοῦ στίχου, καὶ ἀφ' ἑτέρας ἀρχῆς πευστικῶς τὰ ἑξῆς προενεκτέον.

65. ὅτι τῷ ἀπαρεμφάτῳ ἀντὶ τοῦ προστακτικοῦ, μένειν ἀντὶ τοῦ μένε. τὸ δὲ ἀβροτάξομεν ψιλωτέον ὁμοίως τῷ ἤμβροτες. τινὲς γοῦν κυρίως ἡγοῦνται τὸ βροτοῦ μὴ ἐπιτυχεῖν, ἀλλ' ἁμαρτῆσαι, ὥστε καὶ στέρησιν ἐγκεῖσθαι.

67. φθέγγεο] τεχνικῶς, ἵνα ἐκ τῆς φωνῆς ἐπιγινώσκηται φίλος

3. Ἀρίσταρχος δυϊκῶς Αἴαντε margo inter.
9. οἵκ̃ (sic) σὸν] οἴκων σῶν Cobet.
15. Post ἔργου τὸ τέλος repetit verba ποτὲ δὲ τοῦ συμπεπληρωμένου τάγματος (sic).
24. ἄνετον] Conf. schol. ad 16, 407. ἀνειμένον dixit schol. Aeschyli Pers. 745.
25. ἵεσθαι] ἱεσθαι

ὧν, μή πως ὑπονοήσωσιν ἔφοδον εἶναι πολεμίων. καὶ Νέστωρ πρὸς Ἀγαμέμνονά φησι (85) "φθέγγεο μηδ' ἀκέων ἐπ' ἔμ' ἔρχεο."

καὶ ἐγρήγορθαι ἄνωχθι] τὸ ἐγρήγορθαι ἀνέγνωμεν προπαροξύνοντες, οὐκ ἐχρῆν δέ. εἴτε γὰρ συγκοπή ἐστι τοῦ ἐγρηγορέναι, εἴτε παθητικὸς, ὀφείλει παροξύνεσθαι, καθότι τὰ εἰς θαι λήγοντα ἀπαρέμφατα, ἔχοντα πρὸ τοῦ θ ἀμετάβολον, παροξύνεται, κεκάρθαι τετίλθαι ἐσπάρθαι. μίαν μέντοι ἀφορμὴν ὁρῶ τοῦ δύνασθαι προπαροξύνεσθαι τὸ ἐγρήγορθαι, τὸ τὰ εἰς θαι λήγοντα, τῇ ορ συλλαβῇ παραληγόμενα, μὴ παρ' ἄλλῃ τινὶ διαλέκτῳ ὁρᾶσθαι ἢ τῇ Αἰολίδι, τέτορθαι μέμορθαι ἔφθορθαι· ὅθεν ἐπεὶ ἡ παράληξις Αἰολικωτέρα ἐγένετο, καὶ ὁ τόνος ὁμοίως τοῖς προκειμένοις.

ἄνωχθι] ἐνεστῶτός ἐστι καὶ παρατατικοῦ μᾶλλον ἢπερ παρακειμένου. ἀναλογώτερον δὲ παρὰ Καλλιμάχῳ "ἄνωγε δὲ πορθμέα νεκρῶν." καὶ δῆλον ὅτι μεταβέβληται τὸ γ εἰς τὸ χ ἐν τῷ ἄνωχθι διὰ τὸ θ. ὁ μὲν οὖν Ἀπολλώνιος εἰς ε βούλεται εἶναι τὰ τοῦ παρακειμένου προστακτικὰ, καὶ ἱκανῶς τῷ λόγῳ συνηγορεῖ· ὁ δὲ Ἡρωδιανὸς εἰς θι τοὐναντίον· μηδὲ γὰρ εἶναι τὴν εἰς ε κατάληξιν.

68. πατρόθεν ἐκ γενεῆς] δυσωπεῖ γὰρ ὑπόμνησις προγονικῆς ἀρετῆς καὶ πατέρων πράξεις ἐπαινούμεναι τὸ μὴ καὶ αὐτὸν εἶναι μιμητὴν ἐκείνων, ἀλλὰ καθαιρετικὸν τῆς περὶ αὐτὸν εὐγενείας. ὡς ὅταν λέγῃ "διογενὲς Λαερτιάδη," τὸν πατέρα δηλοῖ, τὸ δὲ διογενὲς τὸν ἀρχηγὸν τοῦ γένους.

ὅτι ἀρχαϊκὴ ἡ συνήθεια, ὥστε εἴ που τοιοῦτον εὑρίσκομεν, εἰδέναι δεῖ ὅτι οὐκ ἐπιθέτου ἔχει χώραν.

75. ὅτι ἔντεα οὐ πάντα τὰ ὅπλα, ἀλλὰ κυρίως μὲν ἀσπὶς καὶ περικεφαλαία, τὰ δὲ δόρατα κατ' ἐπικράτειαν.

*παρὰ τὸ ἐντὸς αὐτῶν εἶναι τὸν φοροῦντα.

77. πὰρ δὲ ζωστήρ] ὅτι δοκοῦσί τινες ταυτὸν εἶναι ζῶμα καὶ ζωστῆρα· οὐκ ἔστι δὲ, ἀλλὰ ζῶμα καλεῖ τὸ συναπτόμενον τῇ μίτρᾳ ὑπὸ τὸν στατὸν θώρακα, τὸ δὲ ἔξωθεν συνδέον πάντα ζωστῆρα. καὶ ὅτι τὸ παναίολον ἐπὶ τῶν λαμπόντων.

*ἐπέτραπε] Ἀρίσταρχος ἐπέτρεπε.

80. βραχὺ διασταλτέον ἐπὶ τὸ ἀγκῶνος. τηρητέον δὲ τοῦτο, ὅτι ὀρθωθῆναι καὶ στῆναι οὐ πάντως ἐπὶ τῶν ποδῶν τάττει, πρὸς

4. εἴτε παθητικὸς addidit Lehrsius. 15. εἰς ε Bekkerus] εἰχε
29. τῇ μίτρᾳ delevit Lehrsius.

ἐκεῖνα "ἕζετο δ' ὀρθωθείς" (Il. 2, 42) καὶ "ἐζόμενος δ' ἐπὶ γοῦνα" (Il. 14, 437).

84. ἀθετεῖται, ὅτι οὐρήων βούλεται λέγειν τῶν φυλάκων, καὶ οὐκ ἐκράτησε τοῦ σχήματος· οὖρον γὰρ λέγει ὡς κοῦρον τὸν φύλακα, οὐρέα δὲ τὸν ἡμίονον. καὶ ὅτι ἄκαιρος ἡ ἐρώτησις.

89. *Ζεὺς ἐνέηκε πόνοισι διαμπερές] ὃν ὁ Ζεὺς τῇ κακοπαθείᾳ ἐνέβαλε μέχρι τέλους.

91. πλάζομαι] οὐδὲν ἑστηκὸς διανοοῦμαι· πλανῶμαι κατὰ τὴν γνώμην, οἱονεὶ ἀπορῶ ὅπως χρήσωμαι τοῖς παροῦσι πράγμασιν.

93. Δαναῶν πέρι δείδια] πιθανώτερόν πώς ἐστιν ἀναστρέφειν· δύναται δὲ καὶ τὸ ἕτερον.

95. στηθέων ἐκθρώσκει] Νικίας κατ' ἰδίαν τὴν πρόθεσιν ποιεῖ, ἵνα τὸ ἐξῆς γένηται ἐκ στηθέων θρώσκει. ἄμεινον δὲ ἓν ποιεῖν, ἐκθρώσκει ὡς ἐκτρέχει.

τρομέει δ' ὑπὸ φαίδιμα γυῖα] κακῶς Νικίας ἀναστρέφει· μεταξὺ γὰρ πέπτωκεν ὁ δέ.

98. ὅτι Ζηνόδοτος μὴ νοήσας τὸ σημαινόμενον γράφει ἀδηκότες ἡδέϊ ὕπνῳ κοιμήσωνται. ἔτι δὲ καὶ νῦν λέγομεν ὕπνου μεστὸν οὐ τὸν ἐξυπνωκότα, ἀλλὰ τὸν πολὺ τὸ ὑπνωτικὸν ἐν αὑτῷ ἔχοντα.

101. καὶ διὰ νύκτα] τοῦτο πρὸς καιρὸν εἴρηκεν ὁ Ἀγαμέμνων ἕνεκα τοῦ ἐκπλῆξαι τὸν Νέστορα, ἐπεί τοι οὐκ ἦν ἔθος αὐτοῖς νυκτὸς πολεμεῖν.

105. πού νυν] τὸ νῦν ἐνθάδε συσταλτέον διὰ τὸ μέτρον, ὥσπερ καὶ ἐπὶ τοῦ "δεῦρό νυν ἣ τρίποδος" (Il. 23, 485).

109. δουρὶ κλυτόν] τὸ κλυτός, εἰ πτωτικὸν κατάρχοι, ἐν συνθέσει βαρύτονόν ἐστι, τοξόκλυτος ὀνομάκλυτος, εἰ δὲ ἄπτωτον, φυλάσσει τὸν αὐτὸν τόνον, περικλυτός ἀγακλυτός. διὸ σημειωτέον τὸ ναυσικλυτός ὀξυνόμενον. ὅτι γὰρ σύνθετόν ἐστι, δῆλον ἐκ τοῦ μένειν τὸ ᾱ τῆς ναυσί δοτικῆς· κατ' ἰδίαν γὰρ παρὰ τῷ ποιητῇ ἢ διὰ τοῦ η̄ λέγεται ἢ διὰ τοῦ ε̄, ἐν δὲ συνθέσει διὰ τοῦ ᾱ, Ναυσικάα Ναυσίθοος. τὸ μὲν οὖν δουρὶ κλυτὸς ἐν παραθέσει ἐστίν.

110. *τὸ ε̄ περιττόν.

Αἴαντα ταχὺν] ὅτι πλησίον τοῦ Λοκροῦ Αἴαντος ὁ Μέγης

8. ἑστηκὸς Bekkerus] ἑστηκὼς
14. ἐκτρέχει Lehrsius] ἐκτρέχειν
15. ὑπὸ] ὑπο sine accentu.
26. βαρύτονον addidit Lehrsius.
31. παραθέσει Lehrsius] παρασυνθέσει
32. τὸ ε̄] Corrige ὅτι τὸ εἶ et refer ad v. 111 cum Cobeto.

ἐνενεωλκήκει· καὶ διέσταλκε δὲ, προσθεὶς ταχύν. ἡ δὲ ἀναφορὰ πρὸς τὰ περὶ τοῦ ναυστάθμου.

*Φυλέος ἄλκιμον υἱόν] τὸν Μέγητα.

112. πρὸς τὰ περὶ τοῦ ναυστάθμου, ὅτι πλησίον ὁ Ἰδομενεὺς Αἴαντος τοῦ Τελαμωνίου ἐνενεωλκήκει.

115. *νεμεσήσεαι] γράφεται νεμεσήσεται.

116. ὅτι τὸ πονέεσθαι ἐπὶ τοῦ ἐνεργεῖν. καθ' ἑαυτὸ δὲ ἀναγνωστέον τὸ "ὡς εὖδει" ἐν θαυμασμῷ, ἢ τοῖς ἄνω συναπτέον, νεικέσω ὡς εὖδει.

117. *διὰ τὴν αὐτὴν αἰτίαν.

118. *ὅτι ἀνεκτὸς ἡ χρειώ, οὐκ ἀνεκτή.

120. *ὅτι περισσὸς ὁ καὶ.

122. οὔτ' ὄκνῳ εἴκων] φιλαδέλφως ἀπολογεῖται. δύο δέ ἐστι δι' ὧν γίνεται ἡ ῥᾳθυμία, ἀμέλεια καὶ ἄνοια· καὶ ἐν Ὀδυσσείᾳ "νήπιος ἠὲ χαλίφρων, ἠὲ ἑκὼν μεθιεῖ" (Od. 4, 371), ὥστε τὸ δοκοῦν ἁμάρτημα εἰς ἐγκώμιον τῆς πειθαρχίας περίσταται.

123. ἀλλ' ἐμέ τ' εἰσορόων] ἀλλ' εἰς ἐμὲ ἀποβλέπων. οὔτε τὸν Νέστορα συκοφάντην ἐποίησεν οὔτε τὸν Μενέλαον ἀργόν. ἅμα δὲ καὶ τὸν φιλάδελφον ἐμφανίζει, ὅτι ἐγὼ ὑπὲρ αὐτοῦ πάντα ποιῶ, κἀκεῖνος ἐκδέχεταί μου τὴν ὁρμὴν, οἷον εἶναι δεῖ νεώτερον ἀδελφὸν πρὸς πρεσβύτερον.

124. ὁ Ἰξίων μέγ' ἐπέγρετο. καὶ μήποτε ἡ Ἀριστάρχειος οὕτως εἶχεν.

*ἐν ἄλλῳ μέγ' ἐπέγρετο.

127. ἐν φυλάκεσσ'· ἵνα γάρ σφιν] ὅτι Ζηνόδοτος γράφει ἵνα γάρ μιν. ἔστι δὲ ἐνικὸν τὸ μίν, βούλεται δὲ ὁ ποιητὴς διὰ τοῦ σφὶν αὐτοῖς σημῆναι. διὸ καὶ ἐξῆς ἐπιφέρει "κείνους δὲ κιχησόμεθα."

*ἠγερέεσθαι] διὰ τοῦ θ αἱ Ἀριστάρχου, ἠγερέθεσθαι.

129. *ἔξω τοῦ τ, οὔ τίς οἱ.

130. *χωρὶς τοῦ σ, ἐποτρύνει καὶ ἀνώγει.

134. διπλῆν, ἐκταδίην] οἰκεία στολὴ τῷ γέροντι διὰ τὸ γῆρας καὶ τὴν νύκτα.

1, 5. ἐνενεωλκήκει Bekkerus] ἐνεωλκήκει
2. τὰ περὶ Lehrsius] τὸ ἐπὶ
11. χρειώ] χρεία
14. γίνεται ἡ Vill.] γράφει
15. μεθιεῖ] μεθίει
16. πειθαρχίας] πιθαρχίας
28. ἠγερέθεσθαι] ἠγέρεσθαι

οὖλη] ὡς κούρη· οὕτως γὰρ καὶ τὸ ἀρσενικὸν αὐτοῦ ἐβαρύνετο "οὖλων τε ταπήτων" (Il. 16, 224). τούτῳ συγκατατίθεται καὶ ὁ Ἀσκαλωνίτης καὶ Ἀλεξίων καὶ Ἀρίσταρχος. καὶ μήποτε ἀνάλογος ἡ παρὰ τῷ ποιητῇ ἀνάγνωσις πρὸς τὴν κοινὴν συνήθειαν, εἴ γε ὀξυτονοῦσι τὸ ὄνομα, λέγοντες οὐλὸς ἄνθρωπος καὶ οὐλὴ κόμη. οὐ δέον δέ· τὰ γὰρ εἰς λος λήγοντα δισύλλαβα, μὴ ἔχοντα πρὸ τοῦ λ ἄλλο σύμφωνον, παραληγόμενα δὲ τῷ ο ἤτοι μόνῳ ἢ μεθ' ἑτέρου φωνήεντος, βαρύνεται, πόλος στόλος θόλος κοῖλος δοῦλος. οὕτως καὶ οὖλος. προσέθηκα δὲ μὴ ἔχοντα πρὸ τοῦ λ ἄλλο σύμφωνον διὰ τὸ μοχλός πολλός. τὸ μέντοι θολός ὀξυνόμενον πρὸς ἀντιδιαστολήν ἐστι.

137. γελοίως τινὲς στίζουσι μετὰ τὸ πρῶτον. συναπτέον οὖν αὐτὸ τοῖς ἑπομένοις· ἔστι γὰρ τὸ ἑξῆς, ἔπειτα Ὀδυσσέα πρῶτον ἐξ ὕπνου ἀνέγειρεν. ἔστι γάρ τι καὶ ἐν τοῖς μετὰ ταῦτα πρῶτον.

140. κλισίης] κλισία ἡ σκηνή, ἔνθα ἀνέκλινον τὰ ἄρματα καὶ αὐτοὶ ἐκοιμῶντο κείμενοι.

σημειοῦνταί τινες ὅτι ἔνδον καθεύδει Ὀδυσσεύς, ἀλλ' οὐχ ὁ Διομήδης· "ἐκτὸς ἀπὸ κλισίης" (151).

141. *ἐπί] γράφεται κατὰ νῆας.

142. *ἀμβροσίην] γράφεται καὶ ὀρφναίην.

ὅ τι δὴ χρειὼ τόσον ἵκει] ὥσπερ ἐν ἀρχῇ (37) τίφθ' οὕτως, οὕτως καὶ νῦν ἀντὶ τοῦ τί δὴ χρειὼ τόσον ἵκει. ἡ δὲ τῶν ἀναφορικῶν καὶ ἀορίστων ἐναλλαγὴ πρὸς τὰ πευστικὰ συνήθης, ὡς κἀκεῖ "ὁππποίης δ' ἐπὶ νηός" (Od. 1, 171) ἀντὶ τοῦ ποίας. στικτέον δὲ ἐπὶ τὸ ἀμβροσίην.

146. *ἀλλ' ἔπευ] Ἀρίσταρχος χωρὶς τοῦ υ, ἀλλ' ἔπε' ὄφρα.

147. οὐ καθ' ἓν διασταλτέον, βουλεύειν, φεύγειν, μάχεσθαι, ἀλλὰ συναπτέον ὅλον τὸν στίχον· τὸ γὰρ λεγόμενον τοιοῦτόν ἐστιν, ὃν ἐοικός ἐστι βουλεύεσθαι περὶ τοῦ ἢ μάχεσθαι ἢ φεύγειν.

151. ἐκτὸς ἀπὸ κλισίης] στρατιωτικὸν τὸ αἰθριοκοιτεῖν· δείκνυσι δὲ ὡς οὐ λόγῳ μόνῳ θρασύς.

152. εὗδον, ὑπὸ κρασὶν δ'] διὰ τὴν μεθ' ἡμέραν ταλαιπωρίαν

1. οὖλη] Hoc scholion compilatum est ex notatione Chocrobosci in Crameri Anecd. Oxon. vol. 2 p. 461, 16. ex quo suppleta sunt verba in A omissa τούτῳ συγκατατίθεται—καὶ Ἀρίσταρχος.

10. πολλός additum ex Choerobosco.

12. αὐτὸ Vill.] αὐτῳ

κοιμῶνται· στρατιωτικῶς δὲ τοῖς αὐτοῖς ὅπλοις χρῶνται καὶ πρὸς πόνους καὶ πρὸς ἀνάπαυλαν.

153. ὄρθ' ἐπὶ σαυρωτῆρος] ἐν τῇ Ἀριστοφάνους σαυρωτῆρας πληθυντικῶς. σαυρωτὴρ δέ ἐστι τὸ ἀπολῆγον μέρος τοῦ δόρατος, ὅπερ ἀντίκειται τῇ αἰχμῇ, ὃν καὶ οὐρίαχον καλοῦσιν.

158. ὅτι ἐντεῦθεν εἰς τὴν Ὀδύσσειαν (15, 45) μετάκειται ἐπὶ τοῦ Πεισιστράτου ἐπὶ κλινιδίου καθεύδοντος παρὰ Μενελάῳ. πρὸς τί οὖν ποδὶ, ἀλλ' οὐχὶ τῇ χειρί; νῦν μὲν γὰρ εἰκότως ἐπὶ τῆς γῆς κοιμώμενον οὕτως ἐγείρει.

159. *διχῶς ὁ Ἀρίσταρχος, ἔγρεο καὶ ὄρσεο.

*ἀωτεῖς] ἀπανθίζεις, παρὰ τὸ ἄωτον, ὅ ἐστιν ἄνθος, ἢ κοιμᾷ παρὰ τὸ ἀέσαι τὸ κοιμᾶσθαι.

160. ἐπὶ θρωσμῷ πεδίοιο] τόπος ἐστὶν ὑψηλὸς ἐν τῷ πεδίῳ πρὸ τῆς Ἰλίου, ὃς ὀνοματικῶς καλεῖται Θρωσμὸς, ὡς καὶ ἕτερος Καλλικολώνη, ᾧ στρατοπέδῳ ἐχρῶντο οἱ Τρῶες, εἴ ποτε τῆς πόλεως ἔξω τάσσοιντο.

161. ὀλίγος δέ τι] διὰ τοῦ ε̄, ὀλίγος δέ τε, αἱ Ἀριστάρχειοι. γράφεται δὲ καὶ ὀλίγος δ' ἀπὸ χῶρος ἐέργει.

164. *Ἀρίσταρχος ὀλίγος δέ τε. γρ. δὲ καὶ ὀλίγος δ' ἀπὸ χῶρος ἐέργει.

σχέτλιος ὁ ἄξια πράσσων ἀγανακτήσεως. εἰώθαμεν δὲ ἀμελείας κρινόμενοι φιλοπονωτέρους τοῦ δέοντος ἀποφάσκειν τοὺς ἐγκαλοῦντας, τῷ ἐπαίνῳ ἐκείνων τὸν ἴδιον ἀπολυόμενοι ψόγον, οὐχ ἑαυτοὺς ἧττον τοῦ δέοντος φάσκοντες πονεῖν, ἀλλ' ἐκείνους τοῦ δυνατοῦ περαιτέρω.

σχέτλιός ἐσσι, γεραιέ] ὅτι σεπτικῶς τὸ σχέτλιος καὶ οὐ μεμπτικῶς, εἰς ἑαυτὸν ἀγνώμων· καὶ ὅτι πόνον τὴν ἐργασίαν.

*συναπτέον ἕως τοῦ γεραιέ.

167. ὅτι τὸ ἀμήχανος δύο σημαίνει, ἓν μὲν ἀνίκητος, ἓν δὲ ἀντὶ τοῦ πρὸς ὃν οὐκ ἔστι μηχανὴν εὑρεῖν. ὅπερ καὶ νῦν σημαίνει, ἵνα τῶν πόνων ἀποστῇ. ἢ κακοπίαστος καὶ πρὸς πάντα ἕτοιμος.

168. *ἐν ἄλλῳ τὸν δ' ἠμείβετ' ἔπειτα.

169. *φίλος] Ἀριστοφάνης τέκος.

1. στρατιωτικῶς — πόνους Vill.] στρατιωτικοῖς — πόρους

7. ἐπὶ ante κλινιδίου addidit Cobetus Mnem. novae vol. 1 p. 24.

8. ἐπὶ addidit Vill.

11. ἀπανθίζεις Vill.] ἀπανθίζει

21. τοῦ δέοντος Vill.] τοὺς δέοντας

32. τέκος] φίλ° (i. e. φίλος καὶ) τέκος : unde φίλος in lemmate posui.

173. ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς] ἀντὶ τοῦ τὰ πράγματα ἡμῶν τριχὸς ἤρτηται, ὅ ἐστιν ἐν ἐσχάτῳ κινδύνῳ ἐστὶν καὶ ἐπὶ ὀξύτητος κινδύνων, μεταφορικῶς. συσταλτέον δὲ διὰ τὸ μέτρον τὴν ξυ συλλαβήν.

175. Αἴαντα ταχὺν καὶ Φυλέος υἱόν] ὅτι διαστέλλει τῷ ἐπιθέτῳ τὸν Λοκρὸν τοῦ Τελαμωνίου, καὶ πρὸς Ζηνόδοτον γράφοντα ἐκεῖ (Il. 19, 239) "Φυλείδην τε Μέγην τε," τὸν Φυλείδην οἰόμενον ὄνομα κύριον.

176. *οὕτως διὰ τοῦ ν̄ ἄνστησον αἱ Ἀριστάρχου.

*διὰ μέσου τὸ σὺ γάρ ἐσσι νεώτερος.

180. *ἐν ἀγρομένοισιν ἔμιχθεν] ἐν ἄλλῳ, ἐν ἀγρομένοισι γένοντο.

182. εἵατο] καθέζονται μὲν, ἵνα μὴ ἡ ἀνάκλισις ὕπνον ἐμποιήσῃ, οὐχ ἑστᾶσι δὲ, ἵνα μὴ πρὸ τῆς χρείας κάμωσιν.

187. ὅτι σαφῶς τὸ νήδυμος σὺν τῷ ν̄. καὶ ἐπὶ τῶν ἀμφιβόλων οὖν οὕτως γράφεται.

188. φυλασσομένοισι] ὅτι ἀντὶ τοῦ φυλάσσουσι, παθητικὸν ἀντὶ ἐνεργητικοῦ.

189. ὅτι οὐ λέγει, ὁππότ' ἀκούοιεν τῶν Τρώων ἐπιόντων, τότε πρὸς τὸ πεδίον τετραμμένοι ἦσαν· οὐδὲ γὰρ ἐπεληλύθεισαν· ἀλλὰ φοβούμενοι μὴ ἐπελεύσονται οἱ Τρῶες, τετραμμένοι ἦσαν πρὸς τὸ πεδίον.

194. τάφροιο διέσσυτο] διέβη διὰ τῆς τάφρου, ἵνα μὴ θόρυβος ἐν τῷ στρατοπέδῳ γίνηται, τὴν μὲν σύνοδον ὁρώντων, τὴν δὲ αἰτίαν ἀγνοούντων. ἢ ἵνα μὴ γνῶσιν ὅτι κατάσκοποι πέμπονται, ἢ εἰς εὐθυμίαν τῶν κατασκόπων, ἵνα ἀφοβώτερον τυγχάνωσιν ἐγγὺς ὄντων.

195. *βουλήν] ὅτι ἐλλείπει ἡ εἰς, ἵν' ᾖ εἰς βουλήν.

199. *πρὸς Ἴστρον, ὅτι οὐ γέγονε νεκρῶν ἀναίρεσις.

*τὸ ἐξῆς ἐν καθαρῷ νεκύων, ὅθι διεφαίνετο χῶρος.

202. πίφαυσκον] ἐνεφάνιζον, ἔλεγον. φῶ φαύω καὶ πιφαύω, πιφαύσκω.

203. *μύθων ἦρχε] ἐν ἄλλῳ τοῖσι δὲ καὶ μετέειπε.

204. ἑῷ αὐτοῦ] ὅτι κατὰ τὸ πλῆρες τὰ τοιαῦτα ἐκφέρει ἑῷ αὐτοῦ καὶ "ἀλλ' ἐμὸν αὐτοῦ χρεῖος" (Od. 2, 45) καὶ τὰ τοιαῦτα· καὶ

16. γράφεται] γραπτέον Cobetus. 24. γίνηται] γίνεται
25. ἀγνοούντων] ἀγνοοῦντες, sed adscripto in marg. γρ. τ ἢ ἵνα] ἢ om.

ἐπὶ τῶν πληθυντικῶν "αὐτῶν γὰρ σφετέρῃσιν" (Od. 1, 7). τὸ γὰρ αὐτοῦ καὶ αὐτῶν κοινόν ἐστιν ἐπίταγμα τῶν τριῶν προσώπων.

206. ἤτοι διασταλτέον ἐπὶ τὸ ἐλθεῖν, ἵνα στίζωμεν ἐπὶ τὸ Ἀχαιούς καὶ ἀπ' ἄλλης ἀρχῆς εὐκτικῶς ᾖ λεγόμενα τὰ ἑξῆς "ταῦτά τε πάντα πύθοιτο·" ἢ στικτέον ἐπὶ τὸ ἐλθεῖν καὶ ἀπὸ ἄλλης ἀρχῆς "εἴ τινά που δηΐων ἕλοι ἐσχατόωντα," ἵν' ὑποστίζωμεν ἐπὶ τὸ ἐσχατόωντα [καὶ σφίσιν] καὶ Ἀχαιούς καὶ πύθοιτο καὶ ἀσκηθής, τοῦ λόγου τοιούτου γινομένου· εἴ τινα τῶν πολεμίων ἀνέλοι καὶ γνοίη τί βουλεύονται οἱ Τρῶες, καὶ ταῦτα πυθόμενος ὑποστρέψειε, μεγάλην ἂν ἔχοι δόξαν.

207. φῆμιν] εἰώθασιν οἱ πολεμούμενοι φήμας τινὰς λέγειν ἐν ἑαυτοῖς, οἷον Λακεδαιμονίων βουλευομένων ποῖον χωρίον ἐπιτειχίσουσι τῆς Ἀττικῆς, Ἀλκιβιάδης συνεβούλευσε πέμπειν εἰς Ἀθήνας κατασκόπους, οἵτινες παραγενόμενοι ἤκουσαν αὐτῶν τῶν Ἀθηναίων διαλεγομένων ὅτι τὴν Δεκέλειαν μέλλουσιν ἐπιτειχίζειν οἱ πολέμιοι· καὶ οὕτως Λακεδαιμόνιοι ἐπετείχισαν τὴν Δεκέλειαν.

208, 209, 210. ὅτι κακῶς ἐν τοῖς μετὰ ταῦτα (409) κεῖνται, ὅτε τὸν Δόλωνα συλλαμβάνουσιν οἱ περὶ Διομήδη. τὴν δὲ σφίσι νῦν ὀρθοτονητέον, καὶ διὰ τὴν σύνταξιν καὶ διὰ τὴν μετάληψιν· εἰς γὰρ σύνθετον.

215. *ὅτι νυκτερινὴ ἡ πρᾶξις ἦν.

216. διὰ τί μέλανα καὶ ὑπόρρηνα ἐπαγγέλλεται τὰ πρόβατα; καὶ ῥητέον ὅτι μέλανα μὲν, ἐπεὶ νυκτὸς ἐπορεύοντο, ὑπόρρηνα δὲ συμβόλῳ τινὶ αἰσίῳ, ἵνα ἔγκαρπον τὴν πορείαν ποιήσωνται.

θῆλυν ὑπόρρηνον] ὅτι ἡ μὲν ἐπαγγελία τοῦ δώρου ῥητὴ, τὸ δὲ ἀποτέλεσμα ὑποσεσιώπηται· δεῖ δὲ ἡμᾶς συνεκδέξασθαι.

217. εἰλαπίνῃσιν] ἑορταῖς, ὅτε κατὰ εἴλας πίνωσιν. εἴρηται δὲ οὕτως παρὰ τὸ ἐλάσαι, ὅ ἐστι ταράσσεσθαι.

218. *ἀκὴν ἐγένοντο] ἴδιον γὰρ τῶν Ἑλλήνων τὸ προσκέπτεσθαι.

222. ἤτοι στικτέον ἐπὶ τὸ ἄλλος, ἵν' ᾖ ὁ λόγος εὐκτικὸς, ἀλλ' εἴθε, ἢ παρακελευστικὸς, ὡς προείρηται· ἢ ὑποστικτέον ἐπὶ τὸ ἄλλος, ἵν' ᾖ ἀνταπόδοσις τὰ ἐπιφερόμενα "μᾶλλον θαλπωρή."

5. ταῦτά τε (sic in textu)] ταῦτά κε
7. καὶ σφίσιν delet Friedl. Nic. p. 20, 205.
8. ἀσκηθής] ἀσκηθεὶς
10. ὑποστρέψειε Bekk.] ὑποστρέψει
22. διὰ τί—ἐπαγγέλλεται] Haec verba interpunctione et literis maiusculis distincta sunt tanquam lemma.
31. προείρηται] ad 9, 46.

223. *ἤτοι στικτέον ἢ συναπτέον τοῖς ἑξῆς.

224. σύν τε δύ' ἐρχομένω] πρὸς τὸ σχῆμα, ὅτι ὅμοιόν ἐστιν ἐκείνῳ "ἄμφω δ' ἑζομένω" (Il. 3, 210). συνερχόμενοι δύο ἀντὶ τοῦ συνερχομένων. ἔνιοι δὲ μὴ νοήσαντες τὸ ν̄ προστιθέασι, κακῶς.

ἄλλως. ἀντὶ τοῦ δυεῖν συνερχομένων ὁ ἕτερος πρὸ θατέρου πολλάκις ἐλογίσατο· ἢ ὑπὲρ τοῦ ἑτέρου, ὡς "πρό τε παίδων καὶ πρὸ γυναικῶν" (Il. 8, 57).

μάλα καλῶς ἡμᾶς ἐδίδαξε κοινωνεῖν ἀλλήλοις ἐν ταῖς βουλαῖς. ὁ μὲν γὰρ εἷς τάχα μὲν οὐδὲ νοήσει ῥᾳδίως, εἰ δὲ καὶ τοῦτο, ἀλλ' ἀνόνητα· οἱ δὲ δύο στερροποιοῦσιν ἀλλήλους τῇ κοινωνίᾳ.

225. οὕτως Ἀρίσταρχος, μοῦνος δ' εἴπερ τε, καὶ οἱ ἀπὸ τῆς σχολῆς.

ὅτι περισσὸς ὁ τέ.

226. ὅτι οἱ γλωσσογράφοι βράσσων ἀντὶ τοῦ ἐλάσσων ἀπὸ τοῦ βραχύς· ἀλλ' οὐδαμοῦ κέχρηται τούτῳ Ὅμηρος. ἀποδοτέον οὖν βρασσόμενος, ταρασσόμενος διὰ τὸ δέος, οὐχ ἑστηκὼς διὰ τὴν ἀγωνίαν. ἅπαξ δὲ ἐνταῦθα κέχρηται τῇ λέξει.

231. ὅτι τλήμονα οἱ νεώτεροι τὸν ἀτυχῆ, ὁ δὲ Ὅμηρος τὸν τλητικὸν, τὸν ὑπομενητικόν.

240. ἀθετεῖται, ὅτι περισσὸς ὁ στίχος καὶ παρέλκων, καὶ μὴ ἐπιλεγόμενος ἀπαρτίζει τὴν διάνοιαν. ἡ δὲ διπλῆ, ὅτι ἔξωθεν ἐκ τοῦ ἰδίου προσώπου ἀναφωνεῖ, ὡς καὶ τὸ "νήπιος, οὐδ' ἄρ' ἔμελλε κακὰς ὑπὸ κῆρας ἀλύξας" (Il. 12, 113). οὐδὲ ἐν τῇ Ζηνοδότου δὲ ἦν.

242. ὅτι ἕταρον νῦν οὐ φίλον, ἀλλὰ συνεργὸν λέγει. ἡ δὲ ἀναφορὰ πρὸς τὸ ἐταρίσσαιτο (Il. 13, 456) ἀντὶ τοῦ συνεργὸν λάβοι.

κελεύετέ μ' αὐτὸν] Ἀλεξίων τὸ ε̄ τῇ ἀντωνυμίᾳ δίδωσιν, οὐ τῷ ῥήματι τελικὸν, καὶ δοκεῖ ὀρθοτονεῖν, ὡς εἰ καὶ συνθέτως ἐλέγετο ἐμαυτόν. καὶ τοῦτό γε ἐχρῆν εἶναι· ἀεὶ γὰρ αἱ τοῦ πρώτου προσώπου ἀντωνυμίαι προτασσόμεναι τῆς αὐτός ὀρθοτονοῦνται. ὁ μέντοι Ἀσκαλωνίτης καὶ Ἀρίσταρχος ἐγκλιτικῶς ἀνεγνώκασιν, ἐπὶ τὴν τε

5. ὁ ἕτερος] ὁ om.
10. στερροποιοῦσιν] στεροποιοῦσιν
11. οὕτως—εἴπερ τε Cobetus] ὅτι —εἴπερ τι
13. ὅτι περισσὸς Cobetus] καὶ ὅτι περισσός
14. ἀπὸ—ἀλλ' addidit Friedl.
15. τούτῳ] τοῦτο
26. οὐ τῷ Bekk.] αὐτῷ
27. τελικὸν] τελεικὸν
30. τὴν τε̄ συλλαβὴν Bekkerus] τὸν τε̄ σύνδεσμον

συλλαβὴν ποιοῦντες τὴν ὀξεῖαν, ἵνα μὴ ὡς ἀκατάλληλον φανῇ τὸ ἐμαυτὸν ἐλέσθαι.

244. οὗ περὶ μὲν πρόφρων] ἀληθῶς ὁ ἐν τοῖς κινδύνοις ἔπαινος χρήσιμος, παρωσάμενος πᾶσαν αἰδῶ καὶ ἀμέλειαν. ἅμα δὲ καὶ τοῖς ἄλλοις ἀπολογεῖται, οὐ δι' ἀνδρείαν φήσας αὐτὸν δέχεσθαι, ἀλλὰ διὰ φρόνησιν.

246. ἑσπομένοιο] δύναται καὶ σπομένοιο, ὥς φησιν ὁ Ἀσκαλωνίτης· καὶ ὅμοιόν ἐστι τοῦ "ὁ δὲ σπόμενος περὶ δουρί" (Il. 13, 570). εἰ δὲ Ἀρίσταρχος δασύνει τὸ "εἰ δὲ σὺ, ὦ μέγ' ἀναιδὲς, ἅμ' ἑσπόμεθ'" (Il. 1, 158), ἀνάγκη πᾶσα κατ' αὐτὸν δασύνειν καὶ τὴν μετοχὴν καὶ ἀπὸ τοῦ ε ἄρχεσθαι.

247. περίοιδε] οἱ μὲν ὡς σύνοιδε ἀνέγνωσαν, ἓν ποιοῦντες καὶ τρίτην ἀπὸ τέλους τὴν ὀξεῖαν· οἱ δὲ κατὰ παράθεσιν, ἵνα γένηται περισσῶς οἶδε. δύναται δὲ καὶ ἐν τῇ συνθέσει τὸ αὐτὸ νοεῖσθαι, ὡς καὶ Ἀρίσταρχος βούλεται.

249. μήτ' ἄρ με μάλ' αἴνεε] δῆλός ἐστιν ὁ ποιητὴς ἀρχὴν τοῦ ἀποφθέγματος τῷ σοφῷ Πιττακῷ δεδωκὼς, εἰπόντι τὸ μηδὲν ἄγαν· ἄλλο γὰρ οὐδὲν δηλοῖ τὸ τοῦ ποιητοῦ ἢ τοῦτο. ζητεῖται δὲ πῶς Ὀδυσσεὺς νῦν μὲν ἐπαινούμενος ἄχθεται, παρὰ δὲ τοῖς Φαίαξι φίλαυχός ἐστι. ῥητέον ὅτι ἐνταῦθα μὲν παραιτεῖται τὸν ἔπαινον, ἐπεὶ προείληφεν ἡ γνῶσις, παρὰ δὲ τοῖς Φαίαξιν οὐδαμῶς ἀρνεῖται, ἵνα γνωσθεὶς μᾶλλον τῆς ἐπανόδου τύχῃ.

252. ἄστρον ἐστὶν ἀστέρων συμφόρημα, ὡς Ὠρίων, ὀφιοῦχος· ἀστὴρ δὲ, ὡς ὅταν λέγωμεν Ἀφροδίτης ἀστὴρ ἢ Διός.

διὰ τὸ πολυθρύλητον ζήτημα καὶ τὰς γεγονυίας ἀποδόσεις. γράφεται καὶ οὕτως "ἄστρα δὲ δὴ προβέβηκε, παροίχωκεν δὲ πλέων νὺξ τῶν δύο μοιράων, τριτάτη δ' ἔτι μοῖρα λέλειπται." τριφύλακος γὰρ ἦν καθ' Ὅμηρον ἡ νύξ. καὶ ἐν ἄλλοις "ἔσσεται ἠὼς ἢ δείλη ἢ μέσον ἦμαρ" (Il. 21, 111). οὕτως καὶ Δωρόθεος ἐν τριακοστῷ πρώτῳ τῆς Ἀττικῆς λέξεως ἀξιοῖ γράφειν, τὴν μὲν πρώτην διὰ τῆς οι διφθόγγου, τὴν δὲ δευτέραν διὰ τοῦ ω, παροίχωκεν, ἀποτεινόμενος πολλὰ πρὸς Ἀριστόνικον καὶ Τρύφωνα ἄλλως γράφοντας,

5. ἀνδρείαν] ἀνδρίαν
14. περισσῶς Bekk.] περισσὸς
17. τῷ] om.
26. πλέων] πλέω
27. τῶν δύο μοιράων in A legitur ante παροίχωκεν. Transposuit Cobetus. In textu est παρῴχηκεν, non παροίχωκεν.
28. δείλη] δείλης

ἐπιδείξας τὸ οἴχωκεν Ἰακόν. οὕτως δὲ καὶ Ἀπολλώνιος ὁ τεχνικὸς οἶδε τὴν γραφήν.

253. *Ἀρίσταρχος παρῴχωκεν.

ἀθετεῖται, ὅτι αὐταρκες τὸ κεφαλαιωδῶς εἰπεῖν "ἄστρα δὲ δὴ προβέβηκε·" τὸ γὰρ τοῦ καιροῦ τοῦτο ἀπαιτεῖ· τὸ δὲ προσδιασαφεῖν κατὰ τὸ ἀκριβὲς τὸ παρελήλυθὸς καὶ τὸ περιλειπόμενον ὥσπερ ἀστρονόμου τινός. οὐχ Ὁμηρικὸν δὲ καὶ τὸ τῶν δύο. οἱ δύο μὲν γὰρ λέγει καὶ τοὺς δύο, τῶν δύο δὲ ἢ τοῖς δύο οὐκ ἔστιν εὑρεῖν παρ' Ὁμήρῳ. Ζηνόδοτος οὐδὲ ἔγραφεν. Ἀριστοφάνης ἠθέτει.

256. *τὸ ἐξῆς φάσγανον ἄμφηκες καὶ σάκος· τὰ δὲ ἄλλα διὰ μέσου.

258. ἡ διπλῆ, ὅτι κυνέην μὲν καταχρηστικῶς τὴν ἐκ ταυρείου δέρματος, ἄφαλον δὲ καὶ ἄλοφον κατ' ἐπιτήδευσιν, ἵνα λανθάνῃ· φάλοι γὰρ τὰ ἐπὶ τῶν περικεφαλαιῶν λαμπρὰ ἀσπιδίσκια, λόφοι δὲ αἱ τριχώσεις.

φάλος ὀμφαλός ἐστι μικρὸς, ἀσπίδι μικρᾷ παραπλήσιος. κεῖται δὲ κατὰ τὸ μέτωπον, ὑπερέχων τῶν ὀφθαλμῶν, ἀποσκιάζων τὴν αὐγὴν τοῦ ἡλίου, οἷαι τῶν Κορυβάντων αἱ κόρυθες καὶ τῶν παλλαδίων. ὅτι δὲ κατὰ τὸ μέτωπόν ἐστιν ὁ φάλος δῆλον ἐκ τούτων "τόν ῥ' ἔβαλε πρῶτος κόρυθος φάλον, ἐν δὲ μετώπῳ πῆξε" (Il. 4, 459), κἀκ τοῦ "ψαῦόν θ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι" (Il. 13, 132).

*Ἀρίσταρχος ἄλοφον.

καταῖτυξ] εἶδος περικεφαλαίας, ἀπὸ τοῦ κάτω τετύχθαι καὶ μὴ ἔχειν λόφον, ἀλλὰ κοίλην εἶναι. ἡ καταῖτυξ προπερισπᾶται. πάντα τὰ εἰς ῡξ συστέλλει τὸ ῠ, τὰ μέντοι διὰ τοῦ κ κλινόμενα ἐνίοτε ἐκτείνει τὸ ῡ· τὸ γὰρ "κήρυκι ἠπυτίδῃ" (Il. 17, 324) συνέσταλται διὰ τὸ μέτρον.

262. *πρὸς τὸ λαθεῖν τὴν περικεφαλαίαν.

265. πῖλος ἀρήρει] ὅτι τὸ κοινὸν καὶ συμβεβηκὸς ταῖς περιπτώσεων, οἷον βόμβυκος, κήρυκος addit Lehrsius Herod. p. 258, collato Herodiano περὶ διχρόνων p. 285, 21.

8. τῶν δύο δὲ addidit Bekkerus.
9. οὐδὲ Bekkerus] δὲ
16. ὀμφαλός addidit Bekkerus.
19. φάλος Bekkerus] ἄφαλος
24. *τετύχθαι] τεύχεσθαι
27. ἐκτείνει τὸ ῡ] ἐπὶ τῶν ἄλλων
27. ἠπυτίδῃ Bekkerus] ἠπίτυκι

κεφαλαίαις εἰπόντος τοῦ ποιητοῦ ζωγράφοι καὶ πλάσται πιλίον ἐπέθεσαν τῷ Ὀδυσσεῖ.

μέσση δ' ἐνὶ πῖλος ἀρήρει] καὶ τοῦτο ὁμοίως τῷ προκειμένῳ ἀναγνωστέον.

266. *ὅτι ὁμώνυμος οὗτος τῷ τοῦ Φοίνικος πατρὶ Βοιωτός.

Ἐλεῶνος] εἰσὶν οἳ ψιλοῦσιν· ὁ δὲ Ἀσκαλωνίτης φησὶ δασύνεσθαι. ἔστι δέ τινα ἃ ἱστορίᾳ τοπικῇ κατέχεται. οὕτως οὖν καὶ ἐπὶ τούτου· ἱστοροῦσι γὰρ οὕτως δασέως τὴν πόλιν λέγεσθαι. πῶς οὖν ἐν τῷ καταλόγῳ ψιλῶς ἀνέγνωμεν "οἵ τ' Ἐλεῶν' εἶχον" (Il. 2, 500); φασὶ γὰρ κἀνταῦθα τὴν Βοιωτιακὴν εἶναι πόλιν.

267. Αὐτόλυκος] ὁ Ἑρμοῦ υἱός, κλεπτίστατος ἀνθρώπων.

268. Σκάνδειαν δ' ἄρα] ὅτι οὕτως εἶπεν ἀντὶ τοῦ εἰς Σκάνδειαν ἀπέστειλεν, ὡς "πεύθετο γὰρ Κύπρονδε" (Il. 11, 21) ἀντὶ τοῦ εἰς Κύπρον ἠκούετο διὰ τὸ διαγγέλλεσθαι ἐκ τόπου εἰς τόπον. Σκάνδεια δὲ πολισμάτιον Κυθήρων. ἀγνοήσαντες δέ τινες τὸ ὄνομα ἐνόμισαν εἶδος περικεφαλαίας τὴν σκάνδειαν ὡς στεφάνην. Κύθηρα δὲ νῆσος τῆς Λακωνικῆς, ἐν ᾗ λαμπρῶς τιμᾶται Ἀφροδίτη· διὸ καὶ Κυθέρεια ἐπιθετικῶς ἡ θεός.

273. κατ' αὐτόθι] φασὶ παρέλκειν τὴν κατά· διὸ φυλάσσειν τὸν αὐτὸν τόνον. κἂν μὴ παρέλκῃ δὲ, συντάσσηται δὲ τῷ λιπέτην, οὐ δύναται ἀναστρέφεσθαι κατὰ δύο τρόπους, καὶ ἐπεὶ συνήλειπται καὶ ἐπεὶ μεταξὺ πέπτωκεν ὁ δὲ σύνδεσμος.

274. ἐρωδιόν] εἰκότως ἡ Ἀθηνᾶ ἐπιπέμπει αὐτοῖς ἐρωδιόν· τοῖς γὰρ ἐπὶ λαθραίους πράξεις ἀπιοῦσιν αἴσιος. ἄλλως τε ὅτι καὶ δι' ἑλώδους ἐβάδιζον τόπου· ἔλειον δὲ καὶ τὸ ζῷον. διὰ τί δὲ οὐκ εἶπε μᾶλλον τὴν γλαῦκα, οὖσαν ἱερὰν τῆς Ἀθηνᾶς; λυτέον οὖν τὸ ἄπορον καιρῷ καὶ τόπῳ· διατρίβει γὰρ τὸ ὄρνεον περὶ τοὺς ἑλώδεις τόπους, καὶ θηρευτικὸν τὸ ζῷον. ἱστορεῖ περὶ αὐτοῦ Ἀριστοτέλης ἐν τῷ περὶ ζῴων (H. an. 9, 18).

275. οὐκ ἴδον] ὅτι καὶ αὐτοὶ ὑπὸ πολεμίων ἔμελλον οὐχ ὁραθέντες

3. τοῦτο] τούτῳ hic, sed τοῦτο in marg. inter. ubi hoc scholion repetitur.

10. Βοιωτιακὴν Bekkerus] βοιωτιατικὴν

πόλιν] εἰ μὴ λέγομεν ὅτι οὐ πάντως ἐπικρατεῖ ἡ ἀπὸ τῶν ἐθνῶν χρῆσις καὶ ἐπὶ τὴν Ὁμερικὴν ἀνάγνωσιν addit Lehrsius Herod. p. 259, collato scholio ad 12, 20.

15. πολισμάτιον] πολισμάτειον

21. συνήλειπται Bekk.] συνειληπται

26. *λυτέον] ῥητέον

τὰ βουλεύματα αὐτῶν παρὰ Δόλωνος ἀκούειν. ἄλλως δὲ ὅτι οὐκ αἴσιος ὁ ἐρωδιὸς ὁ ὁρώμενος ὑπὸ τῶν εἰς ἐνέδραν ἀπιόντων.

277. χαῖρε δὲ τῷ ὄρνιθι] ὅτι ἐπὶ τῷ ὄρνιθι. καὶ ἐν Ὀδυσσείᾳ "καί τε σφιν ἰαίνομαι εἰσορόωσα" (19, 537)· ἐπ' αὐτοῖς.

281. ὅτι τὸ πάλιν ἀντὶ τοῦ εἰς τοὐπίσω, καὶ ὅτι Ἰακὸν τὸ συστέλλειν, εὐκλεΐας καὶ δυσκλέα· οἱ δὲ Ἀττικοὶ ἐκτείνουσι τὰ τοιαῦτα. εὐκλεΐας προπερισπαστέον· ἐκ γὰρ τοῦ εὐκλέας ἐγένετο κατ' ἐπένθεσιν τοῦ ῑ. λέγει γάρ, δὸς ἡμᾶς εὐκλεεῖς καὶ ἐνδόξους. οἱ δὲ ἐκτείνοντες ἄνευ λόγου ἐκτείνουσιν.

*ὅτι ὁ κε σύνδεσμος περιττός.

286. τὸ ἐς Θήβας δύναται καὶ τοῖς ἡγουμένοις καὶ τοῖς ἑπομένοις συντάττεσθαι. ἡ διπλῆ δὲ, ὅτι ἡ πρό ἀντὶ τῆς ὑπέρ.

288. αὐτὰρ ὁ μειλίχιον] ὁ δὲ Τυδεὺς, φησὶ, προσηνῆ καὶ πρᾶον λόγον ἔφερε τοῖς Θηβαίοις· ἀπῆει γὰρ προκηρυκευσόμενος περὶ διαλύσεων καὶ εἰρήνης.

290. ἐνόμισάν τινες εἶναι θηλυκὸν τὸ πρόφρασσα, οὐκ ἔστι δὲ ἀληθές· Φιλόξενος γὰρ ἐν τῷ περὶ μονοσυλλάβων φησὶν ὅτι ἔστιν ἰδιότυπος ῥηματικὸς χαρακτήρ· καὶ ὡς παρὰ τὸ βήσω βῆσα καὶ βᾶσσα, ἄξω ἄξα καὶ ἄμαξα, πείσω πεῖσα "τῷ δ' ἄρ' ἐν πείσῃ κραδίῃ μένε τετληυῖα" (Od. 20, 23), οὕτω καὶ ἀπὸ τοῦ φρῶ φρήσω φρῆσα, κατὰ τροπὴν φράσσα καὶ πρόφρασσα. ἔστι δὲ τὸ φρῶ, ὥς φησιν, ἀπὸ τοῦ προΐω, πρῶ κατὰ συγκοπὴν, καὶ τροπῇ τοῦ π εἰς φ φρῶ· ἔστιν οὖν τὸ πρόφρασσα παρὰ τὸ προϊέναι καὶ προθυμεῖσθαι. μέμνηται Ὡρίων τούτων ἐν τῷ περὶ ἐτυμολογιῶν.

291. οὕτω χωρὶς τοῦ σ παρίσταο αἱ Ἀριστάρχου. Ζηνόδοτος παρίσταο καὶ πόρε κῦδος· χωρὶς δὲ τοῦ σ καὶ αὐτός· οὕτως δὲ καὶ αἱ πλείους εἶχον.

*οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ παρίστασο.

292. Πτολεμαῖος ὁ τοῦ Ὀροάνδου ἀνέγνω ἦνιν ὡς μῆνιν· καὶ τοῦτο ὀφείλει εἶναι τὸ ἀνάλογον. Τυραννίων δὲ ὀξύνει τὴν πρώτην· καὶ δῆλον ὅτι δώσει καὶ τὴν ἐπὶ τέλους ἐκτείνεσθαι· ὀξεῖα γὰρ μετὰ

4. σφιν ἰαίνομαι] σφι ῥαίνομαι αὐτοῖς Friedl.] αὐτῷ
10. κε Friedl.] καὶ
Ad v. 282. gl. interlin. Ἀρίσταρχος τὸ φονεῦσαι τὸν Ἕκτορα.
14. Θηβαίοις Bekk.] ἀθηναίοις
* προκηρυκευσόμενος] προκηρυσσόμενος
* διαλύσεων] δ (sic)
28. In marg. exter. adscriptum παρίσταο: nam in textu est παρίστασο.

μακρᾶς βραχείας ἐπιφερομένης οὐ πίπτει κατὰ τὸ κοινὸν ἔθος, ὑπεσταλμένων τῶν σεσημειωμένων, λέγω δὲ τοῦ εἴθε αἴθε ναίχι, περὶ ὧν καὶ λόγου δεδώκαμεν. τάχα οὖν καὶ τὸ ἦνιν ἐκτείνει ὁ Τυραννίων διὰ τὸ μέτρον, οὐχὶ διὰ τὸ πληθυντικόν "ἦνις ἠκέστας" (Π. 6, 94)· καὶ γὰρ πόλις λέγουσι καὶ πόλιν καὶ μάντις καὶ μάντιν.

298. διά τ' ἔντεα] ὅτι ἐντεῦθεν τὸ ἡμιστίχιον μετενήνεκται εἰς τὸν ἐπὶ Πατρόκλῳ ἀγῶνα περὶ τῶν μονομαχούντων "ψαύσῃ δ' ἐνδίνων διά τ' ἔντεα" (Π. 23, 806), καὶ ὅτι πτῶσις ἐνήλλακται δι' ἐντέων καὶ μέλανος αἵματος· καὶ πρὸς Ἴστρον, ὅτι οὐ γέγονε νεκρῶν ἀναίρεσις, εἰ μὴ ἅπαξ.

299. οὐδὲ μὲν οὐδὲ Τρῶας] ἡ διπλῆ, ὅτι οὐχ ὡς ἡ τῶν ἐπῶν ἔχει τάξις, οὕτω καὶ τὰ πράγματα. οὐ γὰρ προεληλυθότων ἤδη τῶν περὶ Ὀδυσσέα καλεῖ τοὺς προβούλους ὁ Ἕκτωρ, ἀλλὰ καθ' ὃν καιρὸν καὶ ὁ Ἀγαμέμνων· οὕτω γὰρ καὶ ἑαυτοῖς συμπεσοῦνται οἱ ἀπεσταλμένοι. διὸ καὶ ἀντιδιασταλτικῶς λέγει, οὐδὲ μὴν οὐδὲ ὁ Ἕκτωρ εἴασε τοὺς Τρῶας εὕδειν.

305. ἐριαύχενας] μεγαλοτραχήλους, πολιούς, ἀπὸ μέρους· τὸ ερι γὰρ μόριον ἐπὶ τοῦ μεγάλου τίθεται, ὡς καὶ τὸ ζᾱ. καὶ ἐνταῦθα δὲ τὸ ἀσύνετον τοῦ Ἕκτορος φαίνεται ὑπισχνουμένου τοὺς Ἀχιλλέως ἵππους, οὓς ἀδύνατον ἦν λαβεῖν.

306. οἵ κεν ἀριστεύσι] οὕτως Ἀρίσταρχος, οἵ κεν ἄριστοι ἔωσι· ὁ δὲ Ζηνόδοτος αὐτοὺς οἳ φορέουσιν ἀμύμονα Πηλείωνα· Ἀριστοφάνης καλοὺς οἳ φορέουσιν.

*ἐν ἄλλῳ οἵ κεν ἄριστοι ἔωσι.

*ὡς τῶν Ἑλλήνων αἶθις ἠττηθησομένων.

307. οἵ] ὀρθοτονεῖται καὶ περισπᾶται καὶ εἰς σύνθετον μεταλαμβάνεται.

315. διὰ τί κήρυκος πλουσίου εἴρηκε τὸν Δόλωνα; κήρυκος μὲν οὖν εἰς τὸ εὐχερῶς ὑπακούειν, πλούσιον δὲ εἰς τὸ δυνηθῆναι ἑαυτὸν λυτρώσασθαι, ποδώκην δὲ διὰ τὸ ἐπ' ἐλπίδι φυγεῖν τοὺς διώκοντας.

*διὰ τὸ πλουτεῖν γὰρ καὶ ἱπποτροφίας ἐπεθύμει.

317. *μοῦνος ἔην] ἄρσην δηλονότι.

κασιγνήτησιν] ὅτι Ζηνόδοτος γράφει κασιγνήτοισι. παραιρεῖται δὲ τὸ πιθανὸν τοῦ ποιητοῦ· οὐ γὰρ μετὰ ἀρσένων αὐτὸν τεθραμμένον παρίστησιν, οἷς ἐξισούμενος ἂν εἰς ἀνδρείαν ἐτράπη. τό τε παρακείμενον μάχεται· πῶς γὰρ ἔτι μόνος ἦν, εἰ πέντε ἦσαν;



321. τὸ σκῆπτρον] ἀντὶ τοῦ τοῦτο τὸ σκῆπτρον. ἐφόρει δὲ Ἕκτωρ, ἐπεὶ ἐδημηγόρει.

*οὕτως ἀνάσχεο διὰ τοῦ ο αἱ Ἀριστάρχου.

322. τοὺς ἵππους] ὅτι τὸ τούς οὐκ ἐστιν ἄρθρον, ἀλλ' ἀντὶ τοῦ τούτους παρείληπται ἐν τάξει ἀντωνυμίας.

323. *οἳ φορέουσιν ἀμύμονα Πηλείωνα] γράφεται καὶ ποδώκεα καὶ ἀμύμονα.

324. οὐδ' ἀπὸ δόξης] ἤτοι οὐδ' ὡς δοκεῖν μόνον, ἀλλ' ἀληθῶς· ἢ οὐδὲ παρὰ τὴν δόξαν ἣν περὶ ἐμοῦ ἔχεις.

326. *μέλλουσιν] ὅτι ἀντὶ τοῦ ἐοίκασι. καὶ οὕτως ἀεὶ κέχρηται τῇ λέξει.

329. ἴστω] ἐπιστάσθω, γινωσκέτω, μαρτυρείτω· ἴστωρ γὰρ ὁ μάρτυς· "ἴστορα δ' Ἀτρεΐδην Ἀγαμέμνονα" (Il. 23, 486).

330. τοῖς ἵπποισιν] ὅτι καὶ νῦν τὸ τοῖς ἀντὶ τοῦ τούτοις τοῖς ἵπποις, ὥστε ἔξωθεν προσλαμβάνειν δέον τὸ τοῖς ἄρθρον.

332. ὡς ἐν τῇ συνηθείᾳ, οὕτως καὶ ἐνθάδε τὸ ἐπίορκον. οὕτως καὶ διὰ τοῦ ε τὸ ἐπώμοσεν αἱ Ἀριστάρχου. τοῦτο δὲ ἔξωθεν ἐπιπεφώνηται, ὅρκον ἐπίορκον ὤμοσεν, οὐχ οἷον ἑκουσίως, ἀλλὰ διὰ τὸ μὴ ἀποτελεσθῆναι τοῦτο ὅπερ ὤμοσεν.

334. πολιοῖο λύκοιο] λευκοῦ λύκου, διὰ τὴν τῆς χρόας ἰδιότητα· καὶ γὰρ Πελίαν ἐντεῦθέν φασιν ὠνομάσθαι. Τυρὼ γὰρ ἡ Σαλμωνέως γεννήσασα δύο παῖδας ἐκ Ποσειδῶνος, παρὰ τοῖς Ἐνιπέως τοῦ ποταμοῦ ῥείθροις κατέλιπε. τὸν μὲν οὖν ἕτερον κύων, ἀφαιρεθέντων αὐτῆς τῶν πόνων, παρέχουσα θηλὴν ἔτρεφε· τὸν δὲ ἕτερον ἵππος κατὰ τὸ μέτωπον ἐπάτησεν. ἐπελθόντες οὖν οἱ ἱπποφορβοὶ ἀνελόμενοί τε τὰ παιδία ἔτρεφον, καὶ ὠνόμασαν τὸν μὲν, ἐπεὶ ἐκ συνδρομῆς αἵματος ἐπελιώθη, Πελίαν, τὸν δ' ἕτερον, ἐπεὶ κύων κατηλέησεν, Νηλέα.

335. ἐπὶ] ὁ Ἀσκαλωνίτης ἀναστρέφει, ἵνα γένηται ἐπὶ κρατί, οὐχ ὑγιῶς· μέσος γὰρ πέπτωκεν ὁ δέ. τὸ δὲ ἐξῆς δεῖ διαστέλλειν κατὰ τὸν ποιητὴν κτιδέην, ἀπὸ τοῦ κ ποιουμένους τὴν ἀρχήν, ἐπεὶ ἐν ἑτέροις φησὶ "τοῦ δ' ἀπὸ μὲν κτιδέην" (458).

1. et 14. τοῦ] om.
3. οὕτως Cobetus] οὕτος διὰ τοῦ ο] διὰ τοῦ ᾱ Cobetus, si alii ἀνίσχεο legerint.
5. ἀντωνυμίας Lehrsius] ἄρθρου
14. τὸ et τοῦ om.
15. δέον τὸ (δέοντο A)] δεῖν τὸ Cobetus.
17. In marg. inter. οὕτω διὰ τοῦ ε τὸ ἐπώμοσεν αἱ Ἀριστάρχου.
18. μὴ addidit Bekkerus.
20. λευκοῦ λύκου] *λευκοῦ, τεφρώδους
24. πόνων] *τέκνων

ὅτι νῦν μὲν ἀμφίβολον πότερον κτιδέην ἢ συναλοιφὴν ἐκδεκτέον, ἰκτιδέην· διὰ μέντοι τῶν ἐξῆς ἀναμφισβητήτως κτιδέην λέγει "τοῦ δ' ἀπὸ μὲν κτιδέην κυνέην."

κρατὶ δ' ἐπὶ κτιδέην] *ἀπὸ τοῦ κ ἡ ἀρχὴ, ἐπεὶ καὶ ἐν ἑτέροις κτιδέην. τοῦτο δὲ κατὰ ἀφαίρεσιν τοῦ ι λέγεται παρὰ τῷ ποιητῇ. ἰκτὶς γάρ ἐστιν, ὡς Νίκανδρος "ἰκτίδος ἥ τ' ὄρνισιν" (Ther. 196). τὸ γὰρ μονοσύλλαβον οὐ δύναται κατ' ἔκτασιν οὐδὲ κατὰ συστολὴν λέγεσθαι. οὔτε γὰρ ἐκτείνεται ὡς κρηπῖδος ψηφῖδος· ταῦτα γὰρ ὑπὲρ μίαν συλλαβήν· οὔτε συστέλλεται· ἀρκεῖ γὰρ τὸ τίς.*

κτιδέη ἡ ἐξ ἰκτίδος δέρματος πεποιημένη. ἰκτὶς δέ ἐστι ζῷον ὀρνιθοφάγον καὶ πανοῦργον, μεῖζον μὲν γαλῆς καὶ δασύτερον, παραπλήσιον δέ. οἱ δὲ τὴν ἀγρίαν γαλῆν εἶπον.

336. **ἐπὶ νῆας*] *γρ. ποτὶ νῆας.*

338. *ὅτι νῦν μὲν ὅμιλον τὸ πλῆθος καὶ ἄθροισμα τῶν Τρώων λέγει. ἐν μὲν οὖν τῇ Ἰλιάδι πυκνότερον τὴν μάχην ὅμιλον καλεῖ, ἐν Ὀδυσσείᾳ δὲ τὸ ἄθροισμα.*

341. **οὗτός τοι*] *Ἀρίσταρχος οὗτός τις. ὡμολόγουν καὶ αἱ πλείους.*

343. *ἤ τινα συλήσων νεκύων*] *ὁ ἀστερίσκος, ὅτι ἐνταῦθα καλῶς ὁ στίχος τέτακται, μετὰ ταῦτα δὲ (387) οὐκέτι, λεγόμενος πρὸς Δόλωνα.*

**Ἀρίσταρχος τεθνηώτων.*

346. **παραφθαίῃσι*] *οὕτως σχεδὸν αἱ πᾶσαι.*

347. **ὅτι τῷ ἀπαρεμφάτῳ ἀντὶ τοῦ προστακτικοῦ κέχρηται.*

**ποτὶ νῆας*] *Ἀρίσταρχος ἐπὶ νῆας.*

349. *ὣς ἄρα φωνήσαντε*] *οὕτως Ἀρίσταρχος. καὶ θαυμαστὸν οὐδὲν εἰ Ὀδυσσέως εἰπόντος μόνου συλλήβδην ἔφη ὣς ἄρα φωνήσαντε· σύνηθες γὰρ αὐτῷ τὸ τοιοῦτο. ἐν γοῦν τῇ παραποταμίῳ μάχῃ τοῦ Ποσειδῶνος εἰπόντος μόνου "τοίω γάρ τοι νῶϊ θεῶν ἐπιταρρόθω εἰμὲν Ζηνὸς ἐπαινήσαντος," ἐπιφέρει "τὼ μὲν ἄρ' ὣς εἰπόντε μετ' ἀθανάτους ἀπεβήτην" (Il. 21, 287). ἐν μέντοι τῇ Ἀριστοφάνους καὶ ἄλλαις ἑτέρως ἐφέρετο· "ὣς ἔφατ', οὐδ' ἀπίθησε βοὴν ἀγαθὸς Διομήδης· ἐλθόντες δ' ἑκάτερθε παρὲξ ὁδοῦ ἐν νεκύεσσι κλινθήτην."*

6–10. ἰκτὶς—ἰκτίδος] ἵκτις—ἵκτιδος
7. οὐδὲ] οὔτε
9. *συστέλλεται] συστέλλεσθαι
11. *καὶ δασύτερον] Post π. δέ
22. τεθνηώτων] Corrige κατατεθνηώτων

*ὅτι τοῦ Ὀδυσσέως εἰπόντος μόνου εἶπεν συλληπτικῶς ὡς ἄρα φωνήσαντε.

*διασταλτέον ἐπὶ τὸ φωνήσαντε.

350. ἀφραδίῃσι] ἀθεωρησίᾳ· ἀπείρηκται γὰρ ἀπὸ διανοίας εἰς αἴσθησιν, ὁμοίως τῷ "τὸν δ' ἐφράσατο προσιόντα" (339).

351. ἐπὶ] οὐδὲ ἐνθάδε ἀνάστρεπτέον· μεταξὺ γὰρ πάλιν σύνδεσμος, ἐφ' ὅσον ὅρια.

ἡλίκον ὅρμημα γίνεται τῶν ἡμιόνων τεμνόντων αὔλακα. οὖρα τὰ ὅρια καὶ πέρατα τῆς αὔλακος, ἣν τὸ ὀρικὸν ζεῦγος τέμνει.

πρὸς τὸ σχῆμα, πέλονται ἀντὶ τοῦ πέλεται, ὁμοίως τῷ "οὐδ' εὑήρε' ἐρετμὰ, τά τε πτερὰ νηυσὶ πέλονται" (Od. 11, 125).

353. *νειοῖο] ὅτι ἐλλείπει ἡ διά, διὰ νειοῖο.

νειός ἐστιν ἡ νεωστὶ ἠροτριασμένη γῆ.

πηκτὸν ἄροτρον] τὸ τὸν γύην προσπεπηγότα ἔχον· αὐτόγυον δὲ τὸ ἐξ αὐτοῦ μονόξυλον· καὶ Ἡσίοδός φησι "δοιὰ δὲ θέσθαι ἄροτρα πονησάμενος κατὰ οἶκον, αὐτόγυον καὶ πηκτόν" (O. 433).

354. *Ἀρίσταρχος ἐπεδραμέτην.

τὼ μὲν ἐπιδραμέτην] ὅτι τὸ μὲν ἐπιδραμεῖν τίθησιν, ὅτε οὐ γινώσκει ὁ διωκόμενος, ὅτε δὲ γινώσκει, διώκειν καὶ διῶξαι.

356. στικτέον μετὰ τὸ ἐκ Τρώων· ἔστι γὰρ ὁ λόγος, ἤλπιζε γὰρ ὁ Δόλων ἑταίρους αὐτοῦ ἐκ τῶν Τρώων ὑπάρχειν, ὡς κελεύσαντος τοῦ Ἕκτορος εἰς τὰ ὀπίσω αὐτὸν ὑποστρέψαι. ἀποστρέψαντας γὰρ εἰς τοὐπίσω καλέσαντας.

*ὅτι τὸ πάλιν συναπτέον τῷ ἀποστρέψοντας, ἵνα ᾖ εἰς τοὐπίσω ἀποστρέψοντας.

359. *αἶψα] γρ. καὶ τοὶ δ' ὦκα.

ὅτι νῦν ὀρθῶς διώκειν λέγει, ὅτε φεύγει ἐπιγνοὺς αὐτοὺς πολεμίους ὄντας.

*τὸ ὁρμήθησαν Ἰακῶς.

360. καρχαρόδοντε] ἐπικαμπεῖς ὀδόντας ἔχοντες. ἢ τραχεῖς· κάρχαρον γὰρ τὸ τραχύ. ἤγουν οἱ κύνες τοῦ Ἅιδου.

4. ἀπείρηκται] Sic A, quasi ἀπέρρηκται voluerit. ἀπειρκται (sine accentu) Vill.

10, 11. Ante lin. 6 in A.

16. αὐτόγυον] αὐτόγυιον

17. ἐπεδραμέτην] In textu est ἐπιδραμέτην, et sic haud dubie Aristarchus quoque, ut monet Cobetus. V. La Roche *Textkr.* p. 427.

24. τὸ addidit Bekkerus.

29. τὸ] οὕτως Cobetus.

ὁρμήθησαν Bekk.] ὠρμήθησαν

361. ὅτι τῷ ἐπείγετον ὁριστικῷ ἀντὶ ὑποτακτικοῦ τοῦ ἐπείγητον. ἐπιφέρει γὰρ προθέῃσι. γίνεται οὖν κατάλληλον οὕτως, ὡς δ' ὅταν ἐπείγωσιν, ὁ δὲ προθέῃσι μεμαώς.

ἐμμενές] ἐν τούτῳ γάρ ἐστι τῶν κυνῶν ἡ ἀριστεία. ταῦτα γάρ ἐστι τὰ ζῷα φύσει μὲν ταχέα, ὑπεκλυόμενα δὲ διὰ τὴν ἀσθένειαν· οἱ δὲ κύνες τὸ ἐναντίον.

362. *ὁ τε σύνδεσμος οὐκ ἦν ἐν τοῖς Ἀριστάρχου.

364. λαοῦ ἀποτμήξαντε διώκετον] ὡς τὸ "εἰδότε θήρης" (360)· οὐδὲ γὰρ ἐκεῖνοι κατ' οὐρὰν διώκουσιν, ἀλλὰ περὶ τὰ πλευρά, ἠὐτρεπισμένοι πρὸς τὴν ἐπιστροφὴν τῶν διωκομένων θηρίων.

ὅτι τὸ διώκετον σημαίνει διώκουσιν [ἢ διώκετε], οὐ τὸ ἐδιωκέτην, ὡς Ἐρατοσθένης. ἔστιν οὖν τὸν Δόλωνα διώκουσιν ἀντὶ τοῦ ἐδίωκον, ὃν τρόπον "αἱ μὲν ἀλετρεύουσι μύλης ἔπι" (Od. 7, 104) ἀντὶ τοῦ ἠλέτρευον.

λαοῦ ἀποτμήξαντε διώκετον] τοῦ Τρωϊκοῦ λαοῦ χωρίσαντες αὐτὸν ἐδίωκον. τρία δὲ ῥήματά ἐστι παρὰ τῷ ποιητῇ τὸ τοῦ παρῳχημένου δυϊκὸν τρίτον εἰς ον λῆγον ἔχοντα παραλόγως, τοῦτο καὶ τὸ "ἀνδράσιν ἡρῶεσσιν ἐτεύχετον" (Il. 13, 346) καὶ τὸ "ἔγκατα καὶ μέλαν αἷμα λαφύσσετον" (Il. 18, 583). οὐκ ἔστι μέντοι ἄντικρυς δυϊκῆς σημασίας· ἀναθεώρησιν γὰρ ἔχει πληθυντικὴν παρατατικήν· τὸ γὰρ διώκετον ἀντὶ τοῦ ἐδίωκον κεῖται, καὶ τὸ ἀνδράσιν ἡρώεσσι ἐτεύχετον ἀντὶ τοῦ ἔτευχον, καὶ τὸ λαφύσσετον ἀντὶ τοῦ ἐλάφυσσον.

368. *φθαίη ἐπευξάμενος] καυχήσεται προλαβών.

372. ὅτι θέλοντες ζήτημα ποιεῖν μεταγράφουσι τὸ ἡμιστίχιον οὕτως "καὶ βάλεν οὐδ' ἀφάμαρτεν, ἑκὼν δ' ἡμάρτανε φωτός·" καὶ λύουσιν ἔξωθεν προσλαμβάνοντες τὸν ἄν σύνδεσμον· καὶ βάλεν, οὐδ' ἀφάμαρτεν ἄν, ἑκὼν δ' ἡμάρτανεν. ἀγνοοῦσι μέντοι ὅτι Ὅμηρος τὸ βαλεῖν ἐπὶ τοῦ ἐπιτυχεῖν τίθησιν.

1. De hoc scholio v. Friedl. p. 179.

ἐπείγητον] Fort. addendum κέχρηται, nisi intelligendum ut p. 378, 6.

8. Hoc scholion et duo proxima scholia hoc ordine in A, 2. 1. 3.

11. ἢ διώκετε seclusit Friedl. Simile scholion in marg. inter. scribere voluit librarius, sed solum scripsit ὅτι, reliqua addere oblitus.

11. ἐδιωκέτην Friedl.] διωκέτην

15. Cum hoc scholio comparandum schol. ad 13, 346 et Epim. Homerici in Crameri Anecd. Oxon. vol. 1 p. 397, Buttmann. Gr. Gr. vol. 2 p. 301 ed. Lobeck.

17. *τὸ ἀνδράσιν—καὶ τὸ] om.

21. *ἐτεύχετον — ἔτευχον — ἐλάφυσσον] τετεύχετον — ἔτυχον — λαφύσσετε

373. ἐΰξου] Πτολεμαῖος περισπᾷ, λέγων ἐκ τοῦ εὐξόου συνηλεῖφθαι. οὐκ ἀναγκαῖον δέ· εἰ γὰρ ἤδη τέτριπται εὔξου ὡς ἡσύχου, δῆλον ὅτι τὸ ἐΰξοος πολὺ πρότερον ἐΰξους ἐγένετο ὡς εὔνους· καὶ οὕτως τὸ εὔξου ὡς εὔνου.

375. βαμβαίνων] τρέμων καὶ μετὰ σφαλμοῦ τὴν πορείαν ποιούμενος, ἐκ δὲ τούτου ἀνάνδρως κινούμενος· οἱ δὲ ἐσχημάτισαν ἀπὸ τοῦ γινομένου κατὰ τὸ στόμα ψόφου, συρρήσσων καὶ συγκρούων τοὺς ὀδόντας. ἢ ἀσαφῆ φωνὴν προϊέμενος ὑπὸ τοῦ φόβου, βαμβαλύζων, ὅπερ ἡμεῖς φαμέν. ἔστι γὰρ τῶν κατὰ μίμησιν ἡ λέξις· οὐ γὰρ ἔγκειται τὸ βαίνειν.

*ὅτι ὀνοματοθετικὸς ὁ ποιητής.

*τὸ ἑξῆς, βαμβαίνων χλωρὸς ὑπαὶ δείους· τὰ δὲ λοιπὰ διὰ μέσου.

378. ὅτι παρὰ τὸ σύνηθες ἐξενήνοχεν, ἐμὲ λύσομαι ἀντὶ τοῦ ἐμαυτόν.

381. πεπύθοιτ'] ὅτι ἐπὶ τοῦ ἀκοῦσαι ἀεὶ τάσσει τὴν λέξιν, καὶ ὅτι συνήθως ἀναδιπλώσει κέχρηται, πεπύθοιτο ἀντὶ τοῦ πύθοιτο.

*ὅτι τὸ καταθύμιος ἐνθύμιος, οὐχ ὡς ἡμεῖς.

385. γρ. ἐπὶ νῆας.

387. ὅτι ἐκ τῶν ἐπάνω (343) ὧδε μετάκειται ἤδη παρεληλυθότων αὐτῶν τοὺς νεκρούς. καὶ ὁ Ὀδυσσεὺς ἀσύνετος ἔσται πρόφασιν αὐτῷ πορίζων. ἠθέτει καὶ Ἀριστοφάνης.

*κατατεθνηώτων] οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ κατατεθνειώτων.

391. *ἤγαγεν] Ἀριστοφάνης ἤπαφεν Ἕκτωρ.

394. ἠνώγει δέ μ' ἰόντα θοὴν διὰ νύκτα] ταχεῖαν λέγει τὴν νύκτα διὰ τὸ ὑφ' ἕνα χρόνον ὅλην τὴν γῆν μελαίνεσθαι, ὡς ἐν ἄλλοις "δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί" (Od. 2, 388).

397. ἢ ἤδη χείρεσσιν] καὶ γραπτέον οὕτως, καὶ ἀθετητέον τοὺς

1. συνηλεῖφθαι Bekk.] συνειλῆφθαι
5. μετὰ Vill.] κατὰ
7. ψόφου Vill.] ψόφου τοῦ
8. ὑπὸ Bekkerus] ἀπὸ
11. ὀνοματοθετικὸς] ὀνοματικός. Correxi ex p. 200, 5 et 227, 15.
19. γρ. ἐπὶ] Quum id ipsum in omnibus quos novimus codicibus legatur, in quibusdam προτὶ olim lectum fuisse coniecit Cobetus, ut v. 336 (ubi in marg. exter. προτὶ νῆας cum punctis) et 347. inter προτί, ποτί et ἐπί variatur.
20. Asteriscus cum obelo praefixus.
28. ἢ ἤδη] Obelus praefixus.

τρεῖς στίχους, εἴ τι χρὴ πιστεύειν Ἀμμωνίῳ τῷ διαδεξαμένῳ τὴν σχολήν, ἐν τῷ περὶ τοῦ μὴ γεγονέναι πλείονας ἐκδόσεις τῆς Ἀρισταρχείου διορθώσεως τοῦτο φάσκοντι. καὶ παρὰ Ἀριστοφάνει δὲ ἠθετοῦντο. ἐν δὲ ταῖς Ἀριστάρχου ἐγέγραπτο εἰ ἤδη. ταῦτα ὁ Δίδυμος περὶ τῶν στίχων τούτων.

398. *ἐν ἄλλῳ "φύξιν βουλεύουσι μετὰ σφίσιν οὐδ' ἐθέλουσι."

ὅτι οὕτως γραπτέον, βουλεύουσι καὶ θέλουσι· τὸ γὰρ σφίσιν ἐν τῷ περί τινών ἐστι λόγῳ, ἀντὶ τοῦ αὐτοῖς, ᾧ ἀκόλουθα δεῖ εἶναι τὰ ῥήματα. ταῦτα ὁ Ἀριστόνικος περὶ τῆς γραφῆς ταύτης φησὶ, διπλῆν βάλλων τῷ στίχῳ. ἐν μέντοι τῇ τετραλογίᾳ Νεμεσίωνος οὕτως εὗρον περὶ τῶν στίχων τούτων· τῶν παρακειμένων ὀβελῶν οὐκ ἔστιν αἰτίαν εὑρεῖν διὰ τῶν Ἀρισταρχείων ὑπομνημάτων. Ἀμμώνιος δὲ ὁ Ἀριστάρχειος πρῶτον μὲν στιγμαῖς φησὶ τὸν Ἀρίσταρχον παρασημειώσασθαι αὐτούς, εἶτα δὲ καὶ τέλεον ἐξελεῖν, τάχα διὰ τὸ ἐπὶ δευτέρου προσώπου τὸ σφίσι τετάχθαι καὶ ἄνωθεν μετενηνέχθαι.

404. *ἔδει εἰπεῖν ἄλλοις.

408. πῶς δαὶ] ἡ μὲν σύνταξις ἐπιζητεῖ πῶς δ' αἱ, τὸ αἱ ἄρθρον· ὁ δὲ Ἀρίσταρχος δύο παρέλαβε χαρακτηριστικὰ τοῦ ποιητοῦ, ἔλλειψιν ἄρθρου καὶ τοῦ δαί σύνταξιν μετὰ τὸ πύσμα. οὕτως γὰρ αὐτῷ ἔθος· "ποῦ δαὶ νηῦς ἔστηκε" (Od. 24, 298). "τίς δαὶ ὅμιλος" (Od. 1, 225).

*ὅτι σύνδεσμος ὁ δαὶ καὶ οὐκ ἄρθρον.

409. ἀπὸ τούτου ἕως τοῦ (411) ἂψ ἀναχωρήσουσιν ἀθετοῦνται στίχοι τρεῖς, καὶ ἀστερίσκοι παράκεινται, ὅτι ἐκ τῶν τοῦ Νέστορος λόγων μετενηνεγμένοι εἰσὶν οὐ δεόντως. γελοῖος γὰρ ἔσται ὁ Ὀδυσσεὺς, ἤδη τῆς ὥρας προκεκοφυίας, ἐρωτῶν εἰ μένουσιν ἢ ἀπέρχονται ἐπὶ τὴν πόλιν. καὶ ὡς ἂν τούτων μὴ εἰρημένων ὁ Δόλων πρὸς μὲν τὰ ἄλλα ἀποκρίνεται, πρὸς δὲ ταῦτα οὔ. τὸ δὲ ἄσσα ἐνθάδε ψιλωτέον· ἰσοδυναμεῖ γὰρ τῷ τίνα.

413. *καταλέξω] οὕτως Ἀρίσταρχος, ἄλλοι δὲ ἀγορεύσω.

415. παρὰ σήματι Ἴλου] Ἶλος Τρωὸς παῖς, ἀφ' οὗ ἡ πόλις Ἴλιος

10. Νεμεσίωνος] V. Lehrs. Arist. p. 30.

14. τέλεον] τέλειον

23. δαὶ] δ καὶ. Hoc dicit δαὶ esse δαί, non δ' αἱ. In textu est πῶς δαί.

29. ψιλωτέον] Conf. Eust. p. 813, 36.

ἐκλήθη. παρὰ σήματι δὲ παρὰ τῷ τάφῳ· ἦν γὰρ "μέσσον κὰπ πεδίον" (Il. 11, 167). ἀπέχει δὲ τῆς πόλεως καὶ τῶν νεῶν τὸ ἴσον.

418. πυρὸς ἐσχάραι] πυραί. δηλοῖ δὲ ἡ λέξις καὶ τὴν ἑστίαν, καὶ τὸ ῥυπαρὸν καὶ καυθὲν ἕλκος, καὶ τὸν βωμὸν, ὡς παρ' Εὐριπίδῃ ἐν Ἡρακλεῖ (922), καὶ τὴν κυρίως λεγομένην.

421. *τὰς γυναῖκας καὶ τέκνα.

424. οὐ στικτέον ἐπὶ τὸ νῦν, ἐπεὶ κομματικὸν ἔσται τὸ λεγόμενον καὶ παντελῶς ἀπηρτημένον τῶν ἑξῆς, ἀλλὰ βραχὺ διασταλτέον. κοινὸν γὰρ τὸ εὕδουσ', τὸ δὲ ἑξῆς, πῶς γὰρ νῦν εὕδουσι, Τρώεσσι μεμιγμένοι ἢ ἀπάνευθε;

425. τὸ εὕδουσ' ἐν διαστολῇ καὶ ὑποστιγμῇ, ἵνα ἐρωτηματικὸν γένηται. καὶ αὐτὸν δὲ τὸν ἦ περισπαστέον· διαπορητικὸς γάρ.

428. Παίονες] ἔθνος Θρᾳκῶν. τινὲς δέ φασι τοὺς νῦν καλουμένους Παννονίους· ἕτεροι δὲ Μακεδόνας.

ὅτι ὡς ὕστερον ἐληλυθότων τούτων μνημονεύει, ὡς καὶ τῶν περὶ τὸν Ῥῆσον· οὐδεμίαν γὰρ αὐτῶν διὰ τοῦ καταλόγου μνήμην πεποίηται.

429. Λέλεγες] ἔθνος Καρικόν· λέγει δὲ τοὺς ἐν Πιδαίῳ πόλει Καρίας οἰκοῦντας.

Καύκωνες] ἔθνος Παφλαγονίας, οἱ δὲ Σκυθίας· οἱ δὲ τοὺς λεγομένους Καυνίους.

Πελασγοί] οἱ τὸ παράλιον μέρος τῆς Καρίας ἔχοντες· ἄμεινον δὲ λέγειν αὐτὸ γένος τι πολυπλανὲς, οἰκῆσαν ἐν τῇ Ἀσίᾳ καὶ Εὐρώπῃ, νῦν δὲ τὸ τῆς Τρωάδος πλησίον οἰκῆσαν, ὅ φασι Τράλλεις.

430. πρὸς Θύμβρης] πρὸς τὸ Θυμβραῖον πεδίον· Θύμβρα γὰρ τόπος ἐστὶ τῆς Τροίας, ἔνθα καὶ Θυμβραίου Ἀπόλλωνος ἱερὸν ἐπιφανές.

ὅτι οὐ μόνον ἐπὶ Ῥοδίων (Il. 2, 654) χρῆται τῷ ἀγέρωχοι, ἕνεκα τοῦ ἀγείρειν τὴν ὀχὴν, τουτέστι τὴν τροφὴν, ἀλλ' ἐπὶ Μυσῶν καὶ Τρώων (Il. 3, 36), οἷον γεραόχων, σεμνῶν καὶ ἐντίμων.

431. Φρύγες] ὅτι ἑτέρους τῶν Τρώων οἶδε τοὺς Φρύγας· καὶ ὅτι Ὅμηρος οὐκ οἶδε καλουμένους Λυδοὺς, ἀλλὰ Μήονας. πρὸς τὰ περὶ ἡλικίας Ἡσιόδου.

*Ἀρίσταρχος ἱππόμαχοι.

11. ἵνα ἐρωτηματικὸν Bekkerus] ἵναν ερωματικ

18. Πιδαίῳ] *Πηδάσῳ vel Πηγάσῳ

28. τῷ] τὸ

434. νεήλυδες] νεωστὶ ἐληλυθότες· ἤλυσιν γὰρ τὴν ἔλευσιν λέγουσιν.

435. Ῥῆσος γένει μὲν ἦν Θρᾷξ, υἱὸς δὲ Στρυμόνος τοῦ αὐτόθι ποταμοῦ καὶ Εὐτέρπης μιᾶς τῶν Μουσῶν. διάφορος δὲ τῶν καθ' αὐτὸν γενόμενος ἐν πολεμικοῖς ἔργοις ἐπῆλθε τοῖς Ἕλλησιν, ὅπως Τρωσὶ συμμαχήσῃ, καὶ συμβαλὼν πολλοὺς τῶν Ἑλλήνων ἀπέκτεινεν. δείσασα δὲ Ἥρα περὶ τῶν Ἑλλήνων Ἀθηνᾶν ἐπὶ τὴν τούτου διαφθορὰν πέμπει. κατελθοῦσα δὲ ἡ θεὸς Ὀδυσσέα τε καὶ Διομήδη ἐπὶ τὴν κατασκοπὴν ἐποίησε προελθεῖν. ἐπιστάντες δὲ ἐκεῖνοι κοιμωμένῳ Ῥήσῳ αὐτόν τε καὶ τοὺς ἑταίρους αὐτοῦ κτείνουσιν, ὡς ἱστορεῖ Πίνδαρος. ἔνιοι δὲ λέγουσι νυκτὸς παραγεγονέναι τὸν Ῥῆσον εἰς τὴν Τροίαν, καὶ πρὶν γεύσασθαι αὐτὸν τοῦ ὕδατος τῆς χώρας φονευθῆναι· χρησμὸς γὰρ ἐδέδοτο αὐτῷ, φασίν, ὅτι εἰ αὐτὸς γεύσεται τοῦ ὕδατος καὶ οἱ ἵπποι αὐτοῦ τοῦ Σκαμάνδρου πίωσιν καὶ τῆς αὐτόθι νομῆς, ἀκαταμάχητος ἔσται εἰς τὸ παντελές.

ὅσοι ἐκ Μουσῶν τίκτονται. Ὀρφεὺς ἐκ Καλλιόπης ἢ Κλειοῦς, Λίνος Τερψιχόρης ἢ ὥς τινες Εὐτέρπης, Ῥῆσος Τερψιχόρης ἢ Εὐτέρπης Θρᾷξ, Θαλείας Παλαίφατος, Ἐρατοῦς Θάμυρις ὁ Θρᾷξ, Μελπομένης καὶ Ἀχελῴου Σειρῆνες, Πολυμνίας Τριπτόλεμος.

437. λευκότεροι χιόνος εἶπεν, ἵνα φανῶσι νυκτὸς, θείειν δ' ἀνέμοισιν ὅμοιοι, ἵνα φθάσωσιν ἐπ' αὐτὸν διασωθῆναι. ἰστέον δὲ ὅτι ἐμείωσε τὴν ὑπερβολὴν ἐκ τοῦ μὴ εἰπεῖν αὐτοὺς καὶ τῶν ἀνέμων ταχυτέρους.

δύο ὑπερβολὰς ἐνῆκεν ἐντέχνως, τὴν μὲν ἐξ ὑπερθέσεως, τὴν δὲ ἐξ ὁμοιώσεως, καὶ ἐφ' ἑκατέρας παρέλαβε τὸ οἰκεῖον· χιόνος μὲν γὰρ δύναταί τι λευκότερον γενέσθαι, ἀνέμου δὲ θᾶσσον οὐδέν. καλῶς οὖν τῷ μὲν ἀδυνάτῳ εἴκασε, τοῦ δὲ δυνατοῦ μεῖζον ἀπέφηνεν. ἐπαινετέον δὲ καὶ τὴν φράσιν, ὅτι κατ' αἰτιατικὴν δυνάμενος εἰπεῖν λευκο-

3. Στρυμόνος] στρύμωνος

6. καὶ συμβαλὼν] *καὶ μίαν ἡμέραν συμβαλὼν

12. *τῆς χώρας—τοῦ ὕδατος] om.

14. *πίωσιν]πίουσ. πίοιεν Eustath. p. 817, 35.

16–19. ὅσοι—Τριπτόλεμος] Haec in A infra leguntur post scholion v. 450. eademque in fine scholiorum ad hanc rhapsodiam leguntur cum hac diversitate scripturae, Καλιόπης — Λῖνος ἐκ Τερψιχώρης — Ῥῆσος ἐκ Τερψιχώρης—ἐκ Θαλείας—ἐξ Ἐρατοῦς—Ἀχελόους Σειρῆνες—.

16. Καλλιόπης] καλιώπης

18. Θαλείας] θαλλίας. Correctum e loco inferiore et Eustathio p. 817, 32.

20. Hoc et proximum scholion in A ordine inverso leguntur.

26. *καλῶς—ἀπέφηνεν] om. Conf. Eustath. p. 816, 50.

τέρους χιόνος, καὶ τοῦ μέτρου ἐπιδεχομένου, θαυμαστικῶς κατ᾽ ἰδίαν ἀνεφώνησε τὸν ἔπαινον, καὶ λείπει τὸ εἰσίν. οἱ δὲ πτώσεως μετάθεσιν τὸ τοιοῦτον ὠνόμασαν. πῶς ἐδόκει εἰδέναι ὅτι ταχεῖς εἰσὶν, εἴ γε νεήλυδες ἦσαν; ἢ ὡς ἀκούσας, ἢ ὡς ἀποσεμνύνων, ὡς καὶ σωθησομένων αὐτῶν διὰ τῶν ἵππων μετὰ τὴν Θρᾳκῶν ἐπανάστασιν.

χωριστέον τοῦ ἐπάνω στίχου, ἵνα μὴ σόλοικον γένηται· καὶ ἄλλως καθ᾽ ἑαυτὸ λεγόμενον πλείονα ἔμφασιν παρίστησιν. λείπει δὲ τὸ εἰσί ῥῆμα, λευκότεροί εἰσιν.

439. τεύχεα] ὅπλα. εἰρῆσθαι δὲ αὐτὰ Ἴστρος φησὶ παρὰ τὸ ἐν Τευχίῳ τῷ Εὐβοϊκῷ κατεσκευάσθαι πρῶτον ὑπὸ Κυκλώπων.

445. ἦ ῥά κατ᾽ αἶσαν] οὕτως Ἀρίσταρχος· ἠὲ κατ᾽ αἶσαν, ἔξω τοῦ ῥά, καὶ ὅτι ὅμοιον τῷ "ἠὲ μετὰ Τρώεσσιν."

*πρὸς τὸ οὐκί, ὅτι ὑγιῶς διὰ τοῦ ψιλοῦ ἀντιστοίχου.

447. Δόλων] ὅτι ζητεῖται πῶς τὸ ὄνομα ἔγνω. διό τινες ἀνέγνωσαν δολῶν ὡς νοῶν. ἐξῆς μέντοι γε πάλιν λέγει "οὓς νῦϊ πίφαυσκε Δόλων, ὃν ἐπέφνομεν" (478). εἰκὸς δέ τινων γινώσκεσθαι ὀνόματα ὡς ἂν δεκαετοῦς γεγονότος χρόνου, καὶ μάλιστα τοῦ Δόλωνος· ἦν γὰρ κήρυκος υἱὸς πολύχρυσος πολύχαλκος (315).

450. εἶσθα] οὕτως ἐγένετο τὸ εἶσθα, εἰμί, τὸ δεύτερον εἶς, εἶτα εἶσθα.

452. *Ἀρίσταρχος ὀλέσσαις.

458. *ὅτι κτιδέην λέγει ῥητῶς, χωρὶς τοῦ ῑ (335).

460. λῃΐτιδι] λαφυραγωγῷ, πολεμικῇ, ἢ τῇ παραιτίᾳ γιγνομένῃ τοῦ λείαν λαβεῖν.

461. *ἀνέσχεθε] γρ. ἀνέσχετο.

*ὅτι συνήθως ἡμῖν νῦν κέχρηται τῷ εὐχόμενος.

463. *Ἀρίσταρχος ἐπιδωσόμεθα, ἵν᾽ ἧ δῶροις τιμήσομεν.

464. *ἵππους τε] ἐν ἄλλῳ ἄγυρίν τε καὶ εὐνάς.

465. *ὑψόσ᾽] διήλλαττον αἱ Ἀριστάρχου, ὑψόσε καὶ ὑψοῦ.

466. μυρίκην] σὺν τῷ ῡ, μυρίκην δέελον. δέελον δὲ τὸ εὔδηλον, ἀπὸ τοῦ δήεις, φησὶν ὁ Ἀρίσταρχος, τὸ εὑρετόν.

1. *θαυμαστικῶς] om.
2. *καὶ λείπει—ὠνόμασαν] om.
9. ἐν Τευχίῳ] Fuit locus Euboeae. ἀπὸ Τευχίου Εὐβοϊκοῦ τόπου dixit Eustathius p. 817, 21.
11. οὕτως Cobetus] ὅτι Ἀρίσταρχος—αἶσαν] Eadem in marg. inter.
19. τὸ εἶσθα Cobetus Mnem. novae vol. 1 p. 18.] τὸ ἦσθα (sine spiritu, ut εἶς εἶτα εἶσθα)
εἰμί] εἰμι sine accentu.
29. διήλλαττον] διήλαττ

δέελον] ταὐτόν ἐστι τῷ δῆλον· διὸ καὶ τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα, καὶ ψιλοῦται τὸ δεύτερον ε̄. ἡ διπλῆ δὲ, ὅτι ὃ ἡμεῖς λέγομεν δῆλον, αὐτὸς εἶπε διελὼν δέελον.

469. τὼ δὲ βάτην προτέρω] ὅτι τὸ προτέρω ἀντὶ τοῦ ἔμπροσθεν, τοπικῶς· καὶ ὅτι ἐρριμμένοι εἰσὶν οἱ νεκροί. καὶ ὅτι ἀντὶ τοῦ δι' ἐντέων καὶ αἵματος.

470. *ὅτι τέλος καὶ νῦν τὸ τάγμα.

473. *ὅτι συνωρίσιν ἐχρῶντο, διὸ δίζυγες.

475. ψιλωτέον τὸ ἐξ· τὸ γὰρ ἐξῆς ἐστὶν, ἐκ πυμάτης, ἐκ τῆς ἄντυγος ἐδέδεντο τοῦ δίφρου, ἐξ ἄκρας τῆς ἐπιδιφριάδος. ἔνιοι δὲ κακῶς δασύνουσιν, ὥστε κατὰ τὸν ἀριθμὸν ἓξ ἵππους δεδέσθαι.

ἐπιδιφριάδος] τῆς κατὰ κόσμον ἄκρας ἄντυγος, ἣ τοῦ ἐν τάξει ἐξωτάτου ξύλου, ἐφ' οὗ πρῶτοι ἀναβαίνουσιν οἱ μέλλοντες μάχεσθαι.

476. ὅτι καὶ ἐν Ἰλιάδι νῦν τὸ προπάροιθεν ἐπὶ χρόνου τέταχεν, πρόσθεν ἢ ἰδεῖν τὸν Διομήδη, οὐχ ὡς οἱ χωρίζοντες ἐν Ὀδυσσείᾳ μόνον, ἐν Ἰλιάδι δὲ τοπικῶς.

477. *οὗτός τοι] οὕτως οὗτός τοι· ἄνω δὲ (341) οὗτός τις.

478. *οὕτω πληθυντικῶς οὓς ἐπὶ τῶν ἵππων.

*ὅτι ἐπίσταται τὸ τοῦ Δόλωνος ὄνομα καὶ ἐνταῦθα.

480. *ὅτι οἱ νεώτεροι μέλεον τὸν ἀτυχῆ, ὁ δὲ Ὅμηρος ἀντὶ τοῦ ματαίως.

485. ὅτι μῆλα οἱ νεώτεροι πάντα τὰ τετράποδα, Ὅμηρος δὲ αἶγας καὶ ὄϊς· "μῆλ' ὄϊές τε καὶ αἶγες" (Od. 9, 184 et 486.)

486. *ὅτι ἐπεξηγεῖται τίνα τὰ μῆλα.

488. ὄφρα δυώδεκ'] ὅτι χωρὶς τοῦ Ῥήσου δώδεκα ἑταίρους αὐτοῦ ἀναιρεῖ, ἀλλ' οὐ σὺν αὐτῷ δώδεκα, ὥς τινες.

489. *πλήξειε] οὕτως Ἀρίσταρχος· ἄλλοι δὲ πλήξασκε.

ὅτι ἰδίως προειπὼν ἀτὰρ πολύμητις Ὀδυσσεύς ἐπενήνοχεν αὐτοῦ τὸ ὄνομα, τὸν δ' Ὀδυσεύς· καὶ ὅτι ὁ δέ σύνδεσμος περιττός.

495. τὸν τρισκαιδέκατον] ὅτι νῦν μὲν τοῖς δώδεκα Θρᾳξὶν ἐπαριθμεῖ τὸν Ῥῆσον, πρὸς τὸ "τρεισκαιδέκατον σκοπόν" (561)· καὶ ὅτι ἐν σχήματι ἐξήνεγκε, τὸν τρεισκαιδέκατον τὴν ψυχὴν ἀφείλετο.

496. *κακὸν γὰρ ὄναρ] κακὸς γὰρ αὐτῷ ἐπέστη ὄνειρος ὁ Διομήδης.

2. ὅτι] addidit Vill.
5. οἱ Lehrsius] οὗτοι οἱ
30. ἀντὶ τοῦ τρεισκαιδέκατον margo inter.
τοῖς] τοὺς
31. πρὸς τὸ addidit Lehrsius

497. ἀθετεῖται, ὅτι καὶ τῇ συνθέσει εὐτελής· καὶ μὴ ῥηθέντος δὲ νοεῖται ὅτι ὡς ὄναρ ἐφίσταται τῷ Ῥήσῳ ὁ Διομήδης. καὶ τὸ διὰ μῆτιν Ἀθήνης λυπεῖ· μᾶλλον γὰρ διὰ τὴν Δόλωνος ἀπαγγελίαν.

*οὔτε ἐν τῇ Ζηνοδότου οὔτε ἐν τῇ Ἀριστοφάνους ἐφέρετο.

499. ἡ διπλῆ, ὅτι καὶ νῦν ὅμιλον τὸ ἄθροισμα εἶπεν. διὰ τὴν περίστασιν δὲ ἀναγκασθέντες ἐπὶ γυμνοῖς τοῖς ἵπποις καθίζουσιν οἱ ἥρωες, συναρτήσαντες αὐτοὺς τοῖς ἱμᾶσι· καὶ μιμεῖται τὸ γινόμενον ἐν ταῖς ταραχαῖς.

502. ῥοίζησεν] ἀνάρθρως ἐφώνησεν, ὃ ἡμεῖς συρίζειν λέγομεν. καὶ ἀλλαχοῦ δέ φησιν "πολλῇ δὲ ῥοίζῳ πρὸς ὄρος τρέπε πίονα μῆλα" (Od. 9, 315).

505. ῥυμοῦ ἐξερύοι] ὅτι πρὸς ἓν ληπτέον μέρος τὸ λεγόμενον ἐκ τοῦ "ἦ ὄγε δίφρον ἑλὼν ῥυμοῦ ἐξερύοι ἢ ἐκφέροι ὑψόσ' ἀείρας." ἔστι γὰρ ἢ τὸν δίφρον ἐκ τοῦ ῥυμοῦ λαβόμενος ἐξέλκοι, ἢ μετέωρον ἄρας ἐξενέγκοι, ὥστε περὶ τοῦ δίφρου μέρος ἔχειν. πρὸς τοῦτο δὲ ἀντιδιέσταλκεν "ἦ ἔτι τῶν πλεόνων Θρῃκῶν."

*ὑψόσ'] διχῶς, ὑψοῦ καὶ ὑψόσε.

*ἦ ὄγε δίφρον ἑλὼν ἦ ἐκφέρει ὑψόσ', ἢ ὅτι τῶν πλεόνων] διαπορητικοὶ οἱ ὕστεροι· διὸ περισπαστέον τὸν δεύτερον, τὸν δὲ πρῶτον καὶ τρίτον ἐγκλιτέον.

510. νῆας ἔπι γλαφυράς] τὸ ἡμιστίχιον δύναται καὶ τοῖς ἡγουμένοις καὶ τοῖς ἑπομένοις συντάττεσθαι, διαστολῇ μόνον χωριζόμενον ἀπὸ τῶν ἑτέρων οἷς μὴ προσδίδοται.

πεφοβημένος] εἰς φυγὴν τραπείς, διωκόμενος, τουτέστι μετὰ φυγῆς παραγεγενημένος.

513. *ἐπεβήσετο] οὕτως Ἀρίσταρχος· ἄλλοι δὲ ἐπεβήσατο.

515. οὐδ' ἀλαὸς σκοπιήν] ὅτι Ζηνόδοτος γράφει ἀλαὸν σκοπιήν. παροιμιακὸν δέ ἐστιν, οὐ τυφλὸς ἐς σκοπιάς, ἀλλὰ τοὐναντίον δεδορκώς· καὶ ὁ ποιητὴς οὐδέποτε εἴρηκε σκοπιὴν τοὺς ὀφθαλμούς. συναπτέον δὲ τὸ διστίχιον μέχρι τοῦ ἔπουσαν.

520. ὅτι Ζηνόδοτος τὸ ἐναλλὰξ τῷ τόπῳ τούτῳ τίθησιν "ὁ δ' ἐξ ὕπνου ἀνορούσας ὤμωξέν τ' ἄρ' ἔπειτα, ὡς ἴδε χῶρον ἐρῆμον ἄνδρας τ' ἀσπαίροντας." πρῶτα δὲ ἰδόντα ἔδει κλαίειν.

4. ἐν τῇ Ζηνοδότου La Roche] ἐν ζηνοδότῳ
12. πρὸς ἓν Lehrsius] πρός τι
15. μέρος] ἓν μέρος Friedl.
23. ἑτέρων Friedl.] ἑταίρων
31. ὅτι Ζηνόδοτος ἐναλλὰξ τὸν τρίτον πρῶτον τίθησιν Lehrsius.

522. ὥρμωξέν τ' ἄρ' ἔπειτα φίλον τ' ὀνόμηνεν ἑταῖρον] ἐμφατικῶς οὐ μόνον ὥρμωξεν, ἀλλὰ καὶ φίλον καὶ ἑταῖρον ὠνόμασεν.

526. σκοπὸν] κατάσκοπον. πῶς δέ φησι δεκατέσσαρος φονεύσαντες τρισκαιδέκατον λέγει Δόλωνα; ῥητέον οὖν ὡς ὅτι Ὅμηρος ἀεὶ τοὺς βασιλεῖς τῶν στρατιωτῶν χωρίζει κατ' ἐξοχήν. ἔθει οὖν κεχώρισται κατὰ τὸν ἀριθμὸν ὁρίσας, ὡς ἐπὶ τοῦ "Ζεὺς δ' ἐπεὶ οὖν Τρῶας τε καὶ Ἕκτορα" (Il. 13, 1).

528. *ἐπὶ τὸ θορών διασταλτέον· σαφέστερον γάρ.

ἔναρα] ὅτι περιεκτικῶς καὶ τὰ τόξα καὶ τὸ δόρυ ἔναρα εἴρηκε σὺν τοῖς ἄλλοις· κυρίως δὲ ἔναρα λέγεται οἷς ἐνάρηρε τὰ σώματα καὶ ἐνήρμοσται, θώραξ καὶ κυνέα καὶ κνημῖδες.

529. *τίθει] ἐν ἄλλῳ Ὀδυσῆϊ δίδου.

530. *ἵππους] ἐν ἄλλῳ μάστιξεν δ' Ὀδυσεύς.

532. Νέστωρ δὲ πρῶτος] πρῶτος ὁ Νέστωρ κτύπον ἄϊε, ὅτι αὐτὸς γνώμην δοὺς εἰς τὸ ἐκπεμφθῆναι τοὺς ἄνδρας ὑπὲρ αὐτῶν ἀγωνιᾷ, μόνον οὐχὶ καὶ τὴν ψυχὴν ἔχων συναποδημοῦσαν.

534. *τὸ εἰπεῖν τὴν ἄφιξιν Ὀδυσσέως καὶ Διομήδους.

538. *κατὰ φρένα] Ἀρίσταρχος δείδοικα μετὰ φρεσίν.

539. *Ἀρίσταρχος Ἀργείων ὥριστοι, καὶ ἄνευ τοῦ ῑ.

545. χαριέντως διαστέλλουσι βραχὺ ἐπὶ τὸ λάβετον, ἵνα τὸ ἐξῆς πευστικῶς λέγηται, καταδύντες ὅμιλον Τρώων, οὕτως καὶ Τήλεφος ἐν τῷ ἡ τῶν γραμματικῶν ἀξιοῖ· εἰ γὰρ μὴ οὕτως, φησίν, ἀναγνῶμεν, ἐπιταραχθήσεται ἡ διάνοια.

ἡ διπλῆ δὲ, ὅτι Ζηνόδοτος γράφει λαβέτην. ἔστι δὲ τοῦτο τρίτου προσώπου, ἀντὶ τοῦ ἔλαβον· λέγει δὲ νῦν πρὸς αὐτούς.

546. *οὕτως σφωέ διὰ τοῦ ε̄ καὶ πόρεν Ἰακῶς. οὕτως καὶ Ἀρίσταρχος καὶ Ἡρωδιανός.

τὸ ῥῆμα ἀπὸ τοῦ π̄ ἄρχεται, καὶ ἡ σφωέ τρίτου προσώπου ἐγκλιτική ἐστι, σημαίνουσα τὸ αὐτούς· "τίς τ' ἄρ σφωε θεῶν" (Il. 1, 8) "ἀλλά σφωε δόλος καὶ δεσμός" (Od. 8, 317)· ὥστε οὐκ οἶδεν ὁ ποιητὴς οὐδὲ μονοσύλλαβον τὴν σφώ, εἰ μὴ ὅτε ὀρθοτονεῖται καὶ δευτέρου προσώπου ἐστὶ καὶ σημαίνει τὸ ὑμεῖς ἢ ὑμᾶς· "σφὼ δὲ

3. πῶς—] Est scholion Porphyrii, quod plenius legitur in aliis libris ad v. 561.

8. διασταλτέον] Fort. βραχὺ δ.

11. *καὶ κνημῖδες] om.

20. Eadem fere in marg. inter. βραχὺ διασταλτέον μετὰ τὸ λάβετον, ἵνα τὸ ἐξῆς πευστικῶς λέγηται

31. ὅτε Cobetus Mnem. novae vol. 2 p. 194] ποτε

μάλ' ἠθέλετον" (Il. 11, 782). ἔνθεν οὖν οἱ ἀκριβέστερον αὐτὰ παραφυλάξαντες ἔκθλιψιν δεδώκασι τοῦ ε̄ ἐν τῷ "εἰ μή σφω Αἴαντε διέκρινον" (Il. 17, 531), ἵνα τὸ διηνεκὲς φυλαχθῇ. ἡ διπλῆ δὲ, ὅτι Ζηνόδοτος γράφει σφῶϊ. τοῦτο δὲ τίθεται ἀντὶ τοῦ ὑμεῖς ἢ ὑμᾶς, ὧν οὐδέτερον ἁρμόζει, τὸ δὲ σφωέ· ἔστι γὰρ αὐτοὺς τοὺς δύο.

547. *καθ' ἑαυτὸν τὸν στίχον προενεκτέον. λείπει δὲ τὸ εἰσί.

559. τὸν δέ σφιν ἄνακτ'] ὅτι ἰδίως τὸν ἄνακτα αὐτοῖς ἀντὶ τοῦ αὐτῶν.

561. τὸν τρισκαιδέκατον] ὅτι τοῖς δώδεκα Θρᾳξὶ τὸν Δόλωνα ἐπαριθμεῖ, χωρίσας τὸν Ῥῆσον διὰ τῶν προειρημένων "τὸν δέ σφιν ἄνακτ' ἀγαθὸς Διομήδης." πλανηθέντες δέ τινες γράφουσιν τὸν τετρακαιδέκατον σκοπὸν εἴλομεν.

563. *Τρῶες ἀγαυοί] νῦν ἐν εἰρωνείας μέρει κεῖται· οὐ γὰρ ἐπαινεῖν πρέπει τοὺς πολεμίους.

570. νηΐ δ' ἐνὶ πρυμνῇ] ὅτι ἀντὶ τοῦ νεὼς πρύμνῃ· καὶ ὅτι κοινῶς τὰ ἔναρα.

573. ἐσβάντας κνήμας τε ἰδὲ λόφον] ὅτι λόφον αὐτὸν νῦν τὸν τένοντα· ἔνθεν καὶ ἐν Ὀδυσσείᾳ (10, 169) καταλοφάδειαν ἀντὶ τοῦ κατὰ τὸν τένοντα. βραχὺ δὲ διασταλτέον μετὰ τὴν πρώτην λέξιν. καὶ ὅτι κοινή ἐστιν ἡ ἀμφί, ἀμφί τε κνήμας καὶ λόφον.

574. ὅτι περὶ μὲν τῆς θυσίας σαφῶς λέγει, περὶ δὲ τῆς δόσεως τῶν δώρων ἐσιώπησεν, ἀρκεσθεὶς τῷ ἄνω κεφαλαιωδῶς εἰρημένῳ.

τοῦ ἐπεί τὴν τελευταίαν ὀξυτονητέον· ἐγκλιτικὴ γὰρ ἡ σφίν. ἡ διπλῆ δὲ, ὅτι δοτικῇ ἀντὶ γενικῆς ἐχρήσατο.

578. δείπνῳ ἐφιζανέτην] ὅτι ἐπὶ πάντων τοῦτο νοητέον, οὐκ ἐπὶ μόνου Διομήδους καὶ Ὀδυσσέως. καὶ ὅτι ἠριστοποιοῦντο· ἡ γὰρ πρωϊνὴ ἐπέστη.

579. πλείου ἀφυσσόμενοι] ὅτι ἀντὶ τοῦ πλῆρες· τὸ δὲ συγκριτικὸν ἀπὸ τοῦ πλείων, πλείονος.

*ἀφυσσόμενοι] οὕτως Ἀρίσταρχος· ἄλλοι δὲ ἀφυσσάμενοι. ἔστι κατάλληλον πρὸς τὸ λεῖβον.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀρισταρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ ἐκ τῶν Νικάνορος περὶ στιγμῆς.

6. Idem schol. in marg. inter. 13. *τοὺς πολεμίους] τοῖς πολεμίοις 19. καὶ ὅτι] καὶ τὰς λοιπὰς συναπτέον ἄνευ πάσης διαστολῆς, ὅτι Friedl. 31. Ἀριστονίκου σημεῖα] σημεῖα Ἀριστονίκου

ΕΙΣ ΤΗΝ Λ.

5. Ἠὼς δ' ἐκ λεχέων] τὸ ὅλον τοῦτο νομιστέον, ὅτι ἀπὸ τοῦ ἡλίου ἡμέρα γέγονεν. Τιθωνοῖο δὲ, ὡς εἰ ἔλεγεν Τιτανοῖο· Τιτὰν γὰρ ὁ Ἀπόλλων, ὅτι ἀπὸ Λητοῦς. τοῦτον δὲ καὶ ἥλιόν φασιν. ἐκ λεχέων δὲ, ὅτι σὺν αὐτῷ ἀεὶ θεωρεῖται· ἡμέρα γάρ ἐστι πεφωτισμένος ἀὴρ ἡλίου ὑπὲρ γῆν ὄντος.

μυθεύεται ὅτι Τιθωνὸν τὸν Λαομέδοντος καὶ Στρυμοῦς τῆς Σκαμάνδρου υἱὸν, Πριάμου δὲ ἀδελφὸν, ἐκπρεπέστατον τῶν καθ' ἑαυτὸν ἐν Ἰλίῳ γενόμενον ἐρασθεῖσα ἀνήρπασεν ἡ Ἠὼς, καὶ μετεκομίσατο αὐτὸν εἰς τοὺς περὶ Αἰθιοπίαν τόπους, καὶ τῆς τούτου μετέλαβε κοίτης, καὶ δύο παῖδας ἐξ αὐτοῦ ἔσχεν, Ἡμαθίωνα καὶ Μέμνονα· Ἡμαθίωνα μὲν ἀνεῖλεν Ἡρακλῆς μὴ ἐῶντα δρέψασθαι τὰ χρύσεα μῆλα, Μέμνονα δὲ Ἀχιλλεύς. αἰτήσασθαι δὲ τὸν Τιθωνὸν παρὰ τῆς Ἠοῦς ἀθανασίαν· ὁ δὲ γέρων γενόμενος (διὰ γὰρ ἄγνοιαν οὐκ ἠτήσατο καὶ ἀγηρασίαν) ἀχθόμενος καὶ τῶν ἐν βίῳ μὴ δυνάμενος μεταλαμβάνειν, παρεκάλει τὴν θεὸν, ὅπως αὐτὸν τοῦ ζῆν μεταλλάξῃ· ἡ δὲ (οὐ γὰρ ἦν αὐτὸν δυνατὸν ἀποθανεῖν) μετέβαλεν εἰς τέττιγα τὸν μουσικώτατον τῶν πτηνῶν, ὅπως καὶ διὰ τῆς φωνῆς αὐτοῦ τέρποιτο διηνεκῶς ἀκούουσα.

* Λαομέδοντος παῖς, Πριάμου ἀδελφὸς, Ἡμέρας σύνευνος.

4. ὅτι πολέμοιο τέρας τὸν εἰδωλοποιούμενον πόλεμον, τὸν ποιητικὸν τοῦ ἐνεργουμένου πολέμου, ὡς καὶ ἐν ἄλλοις (Il. 5, 593) κυδοιμοῦ εἴδωλόν φησι τὴν Ἐννὼ ἔχειν "ἡ μὲν ἔχουσα κυδοιμὸν ἀναιδέα." οἱ δὲ ἀστραπήν φασι τὴν ἔριδα φέρειν, ὡς καὶ Ἀριστοφάνης· φησὶ γὰρ (Il. 10, 5) "ὡς δ' ὅταν ἀστράπτῃ—τεύχων ἢ πολὺν,—ἠέ ποθι πτολέμοιο." Ἀπολλώνιος δὲ τὸν κυδοιμὸν ἀναιδέα δηϊοτῆτα. οἱ δὲ τὸ ξίφος· διὰ γὰρ αὐτοῦ τὸν πόλεμον κατορθοῦσθαι. οἱ δὲ λαμπάδα διὰ τὸ ἐμπυρσεύεσθαι τὰς τῶν πολεμούντων ψυχάς. μετὰ δὲ τὸ ἀργαλέην βραχὺ διασταλτέον πρὸς τὸ σαφέστερον

6. πρὸς τὰ περὶ τοῦ ναυστάθμου, ὅτι ἐν μέσῳ τὰς τοῦ Ὀδυσσέως ὑποτίθεται, ἐφ' ἑκατέρου δὲ κέρατος τὰς Ἀχιλλέως καὶ Αἴαντος.

11. *ὄρθι'] ὀρθίως, μεγάλως.

3. * Τιτανοῖο] τιτωνοῖο
4. * ὁ Ἀπόλλων] ὁ om.
7. * Στρυμοῦς] στρυβοῦς
8. ἐκπρεπέστατον] * εὐπρεπέστατον

25. Affert trium versuum initia.
29. σαφέστερον Friedl. (ut p. 377, 1. 383, 33. 390, 22. 391, 25)] συμφέρον

ἑκάστῳ] ὅτι διὰ τὸ ἠλαττῶσθαι κατὰ τὴν κόλον μάχην νῦν μέγα σθένος ἑκάστῳ ἐντίθησι πρὸς τὸ πολεμεῖν, οὐχ ἵνα μὴ εἰς οἶκον ἀνακομισθῶσιν, ὡς ὁ διασκευάσας τοὺς ἑξῆς.

12. ἐπὶ τὸ καρδίῃ διασταλτέον· καὶ γὰρ τὸ σχῆμα γλαφυρὸν, Ἀχαιοῖσι καρδίῃ ἀντὶ τοῦ Ἀχαιῶν, καὶ μᾶλλον ἐμφαίνει τὸ ἄλληκτον τοῖς ἑξῆς προσδιδόμενον, ἵν' ᾖ ἀλλήκτως πολεμεῖν. τοῖς δὲ ἄνω συνάπτοντας ποιεῖν σθένος ἄλληκτον φαῦλον, ἐπεὶ προείρηται μέγα, ἀρκεῖ δὲ τὸ ἓν ἐπίθετον.

13. τοῖσι δ' ἄφαρ πόλεμος] οὗτος καὶ ὁ ἑξῆς ἀθετοῦνται. παράκεινται δὲ ἀστερίσκοι, ὅτι κατὰ τὴν Β ῥαψῳδίαν (453) ὀρθῶς κεῖνται, ὅτι ἐλπίδας ἔσχον ἀνακομιδῆς ἐπὶ τὴν πατρίδα. καὶ παρὰ Ἀριστοφάνει δὲ ἠθετοῦντο, παρὰ Ζηνοδότῳ δὲ οὐδὲ ἦσαν.

15. ζώννυσθαι] ὁπλίζεσθαι, συνεκδοχικῶς.

17. κνημῖδας μὲν πρῶτα] ὅτι ἐπανείληφεν ἐξεργαστικώτερον τὰ περὶ τὸν ὁπλισμὸν τοῦ Ἀγαμέμνονος, προεπιτηδεύων αὐτοῦ τὴν ἀριστείαν.

21. ὅτι οὗτος εἴρηκεν εἰς Κύπρον ἠκούετο, διὰ τὸ εἰς τόπον ἐκ τόπου διαγγέλλεσθαι, ὅμοιον τῷ "Σκάνδειάνδ' ἄρα δῶκεν" (Il. 10, 268).

22. ὅτι ἀνάπλουν τὸν ἐκ Πελοποννήσου εἰς Τροίαν πλοῦν λέγει.

24. *ὡς νῦν ἐπὶ δεκαστιχίαν.

οἶμοι] κυρίως μὲν ὁδοὶ, νῦν δὲ αἱ ἄνωθεν διήκουσαι τοῦ θώρακος ῥάβδοι ἕως τῶν κάτω μερῶν· ῥαβδωτὸς γὰρ ἦν ὁ θώραξ. βαρύνεται δὲ τὸ οἶμος ὡς οἶκος. δοκεῖ δέ μοι κατά τινα ἀφορμήν· φιλεῖ γάρ πως τὰ εἰς ος λήγοντα δισύλλαβα μονογενῆ ἀπὸ τῆς οι διφθόγγου ἀρχόμενα βαρύνεσθαι, ὁπότε πρὸ τῆς εἰς ος συλλαβῆς σύμφωνον ἢ σύμφωνα ὑπάρχει—φημὶ δὲ διὰ τὸ Οἰός· οὕτως γὰρ λέγεται δῆμος παρ' Ἀθηναίοις κατ' ὀξεῖαν τάσιν—οἷον οἶκος οἶτος οἶκτος οἶνος. οὕτως καὶ οἶμος.

26. κυάνεοι δὲ δράκοντες] ἐν τῇ Ἀριστοφάνους σμερδαλέοι δὲ δράκοντες ἐλειχμῶντο.

ὀρωρέχατο] ἐξετέταντο, διεγηγερμένοι ἦσαν. γέγονε δὲ ἀπὸ τοῦ ὀρέγω, ὄρεχα ὁ παρακείμενος, ὄρεγμαι, τὸ τρίτον ὄρεκται, καὶ Ἰακῶς

1. κόλον] κῶλον
2. μὴ addidit Friedl.
6. τοῖς δὲ Friedl.] τὸ δὲ
9. τοῖσι—] Praefixus est obelus cum asterisco.
12. δὲ οὐδὲ] δὲ om.
13. Est potius gl. interlineare, ut καθοπλίζεσθαι, quod super ζώννυσθαι legitur.
15. τὸν ὁπλισμὸν] τῶν ὁπλισμῶν προεπιτηδεύων Lehrsius] προσεπιδεσμεύων
30. ὄρεκται] ὄρεκτ-ι

ὠρέχαται, καὶ Ἀττικῶς διπλασιασμὸς ὀρωρέχαται, ὁ ὑπερσυντέλικος ὀρωρέχατο προτὶ δειρήν.

27. τρεῖς ἑκάτερθ' ἴρισσιν] ὅτι Ζηνόδοτος γράφει Ἐρίδεσσιν. οὐκ ἔστι δὲ ἡ αὐτὴ Ἔρις καὶ Ἶρις καθ' Ὅμηρον, ὡς ὑπέλαβεν.

28. *στήριξεν] οὕτως Ἰακῶς τὸ στήριξεν.

30. ὅτι νῦν μὲν χρυσόηλον, ἐν ἄλλοις δὲ (Il. 2, 45. 3, 334) ἀργυρόηλον. ἤτοι κατ' ἐπιφορὰν, ἢ διὰ τὴν ἀριστείαν κοσμεῖ διαφορωτέρᾳ πανοπλίᾳ.

32. ὅτι ἀνδρομήκεις αἱ ἀσπίδες. πρὸ δὲ τῆς περικεφαλαίας ἀναλαμβάνει τὴν ἀσπίδα, ὡς ἂν δι' ἀναφορέων χρωμένων ταῖς ἀσπίσιν. ὁ δὲ Ζηνόδοτος ἐπὶ τοῦ Ἀλεξάνδρου (Il. 3, 334) τὸν ὁπλισμὸν ἐνήλλαχεν.

33. χάλκεοι ἦσαν] ἐὰν σὺν τῷ ῑ γράφηται, ἦσαν, περιεπορεύοντο· εἰ δὲ μὴ, ἀναστρεπτέον, ἵνα ᾖ περιῆσαν.

35. λευκοί] ὀξυτονητέον, ἵνα ἐπὶ τῶν ὀφθαλμῶν κέηται. εἰσὶ δὲ οἳ περισπῶσιν, ἵνα γενικὴ γένηται, ἐπίθετον τοῦ κασσιτέρου, κακῶς· ἔθος γάρ ἐστι παρὰ τῷ ποιητῇ τὴν Θεσσαλικὴν ταύτην καλουμένην γενικὴν εὑρίσκεσθαι, εἰ μὴ μέτρον κωλύοι· εἰ γὰρ κωλύοι, ἡ κοινὴ παραλαμβάνεται. παρεκτέταται τὸ κεφάλαιον Ἡρῳδιανῷ.

36. ἡ ἐπί πρὸς τὸ ἐστεφάνωτο συντάσσεται· διὸ τὸν τόνον φυλακτέον.

38. τῆς δ' ἐξ ἀργύρεος τελαμὼν] ὅτι ἐκ τελαμώνων αἱ ἀσπίδες ἤρτηντο.

*ἐπ' αὐτοῦ] οὕτως Ἀρίσταρχος. γράφεται δὲ καὶ ἐπ' αὐτῷ.

40. οὕτως αἱ Ἀριστάρχου σὺν τῷ ῥ, ἀμφιστρεφέες· καὶ τὰ ὑπομνήματα δὲ συμφωνεῖ, λέγοντα ἓν μὲν εἶναι σῶμα τοῦ δράκοντος, κεφαλὰς δὲ τρεῖς περιπεπλεγμένας ἀλλήλαις. ἠπάτηνται δὲ οἱ χωρὶς τοῦ ῥ γράφοντες ἐξ ἐκείνου "τῇ δ' ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις ἐστεφάνωται" (36).

3. In marg. inter. ζηνόδοτος ἐρίδεσσιν. Triplex in libris scriptura fuit, prima ἴρεσσιν, servata in codice Townl., quam sequuntur Hesychius et Apollonius in Lexico Hom. p. 92, 29, secunda ἴρισσιν, quae est in Veneto A aliisque, tertia ἴρισιν, in qua syllabam penultimam productam inepte cum Κρονίωνος comparat Eustathius p. 828, 18, memorata tamen aliorum librorum scriptura ἴρισσιν.

22. Idem scholion sine lemmate in marg. inter.

26. λέγοντα Cobetus] λέγων

41. κρατὶ δ' ἐπ' ἀμφίφαλον] ὅτι μετὰ τὴν ἀσπίδα τὴν περικεφαλαίαν ἀνελάμβανον.

43. εἵλετο δ' ἄλκιμα δοῦρε] ὅτι καὶ ἐπὶ τῆς Ἀλεξάνδρου μονομαχίας (Il. 3, 338) τὸ ὅμοιον.

44. οὐρανὸν εἴσω] ὅτι ἀντὶ τοῦ εἰς οὐρανόν. καὶ ὅτι ὅταν ἐπ' Ἀχιλλέως λέγῃ "ὡς τοῦ χαλκὸς ἔλαμπε" (Il. 22, 32), νοητέον ἀπὸ τοῦ δόρατος τὴν λαμπηδόνα ἀνταυγεῖν· τὰ γὰρ ἄλλα χρυσᾶ εἶχεν.

45. ἐπὶ δ' ἐγδούπησαν] ὅτι διὰ τὸ μέτρον παράκειται τὸ γ· τὸν δὲ δοῦπον οὐκ ἂν εἴποι γδοῦπον.

46. ὅτι νῦν ἐνικῶς τὴν Μυκήνην, καὶ ὅτι ἐν Μυκήναις τὰ Ἀγαμέμνονος βασίλεια, οὐκ ἐν Ἄργει, ὡς οἱ νεώτεροι.

49. ὅτι φανερῶς πρυλέες οἱ πεζοί· ἀντιδιέσταλκε γὰρ τοὺς ἱππεῖς.

51. φθὰν] ὁ Ἀρίσταρχος βαρύνει· καὶ δῆλον ὅτι ὑγιῶς· κοιμίζεται γὰρ ἡ ὀξεῖα ἐν τῇ συνεπείᾳ· "Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε" (Il. 13, 1). ἔστι δὲ ὁ νοῦς τοιοῦτος, ἔφθασαν δὲ κατὰ τὸ πολὺ οἱ πεζοὶ τοὺς ἱππεῖς προδιαταγέντες ἐπὶ τῆς τάφρου.

τὸ ἐπὶ τάφρῳ καὶ τοῖς ἑξῆς καὶ τοῖς ἄνω δύναται συνάπτεσθαι· βέλτιον δὲ τοῖς ἑξῆς, ἵνα ἐπὶ μὲν τῆς τάφρου ἡ διακόσμησις ᾖ γεγονυῖα, οἱ δὲ πεζοὶ προεληλυθότες τῶν ἱππέων εἰς τὸ πεδίον· ἀποβάντες γὰρ τῶν ἁρμάτων προέρχονται [εἰς τὸ πεδίον]· φησὶ γοῦν (47) "ἡνιόχῳ μὲν ἔπειτα ἑῷ." τὸ δὲ ἀπορούμενον, πῶς μέγα προειπὼν ἐπιφέρει ὀλίγον, τοιοῦτόν ἐστι. τὸ ἕτερον αὐτῶν χρονικόν ἐστι, τὸ δὲ ἕτερον τοπικόν· ἦτοι γὰρ πολὺ τοῦ πεδίου προῆλθον αὐτῶν, οἱ δὲ ταχέως ἐπεδίωξαν, ὡς ἂν ἐφ' ἁρμάτων· ἢ τῷ χρόνῳ πολὺ προέλαβον οἱ πεζοί, οἱ δὲ ἱππεῖς τῷ καταταχῦναι ὀλίγον ὄπισθεν ἦσαν.

φθὰν δέ] πρὸς τὸ δοκοῦν μάχεσθαι· εἰ γὰρ μεγάλως ἔφθασαν, πῶς οἱ ἱππεῖς ὀλίγον μετεκίαθον αὐτῶν; λέγει δὲ "φθὰν δὲ μέγα" χρονικῶς, ἀντὶ τοῦ πολλῷ χρόνῳ προέλαβον, ὀλίγον δὲ μετεκίαθον τοπικῶς, οἷον ὀλίγῳ τόπῳ διεστῶτες μετ' αὐτοὺς ἔκιον.

10. καὶ] om.

21. εἰς τὸ πεδίον delet Friedl.

25. ἐφ' ἁρμάτων — καταταχῦναι Bekkerus] ἐφαμαρτῶν—καταχῦναι

28–31. Hoc scholion supra primam lineam textus scriptum est eadem manu qua scholia intermarginalia.

29. μετεκίαθον Vill.] μ̊ τ̊ εκιον, quod μετόπισθεν ἔκιον esse potest.

αὐτῶν delet Friedlaenderus.

52. *ὀλίγον] ὅτι τῷ τόπῳ καὶ τῇ τάξει, οὐ τῷ χρόνῳ.

53, 54. ἐζήτηται πῶς ἐνεδέχετο αἷμα ἔχειν τὰς νεφέλας. καὶ λέγουσιν οἱ λύοντες τὸ ἀμφίβολον ὅτι ὡς ἐπὶ μεγίστῳ πολέμῳ πολλῶν ἀναιρουμένων τὸ αἷμα τούτων ἐπλήρου τοὺς πλησίον ποταμοὺς, ἀφ' ὧν αἱ νεφέλαι λαμβάνουσαι τὸ ὕδωρ αἱματώδεις βρόσους ἔπεμπον.

54. ὅτι δοκεῖ σημεῖον εἶναι, ὅταν ἐπιψακάσῃ, οὐχ ὅταν ὗσῃ, καὶ ὅτι τὸ ἔμελλε πάλιν ἀντὶ τοῦ ἐῴκει. ἕως τοῦ αἰθέρος δὲ στικτέον, καὶ τοῖς ἄνω συναπτέον αὐτό.

55. *οὕτως Ἀρίσταρχος κεφαλάς ἐνθάδε.

ὅτι ἐνταῦθα μὲν γράφειν κεφαλάς οὐδὲν κωλύει, περιφραστικῶς ἀπὸ μέρους τῶν ὅλων σημαινομένων, κατὰ δὲ τὸ τῆς Ἰλιάδος προοίμιον (1, 3) οὐκ ἐνδέχεται, ἐπιφερομένου τοῦ "αὐτοὺς δὲ ἑλώρια."

56. *Τρῶες δ'] ὅτι κοινὸν καὶ ἐπὶ τούτων τὸ ἐθωρήσσοντο.

62. οὔλιος] ὅτι τινὲς γράφουσιν αὔλιος, ὃ ἐστιν ἑσπέριος, πρὸς ὃν αὐλίζεται τὰ ζῷα. καὶ Καλλίμαχος "αὔλιος ὃς δυθμὴν εἶσι μετ' ἠελίου." ἔστι δὲ ἀλύπιος καὶ εἰς ἀνάπαυσιν ἄγων τὰ ζῷα. γραπτέον οὖν οὔλιον, ἵνα τὸν τοῦ κυνὸς σημαίνῃ, τὸν φθοροποιὸν καὶ λαμπρότατον, ᾧ καὶ τὸν Ἀχιλλέα ὁμοιοῖ "παμφαίνονθ' ὥστ' ἀστέρα ὅς ῥά τ' ὀπώρης εἶσιν" (Il. 22, 26).

65. πᾶς] σημειοῦνταί τινες ὅτι τοῦτο ἀντὶ τοῦ ὅλος.

68. ὄγμον ὡς ὅλβον· τὰ γὰρ εἰς ος λήγοντα δισύλλαβα μονογενῆ, ἀρχόμενα ἀπὸ τοῦ ο καὶ ἔχοντα δύο σύμφωνα ἢ πλείονα, βαρύνεσθαι θέλει, οἷον ὄκνος ὄμβρος ὄρρος ὄσσος ὄρθος ὄρφος. οὕτως καὶ ὄγμος. ἡ διπλῆ δὲ, ὅτι τὸ ἐλαύνωσι τύπτωσι· καὶ τίθησιν ἐπὶ τῆς ἐκ χειρὸς πληγῆς τὸ ἐλάσαι.

69. ταρφέα ὡς ὀξέα· νῦν γὰρ ἐπιθετικὸν τὸ τοιοῦτον.

71. ὅτι φόβον τὴν φυγήν· ὃν δὲ ἡμεῖς φόβον, δέος λέγει.

72. ὅτι Ἀρίσταρχος ὑσμίνη γράφει χωρὶς τοῦ ι· φησὶ γὰρ, ἥ τε τῶν Ἑλλήνων ὑσμίνη καὶ βαρβάρων ἰσοκέφαλος ἦν· οἷον

8. ἕως τοῦ αἰθέρος στικτέον — αὐτό] Eadem in marg. inter., omisso δέ.

στικτέον] διασταλτέον Friedl. Nic. p. 208.

14. καὶ ἐπὶ Cobetus] τὸ ἐπὶ

16. αὔλιος ὃς Blomfieldus] αὔλιος om. ἀστὴρ αὔλιος Apoll. Rh. 4, 1630.

17. ἀλύπιος] Forma vitiosa pro ἄλυπος

19. παμφαίνονθ' ὥστ' ἀστέρα ὅ] λάμφ' ὥστ' ἀστὴρ ὥ

24. ὅσσος] ὄσσος Eustathius. ὄγκος Lehrsius Herod. p. 261.

25. ἐκ addidit Bekkerus.

26. ἐλάσαι Bekkerus] ἐλάσσαι

ἀμφοτέρων ἰσοκέφαλος ἦν ἡ μάχη τῶν τε Ἑλλήνων καὶ τῶν Τρώων.

*οὕτως Ἀρίσταρχος, ἡ ὑσμίνη τὰς κεφαλὰς ἴσας εἶχεν· ἰσοκέφαλος ἦν αὐτοῖς ἡ μάχη. ἄλλοι δὲ ἴσας δ' ὑσμίνῃ κεφαλὰς ἔχον.

75. πρὸς τὴν ἐξῆς ἀθέτησιν· οὐ γὰρ ἦσαν ἐπὶ τοῦ αὐτοῦ πάντες οἱ θεοί. τὸ δὲ πάρεσαν, τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα· ἐκ δὲ τοῦ παρῆσαν ἐγένετο.

ἔκηλοι] δασύνεται. τὸ γὰρ ε̄ πρὸ τοῦ κ̄ δασύνεσθαι θέλει, ὁπότε μὴ ἐκ κλίσεως τυγχάνοι ῥήματος ἢ ἀπὸ προθέσεως.

76. *σφοῖσιν] γράφεται οἷσιν.

*ἦχι] Ἀρίσταρχος χωρὶς τοῦ ι τὸ ἦχι.

78–83. ἀθετοῦνται στίχοι ἓξ, ὅτι ψεῦδος· οὐ γὰρ δύνανται πάντες τὸν Δία αἰτιᾶσθαι βοηθοῦντα τοῖς Τρωσὶν, ἀλλ' οἱ τῶν Ἑλλήνων βοηθοί. καὶ τὸ "ὁ δὲ νόσφι λιασθεὶς τῶν ἄλλων ἀπάνευθε καθέζετο" ὡς ἐπὶ ταὐτὸ συνηθροισμένων αὐτῶν λέγει· προείρηκε δὲ "οἱ δ' ἄλλοι οὔ σφιν πάρεσαν θεοί." ἀπό τε τοῦ Ὀλύμπου οὐ παρεισάγεται θεωρῶν τὴν ἐπὶ τῆς Τροίας μάχην, ἀλλ' ἀπὸ τῆς Ἴδης, ὅθεν διὰ τῶν ἑξῆς μεταβαίνει εἰς αὐτόν.

τούτους καὶ Ἀριστοφάνης ἠθέτει, παρὰ δὲ Ζηνοδότῳ οὐδὲ ἐγράφοντο.

81. τῶν ἄλλων ἀπάνευθε] βέλτιον τοῖς ἑπομένοις τὸ ἡμιστίχιον συντάττειν, ἵνα μὴ νόσφι καὶ ἀπάνευθε ἐν ταὐτῷ κέηται.

86. ἦμος δὲ δρυτόμος] ἄκρως τὸν καιρὸν ἐδήλωσεν, ἀπὸ τῶν κατειθισμένων καὶ πᾶσι γνωρίμων τὴν δήλωσιν ποιησάμενος· οὕπω γὰρ ἦν ὥραις μετρητὴ ἡ ἡμέρα. ὁρᾶται δὲ ἡ ἀρετὴ τῶν Ἑλλήνων, ὅτι οὐδὲ τῷ καιρῷ παραχωροῦσι τῷ πάντα τὰ σώματα διαλύειν ἐκ τῶν ἔργων πεφυκότι.

ὅτι Ζηνόδοτος γράφει δόρπον. οὐ λέγει δὲ δεῖπνον τὴν ἑσπερινὴν τροφὴν νῦν, ἀλλὰ δεῖπνον καλεῖ ὃ ἡμεῖς ἄριστον, καθ' ἣν ὥραν καὶ ὁ δρυτόμος ἀριστοποιεῖται, ἤγουν ὁ ὑλοτόμος, ὁ ξυλοτόμος· δρῦν γὰρ ἐκάλουν οἱ παλαιοὶ ἀπὸ τοῦ ἀρχαιοτέρου πᾶν δένδρον.

88. ἄδος] δασυντέον· τὰ γὰρ ᾱ πρὸ τοῦ δ̄ ὂν, καὶ μὴ ἔχον στερητικὴν ἔννοιαν ἢ κρᾶσίν τινα, δασύνεσθαι θέλει, στερητικὴν μὲν οὕτως,

18. ἀπὸ τῆς — μεταβαίνει Bekkerus] διὰ τῆς—μεταλαμβάνει
27. *ἐκ τῶν ἔργων πεφυκότι] om.
34. οὕτως—ἀδευκής] οὕτως ἀδαής

κατὰ κρᾶσιν, ἀδαής ἀδρανής ἀδευκής, μὴ οὕτως δὲ ἔχον ἀδρός ἀδινός Ἀδρίας. διὸ καὶ τὸ Ἄδωνις κρεῖττόν ἐστι δασύνειν, ἵνα καὶ παρὰ τὸ ἀδεῖν τῇ δαίμονι ἐτυμολογηθῇ.

91. ἂν δ' Ἀγαμέμνων] γράφεται ἐν δ' Ἀγαμέμνων.

92. *Βιήνορα] Ἀρίσταρχος Βιάνορα.

93. αὐτὸν, ἔπειτα δ' ἑταῖρον] ὅτι τὸ ἔπειτα ἀντὶ τοῦ μετὰ ταῦτα. πρὸς τὸ "αὐτὰρ ἔπειτ' Αἴας τε μέγας" (Il. 9, 169).

94. κατεπάλμενος] ὅτι δύο προθέσεις παρείληφεν, κατά, ἀπό, τῆς ἑτέρας ἀρκούσης. Ζηνόδοτος δὲ ἀντίον καὶ Ἀριστοφάνης.

96. *ὅτι εἶδος περικεφαλαίας ἡ στεφάνη.

97. ἐγκέφαλος δέ] ὅτι Ἀπολλώνιος ποιεῖ ἐγκέφαλόνδε, καὶ τὸν ἑξῆς ἀθετεῖ.

98. πεπάλακτο] διεβρέχετο, ὡς τὸ "παλάσσετο δ' αἵματι θώρηξ" (Il. 5, 100) καὶ "λύθρῳ δὲ παλάσσετο χεῖρας" (Il. 20, 503). φησὶν οὖν τὸν ἐγκέφαλον ἐμπεπλῆσθαι τοῦ αἵματος· σφιγγομένου γὰρ τοῦ ὁράτος ὑπὸ τοῦ ὀστέου, ἔξω εἴργεται προελθεῖν τὸ αἷμα, ἔσω δὲ συνάγεται, καθάπερ ἐπὶ τῶν πληγέντων λίθῳ, ὅταν συντριβῇ μὲν τὰ ὀστᾶ, μὴ διαιρεθῇ δὲ ἡ ἐπιφάνεια, ἐντὸς χεῖται τὸ αἷμα τῆς ἔξω φορᾶς εἰργόμενον.

100. ἐπεὶ περίδυσε χιτῶνας] ἐπειδὴ, φησὶ, τοὺς ἐπὶ τοῖς στήθεσιν αὐτῶν χιτῶνας ἀφείλατο, γυμνοὺς καὶ φαινομένους τοὺς νεκροὺς κατέλιπεν. ἡ διπλῆ δὲ, ὅτι ἔν τισι γράφεται ἐπεὶ κλυτὰ τεύχε' ἀπηύρα. ἔσονται δὲ αὐτοὶ οἱ νεκροὶ τοῖς στήθεσι παμφαίνοντες. οὐ λέγει δὲ τοῦτο, ἀλλὰ τοὺς ἐπὶ τοῖς στήθεσι παμφαίνοντας χιτῶνας.

101. βῆ ῥ' Ἴσον] Ζηνόδοτος ἔξω τοῦ ῥ βῆ Ἴσον, μὴ ἐμφέρεσθαι δέ φησιν ὁ Ἀρίσταρχος νῦν ἐν τοῖς Ποσειδίππου ἐπιγράμμασι τὸν Βήρισον, ἀλλ' ἐν τῷ λεγομένῳ σωρῷ εὑρεῖν. εὔλογον δέ φησιν ἐξελεγχόμενον αὐτὸν ἀπαλεῖψαι.

κατὰ διάστασίν ἐστι, βῆ ῥα, εἶτα Ἴσόν τε καὶ Ἄντιφον· τὸ μέντοι ἐπιφερόμενον ἐν τῇ συντάξει ἐν μετοχῇ ὀφείλει κατακλείεσθαι ἐξεναρίζων, ὡς δείκνυται ἐν τῷ περὶ συντάξεως (1, 32 p. 66, 5).

ἀδρανής ἀδευκής, κατὰ κρᾶσιν ἅδης Lehrsius Herod. p. 261 collato Arcadio p. 197, 19.
4. ἐν Cobetus] ἐκ
11. ἐγκέφαλόνδε] ἐγκέφαλονδέ
14. δὲ π.] π. δὲ
16. ὑπὸ] ἀπὸ
32. συντάξεως (Apollonii) Bekkerus] συντάξεων

102. ἐπὶ τὸ γνήσιον βραχὺ διασταλτέον· καὶ γὰρ σαφέστερον τὸ οὕτως χωρίζειν, ἄμφω εἰν ἑνὶ δίφρῳ, καὶ ἀδιανόητόν ἐστι τὸ συνάπτειν νόθον καὶ γνήσιον ἄμφω.

103. * ἑόντας] Ἀριστοφάνης ἑόντε.

104. ὦ]ὅτι Ζηνόδοτος γράφει ὄν ποτ' Ἀχιλλεύς. μήποτε δὲ πεπλάνηται, γεγραμμένου τοῦ ō ὑπ' ἀρχαϊκῆς συνηθείας ἀντὶ τοῦ ω̄, προσθεὶς τὸ ν̄· ἔστι γὰρ περὶ δυεῖν ὁ λόγος, διὸ καὶ ἐπιφέρει "καὶ γάρ σφε πάρος παρὰ νηυσίν" καὶ ὅτι οἱ μαχόμενοι παραβάται ἦσαν.

* ἐν ἄλλῳ ὄν ποτ' Ἀχιλλεύς.

105. ἐδέσμευσε ταῖς νέαις καὶ ἁπαλαῖς λύγοις καὶ βλαστήμασι. λύγος δὲ ἱμαντῶδές τι φυτὸν καὶ ἁπαλόν, ὃ καὶ οἶσον καλοῦσιν, ἐξ οὗ καὶ τὸ οἰσόκαρπον. τινὲς δὲ αὐτὸ καὶ ἄγνον καλοῦσιν· ὁ γὰρ τούτου καρπὸς ἐσθιόμενος ἀφανιστικός ἐστι τῆς γονῆς· καὶ οἱ ἱερεῖς δὲ τοῦ φυτοῦ τούτου τὰς κόμας τῇ ἑαυτῶν κλίνῃ ὑποτιθέασιν ὡς φυσικήν τινα δύναμιν ἔχοντα πρὸς ἁγνείαν· διὸ καὶ ἄγνος ἐκλήθη.

106. ποιμαίνοντ' ἐπ' ὄεσσι] ὅτι τὸ πλῆρες ποιμαίνοντε. Ζηνόδοτος δὲ ἔοικε δέχεσθαι ποιμαίνοντα· καὶ γὰρ ὄν ποτε γράφει.

109. Ἄντιφον] ὅτι ἐπανείληφε τὸ ὄνομα διὰ τὸ προειρηκέναι δύο· καὶ πρὸς τὸ πρότερον ἀπήντησεν, ἵνα σαφηνίσῃ κατὰ τίνα τόπον ἑκάτερος ἐπλήγη.

110. σπερχόμενος δ' ἀπὸ τοῖιν] εἰώθασιν ἐπισαρκάζειν τοῖς ἐπισήμοις τῶν φονευομένων, ὡς Ὀθρυονεῖ (Il. 13, 374). νῦν οὖν ἐπείπερ ὀξύς ἐστιν ὁ καιρὸς, ἄμφω δηλοῖ, καὶ ὡς ἐπεγίνωσκεν αὐτοὺς, καὶ ὡς ὁ καιρὸς οὐκ εἶα λαλεῖν.

111. καὶ γάρ σφε]ὅτι σφέ ἀντὶ τοῦ αὐτούς· καὶ οὐκ ἔστι περὶ ἑνὸς ὁ λόγος. ἡ δὲ ἀναφορὰ πρὸς Ζηνόδοτον (104).

115. * τῶν ἐλάφων φησί.

116. εἴπερ τε τύχῃσι] ὅτι δύναται ἑκατέρως ἀναγινώσκεσθαι, καὶ κατὰ διαστολὴν τύχῃσι καὶ τετύχῃσι ὡς λελάχωσι.

119. σπεύδουσ' ἱδρώουσα] ἐπὶ τὸ σπεύδουσα βραχὺ διασταλτέον· μᾶλλον γὰρ ἐμφαίνει.

121. ὑπ' Ἀργείοισι] ὅτι ἀντὶ τοῦ ὑπ' Ἀργείων. πάλιν δὲ τὸ φέβοντο ἀντὶ τοῦ ἔφευγον.

123. * δαΐφρονος] Ζηνόδοτος γράφει κακόφρονος, εὐτελῶς.

6. *συνηθείας* Cobetus Mnem. nov. vol. 1 p. 37] *σημασίας*

124. *πρὸς τὸ σημαινόμενον, ἐπεί ἐστι τὸ λεγόμενον, χρυσᾶ δῶρα. δύναται βραχὺ διασταλῆναι ἤτοι ἐπὶ τὸ χρυσόν ἢ ἐπὶ τὸ δεδεγμένος.*

127. *ὁμοῦ δ' ἔχον ὠκέας ἵππους] ὁμοῦ ἐπεχείρουν κρατεῖν τοὺς ἵππους διὰ τὸ ἐκφεύγειν τὰς ἡνίας.*

128. *σφέας] ὅτι τῇ αἰτιατικῇ ἀντὶ τῆς γενικῆς, ἀντὶ τοῦ αὐτῶν.*

**φύγον] οὕτως Ἀρίσταρχος. ἄλλοι δὲ φύγεν.*

129. **οὕτως ἐναντίον.*

130. *ὅτι δυωδεκασύλλαβος ὁ στίχος, καὶ σπανίως χρῆται, ὡς καὶ ἐν Ὀδυσσείᾳ "τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιιν" (Od. 21, 15). ἡ δὲ ἀναφορὰ πρὸς ἐπίκρισιν τῆς στιχοποιίας, ὅτι εὐτελεῖς τῇ κατασκευῇ δοκοῦσιν εἶναι οἱ τοιοῦτοι. καὶ ὅτι τὸ γουναζέσθην καταχρηστικῶς ἀντὶ τοῦ ἱκέτευον.*

132. **Ζηνόδοτος πολλὰ δ' ἐν Ἀντιμάχου πατρός.*

135. **ζωοὺς] Ἀριστοφάνης ζωώ.*

137. *ἀμείλικτον δ' ὅπ' ἄκουσον] ἀμείλικτον ἀπηνῆ καὶ σκληρὰν καὶ ἀπαράκλητον καὶ ἀφιλάνθρωπον καὶ ἀνηλεῆ καὶ ἀδυσώπητον.*

140. *ἀγγελίην] ἀντὶ τοῦ εἰς πρεσβείαν. δύο δὲ σημαίνει ἡ λέξις παρὰ τῷ ποιητῇ, τὸ ἄγγελμα, ὡς ἐν τῷ "ἀγγελίην εἴποιμι περίφρονι Πηνελοπείῃ" (Od. 15, 313), καὶ τὸν ἄγγελον ἤτοι τὸν πρέσβιν, ὡς ἐνταῦθα "ἀγγελίην ἐλθόντα σὺν ἀντιθέῳ Ὀδυσῆϊ."*

**ὅτι ἀντὶ τοῦ ἄγγελον.*

141. *ἔμεν] δασυντέον· τὸ γὰρ εἶναι καὶ ἀφεῖναι παραγωγῶς γέγονεν ἔμεναι, ὡς τὸ θεῖναι θέμεναι.*

142. *τοῦ πατρὸς] ὅτι Ζηνόδοτος γράφει οὗ πατρός. ἔστι δὲ ἐνικὸν τοῦ ἑαυτῆς ἢ τοῦ ἑαυτοῦ, ὅπερ οὐχ ἁρμόζει. ἐλλείπει δὲ ἡ πρόθεσις, καὶ ἔστιν ἀντὶ τοῦ περὶ τοῦ πατρός. τινὰς μέντοι φησὶν Ἀρίσταρχος σφοῦ πατρός, αὐτὸς δὲ τοῦ πατρός.*

144. *ὁ δ' ὕπτιος] ὅτι ἀπὸ τῆς πληγῆς, οὐκ ἐπὶ τὴν πληγὴν πίπτει.*

**Ἀρίσταρχος οὖδας ἔρεισεν.*

146. **Ἀρίσταρχος πλήξας.*

1. *ἐπεὶ*] ante *πρὸς* lectum transposuit Lehrsius.

6. *τῇ*] I. e. *κέχρηται τῇ*: v. ad p. 360, 1.

8. *ἐναντίον*] Sic Aristarchus: alii *ἐναντίος*.

21. *πρέσβιν*] **πρέσβυν*

**Ὀδυσῆϊ*] *μενελάῳ*

23. In marg. inter. *μηδ' ἐξειν* (sic) *καὶ σώσειν*

147. ὅλμον δ' ὣς] ὅλμου δίκην εἴασεν αὐτὸν ῥίψας κυλίεσθαι· ὅλμος δέ ἐστι κοῖλος λίθος, εἰς ὃν κόπτουσιν ὄσπρια καὶ ἄλλα τινά. ἡ διπλῆ δὲ, ὅτι ἅπαξ ἐνταῦθα κέχρηται· καὶ ὅτι καὶ ἐν Ἰλιάδι εὐτελέσι κέχρηται λεξιδίοις, οὐ μόνον ἐν Ὀδυσσείᾳ, χοίνικος (Od. 19, 28) καὶ λύχνου (ib. 34). πρὸς τοὺς χωρίζοντας.

150. πεζοὶ μὲν] πολὺ βέλτιον ταῦτα ἀφ' ἑτέρας ἀρχῆς ἀναγινώσκειν· καὶ γὰρ ἡ προάγουσα διάνοια πεπλήρωται, κοινοῦ νοουμένου τοῦ ἐνόρουσαν. καὶ ἄλλως ἀσυνδέτοις ἐπὶ τῶν μεταβάσεων ἥδεται.

152. τὸ ἐκ πεδίου δύναται καὶ τοῖς ἡγουμένοις καὶ τοῖς ἑπομένοις συντάττεσθαι· μᾶλλον δὲ τοῖς ἡγουμένοις διὰ τὸ τοῦ ἄρθρου ὑπερβατόν.

153. χαλκῷ δηϊόωντες] ἤτοι τοῖς ἐπισσώτροις κόπτοντες τὴν γῆν, ἢ ὅτι συντακτέον τοῦτο τῷ "πεζοὶ μὲν πεζοὺς ὄλεκον, ἱππῆες δ' ἱππῆας·" οἱ γὰρ τῶν ἵππων πόδες χαλκῷ ἐτίτρωσκον.

155. πρὸς τὴν ἄξυλον, ὅτι πολλὰς ἐκδοχὰς ἔσχηκεν. οἱ μὲν γὰρ τὴν θρυώδη ἀποδεδώκασιν, οἱ δὲ τὴν πολύξυλον. βέλτιον δὲ ἀφ' ἧς οὐδεὶς ἐξυλίσατο, ὡς Ἡσίοδος "τῆλε γὰρ ἀξυλίῃ κατεπύθετο κήλεα νηῶν."

156. θάμνοι] οἱ σύμφυτοι τόποι, παρὰ τὸ θαμὰ καταφυτεύεσθαι αὐτοὺς, ὅ ἐστι πυκνῶς. οἱ δὲ τὰ χαμαίζηλα καὶ πολύκλαδα φυτά.

157. Ἀρίσταρχος ὑγιῶς ἀναγινώσκει ἐπειγόμενοι, ὡς τυπτόμενοι· κατὰ γὰρ τῶν θάμνων κεῖται.

160. κείν'] λέγει ὁ τεχνικὸς ἐν τῷ ὑπομνήματι τοῦ περὶ παθῶν Διδύμου· τὰ ὀξύτονα ἡνίκα ἐκθλίβηται τὴν ὀξυνομένην συλλαβὴν, ἀναπέμπει τὴν ὀξεῖαν ἐπὶ τὴν ὀπίσω συλλαβὴν, καὶ ἐὰν ᾖ ἡ ἐκθλιβεῖσα συλλαβὴ ἡ ἔχουσα τὴν ὀξεῖαν βραχεῖα, ἡ δὲ ὀπίσω συλλαβὴ φύσει μακρὰ, τῷ τονικῷ παραγγέλματι γίνεται περισπώμενον. περισπᾷ γοῦν τὸ δεῖλ', ἐν δὲ τῇ Ὁμηρικῇ προσῳδίᾳ ἐναντιοῦται τούτῳ.

162. κείατο γύπεσσιν πολὺ φίλτεροι ἢ ἀλόχοισιν] τότε πολὺ προσφιλέστερον τοῖς γυψὶν ἢ ὅτε ἔζων ταῖς γυναιξίν.

163. Ἕκτορα δ' ἐκ βελέων] ἡ ἔκ νῦν ἐπίπαν εἶναι ἀντὶ τοῦ ἐκτός κεῖται. οὕτως οὖν καὶ ἐν Ὀδυσσείᾳ κεῖται "θάνατος δέ τοι ἐξ ἁλὸς αὐτῷ" (11, 134).

3. καὶ alterum addidit Friedl.
14. οἱ γὰρ Vill.] οἱ γὰρ οἱ (* οὐ γὰρ οἱ)
21. ὑγιῶς] ὑγειῶς
28. δεῖλ' Heynius] δῆλον
31. εἶναι] Compendio expressum ÷

165. τὸ σφεδανόν ἑκατέροις δύναται προσδίδοσθαι. σημαίνει δὲ ἡ λέξις ἐπεικτικὸν καὶ ἐπεστραμμένον, οἷον σφενδονηδόν, ἀπὸ τῆς σφενδόνης. οὕτως Ἀρίσταρχος.

166. μέχρι τοῦ μέσσον κὰπ πεδίον συναπτέον, εἶτα βραχὺ διασταλτέον· ὁ γὰρ ἐρινεὸς οὐκ ἐν μέσῳ τῷ πεδίῳ, ἀλλ' ἐγγὺς τῆς πόλεως· "λαὸν δὲ στῆσον παρ' ἐρινεὸν, ἔνθα μάλιστα ἀμβατός ἐστι πόλις" (Il. 6, 433) καὶ ἀλλαχοῦ "οἱ δὲ παρὰ σκοπιὴν καὶ ἐρινεόν" (Il. 22, 145). ταῦτα μὲν ὅτι πλησίον τοῦ τείχους ὁ ἐρινεός. ὅτι δὲ καὶ ἐν μέσῳ τῷ πεδίῳ ἐστὶ τὸ Ἴλου σῆμα, φανερὸν ἐξ ἐκείνου "Ἕκτωρ μὲν μετὰ τοῖσιν ὅσοι βουλὰς βουλεύουσιν θείου παρὰ σήματι Ἴλου" (Il. 10, 414). ἐπαυλίζονται δὲ ἐν μέσῳ τῷ πεδίῳ ἐπὶ τοῦ θρωσμοῦ, "οὐκ ἀΐεις ὡς Τρῶες ἐπὶ θρωσμῷ πεδίοιο" (ib. 160), ὅ τε Ἀλέξανδρος ἐν ταύτῃ τῇ ῥαψῳδίᾳ τοξεύει "στήλῃ κεκλιμένος Ἴλου Δαρδανίδαο" (371)· ἡ δὲ μάχη ἐν τῷ πεδίῳ. συναπτέον οὖν ἀναγινώσκοντας ἕως τοῦ μέσσον κὰπ πεδίον, εἶτα βραχὺ διαστείλαντας τὰ ἑξῆς ῥητέον· καὶ οὕτως λυθήσεται τὸ ἐν τῷ τόπῳ ἄπορον καὶ Ἴλου σῆμα καὶ μέσον πεδίον καὶ ἐρινεὸς καὶ ἡ πόλις ἐν ταὐτῷ. παρέρχονται μὲν γὰρ τὸ μέσον πεδίον, ἐν ᾧ τὸ Ἴλου σῆμα, σεύονται δὲ πρὸς τὸν ἐρινεὸν, ἵενται δὲ τῆς πόλεως. ὡς εἰ οὕτως ἔλεγεν, οἱ δὲ διὰ μέσου τοῦ πεδίου παρὰ τὸ Ἴλου μνημεῖον ἔφυγον πρὸς τὸν ἐρινεὸν, σπεύδοντες εἰς τὴν πόλιν.

ἡ διπλῆ πρὸς τὸ περὶ τοῦ ναυστάθμου διάγραμμα· τὸ γὰρ Ἴλου σῆμα κατὰ μέσον εἶναί φησιν ἐν τῷ πεδίῳ.

173. ἐφόβησε] ὅτι ἀντὶ τοῦ εἰς φυγὴν ἔτρεψεν.

ἐν νυκτὸς ἀμολγῷ] τῷ καιρῷ ἐν ᾧ συμβέβηκεν ἀμέλγεσθαι τὰ θρέμματα. τινὲς δὲ τὸ μεσονύκτιον, ὅτι ἐν αὐτῷ οὐδεὶς μολίσκει οὐδὲ πρόεισιν.

179, 180. ἀθετοῦνται ἀμφότεροι, καὶ ἀστερίσκοι παράκεινται, ὅτι κατὰ τὴν Πατρόκλου ἀριστείαν (Il. 16, 699) τάξιν ἔχουσι νῦν δὲ οὔ· προείρηται γὰρ "πολλοὶ δ' ἐριαύχενες ἵπποι κεῖν' ὄχεα κροτά-

10. ὅσοι βουλὰς βουλεύουσιν] Legitur ὅσοι βουληφόροι εἰσὶν, βουλὰς βουλεύει

σήματι] σήματος

11. τῷ πεδίῳ Friedl.] τοῦ πεδίου

18. Post ταὐτῷ signum scholii finiti :—

21. εἰς addidit Bekkerus.

28. ἀμφότεροι] Prior neque asteriscum appictum habet in A, neque legitur in Patroclia, sed posterior tantum 16, 699.

λιζον ἀνὰ πτολέμοιο γεφύρας" (159). Ζηνόδοτος οὐκ ἔγραφεν· Ἀριστοφάνης δὲ ἠθέτει τὸν "Ἀτρείδεω ὑπὸ χερσίν."

183. Ἴδης ἐν κορυφῇσιν] ὅτι διὰ τούτων συνίστησι τὸν Δία ἐπὶ τὴν Ἴδην πεπορευμένον ἐκ τοῦ Ὀλύμπου.

184. *στεροπὴν] Ἀρίσταρχος μετὰ τοῦ ᾱ ἀστεροπήν.

ἀστεροπὴν λέγει οὐ τὴν ἀποτελουμένην ἀστραπὴν, ἀλλὰ τὸ ὁμώνυμον ὄργανον, ὅπερ τινασσόμενον τὴν ἀστραπὴν ἀποτελεῖ· "βῆ ῥ' ἴμεν ἀστεροπῇ ἐναλίγκιος, ἥν τε Κρονίων χειρὶ λαβὼν ἐτίναξεν" (Il. 13, 242).

186. ὅτι οὐ κατ' ἐπίθετον τὸ ταχεῖα, ἀλλ' ἀντὶ τοῦ ταχέως, οἷον καὶ "τότε μοι χάνοι εὐρεῖα χθών" (Il. 4, 182). ὁ λόγος δὲ αἱρεῖ στίζειν τελείᾳ ἐπὶ τὸ ταχεῖα· δύο γὰρ λόγοι αὐτοτελεῖς, πορεύθητι ταχέως Ἶρι, τοῦτον εἰπὲ τὸν λόγον Ἕκτορι. ἡ δὲ συνήθεια καὶ τὰ τοιαῦτα συνάπτει.

191. δουρὶ τυπείς] πρὸς τὴν διαφορὰν τοῦ τύψαι καὶ βαλεῖν.

192. ἅλεται] ὅτι ἀντὶ τοῦ ἅληται. ψιλοῦται, εἴτε ἐπὶ τοῦ ἐκκλίνειν τάσσηται, ὥς φησιν ὁ Ἀσκαλωνίτης, εἴτε ἐπὶ τοῦ συστραφῆναι, ὡς καὶ Τυραννίων, ᾧ καὶ μᾶλλον συγκατατίθεμαι. πολλὴ δὲ ἡ κίνησις αὐτοῦ παρὰ τῷ ποιητῇ· ὁριστικὸς μὲν γὰρ δεύτερος ἀόριστος "τῇ ὕπο πᾶς ἐάλη" (Il. 13, 408) καὶ πληθυντικὸν τρίτον κατὰ συγκοπήν "οἱ δή τοι εἰς ἄστυ ἅλεν" (Il. 22, 12), ἀπαρέμφατόν τε "ἢ λαοὺς εἰς τεῖχος ὁμοκλήσειεν ἁλῆναι" (Il. 16, 714). καὶ ὥσπερ ἡ φανείς μετοχὴ, οὕτως καὶ ἡ ἁλείς· "οἵμησεν δὲ ἁλείς" (Il. 22, 308), καὶ οὐδέτερον "ᾗ χειμέριον ἁλὲν ὕδωρ" (Il. 23, 420), καὶ πληθυντικὸν ἀρσενικόν "αὐτὰρ ἐπεί κ' ἐς τεῖχος ἀναπνεύσωσιν ἁλέντες" (Il. 21, 534), καὶ γενικὴ "πόλις δ' ἔμπλητο ἁλέντων" (Il. 21, 607). τούτου τοίνυν ὑποτακτικὸν ἅληται ὡς λάβηται. συστολὴ οὖν ἐγένετο ἡ μεταβολὴ ἐγκλίσεως, ὁμοίως τῷ "ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων" (Il. 9, 409)· "ὄφρα καὶ ἄλλος πτωχὸς ἁλεύεται ἠπεροπευτής" (Od. 15, 400)· καὶ τὸ "ἢ αὐτὸς φθίεται πρώτῳ ἐν ὁμίλῳ" (Il. 20, 173). τὸ δὲ ὅλον γέγονεν ἀπὸ τοῦ ἁλῶ, ὃ σημαντικόν ἐστι τοῦ πλανῶ, ὅπερ ψιλοῦται.

1. Ζηνόδοτος—Ἀριστοφάνης] In cod. Townl. Ἀριστοφάνης τοὺς δύο ἀθετεῖ, Ζηνόδοτος δὲ οὔ (οὐ γράφει La Roche).

5. ἀστεροπὴν] Tacent scholia de Aristarcho ad 10, 134. 11, 66, ubi pariter ἀστεροπὴν scribi poterat et scriptum in libris nonnullis est.

12. αἱρεῖ Bekkerus] ερει (sine spiritu)

196. *βῆ δὲ κατ' Ἰδαίων*] *ὅτι θηλυκῶς τὴν Ἴλιον. καὶ ὅτι νῦν γραπτέον "κατ' Ἰδαίων ὀρέων." ὅταν δὲ ἀπὸ τῆς Ἴδης ἐπὶ τὸν Ὄλυμπον "βῆ δ' ἐξ Ἰδαίων ὀρέων ἐπὶ μακρὸν Ὄλυμπον" (Il. 8, 410), ὡς ἀπ' ἴσου ἐπ' ἴσον.*

201. *σημειοῦνταί τινες ὅτι ἐν ἴσῳ τῷ σοί ἡ τεῖν ἀντωνυμία Δωρικὴ οὖσα κατὰ πλεονασμὸν τοῦ ε̄ ἐξηνέχθη, ὅθεν φυλάσσεται ὁ αὐτὸς τόνος.*

215. **ἔν τισι καὶ αὐτοί.*

217. *πρὸς τὸ ἔθελεν, ὅτι διὰ παντὸς ἀπὸ τοῦ ε̄ ἄρχεται παρὰ τῷ ποιητῇ. ἡ δὲ ἀναφορὰ πρὸς τὸ "μήτε σὺ Πηλεΐδῃθελ'" (Il. 1, 277), ὅτι ἐγκλιτέον τὴν ἀνάγνωσιν, ἵν' ᾖ ἔθελε.*

219. *Ζηνόδοτος καὶ Ἀριστοφάνης ἀντίος, Ἀρίσταρχος ἀντίον διὰ τοῦ ν̄.*

221. *Ἰφιδάμας*] *ἐὰν αὐτὸν τῶν ἐπικούρων εἴπωμεν, ἐπεὶ καὶ Θρᾷξ ἦν καὶ ἦγε Θρᾷκας ἐπικούρους, ἔσται πρὸς τὸ δεύτερον πρότερον ἀπηντηκώς. γεγέννηται μέντοι ἐν Τροίᾳ· ἡ γὰρ Θεανὼ ἱέρεια τῆς Ἀθηνᾶς οὖσα οὐκ ἄν ποτε εἰς Θρᾴκην ἐξεληλύθει, καὶ ἦν πατρὸς Τρωός· γεννηθεῖσα δὲ ἐδόθη τρέφεσθαι τῷ μητροπάτορι· οὗτος δὲ μόνος παρὰ τοῖς Τρωσὶ τὴν ἀδελφὴν τῆς μητρὸς ἔγημεν, ὥσπερ καὶ παρὰ τοῖς Ἕλλησι Διομήδης. ἡ διπλῆ δὲ, ὅτι ὡς ἐμπνευσθεὶς ἀντ-*
αποδέδωκε καθάπερ ἐν ἀρχῇ τῆς Ἰλιάδος "τίς τ' ἄρ σφωε θεῶν," εἶτα "Λητοῦς καὶ Διὸς υἱός"

222. *μητέρι μήλων*] *Ζηνόδοτος μητέρι θηρῶν. τῇ δ' ἐριβώλακι συνᾴδει καὶ τὸ πολυθρέμματον, οὐ τὸ ἔνθηρον.*

223. *Κισσῆς, ὡς Ἑρμῆς· καὶ μήποτε παρὰ τὸ κισσός παρώνυμόν τι ἐγένετο Κισσέας, καὶ κατὰ συναλοιφὴν Κισσῆς.*

226. *ὅτι ὅμοιος ὁ γάμος Διομήδους καὶ Ἰφιδάμαντος· ἀμφότεροι γὰρ μητρὸς ἀδελφὰς ἐγάμησαν, ὁ μὲν Λιγιάλειαν τὴν Ἀδράστου, Ἰφιδάμας δὲ Κισσέως θυγατέρα, ὧν Θεανοῦς υἱὸς τῆς Κισσέως.*

227. *γήμας δ'*] *βραχὺ διασταλτέον μετὰ τὸν σύνδεσμον, πρὸς τὸ*

5. *σημειοῦνταί τινες* hic et ad v. 300 et alibi de suo addidit librarius, ut monet Cobetus: *ὅτι* refertur ad *διπλῆν* quae excidit.
ἴσῳ τῷ Friedl.] *ἴσῳ τοῦ*
12. *ἀντίος—ἀντίον διὰ τοῦ ν̄*] *ἀντίον—ἀντίος διὰ τοῦ σ̄* Duentzerus Zenod. p. 81 collatis scholiis ad 6, 54 et 15, 694: sed obstant scholia ad 11, 553. 12, 44. 19, 70, ubi *ἀντίον* Aristarcho tribuitur, quibus *Ζηνόδοτος* restitui vult Duentzerus.

σαφέστερον· καὶ ὅτι καθ' ὑπερβολὴν ἐμφαίνει τὸ ὑπόγυιον τοῦ γάμου καὶ τὴν περὶ τὸν πόλεμον σπουδὴν καὶ τὸ οἰκτρὸν τῆς ἀναιρέσεως.

μετὰ κλέος ἵκετ' Ἀχαιῶν] ὡς νέος καὶ νεωτέρων πραγμάτων ἐρῶν· φιλοπόλεμοι γὰρ οἱ νέοι, ὡς καὶ Πίνδαρος "γλυκὺς ἀπείρῳ πόλεμος, ἐμπείρων δέ τις ταρβεῖ προσιόντα."

*ἡ γὰρ ἧττα τούτου δόξα τῶν Ἑλλήνων ἐγίνετο.

229. λίπε νῆας εἰΐσας] ἐθαλασσοκράτουν γὰρ οἱ Ἕλληνες. διὸ τὰς ναῦς καταλιπὼν πεζὸς ἦλθεν εἰς Τροίαν. ἡ δὲ Περκώτη πόλις Ἑλλησπόντου.

230. *διχῶς, καὶ ἐών καὶ ἰών.

233. Ἀτρείδης μὲν ἅμαρτε] ἀπέτυχεν. μόνον νῦν ὁ πρότερος ἀφεὶς νικᾷ καὶ δεύτερον ἀφείς. ἐν δὲ ταῖς ἄλλαις μονομαχίαις τετήρηται ὅτι ὁ πρότερος ἀφεὶς νικᾶται.

234. κατὰ ζώνην θώρηκος ἔνερθε] ὅτι οὐ λέγει διὰ τοῦ θώρακος ἔνερθεν ἐντὸς θώρακος, ἀλλὰ κατὰ ζώνην θώρακος, τὴν θωρακοζώνην λεγομένην· τὸ δὲ ἔνερθεν εἰς τὸ κάτω μέρος τῆς θωρακοζώνης, ὡς ὅταν λέγῃ "νύξε δέ μιν κατὰ χεῖρα μέσην ἀγκῶνος ἔνερθεν" (252), οὐχ ὑποκάτω τοῦ ἀγκῶνος, ἀλλὰ κατὰ τὸ ἔνερθε μέρος τοῦ ἀγκῶνος. ὁ δὲ λόγος οὗτος, τῆς θωρακοζώνης εἰς τὸ κάτω μέρος ἔνυξεν.

239. οἳ] ὀρθοτονητέον· εἰς γὰρ σύνθετον ἡ μετάληψις.

λὶς] ὁ μὲν Ἀρίσταρχος ὀξύνει, ὁ δὲ Αἰσχρίων περισπᾷ· ὡς γὰρ παρὰ τὸ μῦς μῦν, φησὶ, καὶ νοῦς νοῦν, οὕτως καὶ λῖς λῖν· "ἐπί τε λῖν ἤγαγε δαίμων" (480). καὶ ἔστι συγκατατίθεσθαι τῷ Αἰσχρίωνι, ὅτι μᾶλλον ὀφείλει περισπᾶσθαι, εἰ καὶ μηδὲν τῶν εἰς ις ληγόντων καὶ ἀρσενικὸν γένος ὑπισχνουμένων περιεσπάσθη. καὶ τάχα καθ' ἕτερον λόγον, ἵνα τὸ ἐπιθετικὸν καὶ σημαῖνον γένος θηλυκὸν καὶ ὀξυνόμενον ἀποφύγῃ, λέγω δὲ τὸ λὶς πέτρη (Od. 12, 64). τῷ μέντοι χαρακτῆρι τοῦ κίς καὶ θίς καὶ ῥίς, καίτοι γε διαφόρως κλιθεῖσι πρὸς τὸ λίς, συνεξωμοίωσεν αὐτὸ κατὰ τόνον ὁ Ἀρίσταρχος· καὶ οὕτως ἐπείσθη ἡ παράδοσις.

242. βραχὺ διασταλτέον ἐπὶ τὸ οἰκτρός καὶ ἀλόχου πρὸς τὸ σαφέστερον, ὑποστικτέον δὲ ἀνυποκρίτως ἐπὶ τὸ ἀρήγων· τὸ γὰρ

1. καὶ ὅτι] καὶ ὅτι τὸ ἐκ θαλάμοιο συναπτόμενον τοῖς ἑξῆς Friedl.

16. ἔνερθεν ἐντὸς θώρακος] Verba in marg. addita litteris minusculis.

29. καὶ θίς] καὶ τῷ θίς Lehrs. Arist. p. 258.

ἐξῆς ἀλόχου κουριδίης, τὸ δὲ ἀστοῖσιν ἀρήγων διὰ μέσου. δηλοῖ δὲ τοὺς αὐτοῦ πολίτας· Ἀντήνορος γὰρ υἱός ἐστιν. εἰ δὲ συνάπτοιμεν ἀστοῖσιν ἀρήγων κουριδίης, ἁμαρτησόμεθα· ἡ γὰρ γυνὴ Θρᾳσσά ἐστιν, ὥσπερ καὶ ὁ πατὴρ Κισσῆς.

244. ὅτι θρέμματα ἐδίδοσαν οἱ μνηστευόμενοι. πρὸς τὴν ἐξήγησιν τῶν ἀλφεσιβοίων παρθένων (Il. 18, 593), ὅτι εἰσὶν αἱ ἀλφάνουσαι βόας, ὅ ἐστιν εὑρίσκουσαι.

249. ὁ ῥά σύνδεσμος ἐγκλιτικὸς ὢν φυλάξει τὴν ἰδίαν ὀξεῖαν διὰ τὴν ἔ ἀντωνυμίαν, νῦν ἐγκλιτικὴν οὖσαν.

251. τὸ εὐράξ ὀξύνεται, καθότι τὰ εἰς $\overline{\text{αξ}}$ λήγοντα ἐπιρρήματα ὀξύνεται, ὑπεσταλμένου τοῦ ἅπαξ. σημαίνει δὲ τὸ ἐκ πλαγίου.

252. ἀγκῶνος ἔνερθεν] ὅτι οὐ λέγει ὑποκάτω τοῦ ἀγκῶνος, ἀλλὰ κατὰ τὸ ἔνερθε μέρος τοῦ ἀγκῶνος. καὶ ἐν τοῖς ἐπάνω "Ἰφιδάμας δὲ κατὰ ζώνην θώρηκος ἔνερθεν" (234).

256. ὅτι διὰ τοῦ ἀνεμοτρεφὲς βούλεται σημαίνειν τὸ εὔτονον· τὰ γὰρ ἐν εὐηνέμῳ χωρίῳ φυόμενα εὔτονα γίνεται, παλλόμενα καὶ κραδαινόμενα. διὸ καὶ τὴν Ἀχιλλέως μελίαν Πηλίου ἐκ κορυφῆς λέγει τετμῆσθαι (Il. 16, 144). οἱ δὲ ἀπέδωκαν ἀνεμοτρεφὲς τὸ κοῦφον καὶ εὐκίνητον. ἢ στερεόν· τὰ γὰρ ἐν ἀνέμῳ πλέον γυμναζόμενα δένδρα στερεά.

* ἀνεμοτρεφὲς κοῦφον καὶ εὐκίνητον· ἢ στερεόν. τὰ γὰρ ἐν ἀνέμῳ πλέον γυμναζόμενα δένδρα στερεά.

257. ὄπατρον] ψιλωτέον, οὐχ ὡς οἴονται, διὰ τὴν συγκοπήν· πολλὰ γάρ φασι διὰ τὴν συγκοπὴν ψιλοῦσθαι. ἀπεδείξαμεν δὲ ἡμεῖς ἐν ἑτέροις ὡς καὶ δασύνεται· ἐστήκαμεν γοῦν καὶ ἔσταμεν, Ἡράκλεες Ἡρακλες. τί οὖν ἐκώλυεν, εἰ καὶ ἀπὸ τοῦ ὁμόπατρος ἦν, τὸ κατὰ συγκοπὴν πάλιν δασύνεσθαι; ἄμεινον οὖν λέγειν ὅτι φιλεῖ τὸ ο πρὸ τοῦ π κείμενον μὴ κατὰ ἀναφορικὴν ἔννοιαν ψιλοῦσθαι, ὀπιπεύω ὀπή ὀπώρα. παρὰ τὸ ἔπω δασυνόμενον ψιλούμενον ἐγένετο ὀπάων. οὕτως οὖν ἔχει καὶ τὸ ὄπατρος. προσέθηκα δὲ εἰ μὴ ἀναφορικὴ σημασία, διὰ τὸ ὁποῖος ὅπως καὶ τὰ τοιαῦτα. ἀντιπίπτει δὲ τῷ προκειμένῳ κανόνι τὸ ὁπλή καὶ τὸ ὅπλον καὶ τὰ ἀπὸ τούτων παρηγμένα.

5. θρέμματα Friedl.] θρέμμα
6. ἀλφάνουσαι Cobetus Mnem. novae vol. 2 p. 178] ἀλφαίνουσαι
23. οἴονται Bekkerus] οἰόν τε
29. ὀπιπεύω] ὀππιπεύω

262. ὑπ᾽ Ἀτρεΐδῃ βασιλῆϊ] ὅτι ἀντὶ τοῦ ὑπ᾽ Ἀτρείδου βασιλέως, πρὸς τὴν μετάληψιν τῆς πτώσεως.

263. ἔδυν] τὸ ἔδυν συσταλτέον· ἔστι γὰρ πληθυντικὸν, κατὰ συγκοπὴν γενόμενον ἐκ τοῦ ἔδυσαν.

266. ὅτι τὴν ἐκ χειρὸς πληγὴν ὠτειλὴν λέγει, παρὰ τὸ οὐτάσαι.

268. ὀξεῖαι] ὡς γὰρ ὑπὸ κέντρων ἀλγοῦμεν ἀπὸ τῶν τοιούτων φλεγμονῶν· κυριώτατα οὖν κεῖται τὸ ὀξεῖαι, καὶ ἔστι δυσμετάληπτον τὸ ὄνομα, τοῖς πεπειραμένοις μόνοις δῆλον. πάντα δὲ ὀδυνηρὰ ἔλαβε τὰ ὀνόματα, τὸ ὀξύ, τὸ δριμύ, τὸ πικρόν, ἐπιτείνων τὰς ὀδύνας. διὰ δὲ τοῦ δῦνον τὴν εἰς βάθος χωρήσασαν ἀλγηδόνα ἐσήμανεν.

270. ὅτι ποτὲ μὲν ἐνικῶς, ποτὲ δὲ πληθυντικῶς Εἰλειθυίας λέγει. ἀριθμὸν δὲ αὐτῶν οὐδὲ ὀνόματα παραδίδωσιν, ὥσπερ οὐδὲ Μουσῶν. Εἰλείθυιαι δὲ Διὸς καὶ Ἥρας θυγατέρες, τῶν τοκετῶν προϊστάμεναι.

προϊεῖσι] ὡς τιθεῖσι· καὶ γὰρ ἐν ἑτέροις "ὅπα λειριόεσσαν ἰεῖσιν" (Il. 3, 152). ὁμοτονεῖν δὲ θέλει τὰ εἰς ι λήγοντα τοῦ ἐνεστῶτος ταῖς πληθυντικαῖς δοτικαῖς τῶν μετοχῶν, ὁπότε καὶ ὁμοφωνοῦσιν. ἱέντες ἱέντων ἱεῖσι· οὕτως οὖν καὶ τὸ ῥῆμα. μάχεται τὸ φασί· ῥῆμα γὰρ ὀξύνεται, μετοχὴ δὲ ὂν βαρύνεται.

μογοστόκοι] Ἀρίσταρχος παροξύνει· δραστικὴ γάρ φησιν ἔννοιά ἐστιν· οὐ γὰρ αἱ Εἰλείθυιαι πάσχουσιν, ἵνα προπαροξύνωμεν, ἀλλ᾽ ἐνεργοῦσι κατὰ τῶν τικτουσῶν. ἔφαμεν δὲ τὰ τοιαῦτα τῶν συνθέτων ἐνέργειαν ὑπισχνούμενα παροξύνεσθαι, εἰ μὴ κανών τις κωλύοι· εἰσὶ γάρ τινες κανόνες καθ᾽ οὓς κἂν ἐνέργεια σημαίνηται, πάντως προπαροξύνεσθαι δεῖ. μάχεται μέντοι ἄντικρυς τὸ "ὄρνυσθ᾽ ἱππόδαμοι Τρῶες" (Il. 4, 509)· ἐνεργητικὸν γὰρ ὂν καὶ μὴ ὑποπῖπτον κανόνι τῷ προπαροξυτονοῦντι προπαρωξυτονήθη.

281. *οὐκ ἄκοντε] ὅτι διὰ τοῦ ἐναντίου τὸ ἐναντίον.

287. ἀνέρες ἔστε φίλοι] βραχὺ διασταλτέον ἐπὶ τὸ ἔστε· οὐ γὰρ παρακελεύεται αὐτοῖς φίλοις ἀνδράσι γενέσθαι, ἀλλὰ προσφωνεῖ μὲν ὦ φίλοι, κελεύει δὲ ἀνδρείους γίνεσθαι.

290. *Ἀρίσταρχος ὑπέρτεροι.

297. ὑπεραέϊ ὡς εὐσεβέϊ, κατὰ διάστασιν. ἔφαμεν γὰρ τὰ παρὰ

1. ὅτι addidit Bekkerus: nam διπλῆ huic scholio est praefixa.

8. *πεπειραμένοις] πεπεισμένοις

13. Εἰλείθυιαι] εἰλήθυιαι hic et infra.

τὸ ἄω συντιθέμενα καὶ εἰς η̄ς λήγοντα ὀξύνεσθαι, ἀκραής δυσαής· οὕτως ὑπεραής.

ὑπεραεῖ δὲ ὑπερβαλλόντως πνεούσῃ, ὅταν ἐκ τοῦ ὕπερθεν καταφέρηται τὸ πνεῦμα. τὸ δ' ἐξῆς, ἐν δ' ἔπεσ' ὑσμίνῃ ἶσος ἀέλλῃ, ἤτε καθαλλομένη ἀπὸ ὄρους πόντον ὀρίνει.

ὅτι ἔν τισι γράφεται ὑπερούρεος ἶσος ἀέλλῃ. τὸ δὲ αὐτὸ καὶ ἐκ τοῦ ὑπεραεῖ σημαίνεται, ὅταν ἐκ τοῦ ὕπερθε τόπου καταφέρηται πνοή. ταύτας δὲ ἡμεῖς καταιγίδας καλοῦμεν ἀπὸ τοῦ κάτω ἀΐσσειν.

300. *Ἕκτωρ Πριαμίδης βροτολοιγῷ ἶσος Ἄρηϊ] γράφεται Ἕκτωρ Πριαμίδης, ὅτε οἱ Ζεὺς κῦδος ἔδωκεν.

301. Ἀσαῖον] προπερισπαστέον· παρὰ γὰρ τὸ αἶσα γέγονεν, καὶ ἐξέστη πρότερον τὸ ῐ· τὰ δὲ ἀπὸ τῶν εἰς ᾱ ληγόντων μακρᾷ παραληγομένων παραγόμενα διὰ τοῦ αιος προπερισπᾶσθαι θέλει, μοῦσα Μουσαῖος, γενναῖος Πισαῖος, ἐρσαῖος. οὕτως καὶ Ἀσαῖος. οὐ μάχεται τὸ Ἥραιος τροπαροξυνόμενον· πρὸς γὰρ ἀντιδιαστολὴν τοῦ προπερισπωμένου ἐπιθετικοῦ ἐγένετο. τὸ μέντοι Πείραιος προπαροξυνόμενον παρὰ τὸ πειρῶ ἐγένετο ὡς παρὰ τὸ φιλῶ Φίλαιος. οὕτως καὶ παρὰ τὸ βέβηκα ὁ βέβαιος.

303. Δόλοπα] πρὸς τὴν ὁμωνυμίαν, ὅτι καὶ τῶν Τρώων ἐστὶ Δόλοψ· "τόφρα δὲ τῷ ἐπόρουσε Δόλοψ αἰχμῆς εὖ εἰδὼς, Λαμπετίδης" (Il. 15, 525), Λάμπου υἱὸς τοῦ Πριάμου ἀδελφοῦ, καὶ τῶν μνηστήρων εἷς Ἀγέλαος (Od. 20, 231).

306. ἐπὶ τὸ νότοιο διασταλτέον· τὸ γὰρ ἐξῆς, νέφεα ἀργεστᾶο νότοιο ζέφυρος στυφελίξῃ βαθείῃ λαίλαπι, ὡς τὰ ὑπὸ τοῦ νότου συναχθέντα νέφη τοῦ ζεφύρου διασκιδνάντος. καὶ χαριέντως πάνυ ἔχει ἡ ὁμοίωσις· καὶ γὰρ τοὺς Ἕλληνας ὑπ' Ἀγαμέμνονος ἐπιστρεφεστέρους γενομένους διέλυσεν ὁ Ἕκτωρ.

ἀργεστᾶο] ἀπὸ τοῦ ἀργεστής ὀξυτόνου Βοιωτιακὴ γενικὴ ἡ ἀργεστᾶο προπερισπωμένος.

πρὸς τὸ σημαινόμενον, ὅτι τὰ συνιστάμενα ὑπὸ τοῦ Λευκονότου νέφη ὁ Ζέφυρος διατινάσσει. ὁ δὲ καλούμενος Λευκόνοτος σφοδρότερός ἐστιν. Ὅμηρος δὲ τέσσαρας ἀνέμους μόνους οἶδεν.

307. πολλὸν δὲ τρόφι κῦμα] ὅτι τὸ τρόφι ἀποκοπῇ τοῦ τρόφιμον.

14. ἐρσαῖος] ἐρσαῖος

32. Pariter in marg. inter. ὁ Ὅμηρος τέσσαρας μόνους ἀνέμους οἶδεν.

33. πολλὸν δὲ τρόφι κῦμα] Huic versui in textu praescripta est διπλῆ, ad quam refertur Aristonici

ὁ Ἡρωδιανός φησιν ὅτι ἔστη τῇ πήξει τῇ αὐξήσει· "κύματά τε τροφέοντα" (Od. 3, 290) εὐτραφῆ, καὶ τροφαλίς τὸ πεπηγὸς γάλα.

310. ἔργα γένοντο] ἀρχαϊκώτερον συντέτακται, καὶ πολύ ἐστι παρ' αὐτῷ τὸ εἶδος. ἡ μέντοι συνήθεια τοῖς πληθυντικοῖς οὐδετέροις ἐνικὰ συντάσσει ῥήματα.

314. ἀλλ' ἄγε δεῦρο, πέπον] σημειοῦνταί τινες ὅτι ἀριστείαν ἐνταῦθα Ὀδυσσέως παράγει. τὸ δὲ δεῦρο εἰς τοῦτον τὸν τόπον.

315. *ἔσσεται] ἡμῖν δηλονότι.

319. *βόλεται] ὅτι ἀντὶ τοῦ βούλεται.

325. *διχῶς, θηρητῆρσι καὶ θηρευτῆσι.

326. παλινορμένω] ὅτι ἀντὶ τοῦ ὄπισθεν ὁρμῶντες, ὡς παλιμπλαγχθέντας (Il. 1, 59).

Τυραννίων δύο ποιεῖ, ὁ δὲ Ἑρμαπίας σύνθετον ἐκδέχεται καὶ Ἀρίσταρχος. εἴρηται δὲ περὶ τῆς συνθέσεως τοῦ πάλιν ὡς πρὸς τὰς μετοχὰς ἐν τῇ Α, ὅτε περὶ τοῦ πλαγχθέντας διελαμβάνομεν.

327. οὐ χρὴ ὑπιδομένους τὸ ἀπεμφαῖνον—πῶς γὰρ ἀνέπνεον Ἕκτορα;—διαστέλλειν ἐπὶ πὸ ἀνέπνεον, ἐπεὶ καὶ συναπτόντων ἡμῶν νοεῖται τὸ ὑπερβατὸν φεύγοντες Ἕκτορα.

328. ὅτι συλληπτικῶς εἴρηκεν ἑλέτην, καὶ κοινὸν ποιεῖ τοῦ ἑτέρου τὸ κατόρθωμα. ἔστι δὲ Διομήδης μόνος ὁ ἀνελών· ἐπιφέρει γοῦν (333) τοὺς μὲν Τυδείδης.

333. τοὺς μὲν Τυδείδης] ὅτι διὰ τούτου συνίσταται ὁ Διομήδης μόνος ὁ ἀνῃρηκὼς τοὺς προειρημένους.

336. *ἔνθα σφιν] ἀμφοτέροις τοῖς στρατεύμασιν ἴσην τὴν μάχην ἐξέτεινεν.

339. *οὐ γάρ οἱ ἵπποι] ἐν ἄλλῳ οὐδὲ γὰρ ἵπποι.

345. *ῥίγησε] γράφεται τὸν δὲ ἰδὼν ἐνόησε.

348. *μένοντες] Ζηνόδοτος δυϊκῶς μένοντε.

350. *σημειοῦνταί τινες, ὅτι οὕτως εἴρηται καὶ ἐπέτυχεν.

annotatio ὅτι τὸ τρόφι ἀποκοπῇ τοῦ τρόφιμον, post quae verba punctum posui. Nam reliqua pars scholii ὁ Ἡρωδιανὸς—γάλα ab alio scripta est grammatico, nec cohaeret cum observatione Aristonici, qui diu ante Herodianum vixit, quod notavit Lehrsius Aristarch. p. 14.

10. Addidi lemma βόλεται.

12. ὄπισθεν] Sic etiam Etym. M. p. 648, 34. ὀπίσω Lehrsius.

17. ὑπιδομένους] ὑπειδομένους

27. οὐδὲ γὰρ] Verum videtur quod Bentleius coniecit οὐδέ οἱ.

351. πλάγχθη δ' ἀπὸ χαλκόφι χαλκός] ὑπὸ τοῦ τῆς περικεφαλαίας χαλκοῦ ἀπεκρούσθη τὸ δόρυ.

353. αὐλῶπις] ἢ τὸν ἐπ' αὐτῇ λόφον ἀνατεταμένον ἔχουσα, ἢ αὐλοὺς ἔχουσα εἰς οὓς οἱ λόφοι κατακλείονται. αὐλοὶ δέ εἰσι περόναι.

354. *ἀπέλεθρον ἀνέδραμε] θέλει λέγειν ὅτι ἀπὸ τοῦ δέους μέγα ἤλατο.

355. στῆ δὲ γνύξ] ὅτι οὐχ οἷον ἐπὶ τῶν ποδῶν ἔστη, ἀλλ' ἐπὶ τὰ γόνατα πεσὼν ἔμεινεν.

στῆ δὲ γνὺξ ἐριπών] ὡς φιλοψευδὴς ὁ τυφλὸς, ὅτι καὶ ἄπιστα ψεύδεται. πρῶτον μὲν γὰρ οὐκ ἐτρώθη ὁ Ἕκτωρ, ὡς αὐτός φησιν· εἶτα δὲ καὶ τὸ ἀναδραμεῖν πολὺ ἐρρωμένου τινός ἐστι. πῶς οὖν καὶ ἔπεσεν ἐπὶ γούνατα καὶ ἀπέθανε μικροῦ δεῖν;

356. ὁ ὀβελὸς καὶ ὁ ἀστερίσκος, ὅτι ἐν ἄλλῳ τόπῳ (Il. 5, 309) ὀρθῶς κεῖται· οὐ γέγονε γὰρ σφροδρὰ πληγὴ, ὡς ἐπ' Αἰνείου· οὐ "θλάσσε δέ οἱ κοτύλην·" πῶς οὖν ἐσκοτώθη;

*προηθέτει Ἀριστοφάνης· Ζηνόδοτος δὲ οὐδὲ ἔγραφεν.

358. καταείσατο] ψιλωτέον· ἀπὸ γὰρ τοῦ εἴδω βαρυτόνου ὁ σχηματισμός.

365. ἦ θήν σ' ἐξανύω] τὸ ἀνύω φυλακτέον ἐπὶ τοῦ αὐτοῦ τόνου, λέγω δὲ τοῦ βαρέος· ἐνεστὼς γάρ ἐστιν ἀντὶ μέλλοντος. τὸ δὲ ἐξῆς ἐστὶ, κατεργάσομαι δή σε καὶ ἀνελῶ, καὶ τέλος τῇ πράξει ἐπιθήσω, ἐξ ὑστέρου ἀπαντήσας.

366. *ἔστιν] ἐν ἄλλῳ ἐπιτάρροθος εἴη.

368. ὅτι Ζηνόδοτος γράφει ἐξενάριξεν συντελικῶς. ἄρτι δὲ ἔμελλε σκυλεύειν· ἐπιφέρει γοῦν "ἤτοι ὁ μὲν θώρηκα Ἀγαστρόφου ἰφθίμοιο" (373). διὰ τοῦ ξ οὖν γραπτέον παρατατικῶς· σκυλεύοντα γὰρ αὐτὸν βάλλει ὁ Ἀλέξανδρος.

*Ἀρίσταρχος παρατατικῶς ἐξενάριζεν.

370. Τυδείδῃ ἐπὶ τόξα] οἱ ἀκριβῶς ἀναγινώσκοντες ἀναστρέφουσι τὴν πρόθεσιν· τὸ γὰρ ἐξῆς ἐστὶν ἐπὶ Τυδείδῃ.

371. *στήλῃ κεκλιμένος] τὴν ἐπὶ τοῦ τάφου στήλην προβεβλημένος ἀντὶ ἀσπίδος ὁ δειλὸς καὶ γυναικομανής.

9. ὡς φιλοψευδὴς—] Haec Zoili esse videntur.

14. κεῖται] ἐνταῦθα δὲ οὐ addit Friedl.

Αἰνείου Friedl.] Αἴαντος.

17. εἴδω] εἴω Lehrsius Arist. p. 314.

21. δή σε Bekkerus] δῆσαι

32. ἀσπίδος Vill.] τοῦ ἀσπίδος

ἀνδροκμήτῳ] ἤτοι ἐν ᾧ ἀνὴρ καμὼν, τουτέστιν ἀποθανὼν, κεῖται, ἢ ὑπὸ ἀνδρὸς κατεσκευασμένῳ. ἢ ἐπὶ ἀνδρὶ κεκμηκότι καὶ τεθνεῶτι κατεσκευασμένῳ.

375. τόξου πῆχυν] τὸ τόξον περιφραστικῶς· τὸ γὰρ ὅλον τόξον ἐκ δύο κεράτων σύγκειται, ὧν ἑκάτερον πῆχυς καλεῖται. μετεχειρίζετο οὖν, φησὶ, τὸ τόξον.

376. ὅτι τὸ βάλεν ἀντὶ τοῦ ἐπέτυχεν, καὶ ὅτι ἐν σχήματι εἴρηκεν, οὐδὲ ἄλιον αὐτὸν ἐξέφυγε τῆς χειρός.

383. οἵ τέ σε πεφρίκασι] τὸ ἴδιον πάθος ἐπὶ πάντας εἰκάζει. οὐκ ἀναγκαῖον δὲ ἀντιδιαστέλλειν, ὡς οἴεται Ἀλεξίων· δύναται γὰρ καὶ ἀπόλυτος εἶναι.

μηκάδες] ἐπιθετικῶς αἱ αἶγες, ἀπὸ τοῦ ἰδιώματος τῆς φωνῆς· μήκη γὰρ καλεῖται ἡ τῆς αἰγὸς φωνή.

385. σὺν τῶ ἰ ἔγραψάν τινες τὸ κέρα, ἵνα ᾖ δοτικὴ, ὁμοίως τῷ "δέπα μελιηδέος οἴνου" καὶ "γήρᾳ ὑπὸ λιπαρῷ" (Od. 11, 136). οὕτως δὲ καὶ δοκεῖ ἐπικρατεῖν ἡ παράδοσις, ὡς καὶ Ἀλεξίων ἀξιοῖ. οἱ δὲ συνέστειλαν, πληθυντικὸν ἐκδεχόμενοι οὐδέτερον, ὁμοίως τῷ "κρέα ἔδμεναι" (Π. 4, 345), ἐξεδέξαντό τε ἐκ τῆς λέξεως τὴν τρίχωσιν καὶ ἐμπλοκῆς εἶδος. οἱ δὲ ἐξέτειναν τὸ ᾱ πάλιν πληθυντικὸν ἐκδεχόμενοι, τιθέντες δὲ τὴν λέξιν ἐπὶ τοῦ τόξου, ὥστε εἶναι κατὰ κέρας, συναλοιφὴν ἐκδεχόμενοι τοῦ κέραα. περὶ δὲ τῆς τοιαύτης ἀναγνώσεως δεδήλωται ἡμῖν, ὁπότε διελάβομεν περὶ τοῦ "κέρα ἐκ κεφαλῆς" (Π. 4, 109). τοσοῦτον δὲ ἔχω νῦν παραφυλάξαι ἐπὶ τοῦ νοητοῦ, ὡς ὅτι σπάνιόν ἐστιν ἐπ' ἀνθρωπίνης φύσεως παρὰ τῷ ποιητῇ τὸ κέρας ἐπὶ τριχὸς τάσσεσθαι· κόμην δὲ λέγει καὶ τρίχας καὶ πλοκάμους καὶ ἐθείρας. τὸ δὲ παρθενοπῖπα τινὲς παρθενοπῖα, παρθένοις ἐοικώς.

ὅτι κέρᾳ οὐ τῇ τριχὶ ψιλῶς, ἀλλ' ἐμπλοκῆς τι γένος· εἰς κέρατος τρόπον ἀνεπλέκοντο οἱ ἀρχαῖοι. Σώφρων "κορώνας ἀνδούμενοι·" καὶ οἱ Ἀθηναῖοι τέττιγας ἐνεπλέκοντο· καὶ παρ' Ὁμήρῳ "πλοχμοί θ' οἳ χρυσῷ τε καὶ ἀργύρῳ" (Π. 17, 52). ἔνιοι δὲ, τῷ τόξῳ ἀγαλλόμενε· προείρηκε δὲ "τοξότα λωβητήρ."

περὶ δὲ τῶν διαστολῶν εἴρηται πολλοῖς ὅτι εἰσὶν ἀμφίβολοι· ἢ

5. ἑκάτερον πῆχυς (* ἕκαστον πῆχυς) Bekkerus] ἑκατόν πηχυ

8. χειρός] ἀντὶ τοῦ αὐτοῦ τὴν χεῖρα addit Friedl.

12. μήκη Bekkerus] μῆκα. Conf. Schol. Od. 1, 124. Probabilius μηκή, ut μυκή, de quo Arcad. p. 106, 12.

γὰρ καθ' ἑαυτὸ ἕκαστον, μόνου τοῦ κέρᾳ προσδιδομένου ἢ τοῖς ἡγουμένοις ἢ τοῖς ἑπομένοις, ἢ κατὰ δύο ἢ καὶ ἐναλλὰξ, τὰ μὲν καθ' ἓν, τὰ δὲ κατὰ δύο.

387. *οὐ χραίσμῃσι] ὅτι ἀντὶ τοῦ οὐ χραίσμοι.

390. χωφὸν γὰρ βέλος] ὅτι κατὰ μεταφορὰν ἀπὸ τοῦ κατὰ τὴν ἀκοὴν ἐπὶ τὸ κατὰ τὴν ἁφὴν κωφὸν τὸ ἀνεπαίσθητον.

391. εἴ κ' ὀλίγον περ ἐπαύρῃ] ἐλλείπει τὸ πρόσθεν· οὕτως καὶ διὰ τῶν ὑπομνημάτων. ἔν τισι δὲ γράφεται ἐπαύρω.

*ἀντὶ τοῦ ἄλλως ὑπ' ἐμεῖο πέμπεται.

392. *αἶψα] Ἀρίσταρχος ἄνδρα τίθησιν.

395. περὶ πλέες] Τυραννίων περίπλεες συνθέτως ἀνέγνω, τὴν ρι συλλαβὴν ὀξύνων· ὁ δὲ Ἀσκαλωνίτης κατὰ παράθεσιν, λέγων λείπειν τὴν αὐτόν, ἵνα ᾖ περὶ αὐτὸν πλέες. οὕτως δὲ καὶ Ἀλεξίων, λόγῳ τούτῳ, ὅτι καὶ κατ' ἰδίαν ἄνευ τῆς προθέσεως εὑρέθη τὸ πλέες καὶ τὰ ἀπ' αὐτοῦ κινήματα· "τόσσον ἐγώ φημι πλέας ἔμμεναι" (Il. 2, 129)· οὐ γὰρ πολλοὺς, ἀλλὰ πλέονας. ὡμολογημένου τοίνυν ὅτι τοῦ "πλέονές κεν μνηστῆρες" (Od. 18, 247) συγκοπή ἐστιν ἡ πλέες φωνὴ, μὴ ὄντος δὲ ἄρα τοῦ συνθέτου περιπλέονες, δοθήσεται μηδὲ τὸ ἀπ' αὐτοῦ συγκεκομμένον. ἔνθεν ἐπείσθησαν κατὰ παράθεσιν ἀναγινώσκειν, λειπούσης τῆς αὐτόν.

*λείπει ἡ αὐτόν, ἵν' ᾖ περὶ αὐτὸν πλέες.

397. βραχὺ διασταλτέον ἐπὶ τὸ καθεζόμενος, πρὸς τὸ σαφέστερον.

400. *ἤχθετο γὰρ κῆρ] γρ. ὠκέας ἵππους.

402. *ὅτι νῦν φανερῶς φόβος ἡ φυγή.

404. *φέβωμαι] ὅτι ἀντὶ τοῦ φύγω.

405. *ὅτι ἔξωθεν ἡ εἰς πρόθεσις, εἰς πληθύν.

406. Ἀλεξίων τὸ τόνδε ἓν μέρος λόγου ἐκδέχεται, καὶ παροξύνει, ἵνα ἰσοδυναμῇ ἀναφορικῇ τῇ τοῦτον. Τυραννίων δὲ δύο μέρη λόγου ποιεῖ, ἵνα ᾖ τοῦτον δέ, κατὰ ἀναφορὰν ὁμοίως. ἔφαμεν δὲ ὅτι παρὰ τῷ ποιητῇ ἡ διὰ τοῦ δε ἐπὶ ταύτης τῆς ἀντωνυμίας ἐπέκτασις σπανίως μὲν εὑρέθη ἐπ' ἀναφορᾶς, ὁπότε διελαμβάνομεν περὶ τοῦ "τούσδε δ' ἔα φθινύθειν" (Il. 2, 346), ὥστε οὐδὲν κεκώλυκε καὶ

2. ἢ καὶ Friedl.] ἢ om.
4. ὅτι addidit Cobetus.
18. περιπλέονες Lehrsius] πλέονες
21. λείπει—] Hoc scholion bis legitur in marg. inter.
28. τὸ addidit Bekk.

ἐνθάδε τὸ τοιοῦτο παραδέξασθαι διὰ τὸ ἤδη πεπεῖσθαι τὴν παράδοσιν· βεβαιοτέρα μέντοι ἐστὶν ἡ τοῦ Τυραννίωνος ἀνάγνωσις· οὐδὲν γὰρ ἐναντιοῦται.

ὅτι περισσὸς ὁ κε, ἀμφίβολος δὲ ἡ στιγμή. ἤτοι γὰρ ἐπὶ τὸ ἀριστεύῃσι ἢ ἐπὶ τὴν πρόθεσιν. καὶ ἐὰν μὲν τὸ πρότερον, τὸ ἀριστεύῃσι ληψόμεθα ἀντὶ τοῦ ἄριστος ᾖ, οἷον ἄξιον τὸν ἐν εἰρήνῃ τιμώμενον ἀνδραγαθεῖν ἐν πολέμῳ· τὸ δὲ δεύτερον, ἐπεὶ τὸν ἐπαγγελλόμενον κατὰ μάχην ἄριστον εἶναι ἑστάναι δεῖ καὶ τὸν κίνδυνον ὑπομένειν.

410. ἤτοι συναπτέον ὅλον τὸν στίχον· βραχὺ διασταλτέον δὲ παντελῶς ἐπὶ τὸ κρατερῶς καὶ ἐπὶ τὸ ἔβλητο, ἵνα ὁ ἤ σύνδεσμος κέηται ἀντὶ συναπτικοῦ. ὁ δὲ λόγος· ἑστάναι δεῖ, εἴτε ἐβλήθη εἴτε ἔβαλεν ἄλλον, οἷον εἴτε βληθείη εἴτε βάλοι τινά. ἢ στικτέον ἐπὶ τὸ κρατερῶς. ὃ καὶ βέλτιον· ἔσονται γὰρ διαζευκτικοὶ οἱ σύνδεσμοι. ὁ δὲ λόγος, ἰσχυρῶς ἑστάναι δεῖ· ἢ γὰρ ἐβλήθη ἢ ἔβαλεν ἄλλον.

413. ψιλωτέον τὸ ἔλσαν, ὅτι Αἰολικωτέρα ἡ κλισις. τὸ δὲ ἐξῆς ἐστὶν, ἐν μέσοις αὐτοῖς συνέκλεισαν τὸν Ὀδυσσέα. ἡ διπλῆ δὲ, ὅτι Ζηνόδοτος γράφει μετὰ σφίσι πῆμα δὲ ἔλσαν. καὶ εὐτελὴς γίνεται ἡ σύνθεσις, καὶ ἠγνόηται τὸ λεγόμενον· οὐ γὰρ λέγει, ἑαυτοῖς πῆμα τιθέντες οἱ Τρῶες, ἀλλὰ τῷ Ὀδυσσεῖ.

μετὰ σφίσι] ὀρθοτονητέον· εἰς σύνθετον γὰρ ἡ μετάληψις, καὶ κατέχεται ὑπὸ τῆς προθέσεως.

*βραχὺ διασταλτέον ἐπὶ τὸ σφίσι.

421. ὕπερθεν] καὶ ἐνθάδε διασταλτέον πρὸς τὸ σαφέστερον. ἀμφίβολον δὲ καὶ τὸ ἐξῆς. ἤτοι γὰρ μετάλμενος ὀξέϊ δουρί, οἷον σὺν τῷ δόρατι ἐφαλλόμενος, ὡς ἐκεῖ "καὶ αὐτῷ φάρει ἀναΐξας λάβε δίσκον" (Od. 8, 186)· ἢ καὶ ὑπερβατὸν, οὕτασεν ὀξέϊ δουρί, καθὸ διαστελοῦμεν βραχὺ ἐπὶ τὸ μετάλμενος.

*δουρί] γρ. χαλκῷ.

γρ. ὕπερθε μετάλμενος.

422. Ἔννομον] ὅτι οὗτος ὁ Ἔννομος ὁμώνυμός ἐστι τῷ ἐν τῷ διακόσμῳ "Μυσῶν δὲ Χρόμις ἦρχε καὶ Ἔννομος" (Il. 2, 858).

4. κε] καὶ
στιγμή] ὑποστιγμὴ Friedl.
10. δὲ addidit Friedl.
13. ἔβαλον—βάλοι Bekkerus] ἔβαλλον—βάλλοι

423. *ἀΐξαντα] γράφεται καὶ ἀΐσσοντα.

424. πρότμησιν] Διονύσιος ὁ Θρᾷξ τὴν ὀσφῦν, Φιλότιμος ἰατρὸς τὸν τράχηλον, Ἀρίσταρχος τὸ ἀπὸ τῆς ἤβης ἕως τοῦ ὀμφαλοῦ, τὸ ἦτρον· Παρμενίσκος δὲ τὸν ὀμφαλὸν, διὰ τὸ τοῦτον πρῶτον ἐκτέμνεσθαι γεννωμένου τοῦ βρέφους, ἢ ὅτι κατ' αὐτὸν εἰς δύο τέμνεται ἴσα ὁ ἄνθρωπος.

ὅτι ἅπαξ τὴν πρότμησιν ὠνόμασεν. ἔστι δὲ ὁ ὑπὸ τὸν ὀμφαλὸν τόπος κατὰ τὴν λαγόνα, διὰ τὸ πρῶτον ἐν αὐτῷ τέμνεσθαι τεχθέντα τὰ παιδία. τοῦτον δὲ λέγουσιν ἰατρῶν παῖδες ἦτρον.

*οὕτως Ἀρίσταρχος δουρὶ κατὰ πρότμηστιν.

427. *ἐκ τριῶν μερῶν τοῦ λόγου ὅλος ὁ στίχος.

430. δόλων ἅτ'] ὅτι ἐμφαίνει τὸν Ὀδυσσέα ἐξ ἱστορίας παρειλημμένως δόλιον καὶ ἐπὶ τούτῳ διαβεβλημένον.

431. *Ἱππασίδῃσι] γράφεται Ἱππασίδῃϊν.

432. καὶ τεύχε' ἀπούρας] ὅτι ἀκαίρως προσέρριπται τὸ ἡμιστίχιον· οὐ γὰρ ἐπιτρέπει τὰ τῆς περιστάσεως σκυλεύειν. ἔφαμεν δὲ τὴν διὰ τοῦ δε ἐπέκτασιν προπερισπᾶσθαι, εἰ ἔχοι πρὸ τέλους φύσει μακράν· διὸ σημειούμεθα τὸ "τώδε δὲ νῶϊ" (Π. 8, 109) παροξυνόμενον.

437. οὕτω χροός αἱ Ἀριστάρχου· Ζηνοδότειος δέ ἐστιν ἡ χρόα. στικτέον δὲ ἐπὶ τὸ ἔργαθεν· τὸ γὰρ λεγόμενον τοιοῦτόν ἐστι, τὸ δόρυ διελθὸν τὴν πανοπλίαν ὅλον τὸν ἐπὶ ταῖς πλευραῖς χρῶτα ἐχώρισεν αὐτῶν, οἷον διέσπασε τὰς σάρκας ἀπὸ τῶν ὀστῶν. οὐ μὴν εἴασεν ἡ Ἀθηνᾶ κατὰ βάθος ἐλθεῖν, ὥστε τῶν ἐντοσθιδίων ἅψασθαι.

439. γνῶ δ' Ὀδυσεύς] αἱ Ἀριστάρχου οὕτως τέλος, καὶ σχεδὸν ἅπασαι· ἔγνω ἵτι οὐ κατὰ καίριον τέλος ἦλθεν ἡ πληγὴ, οὐκ εἰς

2. Φιλότιμος ἰατρὸς] Idem simpliciter nominatur p. 340, 1 in A, ubi alii codices Φ. σοφιστής, pro quo Φιλότιμος ἰατρός potius scribi debebat. Fuit medicus clarissimus, de quo vid. Fabr. Bibl. Gr. vol. 13 p. 369.

10. πρότμηστιν] Photius p. 464, 24, πρότμηστιν: ὀμφαλόν, post πρότμησις: ὁ κατὰ τὸν ὀμφαλὸν τόπος. Hesychii glossae quattuor sunt, πρότμησιν (ex hoc loco), πρότμησις, προτμητόν, προτμῆτις. In scholio codicis Townl. κατὰ πρόσμησιν (corrige πρότμησιν) διὰ τοῦ σ, ἔν τισι κεῖται τὸ τ (i. e. πρότμητιν vel προτμῆτιν).

13. τούτῳ Bekkerus] τοῦτο

18. δὲ νῶϊ Lehrsius Herod. p. 256] δ' ἐνόει

20. οὕτω Cobetus] ὅτι

20, 25. In marg. inter. Ἀρίσταρχος χροός et Ἀρίσταρχος τέλος.

23. αὐτῶν—διέσπασε Bekkerus] αὐτῷ—διέστασε

καίριον τόπον ἐτελεύτα. Ζηνόδοτος δὲ γράφει βέλος, κακῶς· οὐ βέβληται δὲ, ἀλλ' ἐκ χειρὸς πέπληγε· λέγει δὲ τέλος τὸ τῆς ζωῆς.

441. ἇ δειλ'] ἐπεὶ μετὰ τὰς προσαγορευτικὰς ἀνάγκη στίζειν, ὡς καὶ ἡ συνήθεια μαρτυρεῖ στίζουσα μετὰ τὴν δευτέραν λέξιν, οὐκ ἔστι δὲ πλήρης, ἀλλὰ συνήλειπται, οὕτως δὲ ἡμῶν ἀναγινωσκόντων πεπονθυῖαν τὴν λέξιν βαρβαρισμὸς γίνεται, εἴτε ὀξύνοιμεν εἴτε περισπάσοιμεν, ἀναγκαίως ἐκ πλήρους γράφειν τὴν λέξιν, ἇ δειλέ, δεῖ, ἵνα καὶ ἡ στιγμὴ καὶ ὁ τόνος ἀναλόγως καὶ Ἑλληνικῶς ἔχῃ. οὕτως δὲ καὶ Ἀρίσταρχος ἔγραφεν ἐκ πλήρους, ὡς Δίδυμος μαρτυρεῖ· τὸ μὲν γὰρ μέτρον οὐκ ἂν δόξαι βλάπτεσθαι τοῦ στοιχείου προστεθέντος, ἐπεὶ ὅταν δέῃ ὑγιὲς αὐτὸ παριστάναι, πάλιν ἀφαιρεθήσεται, ὡς "βουκόλε ἐπεὶ οὔτε κακῷ" (Od. 20, 227) "ἢ οὐ μέμνῃ ὅτε τ' ἐκρέμω" (Il. 15, 18). οὕτως δὲ καὶ ἐν τοῖς ἑξῆς "ἇ δειλὲ, οὐ μὲν σοί γε" (452).

445. κλυτοπώλῳ] τῷ ἰσχυροὺς καὶ ὀνομαστοὺς ἵππους ἔχοντι, ὅτι οὐδεὶς τὸν θάνατον διαφυγεῖν δύναται.

446. φύγαδε ὡς οἶκαδε. ἰσοδυναμεῖ δὲ τῷ εἰς φυγὴν, οὐ μὴν ἐν τῷ "τοὺς ἕλεν, οἱ δ' ἄλλοι φύγαδε μνώοντο" (Il. 16, 697)· ἀντὶ γὰρ αἰτιατικῆς οὐ μετὰ τῆς εἰς, διὸ καί τινες ὑπέλαβον μὴ καὶ δύο μέρη λόγου εἰσίν. οὕτως Ἡρωδιανὸς ἐν τῇ καθόλου.

451. *ἐκ πλήρους Ἀρίσταρχος ᾧ Σῶκε.

τέλος θανάτοιο] πρόδηλον κἀκ τούτου ὅτι γραπτέον "τέλος κατακαίριον" (439). Ζηνόδοτος δὲ γράφει πάλιν φθῇ σε βέλος θανάτοιο.

454. ὠμησταί] Ἀρίσταρχος ὡς ἀθληταί, Τυραννίων δὲ ὡς κομῆται, σύνθετον ἐκδεχόμενος τὴν λέξιν. ἄμεινον δὲ λέγειν ὡς ὅτι τὰ εἰς τ̄ης̄ λήγοντα, τῷ η̄ παραληγόμενα, ἔχοντα πρὸ τοῦ τ̄ τὸ σ̄, ὑπὲρ δύο συλλαβὰς ὄντα ὀξύνεται, ἑρπηστής ὀρχηστής. οὕτως οὖν καὶ ὠμηστής.

ἐρύουσιν] προπαροξύνεται· ἐνήλλακται γὰρ ὁ ἐνεστὼς χρόνος ἀντὶ μέλλοντος· οὕτως καὶ Ἀρίσταρχος. ὁ δὲ Ἀλεξίων περισπᾷ, οὐκ εὖ, ἐπεὶ, φησὶν, ἐν τῷ ἑξῆς στίχῳ ὁ μέλλων παρελήφθη περι-

6. συνήλειπται Bekkerus] συνείληπται
18. ἐν addidit Lehrsius.
27. ἐκδεχόμενος Lehrsius] ἐκδεχόμενοι
λέγειν Vill.] λέγει

σπώμενος· "αὐτὰρ ἐπεί κε θάνω, κτεριοῦσί με δῖοι Ἀχαιοί." ἔλαθε δὲ τὸν ἄνδρα ἡ τοιαύτη ὕφεσις τοῦ σ̄ Ἀττικὴ οὖσα καὶ περισπῶσα τοὺς μέλλοντας διά τι αἴτιον, εἰ παραλήγοιτο τῷ ῑ συνεσταλμένῳ, ὅπερ καὶ ἐπὶ τοῦ "τόνδε δ' ἐγὼ κομιῶ" (Od. 15, 546). τὸ μέντοι ἐρύω οὐ δύναται ἔχεσθαι ταύτης τῆς φύσεως, ἀλλ' ἔστιν ἐνεστὼς ἀντὶ μέλλοντος.

455. *Ἀρίσταρχος αὐτὰρ ἔμ' εἴ κε θάνω.

οὕτως Ἀρίσταρχος διὰ τοῦ μ̄, ἔμ' εἴ κε θάνω. ἡ δὲ διὰ τοῦ π̄, ἐπεί κε θάνων, γραμματιστῶν.

456. πρὸς τὴν ἀμφιβολίαν, πότερον ἐκ τοῦ Σώκου χρωτὸς τὸ ἑαυτοῦ ἔγχος εἶλκεν ὁ Ὀδυσσεὺς, ἢ ἐκ τοῦ ἰδίου χρωτὸς τὸ τοῦ Σώκου δόρυ· ὃ καὶ ἔστιν ὑγιές· λέγει γὰρ "κῆδε δὲ θυμόν" οὐ τοῦ νεκροῦ, ἀλλὰ τοῦ Ὀδυσσέως· τὸ δὲ ἑαυτοῦ ἔγχος εἴασεν οὕτως. κατὰ δὲ τὸ τέλος τοῦ στίχου βραχὺ διασταλτέον· τὸ γὰρ τοῦ Σώκου δόρυ ἐκ τοῦ ἰδίου χρωτὸς ἐξέλκει. μένει μὲν οὖν ἡ ἀμφιβολία καὶ οὕτως, ἐπεὶ μὴ πρόσκειται τὸ τίνος χρωτός· ἐὰν δέ τις συνάπτῃ, μᾶλλον ἁμαρτήσεται.

457. *εἶλκε] Ἀρίσταρχος ἕλκε.

458. αἷμα δέ οἱ σπασθέντος] οὕτως Ἀρίσταρχος οἱ, αἷμα δὲ αὐτῷ τῷ Ὀδυσσεῖ. Ζηνόδοτος δὲ γράφει αἷμα δὲ οὗ σπασθέντος· γίνεται δὲ τὸ ἑαυτοῦ, ὃ οὐχ ἁρμόζει.

459. *ὅπως ἴδον] γράφεται καὶ ἐπεὶ ἴδον.

460. τὸ καθ' ὅμιλον δύναται μὲν καὶ τοῖς ἑξῆς προσδίδοσθαι, οἷον κατὰ πλῆθος ἐπῆλθον αὐτῷ· πολὺ δὲ κρεῖσσον τοῖς ἐπάνω συνάπτειν· παρεκελεύσαντο γὰρ τῷ πλήθει ἑαυτῶν.

461. αὖε] ψιλῶς· τέτακται γὰρ ἐπὶ τοῦ φωνεῖν. ὅταν δὲ ἐπὶ τοῦ ξηραίνειν ἢ ἅπτειν, τότε δασυντέον· ἔστι γὰρ σύνθετον τὸ ἀφαύω.

462. *ἤϋσεν] ὅτι παρῆκε τὸ τί φωνῶν, οἷον βοηθεῖτε.

466. *ἵκετο φωνή] Ἀρίσταρχος ἵκετ' ἀϋτή.

467. *ὁ νοῦς, τοιαύτη οἵα ἂν γένοιτο καταπονουμένου ἀνδρός.

470. *ἐνὶ Τρώεσσι] γρ. μετὰ Τρώεσσι.

475. ἀμφ' ἔλαφον] οὐ δειλὸς Ὀδυσσεὺς, ὅτι ἐλάφῳ εἴκασται· οὐ γὰρ ἰσχύος δηλωτικὸν τὸ τῆς παραβολῆς, ἀλλὰ τῶν ὁμοίων

2. ὕφεσις] Idem quod ὑφαίρεσις: v. Thes. vol. 8 p. 527.
8. ἡ Cobetus] εἰ
12. ὃ addidit Friedl. Sic p. 395, 5. Herod. p. 267.
16. τὸ Friedl.] τοῦ
27. τὸ ἀφαύω addidit Lehrsius

παθημάτων. θανούσῃ δὲ αὐτὸν ἐλάφῳ εἰκάζει, ἵνα αὐξήσῃ τὸν κίνδυνον.

480. ἐν νέμεϊ σκιερῷ] ὅτι Ζηνόδοτος γράφει ἐν νέμεϊ γλαφυρῷ. τοῦτο δὲ σπηλαίῳ ἢ ἄντρῳ οἰκεῖον, νομὰς δὲ ἔχοντι ὑπὸ συνδένδρῳ τόπῳ ἀνάρμοστον.

λῖν] περισπαστέον κατὰ νόμον τῶν μονοσυλλάβων αἰτιατικῶν· πᾶσα γὰρ αἰτιατικὴ μονοσύλλαβος εἰς ν̄ λήγουσα περισπᾶται, ἀπέστραπται δὲ τὸν ὀξὺν τόνον, μῦν μνᾶν σῦν ῦν. ταύτῃ καὶ ἡ κλεῖδα αἰτιατικὴ γενομένη κλεῖν περισπᾶται, τῆς εὐθείας ὀξυνομένης. ταῦτα Ἡρωδιανὸς ἐν τῷ πεντεκαιδεκάτῳ τῆς καθόλου.

ἔδει μὲν περισπωμένως, ὡς μῦς μῦν· τὸ γὰρ πληθυντικὸν παρὰ Καλλιμάχῳ "αἱ μέν ῥα λίεσσιν" ὡς μύεσσιν· Ἀριστάρχῳ δὲ ἐπείσθη ἡ παράδοσις ὀξύνοντι.

481. θῶες μέν τε διέτρεσαν] Ἀριστοτέλης ἐν τῷ περὶ ζῴων φησὶ θῶας καὶ λέοντας πολέμια εἶναι, σαρκοφάγα ὄντα καὶ ἀπὸ τῶν αὐτῶν τὴν τροφὴν ποριζόμενα. ἔμπειρος οὖν τούτων καὶ πρὸ Ἀριστοτέλους ὁ ποιητής.

484. ἢ ἐπὶ τὸ ἀΐσσων βραχὺ διασταλτέον, ἢ ἐπὶ τὸ ἔγχει. καὶ ἀμφότερα ἐγκατάσκευα· τὸ μέντοι δεύτερον δοκεῖ λείπειν τῇ σύν προθέσει, ὡς καὶ ἐκεῖ "ἔγχει ἐπαΐσσων" (Il. 10, 348).

*νηλεὲς ἦμαρ] τὴν χαλεπὴν ἡμέραν, τουτέστι τὸν θάνατον.

486. στῆ δὲ παρέξ] παρέστη δέ. καὶ περισσὴ ἡ ἔξ, ὁμοίως τῷ "ὅσα παρέξ" (Od. 9, 488).

488. *θεράπων] τοῦ Μενελάου· ἄνιππος γὰρ ὁ Ὀδυσσεύς.

490. ἐπὶ τὸ Πριαμίδην βραχὺ διαστέλλειν ἀξιοῦσί τινες, οὐκ ἀπιθάνως, ἵνα μὴ συνάπτωμεν τῷ πατρωνυμικῷ τὸν υἱὸν καὶ ζήτημα ποιῶμεν περί τινα ὥσπερ ἐξήγησιν ἢ ἐπανάληψιν. περισσὸν δὲ τὸ υἱόν· κτητικοῖς μὲν γὰρ προστίθεται τὸ ὑπὸ τὴν κτῆσιν πεσεῖν δυνάμενον, πατρωνυμικοῖς δὲ ἐμπεριέχεται.

492. κάτεισι] ὅτι Ζηνόδοτος γράφει πεδίον δὲ δίηται. τὸ δὲ κάτεισι τὴν ἐξ ὕψους καταφορὰν δηλοῖ.

4. ὑπὸ delet Friedl., in καὶ mutat Pluygers. Zenod. p. 9.
8. μῦν—ῦν Bekkerus] μοῦν—μῦν
11–13. V. Lehrs. Arist. p. 259.
12. Καλλιμάχῳ] Callimachi verba fuisse λῖες μέν τε λίεσσιν aliunde novimus: v. Schneider. ad fragm. 329 p. 542.
27. περί τινα] ἀναγνωστέον οὖν vel simile quid Friedl. Nic. p. 213.
Post ἐπανάληψιν signum scholii finiti:—

494. δρῦς ἀζαλέας] πρὸς τὸ σημαινόμενον, πότερον ὅτι φυλλορροεῖ καὶ κατὰ ταύτην τὴν ὥραν ξηραινόμενα τὰ δένδρα ἐκ ῥιζῶν ἀναβάλλεται ἐκ τῶν χειμάρρων· ἢ ὅτι οἱ δρυτόμοι εἰς τοὺς ποταμοὺς ἐμβάλλουσι κόπτοντες, ἵνα ἐπὶ τοῦ καιροῦ συγκαταφέρωνται τῷ ὄμβρῳ, ὃ καὶ ὑγιές.

495. ἀφυσγετόν] Ἀρίσταρχος ὀξύνει ὁμοίως τῷ ὑετόν, ὁ δὲ Τυραννίων βαρύνει ὁμοίως τῷ ἀτρύγετον. ἔστι δὲ ἐκεῖνο ὑπὲρ τοῦ Ἀριστάρχου λέγειν, ὅτι τὰ ὑπὲρ τρεῖς συλλαβὰς, διὰ τοῦ ετος ἐκφερόμενα, μὴ ἔχοντα παρασχηματισμὸν θηλυκοῦ, ἐπιθετικῶς μὲν λαμβανόμενα τρίτην ἀπὸ τέλους θέλει ἔχειν τὴν ὀξεῖαν, ὥσπερ ἔχει ὁ ἀμαιμάκετος περιμήκετος· τὸ δὲ λαιλαπετός μὴ ὂν ἐπιθετικόν ὠξύνθη, καὶ τὸ Ἰαπετός ἐπὶ κυρίου. εἴπερ οὖν καὶ τὸ ἀφυσγετός οὐκ ἔστιν ἐπιθετικὸν, ὑγιῶς ὀξυτονηθήσεται κατὰ τὸν Ἀρίσταρχον. ἢ εἴπερ αὐτὸ βαρύνομεν, δώσομεν αὐτὸ καὶ ἐπικεῖσθαί τινι.

502. ὅτι ὁμίλει ἀντὶ τοῦ ἐμάχετο, ἀπὸ τοῦ ὁμοῦ τὰς ἴλας συμβάλλειν.

503. οἱ μὲν πλείους ἀνέγνωσαν νέων ὡς ξένων, ἵνα τῆς οἱ νέοι εὐθείας γενικὴ ὑπάρχοι. ὁ μέντοι Ἀρίσταρχος καὶ Ἀλεξίων καὶ ὁ Ἀσκαλωνίτης περιέσπασαν, ἵνα ἀπὸ τοῦ "τῶν νέες ὠκεῖαι" (Od. 7, 36) ᾖ, ἐπεὶ, φησὶ, νοῦν οὐκ ἔχει τὸ βαρυνόμενον, τὸ μέντοι περισπώμενον, τοιαύτης ὑπαρχούσης τῆς διανοίας, τὰς πρὸ τῶν νεῶν τάξεις.

506. ὅτι μηδὲν προδιασυστήσας κατὰ συμπέρασμα παῦσεν ἀριστεύοντά φησιν. ἡ δὲ ἀναφορὰ πρὸς τὸ "τῷ οὔ πώ τις ὅμοιος ἐπιχθόνιος γένετ' ἀνὴρ κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας" (Il. 2, 553).

509. μετακλινθέντος] ἀντὶ τοῦ μεταβληθέντος τοῦ πολέμου καὶ ἐπικρατεστέρων γενομένων τῶν Τρώων.

515. ἀθετεῖται, ὅτι οὐκ ἀναγκαία ἡ ἐξαρίθμησις· μειοῖ γὰρ εἰ μόνον ἰοὺς ἐκτάμνειν καὶ φαρμακεύειν οἶδεν. καὶ Ἀριστοφάνης προηθέτει· Ζηνόδοτος δὲ οὐδὲ ἔγραφεν.

519. *γρ. μάστιξεν δ' ἐλάαν.

523. ὅτι κυρίως λέγει ὁμιλέομεν, ὁμοῦ τὰς ἴλας συμβάλλομεν.

528. κεῖσ' ἵππους] ὅτι Ζηνόδοτος γράφει κεῖθ' ἵππους. γίνεται

4. ὄμβρῳ] ῥεύματι Friedl.

11. λαιλαπετός] Fugit hoc editores Hesychii, apud quem λαιλάπετος.

19. Post ἵνα lacunam indicat Cobetus.

δὲ ἐν ἐκείνῳ τῷ τόπῳ· τὸ δὲ ἐκεῖσε εἰς ἐκεῖνον τὸν τόπον, ὃ δὴ νῦν ἁρμόζει.

532. λιγυρῇ] τῇ ὀξὺν ἦχον ἀποτελούσῃ, ἢ λιγεῖς καὶ ὀξεῖς τοὺς ἵππους ποιούσῃ κατὰ τὸν δρόμον.

ἀΐοντες] ὅτι τῷ εἶδει τὸ γένος δεδήλωκε· τὸ γὰρ ἀΐοντές ἐστιν ἀκούοντες, θέλει δὲ εἰπεῖν ἐπαισθόμενοι τῆς πληγῆς· ἡ γὰρ ἀκοὴ εἶδός ἐστι τῆς αἰσθήσεως.

536. ἃς ἄρ'] οὐ χωριστέον τὸν ἑξῆς ἐπιφερόμενον "αἵ τ' ἀπ' ἐπισσώτρων." ὁ γὰρ λόγος οὗτος, ἃς αἱ ῥανίδες ἔβαλλον αἱ ἀπό τε τῶν ἱππείων ὁπλῶν καὶ αἱ ἀπὸ τῶν ἐπισσώτρων.

537. *αἵ τ' ἀπ' ἐπισσώτρων] οὕτως κατὰ συναλοιφὴν ἐν ταῖς Ἀριστάρχου.

538. *οὕτως Ἀρίσταρχος, ῥῆξαί τε, διὰ τοῦ τέ.

539. μίννυθα δὲ χάζετο δουρός] ἐκεῖθεν, ὅπου ἦν ὁ Αἴας, ἔλασσον δόρατος βολῆς ἀνεχώρει.

ἐπ' ὀλίγον, φησί, τῆς βολῆς τοῦ δόρατος ὑπεχώρει, ἀντὶ τοῦ οὐδὲ ἐπ' ὀλίγον, ἀλλ' ἀεὶ συνεπλέκετο. (Margo exter.)

*δουρός] Ἀρίσταρχος δουρί κατὰ δοτικήν.

540. *διὰ τὸν Αἴαντα, ὅπερ καὶ ἐπάγει Αἴαντος δ' ἀλέεινε καὶ τὰ ἑξῆς.

545. ὄπιθεν δὲ σάκος βάλεν] ὅτι ἐκ τελαμώνων ἀνήρτηντο αἱ ἀσπίδες· οὐ γὰρ ἂν ἄλλως ἠδύνατο εἰς τοὐπίσω μεταλαμβάνεσθαι.

546. *τὸ ἐφ' ὁμίλου βέλτιον τοῖς ἐπάνω προσδιδόναι. Ἀριστοφάνης δι' ὁμίλου.

548. ὅτι ἀπὸ τούτου Ζηνόδοτος ἀθετεῖ ἕως τοῦ "ἤϊε πόλλ' ἀέκων" (557), ἴσως ὅτι νῦν μὲν λέοντι παραβέβληκεν, ἑξῆς δὲ ὄνῳ. ἔστι δὲ πρὸς διάφορα σημαινόμενα· ὁ μὲν γὰρ λέων πρὸς τὴν πρᾶξιν, ὁ δὲ ὄνος πρὸς τὴν ὑπομονήν· καὶ γὰρ τοῦτον ἐπιτριβῆ πληγῶν λαμβάνει.

διὰ τί ὁτὲ μὲν λέοντι, ὁτὲ δὲ ὄνῳ παραβάλλει τὸν Αἴαντα; ῥητέον οὖν ὅτι αἱ μὲν παραβολαὶ τριῶν ἕνεκα γίνονται, αὐξήσεως, ἐναργείας, σαφηνείας· εἰς τὸ πρόσφορον δὲ ἓν ἑκάτερον διετήρησεν ὁ ποιητής, εἰπὼν Αἴαντα καὶ φονεύοντα λέοντος δίκην καὶ τῶν πολεμίων ἀναχωρεῖν ὡς ὄνον. ταῖς γὰρ φύσεσι τῶν ζῴων καὶ τὸ ὀκνηρὸν πρὸς φυγὴν καὶ τὸ ταχὺ πρὸς μάχην τοῦ ἥρωος δεδήλωκεν.

30. Scholion Porphyrii, cuius nomen in aliis libris praescriptum.

549. *ἐσσεύοντο] οὕτω διὰ τοῦ ο̄ ἐσσεύοντο.

551. κρειῶν] περισπαστέον· ἡ γὰρ κρεῶν γενικὴ ἐπλεόνασε τῷ ῑ, ἥτις περισπᾶται διὰ τὸ ἔχειν ἐντελεστέραν τὴν κρεάων.

553. *ἀντίοι] Ἀρίσταρχος διὰ τοῦ ν̄ ἀντίον.

557. *περὶ γὰρ δίε νηυσὶν] ὅτι ἀντὶ τοῦ περὶ τῶν νεῶν τῶν Ἀχαιῶν.

559. ῥόπαλα] ξύλα ἐκ τοῦ ἑτέρου μέρους παχύτερα, καὶ τὸ ἕτοιμον εἰς τὸ ἕτερον μέρος τὴν ῥοπὴν ἔχοντα· ἢ ἐκ τοῦ ῥαπίζειν, ἢ τῇ ῥοπῇ, ὅ ἐστι τῇ φορᾷ, ἀλλοιοῦν καὶ συντρίβειν. συνήθη δὲ πληγῶν θέλει αὐτὸν παραστῆσαι, ἵνα δείξῃ αὐτοῦ τὸ γενναῖον.

ὅτι δοκεῖ μάχεσθαι· εἰ γὰρ κατεάγη πολλὰ περὶ αὐτὸν ῥόπαλα, οὐ δύναται ἡ βία τῶν τυπτόντων νηπία εἶναι. ἀλλ' ἔστι τοιοῦτο τὸ λεγόμενον, ᾧτινι πρότερον κατεάγη ῥόπαλα πολλά, ὥστε ἐντρίβῃ αὐτὸν πληγῶν εἶναι· διὸ ἡ τῶν παίδων βία ἀσθενὴς αὐτῷ φαίνεται.

562. ὅτι σπουδῇ λέγει ἀντὶ τοῦ μόλις καὶ μετὰ πολλῆς κακοπαθείας· καὶ ὅτι ἐκορέσσατο εἶπεν ἀντὶ τοῦ ἐκορέσθη.

564. *τηλέκλητοι] Ἀρίσταρχος πολυηγερέες τ' ἐπίκουροι.

568. πρὸς τὸ ὁτὲ δὲ τρωπάσκετο.

569. πάντας δὲ προέεργε] ἤτοι ἐκώλυε τοὺς Τρῶας ἐμπίπτειν ταῖς ναυσὶν, ἢ προετρέπετο τοὺς Ἕλληνας ἀναχωρεῖν.

572. πρὸς τὴν ἐξήγησιν τοῦ "ὁ δὲ χασσάμενος πελεμίχθη" (Il. 4, 535)· ἀναχωροῦντες γὰρ τὰ ἐμπεπηγότα δόρατα ταῖς ἀσπίσι διετίνασσον.

573. *βραχὺ διασταλτέον ἐπὶ τὸ μεσσηγύ.

574. ὅτι τὰ δόρατα ἵσταντο. καὶ ὅτι ἀπὸ τῶν ἐμψύχων μεταφέρει.

579. ἦπαρ ὑπὸ πραπίδων] πραπίδες τὸ διάφραγμα· ἔστι δὲ νευρώδης ὑμὴν, διεζωκὼς τὰ σπλάγχνα.

τὸ ἦπαρ ἔτρωσε κάτω ὑπὸ τὰς φρένας. φρένας δὲ ὁ ποιητὴς καὶ πάντες οἱ παλαιοὶ ἐκάλουν τὸ διάφραγμα, παρόσον φλεγμαῖνον τοῦτο ὡς νευρῶδες ἔχει συμπάσχοντα τὸν ἐγκέφαλον καὶ παρακολουθοῦσι μέγισται παραφρονήσεις. πηγὴ δὲ ὅλου τοῦ νευρώδους γένους ὁ ἐγκέφαλος, ὥσπερ ἀρτηριῶν καρδία καὶ φλεβῶν ἦπαρ.

583. *ἐν ἄλλῳ εἶλκεν ἐπ' Εὐρυπύλῳ.

καί μιν βάλε μηρὸν ὀϊστῷ] ὅτι ἀντὶ τοῦ καὶ αὐτοῦ τὸν μηρὸν ἔτρωσεν.

16. *πολυηγερέες] πολυηγενέες 24. ὅτι addidit Cobetus.

584. δόναξ] ὅτι ὁ τοῦ βέλους κάλαμος· τὰ γὰρ βέλη ξύλινα καὶ καλάμινα ἦν. πρὸς τὸ "κῆλα θεοῖο" (Il. 1, 53), ὅτι τὰ βέλη λέγει, καίτοι ἐξ ἄλλης ἦν ὕλης ἐκεῖνα.

589. Αἴανθ' ὃς βελέεσσι] ὅτι Ζηνόδοτος γράφει Αἴαντος βελέεσσι. γενικὴ μὲν οὖν οὐχ ἁρμόζει, ὥστε δέχεσθαι τοῦ Αἴαντος· εἰ δὲ καὶ κατὰ συναλοιφὴν ἐν τῷ ψιλῷ ἀντιστοίχῳ γέγραφεν, ἵν' ᾖ τὸ πλῆρες Αἴαντ' ὃς βελέεσσιν, οὐκ ἔστι τῆς καθ' Ὅμηρον Ἰάδος τὸ ψιλοῦν τὰ τοιαῦτα.

590. *τῶν πολεμίων δηλονότι.

593. *σάκε' ὤμοισι κλίναντες] ἀντὶ τοῦ τοὺς ὤμους ταῖς ἀσπίσι προσερείσαντες.

594. *τῶν δ' ἀντίος] ἐν ἄλλῳ τῶν δὲ σχεδὸν ἦλυθεν Αἴας.

596. δέμας πυρὸς] τὴν σφοδρότητα τῆς μάχης παρίστησι, περὶ τὴν γενομένην ἐν αὐτῇ φθορὰν εἰκάσας· πῦρ γὰρ καὶ ῥᾷστα καὶ τάχιστα φθείρει.

*δίκην πυρὸς, ὥσπερ πῦρ.

600. *Ἀρίσταρχος ἑστήκει.

ὅτι ἡ πτῶσις ἤλλακται, ἀντὶ τοῦ πρυμνῆς μεγακήτεος νηός.

601. ἰῶκά τε δακρυόεσσαν] ὅτι τινὲς γράφουσιν ἰῶ, εἶτα καταδακρυόεσσαν. γίνεται δὲ ἔκθεσμον· ὁ γὰρ Ὅμηρος ἰῶκα τὴν ἰωκὴν, οἷον δίωξιν, ὡς Ἡσίοδος (O. 538) τὴν κρόκην κρόκα.

603. *παρὰ νηός] ἀντὶ τοῦ παρὰ νηΐ, ἀπὸ τῆς νηός.

604. κακοῦ δ' ἄρα οἱ πέλεν ἀρχή] σημειοῦνταί τινες ὅτι οὐ πόρρωθεν ἡ προαναφώνησις· κἀκεῖ οὖν οὐκ ἐπὶ τὰ πόρρω ἡ ἀπόστασις "Διὸς δ' ἐτελείετο βουλή" (Il. 1, 5).

606. τί δέ σε χρεὼ ἐμεῖο] ὅτι πτῶσις ἤλλακται, αἰτιατικὴ ἀντὶ δοτικῆς, τὸ σέ ἀντὶ τοῦ σοί.

610. *ὀξύνεται τὸ ἀνεκτός· προείρηται δέ.

611. ἀλλ' ἴθι νῦν] διὰ τί δὲ τὸν Πάτροκλον ὁ Ἀχιλλεὺς πέμπει; ῥητέον ὅτι κατ' οἰκονομίαν. ἐπειδὴ γὰρ ἄπρακτος ἡ πρεσβεία γεγένηται, διὰ Πατρόκλου Νέστορα βούλεται τοῦτο κατορθῶσαι ὅπερ οὐκ ἐποίησαν οἱ πρέσβεις. ὥστε προῳκονόμησε τοῦτο ὁ ποιητὴς, ἵνα καὶ

4. ἀντὶ τοῦ (αὖ) Αἴαντος in marg. inter.
10. τοῦ] om.
28. προείρηται] Ad 8, 355.
28. Hoc Porphyrii scholion legitur infra ad v. 634 sine lemmate post verba λέγομεν τὸν νέον.

Νέστορος τὴν τῶν λόγων δύναμιν παραστήσῃ καὶ Ἀχιλλέα δείξῃ μετ᾽ εὐλόγου προφάσεως εἰς τὸν πόλεμον ἐξάγειν.

612. βεβλημένον] ὅτι ἀντὶ τοῦ τετρωμένον· τῷ εἰδικῷ τὸ γενικὸν ἐσήμανεν.

617. * βῆ δὲ θέειν] ἐν ἄλλῳ βῆ δ᾽ ἰέναι.

620. *ὅτι καὶ Ἀγαμέμνονος ἡνίοχος ἦν Εὐρυμέδων (Il. 4, 227).

621. ὅτι ψίχειν μὲν λέγει πρὸς ἄνεμον, τέρσεσθαι δὲ ἐν ἡλίῳ· "εἵματα δ᾽ ἠελίοιο μένον τερσήμεναι αὐγῇ" (Od. 6, 98).

622. στάν τε ποτὶ πνοιήν] ὅτι σαφὲς ὅτι οὗτοι πρὸς τῇ θαλάσσῃ νενεωλκήκασιν.

* οὕτω διὰ τοῦ τε.

627. *ἥ σφωϊν] ἐγκλιτικῶς ἀναγνωστέον, ἵνα δηλωθῇ τρίτον πρόσωπον.

*ἐπ᾽ αὐτῆς] γράφεται ἐπ᾽ αὐτῇ.

630. *ὅτι πᾶν προσόψημα ὄψον οἱ ἀρχαῖοι. ποτικὸν ὄψον, ὅ ἐστι προσφάγιον δίψους παρασκευαστικόν. πᾶν δὲ τὸ μετὰ ἄρτου ἐσθιόμενον ὄψον καλεῖται· ὀψὲ γὰρ ταύτην προσήγοντο τὴν τροφήν, ἔωθεν δὲ ἀκρατίσμασι· διὸ καὶ ἡ διπλῆ. ἔστι δὲ τὸ κρόμυον καὶ πρὸς τὰ μὴ καλὰ ἁρμόζον ὕδατα, ὡς ἀλεξιφάρμακον.

631. χλωρὸν] πρόσφατον, νέον· οὕτω γὰρ καὶ ἡμεῖς χλωρὸν τυρὸν λέγομεν τὸν νέον.

ἀλφίτου ἱεροῦ ἀκτήν] ἤτοι περιφραστικῶς ἄλφιτα ἢ ἄρτον ἀπὸ τοῦ κατασκευάσματος, ὅ ἐστιν ἀλεύρου. δηλοῖ δὲ ἡ λέξις ὅτε μὲν τὸ ἄλευρον ἀπὸ τοῦ κατάσσεσθαι καὶ ἀλεῖσθαι τὸν σῖτον, ὅτε δὲ τὸν αἰγιαλὸν ἀπὸ τοῦ περικατάσσεσθαι αὐτῷ τὰ κύματα.

632. δέπας περικαλλές] τὴν κατασκευὴν τοῦ ποτηρίου Ἀρίσταρχος τοιαύτην εἶναί φησι. πρῶτον μὲν περίμηκες αὐτὸ εἶναι, καὶ δύο πυθμένας ἔχειν, οὐχ ἕτερον ἐξ ἑτέρου, ὥς τινες, ἀλλ᾽ ἑκατέρωθεν τῶν τεσσάρων ὤτων οὐκ ἐξ ἴσου τὰ διαστήματα εἶναι, ἵνα μὴ κατὰ πόσιν ἐναντίον τοῦ στόματος λαμβάνηται, ἀλλ᾽ ἑκατέρωθεν τοῦ ποτηρίου

3. εἰδικῷ] ἰδικῷ
6. Εὐρυμέδων] εὐρυμέλων
8. εἵματα] ἵματα
11. οὕτω διὰ τοῦ τε] Id est divisim στάν τε, non στάντε.
17. * ὀψὲ γὰρ—ἀκρατίσμασι] om.
25. *τοῦ om.
* δὲ] om.
30. κατὰ πόσιν Lehrsius Arist. p. 198] κατόπιν
31. ἑκατέρωθεν τοῦ ποτηρίου Lehrsius] ἑκατέρωθεν ποτήριον

δύο καὶ δύο. τούτων δὲ ἅπτεσθαι μακρὰν πελειάδα μίαν ἑκατέρωθεν· ἀντεστραμμέναι δέ εἰσιν αὐταῖς, ἀνὰ μέσον δὲ αὐτῶν δύο· κατὰ γὰρ ἕκαστον τῶν ὤτων τοσαύτας φησίν· εἶναι γὰρ ὡσεὶ φιάλην κοίλην, ὥστε ταῖς δύο χερσὶν ὑπολαμβάνοντας τῶν ὤτων προσλαμβάνεσθαι.

*ὅτι ἀντὶ τοῦ ἤγαγεν κατὰ μεταφορὰν ἀπὸ τῶν ἐμψύχων.

634. *οὕτως ἀπὸ λαβῆς.

*διχῶς Ἀρίσταρχος, ἦγ' ὁ γεραιὸς καὶ εἶχ' ὁ γεραιός.

635. πρὸς τὴν κατασκευὴν τοῦ ποτηρίου, ὅτι δεδιπλασιασμένον αὐτὸ ὑποτίθεται· τέσσαρα γὰρ ὦτα καὶ δύο πυθμένας. Ἀρίσταρχος δὲ τὴν ὑπό συντάσσει τῷ ἦσαν, καί φησιν ὑπῆσαν οἱ πυθμένες. οὕτως καὶ Ἀλεξίων.

636. ἄλλος] ὁ Ἀσκαλωνίτης ψιλοῖ, καί φησιν ὅτι ἐπὶ τοῦ γέροντος κεῖται· ἄλλος μὲν γὰρ ἄν τις αὐτὸ μόγις ἐκίνησε γέρων, Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν. πολὺ πρότερον δὲ οὕτως καὶ Ἀρίσταρχος. τινὲς δὲ βούλονται δασύνειν τὸ ᾱ καὶ ἐκτείνειν, ἵν' ᾖ ὁ ἄλλος μὲν μογέων, τουτέστιν ὁ Μαχάων. ἡμεῖς δὲ ἐκεῖνο παραφυλάξαι ἔχομεν, ὡς ὅτι παρὰ τῷ ποιητῇ οὐ δύναται ἡ τοιαύτη κρᾶσις εἶναι· εἰ γὰρ καὶ κρᾶσιν ἠβούλοντο, παραλαμβάνειν ἐχρῆν εἰς τὸ ῱, ὁμοίως τῷ "οἴχετ' ἀνὴρ ὄριστος" (288). εἰσὶ δὲ οἳ διέστειλαν ἀλλ' ὅς, τὸ ὅς δασύνοντες, ἀλλ' ὃς μὲν μογέων, ἵνα τὸ αὐτὸ ὑπάρχῃ νοητόν· ἐπὶ γὰρ τοῦ Μαχάονος πάλιν βούλονται τὴν διαστολὴν λαμβάνειν. ἡμεῖς δὲ συγκατατιθέμεθα τῷ Ἀριστάρχῳ ψιλοῦντι, ἐπεὶ βούλεται ὁ ποιητὴς καὶ διὰ τούτου τὸ εὔρωστον τοῦ γέροντος παριστάνειν.

πρὸς τὸ ζητούμενον, πῶς ὁ γέρων ἀμογητί, οἱ δὲ ἄλλοι μετὰ κακοπαθείας. οὐ δεῖ δὲ οὔτε δασύνειν τὴν προφορὰν οὔτε ἐπαίρειν τὴν προσῳδίαν, ἀλλὰ νοεῖν ὅτι καὶ τοῦτο τῶν ἐπαίνων λεγομένων Νέστορός ἐστι, καθάπερ καὶ τὸ "Νέστωρ δὲ πρῶτος κτύπον ἄϊε φώνησέν τε" (Il. 10, 532).

639. οἴνῳ Πραμνείῳ] ἤτοι τῷ πραΰνοντι τὰς φρένας, ἢ παλαιῷ,

1. ἅπτεσθαι Lehrsius] ἀπὸ μακρὰν] μικρὰν Lehrsius.
2. αὐτῶν] αὖ τούτων Lehrsius.
3. τοσαύτας φησὶν (Homerus) Lehrsius] τοσαῦτά φησι εἶναι γὰρ ὡσεὶ Lehrsius] εἶναι· αὐτῷ γὰρ
4. ὑπολαμβάνοντας] ὑπολαμβάνοντος Lehrsius. προσλαμβάνεσθαι] I. e. *ad os admovere*, ut monet Lehrsius.
5. ἀντὶ Cobetus] ἀπὸ
12. γέροντος Lehrsius] Νέστορος
13. γέρων post ἐκίνησε addidit Lehrsius.
26. ἐπαίνων] ἐν ἐπαίνῳ Friedl.
27. ἄϊε φώνησέν τε] ἄει εφων^{ησ} :—

ἀπὸ τοῦ παραμεμενηκέναι· ἢ ἀπὸ εἴδους ἀμπέλου οὕτω καλουμένης. οἱ δὲ τὸν ἀπὸ τῶν ἀναδενδράδων εἶπον· πρέμνον γὰρ τὴν ὕφεσιν καλοῦσιν. ἄλλοι δὲ ἀπὸ Πράμνης εἶπον· Πράμνη δὲ ὄρος ἐν τῇ Καρίᾳ οἰνοφόρον.

639. ἐπὶ δ' αἴγειον κνῆ τυρὸν κνήστι χαλκείῃ] ἔκοπτε δὲ καὶ τυρὸν κνήστεϊ χαλκείῳ, τουτέστι μαχαιρίῳ τυροτόμῳ.

640. *γράφεται λευκὰ πάλυνε.

641. τὸ κυκειῶ περισπαστέον· τοῦ γὰρ κυκεῶνά ἐστιν ἀποκοπή, καὶ ἐπλεόνασε τὸ ι. κυκειὼν δέ ἐστι πολυμιγὲς ποτόν.

650. *ἄγεις] ὅτι ἀντὶ τοῦ ἤγαγες. ἤλλακται δὲ ὁ χρόνος.

652. *πάλιν ἄγγελος εἶμ' Ἀχιλῆϊ] τινὲς ὑφ' ἓν παλινάγγελος, οὐκ εὖ.

κατ' ἰδίαν τὸ πάλιν. οὕτως Ἀρίσταρχος καὶ Ἀλεξίων καὶ ὁ Ἀσκαλωνίτης· οὕτως δὲ ἔχει καὶ τὰ τῆς ἀναγνώσεως. πρὸς γὰρ τὸ ῥῆμα ἡ σύνταξις ἐγένετο, πάλιν εἶμ' ἄγγελος.

657. συναπτέον τῷ ἐπάνω στίχῳ. ἴσως δ' ἂν τις ἀφ' ἑτέρας ἀρχῆς ἀναγινώσκοι, θαυμαστικὸν ποιῶν τὸν λόγον.

διασταλτέον ἤτοι ἐπὶ τὸ οἶδε ἢ ἐπὶ τὸ πένθεος· ἔχει γὰρ ἀμφότερα λόγον. εἰ μὲν οὖν συνάπτοιτο τοῖς ἄνω τὸ πένθεος, λείπει ἡ περί, ὡς "Ἕκτωρ χωόμενος Σαρπηδόνος" (Il. 16, 553). εἰ δὲ τοῖς ἑξῆς, σχῆμα ἔσται, ὅσσον πένθος· Ἀττικὴ δὲ ἡ χρῆσις καὶ ἀρχαία.

659. βεβλημένοι οὐτάμενοί τε] ὅτι συλληπτικῶς τὸ κατ' ἀμφοτέρων κεκοινοποίηκεν· οὐ γὰρ οἱ αὐτοὶ βέβληνται καὶ οὐτασμένοι εἰσίν. διαστέλλει μέντοι ἐν τοῖς ἑξῆς, λέγων "βέβληται μὲν ὁ Τυδείδης, οὔτασται δ' Ὀδυσεύς."

οὐτάμενοι] Ἀρίσταρχος ὡς ἱστάμενοι καὶ κιχράμενοι, Πάμφιλος δὲ ὡς δεδαρμένοι, ἐπεὶ καὶ τὸ βεβλημένοι συντελικόν. καὶ δοκεῖ τὸ τοιοῦτον ἀπὸ ἑνικοῦ ἀριθμοῦ πολὺ πρότερον τεθεωρῆσθαι παρ' αὐτῷ. φησὶ γὰρ "οὔτ' αὐτοσχεδίην οὐτασμένος ὀξέϊ χαλκῷ" (Od. 11, 536)· συντελικῇ γὰρ μετοχῇ συντελικὴν ἐπήνεγκεν. οὕτως οὖν καὶ ἐπὶ τῶν πληθυντικῶν ἀναγινώσκειν ἔδει, εἰ μὴ ἄρα ἐκεῖνό τις ὑπὲρ τοῦ Ἀριστάρχου λέγοι, ὅτι οὐκ ἐνεστῶτα ἐκδεχόμενος οὕτως ἀνεγίνωσκεν, ἀλλὰ παρακείμενον πεπονθότα. ἔχει δὲ οὕτως· παρὰ τὸ

8. κυκεῶνα Lehrsius] κυκειῶνα
10. ὅτι Cobetus] οὕτως
22. τὸ delet Friedl.
25. Ὀδυσεύς] ὀδυσσεύς hic et infra.
29. ὀξέϊ χαλκῷ praecedentibus quae omissa sunt verbis οὔτ' ἄρ βεβλημένος addendum.

οὐτῶ περισπώμενον ἐκπίπτει παραγωγὸν εἰς μι λῆγον τὸ οὔτημι, ἀφ' οὗ ἀπαρέμφατον τὸ οὐτάναι καὶ οὐτάμεναι. ἀπὸ δὴ τοῦ οὔτημι γίνεται παθητικὴ μετοχὴ οὐτάμενος καὶ οὐτάμενοι ὡς κιχράμενοι. ἀλλ' οὔ φαμεν ταύτην εἶναι ἐν τῇ συντάξει, ἀλλ' ἕτερόν τι αὐτῷ σύνηθες ῥῆμα εἶναι, τὸ οὐτάζω, ὅθεν καὶ οὔτασεν ὁ ἀόριστος· οὐ γὰρ δὴ συστολὴ τοῦ οὔτησεν, ὡς πρόδηλον κἀκ τοῦ ἀπαρεμφάτου "οὐτάσαι οὐδὲ βαλεῖν" (Il. 14, 424) καὶ ἐκ τοῦ "οὔτασται δ' Ὀδυσεύς" (661). τούτῳ δὴ τῷ οὔτασται παρέθηκε μετοχὴν τὴν οὐτασμένος "οὔτ' αὐτοσχεδίην οὐτασμένος" (Od. 11, 535), ἥτις κατ' ἔλλειψιν τοῦ σ ἐγίνετο οὐταμένος, προπαρωξύνθη δὲ ὑπὸ τοῦ Ἀριστάρχου διὰ τὸν χαρακτῆρα, ἐπεὶ αἱ τοιαῦται μετοχαὶ προπαρωξύνονται, ἱστάμενος κιχράμενος· ὁ γὰρ ἀνὴρ τῷ χαρακτῆρι μᾶλλον τοὺς τόνους προσνέμει. ἄλλως τε καὶ ἡ γινομένη τοῦ σ ὕφεσις καὶ ἀναδρομὴν ἐργάζεται τόνου.

660. *δουρικλυτός] τοῦ Ὀδυσσέως τὸ ἐπίθετον, καὶ διασταλτέον μετ' αὐτό. βραχὺ δὲ διασταλτέον μετὰ τὸ ἐών (665).

667. *πυρὸς δηΐοιο] ὅτι λείπει ἡ ὑπό, ὑπὸ πυρός.

668. ἐπισχερώ] ἐφεξῆς ἅπαντες. παρίστησι δὲ διὰ τῆς λέξεως ὅτι καὶ ἐπὶ Μυρμιδόνας ἥξει ὁ κίνδυνος.

672. βραχὺ διασταλτέον μετὰ τὸ βοηλασίῃ· δύναται δὲ καὶ τοῖς ἑξῆς συνάπτεσθαι. οὕτως δὲ ἐνικῶς Ἀρίσταρχος, βοηλασίῃ.

674. ῥύσι' ἐλαυνόμενος] ἀντενεχυραζόμενος· καὶ τὸ πλῆρες ῥύσια. Αὐγέας γὰρ πρότερος Νηλέως κατέσχεν τέσσαρας ἀθλοφόρους ἵππους αὐτοῖσιν ὄχεσφιν. τουτέστι θρέμματα ἐλαύνων. τὸ δὲ ἑξῆς ἐστὶν, ὅτ' ἐγὼ κτάνον Ἰτυμονῆα, ῥύσι' ἐλαυνόμενος· τὰ δὲ ἄλλα διὰ μέσου.

Νηλεὺς ὁ Ποσειδῶνος, ἱππικώτατος τῶν καθ' αὐτὸν γενόμενος, ἔπεμψεν εἰς Ἦλιν ἵππους εἰς τὸν ὑπ' Αὐγέου κεῖσε συντελούμενον ἀγῶνα. νικησάντων δὲ τούτων φθονήσας Αὐγέας ἀπέσπασε τούτους, καὶ τοὺς ἡνιόχους ἀφῆκεν ἀπράκτους. Νηλεὺς δὲ γνοὺς ἡσυχίαν ἦγε. Νέστωρ δὲ ὁ τῶν παίδων αὐτοῦ νεώτατος στρατιὰν ἀθροίσας ἐπῆλθεν Ἠλιδι, καὶ πολλοὺς ἀποκτείνας ἀπέλαβε τοὺς ἵππους, καὶ οὐκ ὀλίγην τῶν πολεμίων ἀπέσυρε λείαν. ἡ ἱστορία παρὰ Φερεκύδει.

677. λῃΐδα δ' ἐκ πεδίου] Ἀρίσταρχος ὡς Χαλκίδα, Μενεκράτης

4. τῇ] τῇ νῦν Lehrsius. ἐνικῶς βοηλασίῃ.
20. In marg. inter. Ἀρίσταρχος 31. στρατιὰν] στράτειαν

ὡς Ἤλιδα. ἔστι δὲ οὕτως ὁρίσασθαι περὶ τῆς προσῳδίας, ὡς πάντα τὰ εἰς ις λήγοντα καθαρὸν, μόνως θηλυκὰ, ὀξύνεσθαι θέλει, οἷον Κιρφηΐς Βρισηΐς Θαΐς Λαΐς. ὁ δὲ λόγος ἐπὶ Ἑλληνικῶν ὀνομάτων, μή τις τὸ Ξόϊς καὶ Σάϊς Αἰγύπτια ὄντα καὶ παρὰ Ἡροδότῳ λεχθέντα παράθηται. περὶ μέντοι τοῦ δαΐς ὀξυνομένου, τετολμημένου δὲ καὶ βαρύνεσθαι ἐπὶ ἑτέρου σημαινομένου, εἰρήσεται ἡμῖν ἀλλαχόθι. τὸ δὲ Κραταιις δοκεῖ ἐπὶ τοῦ κυρίου βεβαρυντονῆσθαι διὰ τὴν αἰτιατικὴν "βωστρεῖν δὲ Κράταιιν" (Od. 12, 124)· τάχα δὲ καὶ τοῦτο πρὸς ἀντιδιαστολήν.

ἤλιθα πολλήν] λίαν ἠθροισμένην· ἐξ οὗ καὶ ἠλίθιος ὁ παχὺς τὸν νοῦν καὶ μὴ ἀκριβής. ἢ παρὰ τὸ ἀλίσαι, ὅ ἐστιν ἀθροῖσαι.

αἰτήματι στίζομεν κατὰ τὸ τέλος τοῦ στίχου· πρεπωδέστερον γὰρ οὕτως κεχωρίσθαι τὰ ἑξῆς.

678. πώεα] παρὰ τὸ πόα χρῆσθαι, ἥτις ἐστὶν αὐτοποίητος.

683. ὅτι διαφωνοῦσιν οἱ νεώτεροι, τὸν Νηλέα λέγοντες ἀνῃρῆσθαι ὑφ' Ἡρακλέους, ὅτε τὴν Πύλον ἐπόρθησεν. φαίνεται γὰρ καθ' Ὅμηρον περιὼν καὶ μετὰ τὸ πορθηθῆναι. ὁ γὰρ πρὸς Ἠλείους πόλεμος τῶν Πυλίων μεταγενέστερος τοῦ πρὸς Ἡρακλέα.

684. *διασταλτέον ἐπὶ τὸ πολλά πρὸς τὸ σαφέστερον.

685. ἅμ' ἠοῖ φαινομένηφι] τοῦτο τὸ ἡμιστίχιον καὶ τοῖς ἐπάνω δύναται προσδίδοσθαι καὶ τοῖς ἑξῆς· ἤτοι γὰρ ἡμέρας γενομένης ἐκήρυσσον ὅπως ἐκεῖνοι συναχθῶσιν, ἢ ἄλλοτε ἐκήρυσσον ἵνα ἐκεῖνοι ὑπὸ τὸν ὄρθρον ἔλθωσι. καὶ ἀμφότερα λόγον ἔχει.

686. *οὕτως Ἀρίσταρχος, χρέως.

ὅτι τὰ περιελασθέντα ἐκ τῆς Πύλου ὑπὸ τῶν Ἐπειῶν θρέμματα χρέως καλεῖ. Ἀριστοφάνης δὲ χρεῖος καὶ ὠφείλετο.

δίῃ] θαυμαστῇ, ἱερᾷ· ἐν αὐτῇ γὰρ ἐτιμᾶτο Ὀλύμπιος Ζεὺς, οὗ καὶ πανήγυρις παρὰ τριετῆ χρόνον ἤγετο τὰ Ὀλύμπια, ἔνθα καὶ

3. Κιρφηΐς Lobeckius Paral. p. 197] κριφηΐς
4. Ἡροδότῳ ex scholio ad 14, 387] Ζηνοδότῳ
7. Κραταιις—Κράταιιν] κράτεϊς—κράτεῖν
10. *ἐξ οὗ καὶ] καὶ ὁ
11. ἀλίσαι] ἀλῆσαι
24. οὕτως χρέως (χρεῶς A)] In textu legitur χρέως ὀφείλετ', sed Aristarchus legerat χρεῖος ὀφείλετ', ut χρεῖος ὄφειλον 11, 688 legitur. V. La Roche *Textkr.* p. 424.
26. χρεῖος καὶ ὠφείλετο] Inepte. χρεῖος ὀφείλετ' (vel ὀφέλλετ') Cobetus. ὠφείλετο si scripsisset Aristophanes, χρέως scribere debuisset cum synizesi pronuntiandum.

ἠγωνίζοντο οἱ ἀπὸ τῆς Ἑλλάδος πάντες. ἔστι δὲ πόλις τῆς Πελοποννήσου.

688. Ἐπειοὶ οἱ Ἠλεῖοι ἀπὸ Ἐπειοῦ βασιλέως, οὕτως· Ποσειδῶνος καὶ Εὐρυπύλης τῆς Ἐνδυμίωνος παῖς Ἠλεῖος ὁ κτίσας Ἦλιδα, Ἠλείου δὲ Ἄλεξις καὶ Ἐπειός, ἀφ' οὗ Ἐπειοί, ὡς φησιν Ἀριστοτέλης ἐν τῷ πέπλῳ.

*ὅτι Ἐπειοὺς τοὺς Ἠλείους καλεῖ.

*ὄφειλον] οὕτως Ἀρίσταρχος· ἄλλοι δὲ ὄφελλον.

ἤτοι στικτέον κατὰ τὸ τέλος τοῦ στίχου, ἢ συναπτέον τῷ ἑξῆς. ὃ καὶ βέλτιον· τὸ γὰρ ὡς ἀντὶ τοῦ ὅτι ἐστὶ κείμενον. καὶ ἐὰν χωρίσωμεν δὲ, καὶ ἀκούωμεν οὕτως, ἔσται θαυμαστικὸς ὁ λόγος περὶ τῆς καταφρονήσεως ἣν ἐποιήσαντο οἱ Ἠλεῖοι περὶ τῶν Πυλίων.

689. *ὡς] ὅτι ἀντὶ τοῦ ὅτε ἢ ὅτι ἢ ἡνίκα.

*βραχὺ διαστολτέον ἐπὶ τὸ παῦροι πρὸς ἔμφασιν.

*ἐν Πύλῳ ἦμεν] οὐκ ἐν πόλει ἦμεν, ὡς ἔνιοι.

690. ἐκάκωσε βίη Ἡρακληείη] Ἡρακλῆς παρεγένετο εἰς Πύλον χρῄζων καθαρσίων, οἱ δὲ Πύλιοι ἀποκλείσαντες τὰς πύλας οὐκ εἰσεδέξαντο αὐτόν· ἐφ' ᾧ ὀργισθεὶς ὁ ἥρως ἐπόρθησε Πύλον. συνεμάχουν δὲ τῷ μὲν Νηλεῖ τρεῖς θεοὶ, Ποσειδῶν Ἥρα Ἀΐδωνεὺς, ὡς καὶ ἐν τῇ Ε φησί (395), τῷ δὲ Ἡρακλεῖ δύο, Ἀθηνᾶ καὶ Ζεύς.

692. δώδεκα γὰρ Νηλῆος] πρὸς τοὺς χωρίζοντας, ὅτι ἐν μὲν Ἰλιάδι δώδεκα Νηλῆος παῖδας λέγει, ἐν δὲ τῇ Ὀδυσσείᾳ (11, 295) τρεῖς γεγονέναι, ὡς γενεαλογεῖ· "καὶ Χλῶριν εἶδον περικαλλέα" καὶ ἐν τοῖς ἑξῆς "Νέστορά τε Χρομίον τε Περικλύμενόν τ' ἀγέρωχον." ἐνδέχεται δὲ προγεγονότων αὐτῷ ἐξ ἑτέρας γυναικὸς παίδων ὕστερον ἐκ Χλώριδος τοὺς τρεῖς γεγονέναι· καὶ γὰρ ὁ Πρίαμός φησι (Il. 24, 495) "πεντήκοντά μοι ἦσαν, ὅτ' ἤλυθον υἷες Ἀχαιῶν· ἐννεακαίδεκα μέν μοι ἰῆς ἐκ νηδύος ἦσαν· τοὺς δ' ἄλλους μοι ἔτικτον ἐνὶ μεγάροισι γυναῖκες."

693. τὸν Νεστορά φησι μόνον περισωθῆναι τῶν λοιπῶν τοῦ Νηλέως παίδων, ἤτοι ὅτι νέος ὑπάρχων ἔξω ἐτρέφετο παρὰ τοῖς Γερήνοις, ἢ ἐπεὶ συνεβούλευσεν εἰσαχθῆναι τὸν Ἡρακλέα, ὡς τινές φασιν.

7. Ἐπειοὺς τοὺς Friedlaenderus] σπανιως
11. οὕτως Friedl.] καὶ οὕτως
14. Legitur inter glossemata interlinearia
23. ὡς delet Friedl.
28. ἐκ νηδύος ἦσαν] ἐν κνι

694. Ἐπειοὶ] ὅτι ἔν τισι γράφεται Ἀχαιοί· τοὺς δὲ Ἠλείους Ἐπειοὺς καλεῖ Ὅμηρος.

697. *ὅτι θρέμματα δηλονότι τριακόσια.

699. τέσσαρες ἀθλοφόροι] ὅτι φαντασίαν ὁ τόπος ἔχει ὡς τετρώρῳ ἅρματι χρωμένων τῶν ἡρώων· καὶ γὰρ λέγει (701) "τὸν δ' ἐλατῆρ' ἀφίει ἀκαχήμενον ἵππων." ἐνδέχεται δὲ δύω συνωρίδας ἐπὶ τὸν ἀγῶνα πεπορεῦσθαι, μή τι περὶ τὴν ἑτέραν γένηται· εἰρῆσθαι δὲ τὸν ἐλατῆρ' ἀφίει συλληπτικῶς, τὸν ἑκατέρας ἐλατῆρα, ὡς "ἀμφίπολος δ' ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέστη" (Od. 1, 335)· οὐ μία ἐπὶ ἀμφοτέρων τῶν μερῶν, ἀλλ' ἑκατέρωθεν μία. οἱ δὲ ὡς Ποσειδῶνος υἱὸν τετρώρῳ φασὶ χρῆσθαι· ἵππιος γὰρ ὁ θεός.

*ὅτι ἑκατέροις δύναται προσδίδοσθαι.

700. Ἡρακλῆς προστάξαντος Εὐρυσθέως ἀνεκάθηρε τὴν Αὐγέου κόπρον· ἀπαιτοῦντι δὲ αὐτῷ τὸν μισθὸν οὐκ ἀπεδίδου, λέγων ἐξ ἐπιταγῆς αὐτὸν πεποιηκέναι. Φυλεὺς δὲ ὁ τούτου παῖς κριτὴς γενόμενος κατέκρινε τὸν πατέρα· ὁ δὲ ἀγανακτήσας ἐξέβαλεν αὐτὸν τῆς χώρας· Ἡρακλῆς δὲ ἐπιστρατευσάμενος Ἦλιν ἐπόρθησε, καὶ μεταπεμψάμενος τὸν Φυλέα ἐκ Δουλιχίου παραδίδωσιν αὐτῷ τὴν βασιλείαν. ὀλιγανδρίας δὲ οὔσης διὰ τὸ πολλοὺς ἐν τῷ πολέμῳ συνεφθάρθαι, Ἡρακλῆς συγκατέκλινε τὰς τῶν τετελευτηκότων γυναῖκας τῷ στρατῷ, οὕτως τε πολλῶν γεννηθέντων ἔθηκε τῷ Διὶ τὸν Ὀλυμπιακὸν ἀγῶνα, καὶ αὐτὸς πρῶτος τῶν ἀγώνων ἥψατο. ἡ ἱστορία παρὰ Καλλιμάχῳ.

702. *ἤτοι ἐλατῆρα ἵππων ἢ ἀκαχήμενον περὶ ἵππων.

705. ἐκ τῶν περὶ τῆς Κικονίας λεγομένων ἐν Ὀδυσσείᾳ (9, 42) μετάκειται ὁ στίχος· ἔνθα καὶ εὔλογον αὐτοὺς τὰ λάφυρα ἐξ ἴσου μερίζεσθαι. ἐνταῦθα δὲ οὐκ ἐπέβαλεν ἐξ ἴσου μερίζεσθαι, ἀλλ' ἀνάλογον ἑκάστῳ τοῖς ὀφειλομένοις· οὐ γὰρ ἐκ πολέμου λαφυραγωγίας. Ζηνόδοτος οὐδὲ ἔγραφεν.

μή τίς οἱ] ὅπως μηδεὶς ἀπέλθῃ στερηθεὶς τῆς ὁμοίας καὶ ἴσης τιμῆς· ἴσης γὰρ τῆς τὸ δίκαιον καὶ ἴσον ἐχούσης.

706. *γράφεται ἀμφί τε ἄστυ.

708. *βραχὺ διασταλτέον ἐπὶ τὸ ἦλθον πρὸς τὸ σαφέστερον.

15. Φυλεὺς] φυλλεὺς
18. Δουλιχίου] δουλιχείου
19. ὀλιγανδρίας] ὀλιγανδρείας
25. Κικονίας Cobetus] κοινωνίας
29. Ζηνόδοτος οὐδὲ ἔγραφεν] Haec verba etiam in marg. inter.

709. Μολίονε] Ἄκτορος καὶ Μολιόνης παῖδες Κτέατος καὶ Εὐρυτος, κατά τινας δὲ Μολιόνης καὶ Ποσειδῶνος. ἴσως δὲ μᾶλλον Μολίονας αὐτοὺς εἶπεν πολεμικοὺς, ἀπὸ τῆς κατὰ τὴν μάχην μολύνσεως, οὐχ ὡς οἱ νεώτεροι, ὅτι ἡ μήτηρ αὐτῶν ἐκαλεῖτο Μολιόνη· ἀπὸ μητρὸς γὰρ Ὅμηρος οὐδένα σημαίνει. οὗτοι παρηλλαγμένην φύσιν τῶν λοιπῶν ἔσχον ἀνθρώπων· διφυεῖς γὰρ ἦσαν, ἔχοντες ἑκάτερος δύο κεφαλὰς, τέσσαρας δὲ χεῖρας καὶ πόδας τοὺς ἴσους, ἓν δὲ σῶμα. διὰ τοῦτο τοὺς πολεμικοὺς καὶ γυμνικοὺς ἐνίκων ἀγῶνας. Ἡρακλῆς δὲ πολεμῶν καὶ μὴ δυνάμενος κατὰ τοὐμφανὲς αὐτῶν περιγενέσθαι συμμαχούντων Αὐγέᾳ, λοχήσας αὐτοὺς ἀνεῖλε, καὶ οὕτως ἐπόρθησε τὴν Ἦλιν. ἡ ἱστορία παρὰ Φερεκύδει.

ὅτι ἀπὸ μητρὸς Ὅμηρος οὐ σχηματίζει· μήποτ' οὖν ἀπὸ τοῦ ταύτης πατρὸς Μόλου οὕτως αὐτοὺς εἶπεν.

711. ὅτι ἦν ἐν τῷ καταλόγῳ (Il. 2, 592) εἴρηκε Θρύον "καὶ Θρύον, Ἀλφειοῖο πόρον," νῦν Θρυόεσσαν λέγει.

714. μετεκίαθον] ὑποστικτέον. περιττεύει δὲ ἐν τῷ ἄμμι δ' Ἀθήνη ὁ δέ σύνδεσμος. δύναται δὲ καὶ ἐπὶ τὸ ἔννυχος ὑποστίζεσθαι, ἵνα ἐν τῷ οὐδ' ἀέκοντα ὁ δέ περιττεύῃ. καὶ ἔστιν ὁ λόγος τοῦ μὲν προτέρου οὗτος· ἐπεὶ δὲ πᾶν ἐπῆλθον τὸ πεδίον, ἄγγελος ἡμῖν ἦλθεν ἡ Ἀθηνᾶ ὑπ' ὄρθρον, οὐδ' ἄκοντας ἀνήγαγε τοὺς Πυλίους.

717. προτρέπει τὸν Πάτροκλον δι' ὧν αὐτὸς καὶ νέος καὶ ὑπὸ πατρὸς κωλυόμενος ὅμως πεζὸς ἐξῆλθεν.

719. οὐ γάρ πω τί μ' ἔφη] ὀφείλει τὸ τί ὀξύνεσθαι διὰ τὴν με ἀντωνυμίαν νῦν ἐγκλιτικὴν οὖσαν.

720, 721. τὸ μὲν πρότερον ὡς περισπωμένως, τὸ δὲ ἕτερον κατ' ἔγκλισιν, ἐπειδήπερ τὸ μεταφραστικὸν αὐτοῦ ἐστὶν, ἐπεὶ οὕτως ἦγε τὸ νεῖκος ἡ Ἀθηνᾶ· ἢ οὕτως ἔφερε τὸν πόλεμον ἡ Ἀθηνᾶ, ὅπως ἐπιφανὴς γενήσομαι.

723. ἐγγύθεν Ἀρήνης] ἤτοι τοῖς ἑξῆς ἢ τοῖς ἐπάνω προσδοτέον τὸ ἡμιστίχιον.

725. βραχὺ διασταλτέον κατὰ τὸ τέλος τοῦ στίχου· ὑπ' ὄρθρον γὰρ ὁπλισθέντες πρὸς τὴν Ἀρήνην ὥδευσαν, καὶ κατὰ μέσον ἡμέρας ἐπὶ τὸν Ἀλφειὸν παρεγένοντο.

1, 2. *Μολιόνης] μολίνης—μολίονος
12. τοῦ addidit Bekkerus.
20. οὐδ' Bekkerus] οὐκ
29. γενήσομαι Vill.] γενήσωμαι

728. ταῦρον] οἰκεῖα τὰ θύματα. τοῖς ποταμοῖς καὶ τῷ Ποσειδῶνι θύεσθαι λέγει ταύρους διὰ τὰς βίας τῶν ὑδάτων.

730. δόρπον ἔπειθ' ἑλόμεσθα] ὅτι Ζηνόδοτος γράφει δεῖπνον. δόρπον δὲ λέγει τὴν ἑσπερινὴν τροφήν· εὐθέως γὰρ κατακοιμῶνται.

733. *διαρραῖσαι] γράφεται διαπραθέειν.

734. ἀλλά σφιν προπάροιθεν] ὅτι τὸ προπάροιθε οὐ τοπικῶς ἀλλὰ χρονικῶς· πρὶν ἢ πορθῆσαι τὸ ἄστυ, ἐφάνη αὐτοῖς μέγας ὁ ἐσόμενος πόλεμος.

735. φαέθων ὑπερέσχεθε γαίης] ὅτι ἐξ ἡρωϊκοῦ προσώπου ὑπὲρ γῆς τὴν ἀνατολὴν λέγει, αὐτὸς δὲ ἐκ τοῦ ἰδίου προσώπου ἐξ Ὠκεανοῦ.

737. ὅτι τινὲς καὶ Ἀχαιῶν γράφουσιν· Ὅμηρος δὲ Ἐπειοὺς τοὺς Ἠλείους λέγει. καὶ ὅτι νεῖκος οὐ μόνον ἡ διὰ λόγων ἐπίπληξις, ἀλλὰ καὶ ἡ διὰ χειρῶν μάχη, ὡς νῦν.

741. Μήδεια ἐγένετο Αἰήτου μὲν θυγάτηρ, Ἰάσονος δὲ γυνή. αὕτη μετὰ τὴν ἀπεργασθεῖσαν ἐν Κορίνθῳ τεκνοκτονίαν φυγὰς εἰς Ἀθήνας ἀφίκετο, καὶ ἐγαμήθη ἐκεῖ Αἰγεῖ τῷ Πανδίονος. κἀκεῖ Θησέα τὸν ἐξ Αἴθρας γενόμενον τῷ Αἰγεῖ, ἐπὶ τὸν τοῦ πατρὸς ἀναγνωρισμὸν ἐκ Τροιζῆνος ἀφικόμενον, πείθει τὸν Αἰγέα φάρμακον αὐτῷ δοῦναι θανάσιμον, ἐπίβουλον αὐτοῦ τῆς βασιλείας εἰποῦσα παραγίνεσθαι. πεισθεὶς δὲ Αἰγεὺς παραγενομένῳ τῷ παιδὶ φάρμακον ἔδωκεν. μέλλοντος δὲ καταπίνειν ἐπιγνοὺς τό τε ξίφος καὶ τὰ ὑποδήματα (ταῦτα γὰρ ἐν Τροιζῆνι γνωρίσματα κατέλιπεν) τὸ μὲν φάρμακον ἀφείλετο, τὴν δὲ Μήδειαν ἐξέβαλε τῆς Ἀττικῆς. οἰκήσασα δὲ αὕτη τὴν πλησίον Ἠλίδος Ἔφυραν πολυφάρμακον ἐποίησεν αὐτὴν ἐπονομασθῆναι. ἡ ἱστορία παρὰ Κράτητι.

746. τὸ ἱππήων ἑκατέροις δύναται προσδίδοσθαι· βέλτιον δὲ τοῖς ἐπάνω.

747. αὐτὰρ ἐγὼν ἐπόρουσα] ὅτι ἐκπέπτωκεν εἰς ποιητικὴν κατασκευὴν τὸ παρηγμένον ἡρωϊκὸν πρόσωπον κατὰ τὴν ποίησιν.

750. ὅτι ἐντεῦθεν Ἡσίοδος Ἄκτορος κατ' ἐπίκλησιν καὶ Μολιόνης αὐτοὺς γεγενεαλόγηκεν, γόνῳ δὲ Ποσειδῶνος. οὐδέποτε δὲ Ὅμηρος ἀπὸ μητρὸς σχηματίζει.

7. Post ἄστυ nonnulla excidisse coniecit Friedl. p. 202, collato scholio 12, 416.

15. Αἰήτου] ἀήτου

19. *ἀναγνωρισμὸν] γνωρισμὸν

29. αὐτὰρ —] διπλῆ praefixa.

751. πρὸς τὰ περὶ τῆς φύσεως τῶν Ἄκτορος παίδων, πότερον μία ἀμφοτέρων συμφυΐα ἢ ἑκάτερος αὐτῶν διφυὴς ἦν.

754. δι' ἀσπιδέος πεδίοιο] ὁ Ἀσκαλωνίτης δι' ἀσπιδέος, ἐπεὶ ἐπιφέρει "ἀνά τ' ἔντεα καλὰ λέγοντες," τοιοῦτό τι λέγων τοῦ πολλὰς ἔχοντος ἀσπίδας. ὁ δὲ Ἀλεξίων καὶ ἀμφότερα κρίνει, καὶ ἀσπιδέος καὶ σπιδέος· ὅ τε Ἀρίσταρχος ἐκεῖνο ἀποφαίνεται ὡς ὅτι τινὲς μὲν ἀπὸ τοῦ ᾱ ποιοῦνται τὴν διαστολήν, ἵν' ᾖ ἀσπιδέος, ὡς εἰκαστικώτερον τοῦ ποιητοῦ ἀσπιδὲς τὸ πεδίον εἰρηκότος τῷ τὰ μακρὰ τῶν πεδίων καὶ εὐρέα περιφερῆ φαίνεσθαι, μηδενὸς ἄλλου ὁρωμένου τέρματος, ἀλλὰ τοῦ ὁρίζοντος ἀέρος. ἄλλοι δὲ ἐκδέχονται ἀσπιδέος τοῦ ἔχοντος πολλὰς ἀσπίδας, καθότι ἐπιφέρει "ἀνά τ' ἔντεα καλὰ λέγοντες." οἱ δέ φασιν ἐκ πλήρους σπιδέος καὶ ἀποδιδόασι πολλοῦ καὶ μακροῦ· καὶ γὰρ Αἰσχύλος πολλάκις τὴν λέξιν οὕτως ἔχουσαν τίθησιν, ὅταν λέγῃ "σπίδιον μῆκος ὁδοῦ," καὶ ὁ Ἀντίμαχος "οὐδὲ σπιδόθεν προνοῆσαι," τουτέστι μακρόθεν. καὶ ταῦτα μὲν ὁ Ἀρίσταρχος. Κράτης δὲ προκρίνει τὴν διὰ τοῦ ᾱ γραφήν. καὶ Ζηνόδοτος δὲ συναινεῖ τῇ δίχα τοῦ ᾱ γραφῇ, καί φησι σπιδέος τοῦ ἀπόρου καὶ τραχέος καὶ μεγάλου. καὶ Ἀμερίας δὲ λέγει, σπιδέος τοῦ πολλοῦ καὶ εὐρέος καὶ μεγάλου. κἀγὼ δὲ συγκατατίθεμαι τοῖς ἀνδράσιν· ὁρῶ γὰρ πολλὴν τὴν τοιαύτην χρῆσιν παρὰ τοῖς ἀρχαίοις. ἡ διπλῆ πρὸς τὸ σημαινόμενον τὸ ἀπὸ τῆς λέξεως.

*Ἡρωδιανὸς διὰ σπιδέος.

755. *ἐνἄλλῳ λέγοντες.

757. ἤτοι διασταλτέον ἐπὶ τὸ Ἀλισίου, ἢ συναπτέον τοῖς ἑξῆς, ὡς Δημήτριος ὁ Σκήψιος τάφον τὸν τοῦ Ἀλισίου· οὕτω γὰρ Ἀρίσταρχος γράφει, προστιθεὶς ὅτι τῶν Ἱπποδαμείας μνηστήρων εἷς ἦν ὁ Ἀλίσιος. ἡ Ἀλίσιος μὲν πόλις, Κολώνη δὲ οὕτω καλούμενος τόπος.

759. ὅτι τὸ ἔνθα ἐν ἐκείνῳ τῷ τόπῳ. καὶ ὅτι τοὺς Πυλίους Ἀχαιοὺς λέγει νῦν, τοὺς δὲ Ἠλείους Ἐπειούς.

763. οἷος τῆς ἀρετῆς ἀπονήσεται] μόνος τῆς ἀρετῆς ὄνησιν ἕξει, οὐχὶ δὲ καὶ οἱ φίλοι.

767. νῶϊ] ἡ μὲν διπλῆ, ὅτι χωρὶς τοῦ ν Ὁμηρικῶς, ἡμεῖς ἢ ἡμᾶς.

13. Αἰσχύλος (fr. 334)] Conf. Eustath. p. 882.
16. καὶ delet Lehrsius.
18. καὶ μεγάλου delet Lehrsius.
23. ϗ] χ, i.e. χω, quod alibi χωρὶς significat, non aptum huic loco.

ἀθετοῦνται δὲ ἀπὸ τούτου στίχοι ιθ', ἕως τοῦ (785) "σοὶ δ' αὖθ' ἐπέτελλεν," ὅτι ἡ σύνθεσις αὐτῶν πεζή, καὶ διαφωνεῖ τοῖς ἐν ταῖς Λιταῖς ταῦτα "Πηλεὺς μὲν ᾧ παιδὶ γέρων ἐπέτελλ' Ἀχιλῆϊ" (Il. 9, 254)· ἐκεῖ γὰρ ὁ Πηλεύς φησι "τέκνον ἐμόν, κάρτος μὲν Ἀθηναίη τε καὶ Ἥρη δώσουσ', αἴ κ' ἐθέλωσι, σὺ δὲ μεγαλήτορα θυμόν." καὶ ὅτι ἃ Πηλεῖ ἐπέβαλλε ποιεῖν, ὁ Ἀχιλλεὺς πράσσει, αὐτὸς δὲ ὡς εἴδωλον σπένδει· "ἐς δ' ἄγε χειρὸς ἑλὼν, κατὰ δ' ἑδριάασθαι ἄνωγεν, ξείνιά τ' εὖ παρέθηκεν" ὁ δὲ Πηλεὺς οὐδ' εἰ πάρεισι προσποιεῖται. εὐτελὴς δὲ ἡ σύνθεσις καὶ τοῦ "ἦρχον ἐγὼ μύθοιο κελεύων ὔμμ' ἄμ' ἕπεσθαι." ἠθετοῦντο καὶ παρὰ Ἀριστοφάνει οἱ ιθ'.

770. *πουλυβότειραν] ἐν ἄλλῳ καλλιγύναικα.

773. *μηρί' ἔκηε] Ἀρίσταρχος μηρία καῖε.

774. αὐλῆς ἐν χόρτῳ] ἐν τῷ περιφράγματι τῆς αὐλῆς· χόρτοι δὲ οἱ τριγχοὶ, ὡς καὶ Εὐριπίδης ἐν Ἀντιόπῃ (fr. 179.) "σύγχορτα ναίω πεδία ταῖς Ἐλευθεραῖς" καὶ ἐν Ἀνδρομάχῃ (17) ὁμοίως.

782. *ἠθέλετον] Ζηνόδοτος ἠθελέτην.

786. ὅτι Ἀρχίλοχος ὑπερτέραν τὴν νεωτέραν ἐδέξατο· "οἴην Λυκάμβεω παῖδα τὴν ὑπερτέρην" ἀντὶ τοῦ τὴν νεωτέραν. καὶ τὸ ἔτυμον δὲ ἀντιπίπτει· ὁ γὰρ ὑπερέχων κατά τί ἐστιν ὑπέρτερος. καὶ νῦν λέγει, τῷ γένει, τῇ εὐγενείᾳ ὑπερέχει, διὰ τὸ εἶναι θεᾶς μητρός· σὺ δὲ πρεσβύτερος εἶ.

794. ὅτι Ζηνόδοτος καὶ τοῦτον καὶ τὸν ἑξῆς περιέγραψεν, ἀναγκαίους ὄντας εἰς ἐρεθισμὸν Ἀχιλλέως.

799. ἴσκοντες] Ἀρίσταρχος ἀξιοῖ διὰ τῆς ει διφθόγγου γράφειν, ἐπεὶ ἐν ἑτέροις, φησὶ, τὸ κατὰ διαίρεσιν αὐτοῦ ὁρᾶται, εἴσκω λεγόμενον· "εἴσκω πηγεσιμάλλῳ" (Il. 3, 197). οἱ δὲ περὶ τὸν Ἀλεξίωνα διὰ τοῦ ι μόνου συνεσταλμένου. κἀγὼ δὲ τούτοις συγκατατίθεμαι τὸ μὴ δύνασθαι τὰ τοιαῦτα τῶν ῥημάτων, λέγω δὲ τὰ διὰ τοῦ σκω, ἔχειν πρὸ τέλους δίφθογγον ἐκφωνουμένην, ὅτι μὴ τὴν διὰ τοῦ υ, πιφαύσκω. ὁ δὲ λόγος παραιτεῖται τὴν Αἰολίδα διάλεκτον διὰ τὸ μιμναίσκω καὶ θναίσκω. ὥστε ὅτε λέγει εἴσκω κατὰ διαίρεσιν,

3. Λιταῖς Vill.] ᾗ ταῖς
γέρων] om.
4. ἐμὸν] ἡμῶν
18. Λυκάμβεω Elmsleius] λυκάμβεος
ὑπερτέρην] ὑπερτερ
19. ἔτυμον Vill.] ἔτοιμον
22. καὶ τοῦτον Cobetus] ἐκ τούτου. οὐκ εὖ τοῦτον καὶ τὸν ἑξῆς Lehrsius.
31. μιμναίσκω καὶ θναίσκω] μιμνέσκω καὶ θνέσκω

ὑγιῶς πάνυ ἀποφαίνεται, εἴγε παρὰ τὸ εἴδω ἐξέπιπτε μέλλων ὁ εἴσω, ὃς ὤφειλεν ἐπενθέσει τοῦ κ ποιῆσαι τὸ εἴσκω, ὡς μεθύσω μεθύσκω, δράσω δράσκω. ἀλλ' ἐπεὶ ἀνέφικτον ἦν χωρῆσαι τὴν τοιαύτην δίφθογγον πρὸ τῆς σκω παραγωγῆς, διαιρέσει ἐχρήσατο· ὅπου δὲ οὐ παραδέχεται αὐτὸ ἡ διαίρεσις, ἐκεῖ ἐκβάλλει τὸ ε.

801. ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο] μικρὰ ἡ περιλειπομένη ἀναπνοὴ ἐκ τοῦ πολέμου, ὥστε ἐὰν βραχὺ ἀνεπικούρητοι γένωνται, ἀπόλλυνται.

802, 803. ἀθετοῦνται ἀμφότεροι, καὶ ἀστερίσκοι παράκεινται, ὅτι οἰκειότερον κεῖνται πρὸ τῆς Πατρόκλου ἐξόδου (Il. 16, 44), ὅτε καὶ τῷ ὄντι κεκμήκασι τῆς ἐπὶ ναυσὶ μάχης συνεστώσης· οὐδὲ γὰρ νῦν συμβέβηκεν ἤδη τοὺς Τρῶας ἐπὶ ταῖς ναυσὶν αὐταῖς καὶ ταῖς κλισίαις εἶναι ἐντὸς τοῦ τείχους γεγονότας. διασταλτέον δὲ κατὰ τὸ τέλος τοῦ στίχου τοῦ ῥεῖα δέ κ'. οἱ δὲ τοῖς ἑξῆς συνάπτοντες τὴν ἐσχάτην λέξιν μάτην ἐπιτηδεύουσιν· μᾶλλον γὰρ τὸ κεκμηῶτας ἀϋτῇ λόγον ἔχει.

807. ἶξε θέων Πάτροκλος] πρὸς τὸ τοῦ στρατοπέδου διάγραμμα, ὅτι ὑποτίθεται κατὰ μέσον τοῦ ναυστάθμου θεατροειδῆ τόπον εἰς ὄχλου συναγωγήν.

ἵνα σφ' ἀγορή τε θέμις τε] ὅπου αὐτοῖς τά τε ὤνια ἐπιπράσκετο καὶ τὰ δικαστήρια ἐγίνετο· ἡ γὰρ Θέμις ἐπόπτης τῶν ἐκκλησιῶν· "Ζεὺς δὲ Θέμιστι κέλευσε θεοὺς ἀγορήνδε καλέσσαι" (Il. 20, 4).

808. τῇ δὴ καί] ὅπου καὶ τῶν πλευσάντων ἐπὶ τὴν Ἴλιον ἑκάστῳ πατρῴων θεῶν βωμοὶ κατεσκευασμένοι ἦσαν.

809. *ὅτι τετόξευται.

811. νότιος] ὑγρὸς, ἢ πολὺς, ἢ ἐκ τοῦ νοσεῖν τὸ σῶμα γινόμενος.

817. ἐμέλλετε] ὅτι ἀντὶ τοῦ ὡς εἰκὸς ἦν, ὡς ὑποκείμενον ἦν ὑμῖν τὸ παθεῖν.

818. *ἀργέτι δημῷ] γράφεται ἠδ' οἰωνούς.

822. *βεβλημένος] ἐν ἄλλῳ πεπνυμένος.

824. ὅτι τοῦτο ἐπὶ τῶν Τρώων λέγει· ἐμπεσοῦνται ταῖς ναυσὶν, οἷον ἐνσείσουσιν, [ἐμπρήσουσιν].

3. χωρῆσαι Lehrsius] χωρίσαι
5. αὐτὸ ἡ διαίρεσις] αὖ τὸ τῆς διαιρέσεως Lehrsius.
12. νῦν Lehrsius] ἂν
20. ὅπου—] Haec recte cum praecedentibus coniungit Cobetus, συναγωγὴν, ὅπου—.
21. ἐπόπτης] ἐπόπτις
22. Θέμιστι—καλέσσαι] θέμις κελεύθους ἀγορὴν δὲ κέλευσε θεούς
32. ἐμπρήσουσιν seclusit Friedl.

831. *δεδιδάχθαι] Ζηνόδοτος δεδαάσθαι.

832. ὃν Χείρων ἐδίδαξε] ὅτι Ὅμηρος δεδιδάχθαι μέν φησιν ἐνταῦθα τὴν ἰατρικὴν ὑπὸ Χείρωνος τὸν Ἀχιλλέα, περὶ μέντοι τῆς παρ' αὐτῷ τροφῆς οὐδὲν συνέστακεν, ἀλλὰ καὶ τοὐναντίον διὰ τῶν πραγμάτων ἐπιμαρτυρεῖ, τροφέα τὸν Φοίνικα συνεστακὼς τούτου.

842. δικαιότατος Κενταύρων] τὸ ὑπερθετικὸν κεῖται ἀντὶ τοῦ ἀπολύτου· ἔστι δὲ ὁ μόνος ἐν Κενταύροις δίκαιος. ὅμοιον δὲ τούτῳ τὸ "μελάντερον ἠΰτε πίσσα" (Il. 4, 277).

834. ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντησεν· ὁ γὰρ Μαχάων ἐστὶν ὁ τετρωμένος.

838. *ἔοι] Ζηνόδοτος διὰ τοῦ η̄ ἔην.

841. *σεῖο μεθήσω] Ζηνόδοτος σεῖ' ἀμελήσω. ποιητικώτερον δὲ τὸ ἕτερον.

844. μαχαίρῃ] ὅτι μάχαιραν καλεῖ τὸ παραξιφίδιον, εἰς τὰς τοιαύτας χρείας εὐθετοῦν. βραχὺ δὲ διασταλτέον ἐπὶ τὴν μετοχὴν πρὸς τὸ σαφές.

846. τινὲς Ἀχίλλειαν τὴν βοτάνην καλοῦσιν. καὶ πόθεν αὐτῷ τὸ φάρμακον; ἴσως μὲν συμπεριέφερε τὴν ῥίζαν ὡς χρήσιμον, εἰ ἐντύχοι τραυματίᾳ φίλῳ· καὶ μάλιστα εἰκὸς αὐτὸν νῦν εἰληφέναι, εἰδότα ὅτι ἐπὶ τραυματίαν πέμπεται. τάχα δὲ ἐκ τοῦ παρακειμένου λειμῶνος τὴν ῥίζαν ἀνέσπασεν, ἔχων τὴν περὶ τὰς βοτάνας ἐμπειρίαν. ἴσως δὲ καὶ θεράπων πεμφθεὶς κατὰ τὸ σιωπώμενον ἐκόμισεν. χερσὶ δὲ καὶ οὐ λεαντικοῖς ὀργάνοις ταύτην τρίβει, ὅτι οὐκ ἔδει πολλῆς λεπτότητος τῷ φαρμάκῳ, τοῦ αἵματος, ὥς φησι, κελαρύζοντος καὶ ἀποπτύοντος τὸ λεπτὸν καὶ χνοῶδες τοῦ φαρμάκου εἰς τὸ ἐμφράξαι τὸ τραῦμα. τῷ δὲ Μενελάῳ ἐπιπάσσει τὸ φάρμακον βραχείας οὔσης τῆς τοῦ αἵματος φορᾶς. ἄλλοι δὲ αὐτὴν ἀριστολόχειαν φασὶν, ἣν καὶ ἴσχαιμον προσαγορεύουσιν.

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀρισταρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ ἐκ τῶν Νικάνορος περὶ στιγμῆς.

4. τοὐναντίον Lehrsius] τῶν
11. ἔην] ἔῃ Duentzer. Zenod. p. 80.
12. Idem scholion in marg. inter. ubi ζηνδ δὲ ἀμελήσω
18. ὡς Vill.] οὐ
23. οὐ λεαντικοῖς (λειαντικοῖς Vill.)] ἀλεντικοῖς
27. *αἵματος] τραύματος

ΕΙΣ ΤΗΝ Μ.

Πάλιν μεταβέβηκεν ἐπὶ τὰς μάχας ὁ ποιητής· ἔδει γὰρ τὰ τῆς μάχης εἰπεῖν, ὅπως θεασάμενος Πάτροκλος κινηθείη μᾶλλον εἰς ἔλεον. εἰ δὲ ἐπιμηκεστέρα γέγονεν ἡ ἐπιμέλεια, μὴ θαυμάσῃς· διαφόρους γὰρ πράξεις ἐν ἑνὶ καιρῷ θεῖναι ἀδύνατον.

1. Μενοιτίου ἄλκιμος υἱός] Πάτροκλος ὁ Μενοιτίου τρεφόμενος ἐν Ὀποῦντι τῆς Λοκρίδος περιέπεσεν ἀκουσίῳ πταίσματι· παῖδα γὰρ ἡλικιώτην Ἀμφιδάμαντος οὐκ ἀσήμου Κλεισώνυμον, ἢ ὥς τινες Αἰάνην, περὶ ἀστραγάλων ὀργισθεὶς ἀπέκτεινεν. ἐπὶ τούτῳ δὲ φυγὼν εἰς Φθίαν ἀφίκετο, κἀκεῖ κατὰ συγγένειαν Πηλέως Ἀχιλλεῖ συνῆν. φιλίαν δ' ὑπερβάλλουσαν πρὸς ἀλλήλους διαφυλάξαντες ὁμοῦ ἐπὶ Ἰλιον ἐστράτευσαν. ἡ ἱστορία παρὰ Ἑλλανίκῳ.

2. ὅτι τὰ ἅμα γινόμενα οὐ δύναται ἅμα ἐξαγγέλλειν· ἐν ὅσῳ δὲ οὗτος ἴατο, ἐκεῖνοι ἐμάχοντο.

4. πλάσας τεῖχος ὁ ποιητὴς εἰς τιμὴν τοῦ Ἀχιλλέως, μετὰ τοῦτο ἀπολλύμενον αὐτὸ εἰσάγει, ἵνα μὴ ἐλέγχηται αὐτοῦ τὸ ψεῦδος ὡς μὴ γενομένου ὑπὸ τῶν μεταγενεστέρων. καὶ τὴν ἀπώλειαν αὐτοῦ εἶπεν.

5. βέλτιον τὸ εὐρύ τοῖς ἐπάνω συνάπτειν· ἀμφίβολον δὲ πότερον ὕπερθεν εὐρύ· ἀρετὴ γὰρ τείχους ἕως ἄνω πεπλατύνθαι· ἢ, ὃ καὶ βέλτιον, ὕπερθε τῆς τάφρου· ταύτης γὰρ ὑπέρκειται.

6, 7. τὸ ἑξῆς ἀμφίβολον· ἤτοι γὰρ οὕτως ἔχει, τὸ ποιήσαντο νεῶν ὕπερ, ὄφρα σφιν νῆάς τε· ἢ οὐδὲ θεοῖσι δόσαν κλειτὰς ἑκατόμβας, ὄφρα σφιν νῆάς τε θοάς· ὃ καὶ βέλτιον. εἰ δὲ διὰ μέσου εἴη, οὐδὲ θεοῖς δόσαν, οὕτω καὶ διορθωθήσεται.

10, 11. ὑποστικτέον ἐπὶ τὸ ἔην καὶ Ἀχιλλεύς καὶ ἔπλε· ἡ γὰρ ἀνταπόδοσις "τόφρα δὲ καὶ μέγα τεῖχος," τοῦ δέ περισσεύοντος κατὰ τὸ σύνηθες.

10. ὄφρα μὲν Ἕκτωρ ζωός] ἀπορίαν εἰκότως παρέχει τὰ ἔπη

8. Κλεισώνυμον] *κλισώνυμον.* Conf. schol. ad 16, 4. 23, 86.

9. Αἰάνην (cum Strabone 9 p. 425)] *αἶαν*

* *περὶ ἀστραγάλων*] om.

27. *ἀνταπόδοσις* Friedl.] *ἀντίδοσις*

29. Scholion hoc Porphyrii non inter scholia ipsa scriptum est, sed in margine scholiorum exteriore ab alia manu litteris minoribus.

ταῦτα, ἃ περὶ τοῦ τείχους τῶν Ἀχαιῶν ὁ Ὅμηρος ἀναπεφώνηκεν "ὄφρα μὲν Ἕκτωρ ζωὸς ἔην καὶ μήνι' Ἀχιλλεὺς καὶ Πριάμοιο ἄνακτος ἀπόρθητος πόλις ἔπλε, τόφρα δὲ καὶ μέγα τεῖχος Ἀχαιῶν ἔμπεδον ἦεν." τὸ γὰρ τεῖχος τῶν Ἀχαιῶν οὐκ ἔμενεν ἔμπεδον ἐφ' ὅσον ὁ μὲν Ἕκτωρ ἔζη, Ἀχιλλεὺς δὲ ἐμήνιεν, ἡ δὲ τοῦ Πριάμου πόλις ἀνάλωτος ἔμενεν, μετὰ δὲ τὴν ἅλωσιν Ἰλίου καὶ τὸν ἀπόπλουν τῶν Ἀχαιῶν τότε κατερίφθη· ἔτι γὰρ τοῦ πολέμου συνεστῶτος καὶ Ἀχιλλέως μὲν μηνίοντος, Ἕκτορος δὲ περιόντος καὶ ἀριστεύοντος ὑπὸ τῶν Τρώων τὸ τεῖχος τῶν Ἀχαιῶν κατερίφθη καὶ διοδεύσιμον γέγονε τοῖς πολεμίοις· ὁ μὲν γὰρ Σαρπηδὼν τὰς ἐπάλξεις αὐτοῦ καὶ μέρος τι καταβέβληκεν, ὁ δὲ Ἕκτωρ τοὺς ὀχῆας αὐτοῦ καὶ τὰς πύλας διέρρηξεν, ὁ δὲ Ἀπόλλων σχεδὸν ὅλον αὐτὸ διέλυσε. τὸ καταριφὲν οὖν τεῖχος οὐχ ὑπ' ἀνθρώπων μόνον, ἀλλὰ καὶ θεῶν ἐν τῷ τῆς μήνιδος χρόνῳ, τοῦτο λέγειν ἀσφαλὲς καὶ ἀρηρὸς ἐν τῷ τοῦ πολέμου καιρῷ διαμεμενηκέναι μέχρι πορθήσεως Ἰλίου ἄπορον εἰς λύσιν. οἱ μὲν οὖν γραμματικοὶ ἀπὸ τοῦ πλείστου μέρους ἀξιοῦσι λέγειν ἔμπεδον· ὀλίγον γὰρ εἶναι τὸ σαλευθὲν ὑπὸ τῶν Τρώων. ἀγνοοῦσι δὲ οὗτοι ὅτι τινὰ, κἂν ἐκ μέρους πάθῃ, οὔτε ἐστὶν ἔμπεδα οὔτε ἀρηρότα. καὶ ἀμφορεὺς διατρηθεὶς, κἂν σχεδὸν ὅλον τὸ κύτος ἄθραυστον ᾖ, οὐκέτ' ἐστὶν ἔμπεδος ἀμφορεὺς ἀλλ' ὄστρακον· καὶ τεῖχος οὐκέθ' οἷόν τε κρύπτειν καὶ φυλάττειν τοὺς τειχίσαντας οὐκέτ' ἂν εἴη ἔμπεδον τεῖχος, ἀλλὰ σωρὸς λίθων. μήποτ' οὖν ἡ ἔμπεδον λέξις οὐκ εἴληπται νῦν μεταφορικῶς ἐν ἴσῳ τῷ ἀσφαλὲς καὶ ἀραρὸς, οὐδέ ἐστιν ὅμοιον τῷ "οὐδέ μοι ἦτορ ἔμπεδον, ἀλλ' ἀλαλύκτημαι" (Il. 10, 93) οὐδὲ τῷ "ὁ μὲν ἔμπεδον ἡνιόχευεν" (Il. 23, 641), ἀλλὰ κυρίως νῦν ἐξενήνεκται, τὸ πέδον ἐχούσης ἐντεταγμένον τῆς λέξεως, ὥστε σημαίνοι ἂν ὅτι ἐν τῷ πεδίῳ κείμενον καὶ μὴ ἀλίπλοον· ἀντέθηκε γὰρ τὸ ἔμπεδον τῷ ἁλιπλόῳ, τὸ ἐν τῷ πεδίῳ πρὸς τὸ αὖθις ἁλίπλουν γιγνόμενον· οὐ γὰρ ἔφη τόφρα δὲ καὶ μέγα τεῖχος ἀπόρθητον ἦν καὶ ἄθραυστον, ἀλλ' ἔμπεδον, καὶ πάλιν "οὔτι πολὺν χρόνον ἔμπεδον ἦεν." τί οὖν πάσχει ὕστερον; τῶν ποταμῶν πάντων, φησὶν, "ὁμόσε στόματ' ἔτραπε Φοῖβος Ἀπόλλων—λεῖα δ' ἐποίησεν παρ'

4. *ἦεν." τὸ γὰρ—ἔμενεν ἔμπεδον] om.
7. *ἔτι] ὅτι
11. *τοὺς ὀχῆας αὐτοῦ] om.
21. *καὶ φυλάττειν] om.
24. *οὐδὲ τῷ] om.
30. *ἀλλ'] καὶ

ἀγάρροον Ἑλλήσποντον" (24–31). ὥστε εἰ καὶ πεπτωκὸς ἦν τὸ τεῖχος, ἀλλ' ἐπὶ τῷ πέδῳ ἦν τὰ πτώματα καὶ τὰ θεμέλια· ὕστερον δὲ πάντα δι' ὕδατος εἰς θάλασσάν φησιν ἐξενεχθῆναι. συνεστώσης δὲ τῆς πόλεως οὐδὲν τοῦ τείχους ἀλίπλουν γέγονεν, οὐδ' ὅτε Ξάνθος ἐπλήμμυρε κατ' Ἀχιλλέως· καὶ τὸ κατὰ μεταφορὰν δ' ἔμπεδον, τὸ σημαῖνον τὸ ἀκίνητον, ἀπὸ τῶν ἐν τῷ πεδίῳ μενόντων ἀκινήτων λέγεται. τὸ δὲ τεῖχος κατ' αὐτὸ μὲν ἐκινήθη, ἐκ μέντοι τοῦ πεδίου οὐ κατηνέχθη ἐπὶ θάλασσαν, ὅπερ φησὶν αὐτὸ ὕστερον παθεῖν.

11. *οὕτως Ἀρίσταρχος ἔπλε.

13. αὐτὰρ ἐπεί] καὶ ἐνταῦθα ἡ ἀνταπόδοσίς ἐστι "δὴ τότε μητιόωντο·" τὸ γὰρ χρονικὸν ἐπίρρημα ἀνταποδέδοται τῷ ἐπεί.

17. σημειοῦνταί τινες πρὸς τὰ ἐν τῇ Η (443) ἀθετούμενα, ὅτι καὶ ἐκ τούτων διαβάλλεται πρὸς τὸ πρόσωπον γινόμενα.

20. Κάρησος] Τυραννίων ὀξύνει τὸ Κάρησος ὡς Παρνασσός· οὕτως γὰρ ὑπὸ Κυζικηνῶν ὀνομάζεσθαι τὸν ποταμόν. ὁ δὲ Ἀρίσταρχος βαρύνει ὡς Κάνωβος. εἴπομεν δὲ ἐν ἑτέροις ὅτι οὐ πάντως ἐπικρατεῖ ἡ ἀπὸ τῶν ἐθνῶν χρῆσις καὶ ἐπὶ τὴν Ὁμηρικὴν ἀνάγνωσιν, ὁπότε περὶ τοῦ Γλισᾶντα (Il. 2, 504) διελάβομεν, εἴγε Διονύσιος ἱστορεῖ τοὺς ἐγχωρίους συστέλλειν τὸ ῑ καὶ μὴ περισπᾶν. τό τε Λύκαστος ὁ αὐτὸς ἱστορεῖ ὀξύνεσθαι, ἡμῶν ἀναγινωσκόντων βαρυτόνως (Il. 2, 647). οὕτως οὖν εἰκὸς καὶ ἐπὶ τοῦ Κάρησος μὴ πεισθῆναι τὸν Ἀρίσταρχον ὁμοίως τοῖς ἐγχωρίοις προενέγκασθαι τὴν λέξιν. τάχα δὲ, ἐπεὶ ἑώρα τὰ εἰς ος λήγοντα ὑπὲρ δύο συλλαβὰς ὀξυνόμενα, τῷ ῆ παραληγόμενα, ἕτερον ἔχοντα σ, τοῦτο δὲ ἓν ἀναδεξάμενον, διὰ τοῦτο καὶ ἐξήλλαξεν αὐτὸ τῆς ἐκείνων τάσεως, εἴγε τὸ Ἁλικαρνησσός δισσὸν ἔχει τὸ σ, Λυκαβησσός Ταρτησσός, τὸ μέντοι Κάρησος ἓν ἔχει τὸ σ. ἴσως οὖν διὰ τοῦτο ἐξηλλάγη.

Ῥοδίος] παροξυτονητέον ὡς κύριον· εἰκὸς μέντοι τὸ ὄνομα τοῦ ποταμοῦ ἔχειν πλεονασμὸν τοῦ δ· εἰκὸς γὰρ τῷ ποταμῷ παρὰ τὸν ῥοῦν ὠνομάσθαι, ὥστε αὐτὸν εἶναι ῥόϊον καὶ ῥόδιον.

22. ὅτι ἀμφίβολον μὲν ἐπὶ ποτέρου τῶν ποταμῶν λέγει, τοῦ

8. *οὐ] om.
*αὐτὸ] αὐτὸς

14. Scholion mutilum sic explet Friedlaenderus ἀθετούμενα, πρὸς τὸ πρόσωπον γινόμενα, ὅτι καὶ ἐκ τούτων διαβάλλεται. ἐνταῦθα γὰρ εἰσάγεται ὁ Ποσειδῶν ὡς ἀφ' ἑαυτοῦ καταβάλλων τὸ τεῖχος.

14, 21. Κάρησος] Κάρησσος contra Aristarchi praeceptum.

28. ὡς addit Bekkerus.

Σκαμάνδρου ἢ τοῦ Σιμοῦντος, δεκτέον δὲ ἐπὶ τοῦ Σιμοῦντος· διὰ μέσου γὰρ τοῦ πεδίου φέρεται. καὶ ὅτι ἀνέγνω Ἡσίοδος τὰ Ὁμήρου ὡς ἂν νεώτερος τούτου· οὐ γὰρ ἐξενήνοχε τοὺς ποταμούς, μὴ ὄντας ἀξιολόγους, εἰ μὴ δι' Ὅμηρον· καὶ τῷ Σιμοῦντι προσέθηκεν ἐπίθετον τὸ "θεῖόν τε Σιμοῦντα" (Th. 342).

Βοάγρια] τὰ εἰς τὴν βοὴν ἀγειρόμενα. ἢ βόεια γέρρα, ὅ ἐστι δέρρα. ἢ τὰ ἐξ ἀγρίων βοῶν γενόμενα.

Βοάγρια] αἱ ἀπὸ βοείων βυρσῶν κατασκευασθεῖσαι ἀσπίδες.

25. *ἐννῆμαρ*] ἐπὶ ἐννέα ἡμέρας. ἔνιοι δὲ δασέως καὶ διὰ τοῦ ἑνὸς ν̄ ἀναγινώσκουσιν ἓν ἦμαρ, ἵν' ᾖ μιᾷ ἡμέρᾳ, ὥστε μὴ μειοῦσθαι τὴν τῶν θεῶν δύναμιν μὴ δυνηθέντων στρέψαι λόγῳ· θᾶττον δὲ ὑπὸ τῶν Ἑλλήνων ἐν μιᾷ ἡμέρᾳ γεγονός. οἱ δέ φασι, διὰ τοῦτο τέσσαρας ποταμοὺς εἰσάγει καὶ θεοὺς παρίστησιν, οὐχ ἵνα μόνον ἀφανίσῃ τὸ τεῖχος, ἀλλὰ καὶ τὸν τόπον διὰ τὸ μηδὲ ἴχνος φανῆναι.

26. *συννεχὲς*] Ἀρίσταρχος καὶ Ἀριστοφάνης διὰ τοῦ ἑτέρου ν̄.

ἁλίπλοα] τὴν λῑ, φασί, συλλαβὴν ὀξυτονητέον· κατὰ γὰρ αὐτῶν τῶν ἐρειπίων ἡ λέξις κεῖται, οὐχὶ τὰ ἐν τῇ ἁλὶ πλέοντα σημαίνεται. οὕτως Ἀλεξίων καὶ οἱ ἄλλοι. κἀγὼ δὲ συγκατατίθεμαι τῇ προσῳδίᾳ· ἐκεῖνο γὰρ ἔχω ἀποφήνασθαι, ὡς ὅτι ὁπότερον ἐὰν σημαίνῃ προπαροξυτονηθήσεται· οὕτως γὰρ ἐμελέτησε τὰ παρὰ τὸ πλέω, εἴγε καὶ τὸ πρωτόπλοος προπαροξύνομεν. καὶ δῆλον ὅτι εἰς ἀποφυγὴν τῶν οὕτως παραγομένων, διπλόος τριπλόος.

29. *φιτρῶν*] καὶ τοῖς ἄνω προσδίδοσθαι λέγεται τοῦτο, ἵνα ᾖ θεμείλια φιτρῶν, καὶ τοῖς ἑξῆς, ἵνα ᾖ θέσαν φιτρῶν καὶ λάων· καὶ τὸ σχῆμα ἀρχαϊκὸν, τὸ τῆς ἐλλείψεως.

30. *ἐποίησεν*] οὕτως Ἀρίσταρχος, ἐποίησεν.

33. *ἴῃ*] γράφεται καὶ ἴεν.

οὕτως φέρουσι τὴν γραφὴν, ἰεν̄ ὡς τίθεν. καὶ γίνεται ἀμφίβολον πότερον αὐτοὶ οἱ ποταμοὶ ἴεν, ἵνα τοῦ ἴεσαν συγκοπὴ ὑπάρχῃ, ὡς ἀπὸ τοῦ ἐτίθεσαν τὸ ἔτιθεν· καὶ δέον δασύνειν. εἰ δὲ ἐνικὸν εἴη τὸ ἰεν̄ ἀντὶ τοῦ ἐπορεύετο, ψιλωτέον ὁμοίως τῷ "ἆσσον ἴεν πολυκάρπου ἀλωῆς" (Od. 24, 221)· ὅπερ οὐ πιθανόν· ἡ μέντοι κοινὴ ἴει ἐστὶν ὁμοίως τῷ "ἐννῆμαρ δ' ἐς τεῖχος ἴει ῥόον" (25). καὶ μήποτε εἴη

10. μὴ μειοῦσθαι] μηνιοῦσθαι (*μειοῦσθαι)
23. λέγεται] δύναται Friedl.
26. Aristarchus haud dubie δὲ ποίησεν
31. ἰεν̄] εἶεν

πιθανώτερον· πάντα γὰρ ὁρᾶται τὰ παρακείμενα ἐνικῶς τεθειμένα "τεῖχος ἀμαλδύνας, ποταμοὺς δ' ἔστρεψε νέεσθαι."

34. ὅτι Ζηνόδοτος γράφει ὡς ἤμελλον ὄπισθε. ἔστι δὲ βάρβαρον· τὰ γὰρ ἀπὸ συμφώνου ἀρχόμενα ἐπὶ τοῦ παρεληλυθότος χρόνου ἀπὸ τοῦ ε̄ ἄρχεται. καὶ ὅτι τὸ ἔμελλον ἀντὶ τοῦ ἐώκεσαν.

36. *κανάχιζε δὲ δούρατα πύργων] τὰ δόρατα ἤχει τὰ ἐπὶ τοὺς πύργους ἀκοντιζόμενα. ἢ τὰ ἐνῳκοδομημένα τοῖς πύργοις ξύλα ἤχει τοῖς δόρασι βαλλόμενα.

ὅτι πύργων ἀντὶ τοῦ πύργους· καὶ ἐλλείπει ἡ ἐπί, ἵν' ᾖ κανάχιζε δὲ δούρατα ὡς ἐπὶ πύργους βαλλόμενα, οὐ τὰ ἐπῳκοδομημένα τῷ τείχει ἐκανάχιζε ξύλα. Διονύσιος δὲ ὁ Σιδώνιος τὴν μὲν πτῶσιν οὐκ ἐνήλλαξε, τὴν δὲ πρόθεσιν προσλαβὼν εἴρηκεν ἐπὶ πύργους βαλλόμενα.

37. Διὸς μάστιγι δαμέντες] τῇ Διὸς γνώμῃ τὰς ψυχὰς κεκακωμένοι. Διὸς δὲ μάστιξ ὁ κεραυνός.

40. αὐτὰρ ὅγ' ὡς τὸ πρόσθεν] εἴτε ὑποστίζοιμεν ἐπὶ τὸ πρόσθεν εἴτε διαστέλλοιμεν ἐπὶ τὸ ἐμάρνατο, τὸ ῥῆμα κοινὸν γίνεται ἀμφοτέρων τῶν μερῶν, ἐμάχετο ὡς πρόσθεν ἐμάχετο.

*Ἀριστοφάνης ἐμαίνετο.

41. ἔν τισι θηρητῆρσι. Gl. interl.

42. ὅτι ἀντὶ τοῦ στρέφηται. Gl. interl.

44. *ἀντίοι] γράφεται ἀντίον· οὕτως γὰρ Ἀρίσταρχος.

46. ταρβεῖ οὐδὲ φοβεῖται] ὅτι οὐ τὸ αὐτὸ σημαίνει δι' ἀμφοτέρων, ἀλλὰ διὰ μὲν τοῦ ταρβεῖ δέδιεν, ὃ ἡμεῖς φοβεῖται, διὰ δὲ τοῦ φοβεῖται φεύγει. λέγει οὖν, οὔτε δέδιεν οὔτε φεύγει.

*ἀγηνορίη] οὕτως χωρὶς τοῦ ῑ Ἀρίσταρχος· ἔστι γὰρ ἡ ἀγηνορία.

49. ἐλίσσεθ' ἑταίρους] τὸ ἐλίσσετο ἑκατέροις δύναται προσδίδοσθαι, καὶ σημαίνει ἢ τὸ παρεκάλει παρὰ τὸ λίσσεσθαι, ἢ ἐστρέφετο παρὰ τὸ ἑλίσσω ῥῆμα, ἐπεὶ καὶ λέοντι αὐτὸν εἰκάζει. πιθανώτερον δὲ τοῖς ἑξῆς αὐτὸ συντάττειν· οὔτε γὰρ εὔκαιρος ἡ διαστολὴ ἐπὶ τοῦ ἐννεακαιδεκάτου χρόνου, οὔτε τὸ πλῆθος εἰκὸς αὐτὸν παρακαλεῖν, ἀλλὰ τοὺς ἑταίρους μόνους.

54. *περὶ] Ἀριστοφάνης διὰ πᾶσαν.

12. ἐπὶ πύργους] ἐπὶ πύργων Friedl. ἀπὸ πύργων Lehrs. de scholiis Pindar. p. 193.

16. De hoc scholio v. Friedl. Nic. p. 218.

24. διὰ μὲν] μὲν διὰ

55, 56. τὸ μὲν πρότερον ἔστασαν δασύνει ὁ Ἀρίσταρχος, ἐπειδήπερ τὸ αὐτό ἐστι τῷ ἑστήκεισαν. ἔφαμεν δὲ καὶ ἡμεῖς δασύνεσθαι τὸ ε̄ τοῦ παρακειμένου καὶ ὑπερσυντελίκου ἐπὶ τούτου τοῦ ῥήματος. τὸ μέντοι δεύτερον ψιλοῖ· ἰσοδυναμεῖ γὰρ τῷ ἔστησαν· οὗς ἔστησαν γὰρ οἱ Ἀχαιοί. τὸ δὲ ε̄ τοῦ ἀορίστου ἐπὶ τούτου τοῦ ῥήματος ἐψιλοῦτο. συγκατατίθεται δὲ καὶ ὁ Ἀσκαλωνίτης τῇ τοιαύτῃ ἀναγνώσει· καὶ ἡμεῖς.

56. ἔστασαν] ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ ἔστησαν· διὸ καὶ ψιλῶς ἀναγνωστέον· μετείληπται γὰρ τὸ στοιχεῖον. ἐν δὲ τοῖς ἐπάνω "ἔστασαν ἀμφοτέρωθεν" δασύνεται.

59. ἐσβαίη] ἡ Ζηνοδότειος καὶ Ἀριστοφάνειος καββαίη· καὶ γὰρ ἐπιφέρει "ἔνθ' οὔπως ἔστιν καταβήμεναι οὐδὲ μάχεσθαι" (65).

60. Ἕκτορα εἶπε παραστάς] ὅτι ἐλλείπει ἡ πρός, πρὸς Ἕκτορα, ὡς καὶ "τότ' ἄρ' Αἴας εἶπε βοὴν ἀγαθὸν Μενέλαον" (Il. 17, 237.) δύναται δὲ τὸ ἑξῆς εἶναι παρ' Ἕκτορα στάς, ὡς μὴ λείπειν τὴν πρόθεσιν.

62. *γρ. περί.

66. ἱππεῦσι· στεῖνος γάρ] ὅτι τὸ στένωμα τὸ κατὰ τὴν γέφυραν τῆς τάφρου λέγει. Ζηνόδοτος δὲ καὶ Ἀριστοφάνης ἱππῆας. προπερισπαστέον δὲ τὸ στεῖνος· οὐδετέρως γὰρ ἐξενήνεκται, πᾶν δὲ οὐδέτερον εἰς ος̄ λῆγον ἐν ὀνόμασι βαρύνεσθαι θέλει. οὕτως οὖν καὶ μακρός ὀξύνομεν ἀρσενικὸν ὑπάρχον· εἰ δὲ οὐδέτερον γένοιτο, βαρύνεται. οὕτως καὶ τὸ κλειτός· οὐδέτερον γὰρ γενόμενον βαρύνεται παρ' Ἀλκμᾶνι "τῷ ἐν Θεσσαλίῳ κλείτει."

67. *εἰ μὲν γὰρ δὴ] Ἀριστοφάνης εἰ μὲν γὰρ τοὺς πάγχυ.

68. *βούλετ' ἀρήγειν] ἴετ' ἀρήγειν. οὕτως πᾶσαι.

71. πρὸς τὴν παλίωξιν, ὅτι ἐστὶ πάλιν δίωξις, ὅταν μεταβαλλόμενοι διώκωσιν οἱ διωκόμενοι. ἡ δὲ ἀναφορὰ πρὸς τὸ "ἐκ τοῦ δ' ἄν τοι ἔπειτα παλίωξιν παρὰ νηῶν αἰὲν ἐγὼ τεύχοιμι" (Il. 15, 69). κακῶς· διὸ ἀθετεῖται.

75. *Ζηνόδοτος διὰ τοῦ τ̄, τὼς ἂν ἐγὼ εἴπω.

77. ἔχει μέν τινα διλογίαν ὁ στίχος, ἐπεὶ καὶ σὺν τεύχεσι καὶ θωρηχθέντες· ὅμως γοῦν τὸ σὺν τεύχεσιν ἢ τοῖς ἄνω προσδοτέον, ἵν' ἐλάττων ἡ διλογία γένηται, ἢ τοῖς ἑξῆς, ἵν' ἡ σύν πρόθεσις

23. βαρύνεται] Sic τοῦ μάκρους Arist. Av. 1131.

24. τῷ ἐν Θεσσαλίῳ] ἐν τῷ Θεσσαλικῷ Lobeck. Technol. p. 293.

κέηται ἀντὶ τῆς ἓν, ὡς ἐκεῖ "τὴν μὲν ἐγὼ σὺν νηΐ τ' ἐμῇ καὶ ἐμοῖς ἑτάροισιν" (Il. 1, 183). βέλτιον δὲ τὸ πρότερον.

*ὅτι σαφῶς τοὺς πεζοὺς ὁπλίτας πρυλέας.

79. *πείρατ'] Ζηνόδοτος καὶ Ἀριστοφάνης πεῖραρ ἐνικῶς.

85. *τὸ ὅλον αὖτε ἐπὶ τάφρῳ.

86, 87. βραχὺ διασταλτέον κατὰ τὴν μετοχὴν, καὶ στικτέον κατὰ τὸ ἔποντο. οἱ δὲ γράφοντες τὸ ἕκαστοι, ὥς τινες, πάντως συναπτέον τοῖς ἑξῆς "οἱ μὲν ἅμ' Ἕκτορι ἴσαν."

87. *γρ. ἕκαστος.

90. *ἐν ἄλλῳ τεῖχος ῥηξάμενοι κοίλῃς ἐπὶ νηυσὶ μάχεσθαι.

93. ὅτι ὡς ἐπὶ τοῦ δευτέρου τάγματος ἑτέρων εἴρηκεν· ἢ ὅτι τηρεῖ τὴν ἐν τούτοις διαφοράν.

Πάριν κατὰ γαστρὸς ἔχουσα ἡ Ἑκάβη ὄναρ ἐθεάσατο ὅτι ἔτεκε δαλὸν ὑφ' οὗ πᾶσα κατεφλέχθη ἡ πόλις. τὸ οὖν τεχθὲν οὐ γνώμῃ τῶν μάντεων ἐξετέθη, ἀλλὰ γνώμῃ θεῶν ὑπὸ τοῦ εὑρόντος ἐτράφη βουκόλου, ὃς ἄρκτον αὐτῷ γάλα ἐπισχοῦσαν θεασάμενος ἀνέθρεψεν. ἐκλήθη οὖν Πάρις, οὐχ ὥς τινές φασιν, ὅτι ἐν πήρᾳ ἐτράφη, ἀλλ' ὅτι τὸν μόρον παρῆλθεν· ὕστερον δὲ Ἀλέξανδρος, ὅτι τῇ πατρίδι ἠλέξησεν, ὅ ἐστιν ἐβοήθησε, πολεμίων ἐπελθόντων.

96. ὅτι πλεονάζει ἐν Ἰλιάδι τὰς ἐπαναλήψεις, ἐν Ὀδυσσείᾳ δὲ ἄπαξ. πρὸς τοὺς χωρίζοντας.

97. ὅτι Σελλήεις ποταμὸς ἐπ' Ἀσίας οὗτος, ἕτερος δὲ ἐπὶ Θεσπρωτίας.

105. τυκτῇσι βόεσσι] ταῖς εἰργασμέναις βύρσαις. λέγει δὲ ταῖς ἀσπίσιν. οὐδέποτε δὲ βοῦν ἁπλῶς λέγει τὴν ἀσπίδα, ἀλλὰ μετά τινος ἐξ οὗ γνωρίζεται, οἷον βῶν ἀζαλέην (Il. 7, 238).

σημειοῦνταί τινες ὅτι τυκτὰς βόας τὰς ἀσπίδας εἴρηκεν.

106. λελιημένοι] λιλῶ ἐστὶ ῥῆμα τὸ σημαντικὸν τοῦ προθυμουμένου, ἐκ τοῦ λῶ διπλασιασθὲν, οὗ παραγωγὸν τὸ λιλαίω· "λιλαιόμενα χρὸς ἆσαι" (Il. 11, 574). τοῦ λιλῶ ἀκόλουθος παρακείμενος λελίληκα, παθητικὸς λελίλημαι, μετοχὴ λελιλημένος, πληθυντικὴ λελιλημένοι, ἐλλείψει τοῦ λ λελιημένοι. Ἡρωδιανὸς ἐν ἐπιμερισμοῖς.

5. αὖτε] Immo αὖθι

6. κατὰ τὴν μετοχὴν] καθ' ἑκάστην Friedl.

7. οἱ δὲ γράφοντες] εἰ δὲ γράφοιμεν Friedl.

11. ἢ] καὶ Friedl.

19. *ἠλέξησεν] ἐξηλέησεν

27. τυκτὰς addidit Lehrsius.

28. προθυμουμένου Vill. προθυμοῦμαι

107. ὅτι ἐπὶ τῶν Τρώων ἀκουστέον, ἐμπεσεῖν ταῖς ναυσίν.

114. ἐπὶ τὸ ἀγαλλόμενος βραχὺ διασταλτέον διὰ τὸ σαφές.

115. ὅτι θηλυκῶς τὴν Ἴλιον. ἡ δὲ ἀναφορὰ πρὸς τὸ "Ἴλιον αἰπὺ ἔλοιεν" (Il. 15, 71), ὅτι οὐδετέρως· διὸ ἀθετεῖται.

118. ὅτι πολλὰ σημαίνει τὸ εἵσατο, νῦν μὲν τὸ ὥρμησε καὶ ἐπορεύθη ἀπὸ τοῦ εἶμι, ἐν ἑτέροις δὲ ἐφάνη "εἵσατο δ' ὡς ὅτε ῥινόν" (Od. 5, 281) καὶ τὸ γνῶναι "εἴσομαι αἴ κέ μ' ὁ Τυδεΐδης" (Il. 8, 532). καὶ ὅτι κατὰ ἀριστερὰ τοῦ ναυστάθμου ἡ πύλη. καὶ ὅτι μία. καὶ ὅτι εἵσατο νηῶν ἀντὶ τοῦ ἐπὶ τὰς ναῦς. ψιλοῦται δὲ ἐνταῦθα τὸ εἵσατο, ὅτι σημαντικόν ἐστι τοῦ ἐπορεύθη· καὶ τὸ "νῦν δ' εἶμι" (Il. 1, 169) ψιλοῦται.

120. *πύλῃσιν] ὅτι πληθυντικῶς τὴν πύλην.

121. ὅτι ἑνικῶς εἴρηκεν ὀχῆα, δύο δέ εἰσιν· "δοιοὶ δ' ἔντοσθεν ὀχῆες εἶχον ἐπημοιβοί" (456).

124. τὸ ἰθὺς φρονέων πρὸς τὴν δόκησιν τοῦ Ἀσίου φησίν. δύναται δὲ τὸ φρονέων καὶ καθ' ἑαυτὸ παραλαμβάνεσθαι, ἀντὶ τοῦ βουλευόμενος.

125. κεκλήγοντες] ὡς ἀρήγοντες. οὐ γὰρ τὸ κεκληγότες ἐπλεόνασε τῷ ν̄, οὐδὲ παρὰ τὸ "ὀξέα κεκληγώς" (Il. 2, 222) ἐκλίθη, ἀλλὰ παρὰ τὸ κέκληγα γέγονεν ὁ ἐνεστὼς κεκλήγω, ὡς παρὰ τὸ ἄνωγα ἀνώγω, πέπληγα πεπλήγω, ἔνθεν τὸ "ἐπέπληγον πόδες ἵπποι" (Il. 5, 504). ἀκόλουθος δὲ τῷ κεκλήγω μετοχὴ ἡ κεκλήγων βαρυνομένη, ἔνθεν τὸ κεκλήγοντες.

126. *ὅτι ἐπὶ τῶν Τρώων λέγει ἀντὶ τοῦ ἐμπεσεῖν, ἐνσεῖσαι.

127. Ζηνόδοτος καὶ Ἀριστοφάνης δυϊκῶς ἅπαντα, ἀνέρε, ἀρίστω, υἷε ὑπερθύμω, κιέτην.

128. Λαπιθάων] Λαπίθαι ἥρωες ἀρχαῖοι, οἱ ἀπὸ Λαπίθου τοῦ Ἀπόλλωνος καὶ Στίλβης νύμφης τὸ γένος ἔχοντες.

131. θυράων] γράφεται καὶ πυλάων.

137. αὔας] βαρυτονοῦσιν οἱ πλείους. Νικίας δὲ ὀξύνει διὰ τὸ μεταφραζόμενον, ἐπεὶ καὶ τὸ ξηράς ὀξύνεται. εἴρηται δὲ περὶ τῶν τοιούτων, ὅτι οὐ δεῖ πρὸς μεταφραζόμενα τὰς λέξεις τονοῦν. ὁ δὲ Ἀσκαλωνίτης βαρύνει. χρὴ μέντοι γινώσκειν ὅτι μονήρης ἐστὶν ἡ λέξις· οὐδὲν γὰρ εἰς ος λῆγον καθαρὸν δισύλλαβον, τῇ αυ διφθόγγῳ

19. τῷ̃ Bekk.] τὸ
20. ὁ] *ὁ Συρακούσιος
24. ἐμπεσεῖν, ἐνσεῖσαι] Conf. schol. ad 17, 639.

κατὰ τὴν ἡμετέραν διάλεκτον παραληγόμενον, τριγενές ἐστιν· διὸ οὐδὲ ἀντιπαράθεσιν ἔσχεν. ἴσως δὲ βεβαρυτόνηται, ἐπεὶ καὶ τὸ ναῦος ἐβαρύνετο καὶ τὸ Τραῦος κύριον καὶ τὸ ψαῦος παρ' Ἀλκμᾶνι.

βόας αὔας] ὅτι οὕτως τὰς ἀσπίδας βόας αὔας. ἰθὺς δὲ τὸ κατ' εὐθεῖαν· εἶθαρ δὲ τὸ εὐθέως.

139. Ὀρέστην] ὅτι τῷ Ἀγαμέμνονος υἱῷ ὁμώνυμος εἷς τῶν βαρβάρων.

140. *πρὸς τὴν ὁμωνυμίαν τοῦ Οἰνομάου.

141. εἶως] ἀντὶ τοῦ τέως νῦν κεῖται, οἷον μέχρι τινός· διόπερ οὐχ ὑποστικτέον, ἐπεὶ μὴ κυρίως κεῖται.

142. *οὕτως Ἀρίσταρχος, ἐόντες, κατὰ τὴν εὐθεῖαν.

144. ὑποστικτέον Τρῶας καὶ φόβος τε, περισσεύοντος τοῦ συνδέσμου τοῦ ἑξῆς, ἐκ δὲ τὼ αἴξαντε. ἡ διπλῆ δὲ, ὅτι τὸ φόβος ἀντὶ τοῦ φυγή.

145. βέλτιον τὸ σύνηθες ἐπὶ τὸ αἴξαντε διαστέλλειν.

147. *οὕτως ἐν ἁπάσαις δέχαται.

κολοσυρτόν παρὰ τὸ τὰ κῶλα ἐπισύρειν, ἢ τὸν κολωὸν καὶ συριγμόν.

148. δοχμώ] ὀξυτονητέον· ἔστι γὰρ δυϊκόν. τὸ δὲ δοχμός ὀξύνεται, ἐπεὶ τὰ εἰς μος μετ' ἐπιπλοκῆς τοῦ χ ὀξύνεσθαι θέλει, αὐχμός ἰωχμός. ταύτῃ καὶ πλοχμός, εἴτε συγκέκοπται εἴτε καὶ ἐντελές ἐστιν, ὀξυτονηθήσεται. οὕτως οὖν καὶ τὸ δοχμός.

περὶ σφίσιν ὀρθοτονητέον· εἰς γὰρ σύνθετον μεταλαμβάνεται.

149. *πρυμνήν ὡς πυκνήν. εἴπομεν δὲ περὶ τούτου.

153. *λαοῖσιν] τοῖς ἀπὸ τοῦ τείχους ὄχλοις θαρροῦντες.

οἱ περὶ Ζηνόδοτον λάεσσι, τοῖς λίθοις. προπερισπαστέον δέ· ἐπὶ γὰρ τοῦ πλήθους ὁ λόγος, οὐκ ἐπὶ τοῦ λίθου· λάεσσι γὰρ ἐπ' ἐκείνου τοῦ σημαινομένου λέγει.

155. *ὅτι λείπει ἡ ὑπέρ πρόθεσις.

157. ζαής] ὡς ὑγιής· οὕτως καὶ ὁ Ἀσκαλωνίτης. παραιτητέον δὲ τοὺς βουλομένους βαρύνειν, ἴσως πλανηθέντας ἐκ τῆς αἰτιατικῆς τῆς εἰς ν περατωθείσης (Od. 12, 313). ῥηθήσεται δὲ ἐν τῇ Μ τῆς Ὀδυσσείας περὶ τῆς προσῳδίας.

158. ταρφειάς] Ἀρίσταρχος ὀξύνει ὡς πυκνάς· ὁ δὲ Θρᾷξ Διονύσιος ὁμοίως προεφέρετο τῷ ταχείας, παρὰ τὸ ταρφύς ἀρσενικόν,

15. τὸ σύνηθες] κατὰ τὸ σύνηθες Friedl.

οὗ πολλαὶ ἦσαν χρήσεις παρὰ τοῖς παλαιοῖς καὶ παρ' Ὁμήρῳ. καὶ δῆλον ὅτι ἀναλόγως μὲν ἀναγινώσκει ὁ Θρᾷξ, ἐπεκράτησε δὲ ἡ Ἀριστάρχου.

159. πρὸς τὴν συνήθειαν τοῦ ποιητοῦ, ὅτι καταλλήλως τῷ βέλεα πληθυντικῷ ῥέον ἐπενήνοχεν.

*οὕτως διὰ τοῦ ō, ῥέον. Ὁμηρικὸν τὸ σχῆμα.

160. ἀμφ' αὖον] δύο μέρη λόγου ἐστίν, ἀμφί καὶ αὖον. οὕτως καὶ τὸ πληθυντικὸν οἶδεν "αὖα πάλαι περίκηλα" (Od. 5, 240).

161. *Ἀρίσταρχος βαλλομένων· ἄλλοι δὲ βαλλόμεναι.

164. φιλοψευδής] ὀξυτονητέον ὁμοίως τῷ ἁπλῷ· τὰ γὰρ εἰς ης λήγοντα ὑπὲρ μίαν συλλαβὴν, ὀξυνόμενα, συντιθέμενα πάντα θέλει φυλάσσειν τὸν αὐτὸν τόνον, ὑπεσταλμένου τοῦ ἀληθής, σαφής ἀσαφής, ἀντεραστής, φιλαθλητής. οὕτως καὶ φιλοψευδής. οὐ λέλησμαι ὅτι τὸ κριτής ἔσθ' ὅτε καὶ μεταβολὴν ποιεῖται τόνου, οἷον ἐν τῷ ξενοκρίτης.

165. ὅτι πάντας κοινῶς καὶ οὐ τοὺς ἡγεμόνας μόνους ἥρωας καλεῖ.

167. οἱ δ' ὥστε σφῆκες μέσον αἰόλοι ἠὲ μέλισσαι] δι' ἀμφοτέρων ἓν δηλοῦται τῶν κατὰ τὸ μέσον εὐκινήτων διὰ τὴν ἐντομήν.

μέσον αἰόλοι] ποικίλοι τὰ μέσα τοῦ σώματος· εἰσὶ γὰρ ἐπτερωμένοι καὶ ξανθοὶ, ἀφ' οὗ εὐκίνητοι, ὡς καὶ ἀλλαχῆ φησὶ "πόδας αἰόλος ἵππος" (Il. 19, 404). ἄμεινον δὲ ἀκούειν τοὺς εὐκινήτους.

170. τὸ ἄνδρας θηρητῆρας ἑκατέρωσε δύναται προσνέμεσθαι.

175. ἀπὸ τούτου ἕως τοῦ "πάντες ὅσοι Δαναοῖσιν" (180) ἀθετοῦνται στίχοι ϛ', ὅτι παρῴδηνται ἐκ τοῦ "ἄλλοι δ' ἀμφ' ἄλλῃσι μάχην ἐμάχοντο νέεσσι". (Il. 15, 414). πρὸς ποίας δὲ πύλας ἐμάχοντο; οὐδέπω γὰρ διαβεβήκασι τὴν τάφρον. γελοῖον δὲ καὶ τὸ "ἀργαλέον δέ με ταῦτα θεὸν ὣς πάντ' ἀγορεῦσαι·" τί γὰρ εἴρηται ἤδη τῆς τειχομαχίας; πόθεν δὲ θεσπιδαὲς πῦρ; οὐδέπω γὰρ πυρὶ κέχρηνται, ἀλλ' ὕστερον λέγει ὁ Ἕκτωρ "οἴσετε πῦρ" (ib. 718). εὐήθες δὲ καὶ τὸ λέγειν ὅτι ἠνιῶντο οἱ βοηθοῦντες τοῖς Ἕλλησι θεοὶ ἐπὶ τῷ ἐλαττοῦσθαι αὐτούς. τῷ δὲ "λαΐνον Ἀργεῖοι δέ" (178) διπλῆν παρατιθέασιν ἔνιοι διὰ τὸ ὑπερβατὸν, περὶ τεῖχος λαΐνον. ἠθετοῦντο δὲ καὶ παρὰ Ἀριστοφάνει· παρὰ Ζηνοδότῳ δὲ οὐδὲ ἐγράφοντο.

177. ἄλλως ἢ τὸ θερμὸν τῆς μάχης πῦρ φησί· δύναται δὲ καὶ

14. οἷον addidit Lehrsius. 31. τῷ] τὸ Bekk.

κυρίως πῦρ λέγειν, ἵνα καὶ τὸ τεῖχος αὐτὸ ἐμπρῆσαι ἐπιχειροῦντας τοὺς βαρβάρους εἰσάγῃ.

λιθίνου τοῦ τείχους ὄντος καὶ τῶν Τρώων βαλλόντων, ἐκ τῆς συγκρούσεως τῶν βαλλομένων πῦρ ἅπτεσθαί φησι πανταχόθεν τοῦ τείχους. ἔχει δὲ ἔμφασιν ὁ λόγος.

βραχὺ διασταλτέον ἐπὶ τὸ πῦρ· ἔστι γὰρ τεῖχος λάϊνον τὸ ἑξῆς. ἄκαιρον γὰρ τὸ λάϊνον πῦρ εἴ τις συνάπτοι.

178. ἡ τελευταία λέξις ἡ ἀνάγκῃ κεχωρίσθαι ὀφείλει τῶν ἄνω, ἵνα σαφέστερον περιστῇ ἥ τε ἐπίτασις καὶ ἡ ἐναντίωσις. δυνατὸν δὲ καὶ συνάπτοντα μέχρι τοῦ νηῶν ἀπ' ἄλλης ἀρχῆς λέγειν ἠμύνοντο, ἵνα ᾖ ἀχνύμενοι περὶ νηῶν.

179. *ἐν ἄλλῳ θυμῷ.

180. ἡ ταρ πλεονάζει ἐν τῷ ἐπιτάρροθοι ὡς ἐν τῷ ἀταρτηρός. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν τοῖς κυσὶ βοῇ κελευόντων.

193. Ἰαμενόν] Ἀρίσταρχος ψιλοῖ· ὁ δὲ Ἀσκαλωνίτης φησίν, ἐὰν μὲν ἀπὸ τῆς ἰάσεως, ψιλωτέον, ἐὰν δὲ ἀπὸ τῆς ὁρμῆς, δασυντέον. ἄμεινον δὲ προκρίνειν τὴν Ἀριστάρχου· οὐδὲν γάρ ἐστι κωλῦον τὴν ἀνάγνωσιν αὐτοῦ.

*Ὀρέστην] πρὸς τὴν ὁμωνυμίαν.

195–199. ὑποστιγμὴ ἐν ὑποκρίσει, μαρμαίροντα, ἕποντο· διαστολαὶ δὲ ἔσαν, νῆες. ἡ δὲ ἀνταπόδοσις οἵ ῥ' ἔτι μερμήριζον. διόπερ οὐ χωριστέον στιγμαῖς· εἷς γὰρ ὁ λόγος.

201. Ἀρίσταρχος ἐβάρυνεν εὑρὼν τὸ "ὠκυπέτα χρυσέῃσιν ἐθείρῃσιν" (Il. 8, 42) οὕτως κεκλιμένον, ὡσεὶ καὶ ἀπὸ τοῦ παντοπώλης παντοπώλα. πρόδηλον δὲ κἀκ τῶν διαλέκτων· ὑψιπέτας γὰρ εὑρέθη κατὰ τροπὴν τοῦ η εἰς τὸ α, ὅπερ ζητεῖ καὶ ἡ κλίσις καὶ ἡ βαρεῖα τάσις. τινὲς μέντοι ἐτόλμησαν τὸ ὑψιπέτης περισπάσαι, ἐπεὶ ἐν ἑτέροις ἔφη "ὥστ' αἰετὸς ὑψιπετήεις" (Il. 22, 308). ὡς οὖν τὸ τιμήεις ἔσομαι ἐγένετο τιμῆς "οὐκέθ' ὁμῶς τιμῆς ἔσεαι" (Il. 9, 605)· οὕτως ὑψιπετήεις ὑψιπετῆς. ἀλλ' ἐπὶ μὲν τοῦ τιμῆς εὕρομεν αἰτιατικὴν "καὶ χρυσὸν τιμῆντα" (Il. 18, 475), ἥτις ἐδίδασκε τὸ τῆς εὐθείας πάθος· ἐπὶ δὲ τοῦ προκειμένου οὐδὲν εὕρομεν τοιοῦτο, ἔνθεν ἐπείσθημεν τῷ Ἀριστάρχῳ.

ἐπ' ἀριστερὰ λαὸν ἐέργων] ὑποχωρῆσαι συμφέρον προσημαίνων·

4. συγκρούσεως Bekk.] συγκρίσεως
20. ὑποστιγμὴ—ἡ δὲ] ὑποστιγμαὶ ἐν ὑποκρίσει μαρμαίροντα, νῆας. διαστολαὶ δὲ ἔσαν, ἕποντο. ἡ δὲ Friedl.

ἀριστερὰ γὰρ σημεῖα τὰ ἀπαίσια, δεξιὰ δὲ τὰ συμφέροντα. ζητεῖται δὲ πῶς ὁ Ζεὺς ἐπικρατεστέρους θέλων ποιῆσαι τοὺς Τρῶας, σημεῖον αὐτοῖς κωλυτικὸν ἐπιπέμπει· φησὶ γὰρ "ὄρνις γάρ σφιν ἐπῆλθε περησέμεναι μεμαῶσιν." καὶ ῥητέον ὅτι νίκην μὲν ἐβούλετο τοῖς Τρωσὶν, ἐξελεῖν δὲ τὸ δέος τῶν Ἑλλήνων· οὐ γὰρ κατὰ προαίρεσιν αὐτοὺς ἰδίαν ἐμίσει, ἀλλὰ χαριζόμενος Θέτιδι.

βέλτιον μέσον μὲν τὸν ἀετὸν ἔρχεσθαι τοῦ πλήθους, ἀνείργειν δὲ αὐτοὺς ἐπὶ τὰ ἀριστερὰ φερομένους· διὸ συναπτέον ἐπ' ἀριστερὰ λαὸν ἐέργων.

ὅτι ἀφορίζων ἔφη, ἐπὶ τὰ ἑαυτοῦ ἀριστερὰ ὁ ἀετός.

204. κόψε γάρ αὐτον] οὕτως ἐγκλιτέον τὴν ἀντωνυμίαν κατ' αἰτιατικὴν πτῶσιν. μέμνηται καὶ Ἡρωδιανὸς καὶ Ἀπολλώνιος.

205. ἰδνωθείς] ψιλωτέον τὸ ι. οὕτως καὶ Ἀλεξίων καὶ οἱ ἄλλοι. προείρηται δὲ ἡμῖν ἐν τῇ Α.

207. *ὅτι λείπει τὸ ἅμα, ἅμα πνοιῇσιν ἀνέμοιο.

208. αἰόλον ὄφιν] τὸν πολυποίκιλον καὶ πολύστικτον. πέπονθε δὲ ἐπὶ τέλους ὁ στίχος ἔχων τὸν ἐκ β' βραχειῶν πυρρίχιον· καὶ καλεῖται μείουρος.

210. *Ἕκτορα εἶπε] ὅτι λείπει ἡ πρός, πρὸς Ἕκτορα.

211. *ἐπιπλήσσεις] οὕτως διὰ τοῦ π, ἐπιπλήσσεις.

σημειοῦνταί τινες ὅτι τοῦτο ὡς γενόμενον λέγει, γινόμενον δὲ οὐ παρίστησι· καὶ παρεῖται ἡ πρόθεσις· ἐν ἀγοραῖς γάρ. τινὲς δὲ οὕτως, ὅτι ἀγορῇσιν ἀντὶ τοῦ ἀγορεύσεσιν εἴρηκεν.

Ἡρακλέους πορθήσαντος Ἴλιον, Πρίαμος ὁ Λαομέδοντος παραλαβὼν τὴν βασιλείαν ἔπεμψεν εἰς Δελφοὺς, μαντευσόμενος περὶ τῶν ἐνεστώτων. οἱ δὲ πορευθέντες χρησμόν τε λαμβάνουσι, καὶ Πάνθουν ἕνα τῶν Δελφῶν ἄγουσιν, ὅπως κατὰ τὸ συνεχὲς μαντεύηται Πριάμῳ. γήμας δὲ οὗτος θυγατέρα Κλυτίου Προνόμην Πολυδάμαντα γεννᾷ, τήν τε μαντικὴν ἀναδιδάσκει. λέγεται δὲ μιᾷ νυκτὶ τοῦτον καὶ τὸν Ἕκτορα γεννηθῆναι.

213. δῆμον] βαρυτονητέον πρὸς ἀντιδιαστολὴν τοῦ δημόν ὀξυνομένου ἐν τῇ Θ ῥαψῳδίᾳ (240). ὁ Ἡρωδιανός.

*ὅτι ἀντὶ τοῦ δημότην, ἰδιώτην· οὕτως Ἡρωδιανὸς, δῆμον ἐόντα.

214. κράτος] ἐν ἄλλῳ σὸν δὲ κλέος.

8. φερομένους] ἀφοριζομένους Friedl.

16. πολυποίκιλον] *ποικίλον

19. διὰ τοῦ π] Nam alii ἐνιπλήσσεις

23. Hoc scholion legitur post scholion versus 231.

215. *τῶν συμφερόντων δηλονότι.

216. *μὴ ἴομεν] ὅτι ἀντὶ τοῦ μὴ ἴωμεν συνέσταλκεν.

218. *ὄρνις ἦλθε] χωρὶς τῆς προθέσεως αἱ Ἀριστάρχου.

228. ἀμφίβολον. εἰ μὲν ὑφ' ἕν τις λέγοι "ὃς σάφα θυμῷ εἰδείη τεράων καὶ οἱ πειθοίατο λαοί," καὶ τοῦτο παρειληφὼς εἰς ἀξιοπιστίαν ἔσται τοῦ μάντεως. εἰ δὲ χωρίζοιτο τῇ ἀνυποκρίτῳ ὑποστιγμῇ, ἐκεῖνο μὲν ἔσται διὰ μέσου "ὃς σάφα θυμῷ εἰδείη τεράων," τὸ δὲ ἑξῆς, ὧδέ χ' ὑποκρίναιτο θεοπρόπος καὶ οἱ πειθοίατο λαοί. οὕτως ἂν ἀποκρίναιτο μάντις, καὶ αὐτῷ πεισθείη τὸ πλῆθος.

*ὑποκρίναιτο] ὅτι ἀντὶ τοῦ ἀποκρίναιτο.

230. ὅτι Ζηνόδοτος γράφει τὸν δ' ἠμείβετ' ἔπειτα μέγας κορυθαίολος Ἕκτωρ. βέλτιον δὲ τὸν δ' ἄρ' ὑπόδρα ἰδών· εὐθέως γὰρ τὸ δυσάρεστον ἐμφαίνει διὰ τῆς ὄψεως.

231. Πουλυδάμα] αἱ Ἀριστάρχου χωρὶς τοῦ ν̄, παρὰ τὴν ἀναλογίαν· Ζηνόδοτος δὲ καὶ Χαμαιλέων σὺν τῷ ν̄, Πουλυδάμαν.

236. βουλέων] ἡ πρώτη λέξις ὑπὸ τῆς συνηθείας τοῖς ἄνω προσδίδοται· δύναται δὲ καὶ τοῖς ἑξῆς.

239. εἴτ' ἐπὶ δεξί'] ὅτι δύο διαστάσεις οἶδεν Ὅμηρος κοσμικὰς, ἀνατολὴν καὶ δύσιν· καὶ δεξιὰ μὲν τὰ πρὸς ἀνατολὰς, ἀριστερὰ δὲ τὰ πρὸς δυσμὰς λέγει.

243. εἷς οἰωνὸς ἄριστος] εἴ τις βούλοιτο ἐπὶ τὸ ἄριστος βραχὺ διαστέλλειν, τάχ' ἂν εἴη σαφέστερον τὸ λεγόμενον.

246. *ἐπ' Ἀργείων] παρὰ Ζηνοδότῳ νηυσὶν ὑπ' Ἀργείων.

253. ὅτι διὰ τῶν ἀποτελουμένων φανερὸν ὅτι τὴν αἰγίδα ἔσεισεν ὁ Ζεύς.

254. ὅτι τὸ ἰθύς τοπικῶς τίθησιν, ἀντὶ τοῦ ἐπ' εὐθείας καταντικρὺ τῶν νεῶν.

258. ὅτι κρόσσας ἐν μὲν τοῖς ὑπομνήμασι κεφαλίδας, ἐν δὲ τοῖς περὶ τοῦ ναυστάθμου κλίμακας. καὶ τὸ πύργων ἔρυον ἀντὶ τοῦ ὡς ἐπὶ τοὺς πύργους εἷλκον.

ἐπὶ τὸν μέν σύνδεσμον εἰ διαστέλλοιμεν, γένοιτο ἂν πύργων ἀντὶ τοῦ ἐπὶ τοὺς πύργους τὰς κλίμακας εἷλκον· εἰ δὲ συνάπτοιμεν κρόσσας πύργων τὰς ἐξοχὰς, περὶ ὧν ἐν τοῖς περὶ ναυστάθμου λέγεται. κατὰ δὲ τὸν πρότερον λόγον κρόσσαι αἱ πολεμικαὶ κλίμακες καὶ τὰ μηχανήματα τὰ ἀνθιστάμενα τοῖς τείχεσιν.

259. στήλας ὀρθοὺς λίθους, παρὰ τὸ ἵστασθαι, λέγει τοὺς θε-

μελίους· ὅθεν καὶ προβλῆτας αὐτούς φησι, παρὰ τὸ προκαταβεβλῆσθαι ὑπὸ τῶν πολεμίων.

260. ἔχματα πύργων] ψιλωτέον· πᾶν φωνῆεν πρὸ τοῦ χ̄ ψιλοῦται. περὶ δὲ τοῦ ᾗχι δασυνομένου εἴπομεν.

261. αἶ ἔρυον] ὅτι εἰς τοὐπίσω εἶλκον, πρὸς τὸ "αὐέρυσαν μὲν πρῶτα" (Il. 1, 459).

267. οὐ συναπτέον ταῦτα τοῖς ἐπάνω, ἀλλ' ἀφ' ἑτέρας ἀρχῆς. κοινὸν δ' ἐστὶ τὸ νείκεον. εἰ δὲ μὴ ἁρμόζει τοῖς μειλιχίοις λόγοις τὸ νεικεῖν, οὐ θαυμαστόν· καὶ γὰρ ἐν τῇ Α (582) φησὶν "ἀλλὰ σὺ τόν γ' ἐπέεσσι καθάπτεσθαι μαλακοῖσι." δύναται δὲ καὶ στίζεσθαι ἐπὶ τὸ μειλιχίοις, ἵνα τοῖς ἄνω προσδιδῶμεν τὸ ἡμιστίχιον· ἁρμόζει γὰρ ὀτρύνειν μειλιχίοις· ἐξαλλαγὴ δὲ ἔσται, ἀπ' ἄλλης ἀρχῆς ἀναγινωσκόντων ἡμῶν ἄλλον στερεοῖς ἐπέεσσι νείκεον.

268. ὁ λόγος, καὶ ὃς ἔξοχός ἐστι καὶ ὃς ἐλάχιστος καὶ ὃς μέσος, νῦν τούτων ἁπάντων ἐστὶν ἔργον, ὡς εἰ οὕτως ἔλεγε, νῦν ἔπλετο ἔργον ἅπασιν, ὃς ἔξοχος ὅς τε μεσήεις ὅς τε χερειότερος.

273. *ἀκούσας] γράφεται καὶ ἀκούων.

276. *νεῖκος] Ἀρίσταρχος νῖκος διὰ τοῦ ῑ· βούλεται γὰρ λέγεσθαι τὴς νίκης τὴν ἧτταν.

βραχὺ διασταλτέον ἐπὶ τὴν μετοχὴν διὰ τὸ σαφέστερον.

τὸ δίεσθαι ἡ παράδοσις προπαροξύνει, καὶ ἔχομεν ἐκεῖνο λέγειν, ὅτι εἰ οἶδεν ὁ ποιητὴς τὸ δίενται (Il. 23, 475) ὡς τίθενται καὶ ἐνδίεσαν (Il. 18, 584) ὡς ἐτίθεσαν, δῆλον ὅτι εἴσεται καὶ τὸ δίεσθαι προπαροξυνόμενον· ὡς γὰρ ἀπὸ τοῦ τίθενται καὶ ἐτίθεσαν τὸ ἀπαρέμφατον τίθεσθαι, οὕτως καὶ ἀπὸ τοῦ "ἵπποι ἀερσίποδες πολέος πεδίοιο δίενται" καὶ "αὖτως ἐνδίεσαν" γένοιτ' ἂν τὸ ἀπαρέμφατον δίεσθαι, ὥστε καὶ ἀπὸ τῶν εἰς μῑ ἐσχημάτισται· καὶ δέον ἐστὶ τὸ δίω βαρυνόμενον πολὺ πρότερον περισπᾶσθαι, ἵνα ἀποτελέσῃ τὸ δίημι, ἐξ οὗ τὸ ἐνδίεσαν καὶ δίεσθαι.

277. ὣς τώγε προβοῶντε] κατ' ἔνια τῶν ὑπομνημάτων προβάοντε, οἷον προβαίνοντες καὶ ἀμείβοντες τόπον ἐκ τόπου. διχῶς οὖν.

278. ὥστε νιφάδες] μικρῷ πρόσθεν ἐχρήσατο τῇ εἰκόνι· "νιφάδες δ' ὡς πῖπτον ἔραζε, ἅς τ' ἄνεμος ζαὴς" (156). ἐκεῖ μὲν οὖν πρὸς τὴν πλῆξιν τὸν ἄνεμον ἔλαβε, πρὸς δὲ τὴν συνεχῆ φορὰν νῦν καὶ πρὸς τὸ μὴ ἀποκρυσταλλοῦσθαι τὴν χιόνα.

7. οὐ addidit Friedl.
19. τῆς νίκης ῆ (sic)] τὴν νικησάντων Cobetus.
33. καὶ Vill.] om.

280. ὅτι κῆλα τὰ βέλη Διὸς, χιὼν καὶ ὑετός. νίφειν δὲ τὸ χιονίζειν λέγει. βραχὺ δὲ διασταλτέον ἐπὶ τὸ νιφέμεν πρὸς τὸ σαφέστερον.

*τὰ αὐτοῦ σημαίνει βέλη. ἐπιπέμπει κατὰ χόλον, βέλος δὲ νῦν τὸν χειμῶνα.

281. χέει ἔμπεδον] οὕτως αἱ Ἀριστάρχου, χέει ἔμπεδον· ἡ δὲ Μασσαλιωτικὴ χέει ἄσπετον.

283. *Ἀρίσταρχος διὰ τοῦ ō, λωτοῦντα.

285. κῦμα δέ μιν προσπλάζον ἐρύκεται] ὅτι ἀντὶ τοῦ ἐρύκει. ὁ δὲ λόγος περὶ τῆς χιόνος· μόνον τὸ κῦμα προσπελάζον ἀπερύκει αὐτὴν, τἆλλα δὲ πάντα κεκάλυπται.

286. *εἰλῦται] γρ. εἰλύαται.

προπερισπῶσιν, ἵνα ἐκ τοῦ εἰλύαται συναλοιφὴ ὑπάρχῃ, ἢ τοῦ εἰλύεται· δύναται γὰρ καὶ ἑνικῶς συντάσσεσθαι τὸ ῥῆμα καὶ πληθυντικῶς. οὐκ ἀήθης δὲ ἡ τοιαύτη συναλοιφὴ, εἴγε καὶ τὸ ἐρύεσθαι ῥῦσθαι ἔφη· "πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε" (Il. 15, 141), καὶ τὸ "ἄρχετε νῦν νέκυας φορέειν" (Od. 22, 437) ἐν τοῖς ἑξῆς ἔφη "ἐκ δὲ νέκυς οἴκων φόρεον" (Od. 24, 417). τινὲς δὲ προπαροξύνουσιν ὡς ἀπὸ τοῦ εἴλυμι. τὸ δὲ καθύπερθε πρὸς ἄμφω δύναται συντάσσεσθαι· διὸ διασταλτέον.

287. *θαμειαί] σημειωτέον ὅτι τὰς λίθους θηλυκῶς.

288. βραχὺ διασταλτέον ἐπὶ τὸ Ἀχαιούς· τὸ γὰρ ἑξῆς ἐστὶν, ὡς τῶν βαλλομένων. ἐπὶ δὲ τῶν λίθων ἡ λέξις οὐκ ἂν ἀκούοιτο, ἐπεὶ σολοικισμός ἐστιν.

291. τείχεος ἐρρήξαντο πύλας] ὅτι πάλιν τὴν πύλην πύλας, καὶ τὸν μοχλὸν ἕνα, διὰ τῶν ἑξῆς δύο παραδιδούς.

292. Εὐρώπην τὴν Φοίνικος Ζεὺς θεασάμενος ἔν τινι λειμῶνι μετὰ νυμφῶν ἄνθη ἀναλέγουσαν ἠράσθη, καὶ κατελθὼν ἥλλαξεν ἑαυτὸν εἰς ταῦρον καὶ ἀπὸ τοῦ στόματος κρόκον ἔπνει. οὕτως τε τὴν Εὐρώπην ἀπατήσας ἐβάστασε, καὶ διαπορθμεύσας εἰς Κρήτην ἐμίγη αὐτῇ. εἶθ' οὕτως συνῴκισεν αὐτὴν Ἀστερίωνι τῷ Κρητῶν

8. λωτοῦντα] λοτοῦντα
13. ὑπάρχῃ Vill.] ὑπάρχει
16. τε] om.
18. οἴκων] οἶκον
20. διασταλτέον] ἢ μετ' αὐτὸ ἢ μετὰ τὸ εἰλύατα addit Friedl.
27. Hoc scholion legitur in A post scholion versus 303.
29. *κρόκον] κρόπον
31. *αὐτῇ] om.
*συνῴκισεν αὐτὴν] συνῴκησεν αὐτῇ

βασιλεῖ. γενομένη δὲ ἔγκυος ἐκείνη τρεῖς παῖδας ἐγέννησε, Μίνωα, Σαρπηδόνα καὶ Ῥαδάμανθυν. ἡ ἱστορία παρ' Ἡσιόδῳ καὶ Βακχυλίδῃ.

293. *ἔλιξιν] μέλασιν, ἢ εἰλοῦσι τοὺς πόδας ἐν τῇ πορείᾳ.

295. ἐξήλατον] Ἀρίσταρχός φησιν ὡς δεῖ δασύνοντας προφέρεσθαι. σημαίνει γὰρ κατὰ ἀριθμὸν ἐκ τοσούτων ἐλασμάτων συγκειμένην αὐτήν. ὁ δὲ Ζηνόδοτος, φησὶν, ἔοικε ψιλῶς προφέρεσθαι, ἐκδεχόμενος τὴν ἐξηλασμένην, οὐκ εὖ. οὐκ ἀπιθάνως δὲ ὁ Ἀρίσταρχος, εἴγε καὶ ἑπταβόειον σάκος που λέγει καὶ ἐπὶ τῆς Ἀχιλλέως ἀσπίδος "πέντε δ' ἄρ' αὐτοῦ ἔσαν σάκεος πτύχες" (Il. 18, 481) καὶ "ἐπεὶ πέντε πτύχας ἤλασε κυλλοποδίων" (Π. 20, 270).

296. ἤλασεν] ὅτι Ζηνόδοτος γράφει ἐξέλασ', ἔντοσθεν δέ· ἐξ οὗ φανερός ἐστι τὸ προκείμενον ψιλῶς ἀνεγνωκὼς ἐξήλατον· δεῖ δὲ δασέως, ἵνα ἀριθμὸς δηλωθῇ.

296, 297. βοείας ῥάψε χρυσείῃς ῥάβδοισι] ἀντὶ τοῦ ἔρραψε τὰς βοείας ῥαφαῖς ῥαβδοειδέσιν ὡσανεὶ φλεψίν. τὸ δὲ περίκυκλον ἄμεινον δύο ποιεῖν, περί καὶ κύκλον, ἵνα ᾖ περὶ τὸν τῆς ἀσπίδος κύκλον. οὕτως καὶ ὁ Ἀσκαλωνίτης.

297. *ῥαβδοειδέσι ῥαφαῖς.

298. διασταλτέον ἐπὶ τὸ σχόμενος πρὸς τὸ σαφέστερον.

301. πειρήσοντα] ὅτι πειρήσοντα διάπειραν ληψόμενον, ἐνδρεύσοντα· καὶ ὅτι ὁ καί περισσός ἐστιν. ὁ δὲ Διονύσιος, ὅτι δύναται σημαίνειν τι πλέον, οὕτως ἐνδεὴς τροφῆς ὥστε καὶ ἐπὶ πεπυκνωμένον καὶ ἠσφαλισμένον δόμον ἐλθεῖν. δόμον δὲ τὴν ἔπαυλιν.

*εἰς πυκινόν] γράφεται καὶ ἐς πυκινόν.

302. βώτορας] βοσκήτορας, βουκόλους. βῶ βόσω, βότωρ βότωρος, ὑπερβιβασμὸς χρόνου βώτορος καὶ βώτορας.

303. σημειοῦνταί τινες ἐνταῦθα ὅτι περισσὴ ἡ πρόθεσις ἡ περί.

318. *οὕτως ἀκλεές αἱ Ἀριστάρχου καὶ αἱ χαριέστεραι.

326. τὸ ἑξῆς ἐστὶ, νῦν δ' ἴομεν ἤ τῳ εὖχος ὀρέξομεν. οὕτως οὖν διορθωτέον.

328. ὅτι ἀντὶ τοῦ ἴωμεν καὶ ὀρέξωμεν, καὶ ὅτι συνεκδέξασθαι δεῖ τὸ ὀρέξῃ, ὅπερ οὐ συνέντες τινὲς ὑποτιθέασι στίχον· "δώσει ἀποκτάμενος κλυτὰ τεύχεα καὶ δόρυ μακρόν."

330. *οὕτως Ἀρίσταρχος, μέγα ἔθνος ἄγοντε, δυϊκῶς.

333. τὸ Ἀχαιῶν ἑκατέροις δύναται προσδίδοσθαι, βέλτιον δὲ

τοῖς προτέροις, ἐπεὶ τὸ ἡγεμόνων ἐπιφέρεται. καὶ ἄλλως φησὶν ἑξῆς "βῆ δὲ θέειν κατὰ τεῖχος Ἀχαιῶν" (352).

335. ὅτι ἐν τοῖς ἀριστεροῖς μέρεσι τοῦ ναυστάθμου γέγονεν ἡ μάχη, ὅπου καὶ οἱ Αἴαντες ἐσκήνουν.

336. *νέον] ὅτι ἀντὶ τοῦ νεωστί.

337. γεγωνεῖν] ὁ Ἀσκαλωνίτης βαρύνει ὡς ἀνύειν, Ἀρίσταρχος δὲ περισπᾷ ὡς φιλεῖν. καὶ ἔοικε μᾶλλον περισπώμενον εἶναι παρὰ τῷ ποιητῇ· ὡς γὰρ ἐνόεον καὶ ἐφίλεον, οὕτως καὶ ἐγεγώνεον ἔφη· "ἤμενος ἐφρασάμην καὶ Τηλεμάχῳ ἐγεγώνεον" (Od. 17, 161). ἀπαρέμφατόν τε προηνέγκατο τὸ γεγωνέμεν· "ἦ ῥ' ἐν μεσσάτῳ ἔσκε γεγωνέμεν" (Il. 8, 223). προσέθηκα δὲ παρὰ τῷ ποιητῇ, ἐπεὶ οἱ μετ' αὐτὸν καὶ ὡς βαρύτονον αὐτὸ ἔκλιναν καὶ ὡς περισπώμενον.

340. *οὕτως Ἀρίσταρχος, πᾶσαι γὰρ ἐπῴχατο.

ὅτι πάσας ἀντὶ τοῦ ὅλας· οὐ γὰρ ἦσαν πολλαὶ πύλαι, ἀλλὰ μία. τὸ δὲ ἐπῴχατο διὰ τοῦ ᾱ καὶ σὺν τῷ ῑ, οἷον ἐπικεκλιμέναι ἦσαν, ἐπέκειντο. Ζηνόδοτος ἐπῴχετο.

ἐὰν γράφηται ἐπῴχετο, τὸ πρὸ αὐτοῦ πάσας γραφέσθω. ἐπῴχετο δὲ ἡ αὐτὴ δηλονότι.

342. ὅτι οἰκεῖον ὄνομα κήρυκος, ἀπὸ τοῦ ταχύνειν, καὶ ὅτι ὀνοματοθετικὸς ὁ ποιητής. Ζηνόδοτος δὲ ἐν ἀμφοτέροις τοῖς στίχοις Αἴαντε γράφει.

343. Θοῶτα θέων] ὅτι παρετυμολογεῖ τὸν Θοώτην ἀπὸ τοῦ θέειν. τὸ δὲ ἔρχεο ἐν ἴσῳ τῷ πορεύου. στικτέον δὲ ἐπὶ τὸ Θοῶτα, ἢ συναπτέον, ὡς πολλάκις εἴρηται.

346. ὣδε γὰρ ἔβρισαν] πρὸς Ζηνόδοτον, ὅτι ἔοικεν ἐξειληφέναι τοπικῶς· ἑξῆς γὰρ (359) γράφει "κεῖσε γὰρ ἔβρισαν" ἔστι δὲ ἀντὶ τοῦ οὕτως.

348. *ἐκ πλήρους τὸν σύνδεσμον, καὶ κεῖθι.

εἰ δέ σφιν καὶ κεῖθι] ὅτι Ζηνόδοτος γράφει "εἰ δέ σφιν κἀκεῖσε." ἔστι δὲ εἰς ἐκεῖνον τὸν τόπον * * πολεμός ἐστιν, ἀλλ' ἐν ἐκείνῳ.

14. πᾶσαι Duentzer. Zenod. p. 124] πάσας

27. τοπικῶς Bekkerus] τοπηκὸς γράφει "κεῖσε γὰρ ἔβρισαν" Lehrsius Arist. p. 71] γράφει εἰ δέ σφιν κἀκεῖσε

30. Verba ἔστι δὲ ἀντὶ τοῦ οὕτω post κἀκεῖσε ex scholio praecedente repetita delevit Friedlaenderus.

31. ἔστι δὲ εἰς Cobetus] δὲ εἰ εἰς (sic)

Post τόπον indicavi lacunam, quam Cobetus explet verbis ὅπερ

350. ἀθετεῖται· οὐ γὰρ πιθανὸν ὥσπερ ἐξ ἐπιτάγματος παρεῖναι τὸν Τεῦκρον· διὰ παντὸς γὰρ ὑπασπιστὴς Αἴαντος φαίνεται.

*καὶ Ἀριστοφάνης ἠθέτει.

352. *παρὰ τεῖχος] γράφεται κατὰ τεῖχος.

359. ὧδε γὰρ ἔβρισαν] ὅτι Ζηνόδοτος γράφει κεῖσε γὰρ ἔβρισαν, οὐχ ὑγιῶς εἰς ἐκεῖνον τὸν τόπον· δεῖ γὰρ ἐν ἐκείνῳ τῷ τόπῳ. δεῖ δὲ γράφειν ὧδε· τὸ γὰρ λεγόμενόν ἐστιν, οὕτως ἐπεβάρησαν ὥστε χρείαν ἔχειν ἡμᾶς συμμαχίας.

360. *ζαχρηεῖς] περισπαστέον ὡς εὐγενεῖς.

363. καί οἱ Τεῦκρος] ἀθετεῖται ὁ στίχος καὶ ὑπὸ τοῦ κήρυκος λεγόμενος διὰ τὰ αὐτά.

365. αὐτίκ' Ὀϊλιάδην] ὅτι Ζηνόδοτος γράφει αὐτίκ' ἄρ' Ἰλιάδην. Ὀϊλιάδην δὲ διὰ παντὸς Ὅμηρος λέγει. καὶ ὅτι λείπει ἡ πρός.

366. Αἴας σφῶϊ μέν] ὅτι Ζηνόδοτος γράφει σφῶε. τοῦτο δέ ἐστιν αὐτούς, ὅπερ οὐχ ἁρμόζει. τὸ δὲ σφῶϊ ὑμεῖς.

368. αὐτὰρ ἐγὼ κεῖσ' εἶμι] ὅτι Ζηνόδοτος γράφει κεῖθι. τοῦτο δὲ σημαίνει ἐν ἐκείνῳ τῷ τόπῳ. τὸ δὲ κεῖσε εἰς ἐκεῖνον τὸν τόπον πορεύσομαι, ὅπερ νῦν ἁρμόζει.

371. *εἴρηται ὅτι διεσκεύασται.

374. ὑποστικτέον ἐπὶ τὸ ἰόντες καὶ ἵκοντο. περισσεύει δὲ ὁ ἑξῆς σύνδεσμος ὁ οἱ δ' ἐπ' ἐπάλξεις βαῖνον.

375. ἐπ' ἐπάλξεις βαῖνον] ὅτι εἰ μὴ νοήσωμεν κρόσσας (258) τὰς κλίμακας, πῶς ἂν ἄλλως δύναιντο ἀναβαίνειν ἐπὶ τὸ τεῖχος;

379. Σαρπήδοντος] τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα, ὡς Χαλκώδοντος· οὐ γὰρ δύναται ἔτι φυλάσσεσθαι ὁ τόνος τῆς Σαρπηδόνος γενικῆς διὰ τὸ μηδέποτε τὰ εἰς ων ὀνόματα ὀξύτονα ἐπιδέχεσθαι τὴν διὰ τοῦ τ̄ κλίσιν. ἔνθεν γὰρ καὶ τὸ ἑκών μετοχή.

382. χειρί γε τῇ ἑτέρῃ] οὕτως αἱ Ἀριστάρχου καὶ αἱ πλείους, χείρεσσ' ἀμφοτέρῃσιν. ἐν δὲ ταῖς κοινοτέραις χειρί γε τῇ ἑτέρῃ ἔχοι ἀνήρ, ὅπερ ἐκλύει τὴν ἰσχὺν τοῦ Αἴαντος.

οὐχ ἁρμόζει. οὐ γὰρ εἰς ἐκεῖνον τὸν τόπον—. (Similiter schol. ad v. 359, 368.) Aliter Lehrsius in Arist. p. 134.

2. διὰ παντὸς — φαίνεται seclusit Lehrsius.

10. καί οἱ] Obelus praefixus.

19. Annotatio defecta. εἴρηται ὅτι ἐκ τούτου διεσκεύασται ὁ ἐπάνω δὶς κείμενος (350, 363.) Friedl.

28. In marg. exter. adscriptum χείρεσσ' ἀμφοτέρῃσι, in inter. χείρεσ ἀμφοτέρῃσ ἔχοι.

383. ἐν ἄλλῳ ὁ δέ μιν ῥέα πάλλε καὶ οἷος.

385. ἀρνευτῆρι] ἀρνευτὴρ ὁ κυβιστὴρ, παρὰ τοὺς ἄρνας· οὗτοι γὰρ κυβιστῶσιν, ὥσπερ τὸν ἀέρα κυρίττοντες. τινὲς δὲ τῷ δελφῖνι· οἱ γὰρ ἄρσενες ἐπὶ κεφαλὴν ἵενται, ὅταν γαλήνη γένηται.

386. *ὑψηλοῦ] γράφεται ἀπ' εὐεργέος.

388. οὐ πάντως διασταλτέον ἐπὶ τὸ ἰῷ· κἂν συνάπτηται γὰρ ὁ στίχος, δύναται ὑπερβατὸν νοεῖσθαι, ἰῷ βάλεν ἐπεσσύμενον τείχεος ἀντὶ τοῦ ἐπὶ τὸ τεῖχος.

389. ᾗ ῥ' ἴδε] καθ' ὃ μέρος ἐθεάσατο αὐτοῦ τὸν βραχίονα γεγυμνωμένον.

391. ἀθρήσειε] ψιλωτέον· πᾶν γὰρ φωνῆεν πρὸ δασέος καὶ τοῦ ῥ ψιλοῦται, ἴθρις Ὄθρυς ἄχρις ἀφρός ὄφρα, ὑπεσταλμένου τοῦ ἄθρους πρὸς διάφορον σημαινόμενον. πρόδηλον δὲ κἀκ τῆς συναλοιφῆς, ὅτι ψιλοῦται "ἡ δ' οὔτ' ἀθρῆσαι δύνατο" (Od. 19, 478).

393. αὐτίκ' ἐπεί τ' ἐνόησεν] τὸ ἐξῆς ἐστὶν ἐπεὶ ἐνόησε, παρέλκοντος τοῦ τέ· διὸ τὴν πει συλλαβὴν ὀξυτονητέον. τοῦ δὲ ὅμως τὴν προτέραν ὀξυτονητέον· ἔστι γὰρ σύνδεσμος. προείρηται δὲ τὸ αἴτιον.

394. ἀλλ' ἄγε Θεστορίδην Ἀλκμάονα] ὅτι οὐ Κάλχαντος ἀδελφὸς Ἀλκμάων, ἀλλ' ὁμώνυμος, ἐπεὶ προσέθηκεν ἄν τι εἰς διάγνωσιν.

400. *ὁ μὲν] ὅτι πρὸς τὸ δεύτερον πρότερον ἀπήντησεν.

401. *ὅτι διὰ τελαμώνων ἀνήπτοντο αἱ ἀσπίδες.

404. ἡ δὲ διαπρό] οὕτως οὐδὲ διὰ πρό αἱ Ἀριστάρχου. ἡ δὲ κοινὴ ἡ δὲ διὰ πρό.

407. ἐέλπετο] οὕτως διὰ τοῦ π ἐέλπετο αἱ Ἀριστάρχου, οὐχὶ δὲ διὰ τοῦ δ ἐέλδετο.

2. κυβιστὴρ] Sic etiam Eustathius p. 10, 38. Recta vocabuli forma est κυβιστητήρ, qua utitur Apollonius in Lexico p. 43, 27, ἀρνευτῆρι per κυβιστητῆρι interpretatus, quod κυβηστητῆρι scriptum in codice, in κυβιστῆρι mutatum ab Villoisono. In gl. interlineari est κυβηστῆρη (sic). Alia nonnulla formae vitiosae (relinquendae fortasse infimae aetatis scriptoribus) exempla collata sunt in Thes. vol. 4 p. 2060.

3. κυρίττοντες] ταράττοντες. Correctum ex Eustathio p. 910, 38.

20. Ἀλκμάων] Temere in Ἀλκμαίων mutatum ab Villoisono, licet in lemmate scripturam codicis Ἀλκμάονα servaverit. De forma Ἀλκμάων, quae etiam apud Eustathium legitur p. 910 extr., v. Thes. vol. 1 p. 1503.

26. δ̄] ᾱ

412. *Ἀρίσταρχος ἐφαμαρτεῖτε, ἄλλοι δὲ ἐφομαρτεῖτον, ἄλλοι δὲ ἐφομαρτεῖτε.

416. ὅτι τὸ σημαινόμενόν ἐστι, μέγα ἤδη αὐτοῖς ἐνεδείκνυτο τῆς μάχης ἔργον, οὐ κατὰ διάνοιαν.

420. *οὕτως πέλασθεν Ἰακῶς.

423. *ὀλίγῳ ἐνὶ χώρῳ] Ζηνόδοτος ὥτ' ὀλίγῃ ἐνὶ χώρῃ.

426. πρὸς τὸ λαισήϊα, ὅτι οἱ μὲν κατὰ ἀντιπαράθεσιν τῶν εὐκύκλων παραμήκεις τὰ λαισήϊα, οἱ δὲ ἐλαφρά, ἔνιοι δὲ δασέα ἐξ ἀδεψήτων βυρσῶν.

428. ὅτῳ] Ζηνόδοτος ὅτεῳ, καὶ ἐμφαίνει Ὁμηρικὸν χαρακτῆρα· καὶ γὰρ ἀλλαχοῦ φησὶ "τῷ ὅτεῳ τε πατὴρ κέλεται" (Od. 2, 114).

430. πάντη δή] ὁ μὲν Ἀρίσταρχος τὸν δή σύνδεσμον παρέλαβε· Τυραννίων δὲ ἐκδέχεται τὸ ᾗ ἐπίρρημα τοπικὸν, ἵνα δύο μέρη λόγου ὑπάρχῃ, δέ καὶ ᾗ, καὶ προστίθησι τὸ ῑ καὶ δασύνει ὁμοίως τῷ "ᾗ ῥ' ὅ γ' ὁ λυσσώδης" (Il. 13, 53). οὐκ ἀναγκαῖον δέ· ἤδη γὰρ πρόκειται τὸ πάντη τοπικόν.

431. *ἐρράδατ'] ἀπὸ τοῦ ῥάζω.

433. χερνῆτις] ἡ ἀπὸ τῶν ἔργων τῶν ἰδίων χειρῶν ζῶσα, ὅ ἐστι μισθοῦ ἄλλοις ἐργαζομένη.

*τάλαντον παρὰ τὸ ταλαὸν καὶ ὑπομενητικὸν τοῦ βάρους.

434. τάχα τὸ ἑξῆς ἐστὶν ἀμφὶς ἰσάζουσα, ἀμφοτέρωθεν ἰσοῦσα· οἱ γὰρ ἱστάντες ἑκατέρωθεν ἀφορῶσιν.

435. *ἔν τισι μετὰ τοῦ ν̄ ἀνεικέα, ἔξω νείκους.

οὕτως μετὰ τοῦ ν̄ ἀνεικέα, ἔξω νείκους, τὸ ἴσον αὐτοῖς ἀπονέμουσα. ἄμεινον δὲ, φησὶν, ἀεικέα, τὸν εὐτελῆ. ἐν δὲ τῷ πρὸς τὸ Ξένωνος παράδοξον προφέρεται ἀμεμφέα μισθόν.

439. ὅτι ἐπὶ τοῦ Διὸς τοῦτό φησιν, οὐκ ἐπὶ τοῦ Ἕκτορος· διὸ καὶ ἐπήνεγκεν "ὣς φάτ' ἐποτρύνων, οἱ δ' οὔασι πάντες ἄκουον."

442. ὅτι διὰ τούτου εὐκρινὲς γίνεται τὸ τῆς προκειμένης ἀμφιβολίας. οὐ γὰρ δὴ ἄλλως ἐδύναντο πάντες ἀκούειν, εἰ μὴ ὁ Ζεὺς ἐπεφώνησεν.

1. ἐφαμαρτεῖτε — ἐφομαρτεῖτε] Eadem scripturae diversitas 23, 414.

4. κατὰ διάνοιαν] κατα τα (sic) διάνοιαν

7. οἱ μὲν et οἱ δὲ—βυρσῶν Aristonici verbis illata tollit Lehrsius.

26. πρὸς τὸ] πρὸς τὸ' (sic)

444. ἀκαχμένα δούρατ' ἔχοντες] ὅτι Ζηνόδοτος γράφει κροσσάων ἐπέβαινον, ἐπεὶ θεοῦ ἔκλυον αὐδήν.

445. *Ἀρίσταρχος ἑστήκει χωρὶς τοῦ ῑ.

βραχὺ διασταλτέον ἐπὶ τὸ πρόσθε, συναφὴν δὲ θετέον ὑπ' ἀμφοτέρας τὰς λέξεις· ἓν γὰρ τὸ σημαινόμενον, κατὰ τὸ ἔσχατον παχύς, κατὰ δὲ τὸ ἕτερον ὀξύς.

450. τόν οἱ ἐλαφρὸν ἔθηκε] ὅτι ἐκλύει τὴν τοῦ βαστάζοντος δύναμιν. καὶ Ἀριστοφάνης ἠθέτει, Ζηνόδοτος δὲ οὐδὲ ἔγραφεν.

451. *οὕτως διὰ τοῦ ē φέρει.

ἄρσενος] μέγας γὰρ ὁ τούτου πόκος. ἢ ὅτι τραχύτερος. ἢ ὅτι ῥυπωδέστερος, ἐμφερής τε τῇ τραχύτητι καὶ τῷ χρώματι τοῦ λίθου ἐστί.

456. ἐπημοιβοί] εἰς μέσον συνάπτοντες· οἱ δὲ, εἷς ἐφ' ἕνα· μία δὲ ἐπ' αὐτῶν κλεὶς ἥρμοστο.

ὅτι δύο φησὶ μοχλοὺς εἶναι ἐπὶ τῆς πύλης, ἐξ ἑκατέρας φλιᾶς ἕνα, ἐπαλλασσομένους κατὰ μέσον, καὶ ἐπὶ τοῖς ἄκροις ἐπικλειομένους διὰ τὴν συμβολὴν μιᾷ κλειδί.

457. *στῇ δὲ μάλ' ἐγγὺς ἰών] ἐν ἄλλῳ στῇ δ' ἄρ' ἐπ' οὐδὸν ἰών.

458. ὅτι πᾶν τὸ βαλλόμενον βέλος λέγει, καὶ νῦν τὸν λίθον· καὶ ὅτι ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον ἡρμήνευκεν.

459. θαιρούς] τοὺς ἄνω καὶ κάτω στρόφιγγας θαιρούς φησι διὰ τὸ δι' αὐτῶν θεῖν τὰς πύλας.

462. λᾶος] προπερισπαστέον ὡς κλῆρος· ἀπὸ γὰρ εὐθείας πέπτωκε δισυλλάβου κατὰ τὴν τοῦ ποιητοῦ χρῆσιν. καὶ ὤφειλε τρισυλλαβεῖν ἡ γενικὴ, συναλοιφὴν δὲ λαβοῦσα βαρύνεται. τὴν δὲ πρόθεσιν Τυραννίων ἀναστρέφει, ἵνα τὸ ἐξῆς ὑπάρχῃ ὑπὸ λίθου ῥιπῆς. οὐκ ἀναγκαῖον δέ· τί γὰρ κωλύει φυλάσσεσθαι τὸν τόνον τῆς προθέσεως καὶ εἶναι ὑπὸ ῥιπῆς λίθου;

463. νυκτὶ θοῇ] ἤτοι τῇ ταχέως ἐπιλαμβανούσῃ τὴν γῆν, ἢ ἐπεὶ δοκεῖ ταχέως παριέναι ὡς πρὸς τὴν ἡμέραν, κοιμωμένων ἡμῶν.

ὅτι τὰ φοβερὰ νυκτὶ ὁμοιοῖ. πρὸς τὸ "ὁ δ' ἧΐε νυκτὶ ἐοικώς" (Il. 1, 47).

3. χωρὶς] χ̣ hic et alibi, velut 1, 86. 607.

7. ὅτι] Refertur ad obelum huic versui praefixum. Male igitur Bekkerus ἡ διπλῆ, ὅτι—. Debebat διῃρεῖται ὅτι—.

9. διὰ τοῦ ē] Videntur nonnulli φέρηι (i. e. φέρῃ) legisse, vel φέροι, quod est in cod. Townl.

15. In marg. inter. adscriptum ὅτι β' ὀχεῖς

ὅτι Ζηνόδοτος γράφει νυκτὶ ἐλυσθείς.

465. *οὐκ ἄν τίς μιν ἐρυκάκοι ἀντιβολήσας] Ἀρίσταρχος οὔ κέν τίς μιν ἐρύκακεν ἀντιβολήσας.

468. τεῖχος ὑπερβαίνειν] ὅτι καθ' ὃ μέρος ὠδοποίησαν οἱ Λύκιοι, οὐ καθόλου.

*ὀτρύνοντι] οὕτως διὰ τοῦ ō ὀτρύνοντι.

469. *ὑπέρβασαν] οὕτως συνέσταλκεν ἀντὶ τοῦ ὑπερέβησαν.

470. πύλας] ὅτι μία πύλη, πληθυντικῶς δὲ εἴρηται. καὶ ὅτι ἔφευγον ὡς ἐπὶ τὰς ναῦς. διὰ ταύτης δὲ εἰσέρχονται τῆς πύλης δι' ἧς ὁ Ἕκτωρ.

471. τὸ μὲν ὅμαδος δασυντέον· ἔχει γὰρ τὸ ὁμοῦ ἐγκείμενον· τὸ δὲ ἁλίαστος ψιλωτέον· ἔστι γὰρ στέρησις ἀπὸ τοῦ λιαστός, ὅπερ πέπτωκεν ἀπὸ τοῦ λιάζω· "ἦγεῖτ', ἀμφὶ δ' ἄρα σφι λιάζετο κῦμα" (Il. 24, 96).

Παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀρισταρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ ἐκ τῶν Νικάνορος περὶ στιγμῆς.

6. διὰ τοῦ ō] In aliis igitur libris ὀτρύναντι scriptum fuit, ut monuit La Roche. Eadem scripturae diversitas est in libris Odysseae 2, 423. 9, 488. 561. 14, 79. 15, 217. 287.

END OF VOL. I.

DATE DUE

11-10-90			
GAYLORD			PRINTED IN U.S.A.

SCHEELE MEMORIAL LIBRARY
3 6655 00034887 0
PA4035 .A2 1875
Scholia Graeca in Homeri Iliad

PA
4035
.A2
1875
vol.1

12,840

PA
4035
.A2
1875
vol.1

:r
:holia graeca in Homeri
ıdem ex codicibus aucta
emendata.

12,840

DATE	ISSUED TO
11-10-90	ILL U. of Waterloo

Concordia College Library
Bronxville, New York 10708